THE LIBRARY OF CONGRESS

APOLLONII RHODII

ARGONAUTICA.

AD FIDEM LIBRORUM MANUSCRIPTORUM ET EDITIONUM ANTIQUARUM RECENSUIT, INTEGRAM LECTIONIS VARIETATEM ET ANNOTATIONES ADIECIT, SCHOLIA AUCTA ET EMENDATA INDICESQUE LOCUPLETISSIMOS ADDIDIT

AUGUSTUS WELLAUER.



VOLUMEN PRIUS.

LIPSIAE

SUMTIBUS ET TYPIS B. G. TEUBNERI

MDCCCXXVIII.

PRAEFATIO.

Apollonii Rhodii Argonautica ut epicorum carminum seriorum praestantissimis non immerito adnumerari haud facile quisquam negaverit, ita hanc inter omnes constat sortem iis obtigisse, ut omni tempore a paucis lecta, a paucissimis edita sint, neque facile sit dictu, utrum lectorum paucitas ab edendo carmine egregio viros doctos absterruerit, an vero a legendo litterarum graecarum amatores prohibuerit editionum raritas. Quotus enim quisque est scriptorum veterum, cui per trium fere saeculorum spatium, si ab Henrico Stephano ad nostra tempora descendas, unus modo editor contigerit, qui quidem justi editoris munere fungi et voluerit et potuerit? Nam ut eos taceam, qui proximi fuerunt a Stephano, Hoelzlinum et Shawium, qui neque librorum manuscriptorum opem ad textum emendandum adhibuerunt, neque ingeniorum vi quidquam utilitatis attulerunt, solus exstitit Brunckius, qui codicum auxilio instructus criticam manum Apollonii verbis admoveret. A quo quum mendosa multa relicta, multa illata essent, de qua re mox fusius loquendum erit, nemo tamen post eum id muneris in se recipere voluit, ut poetae verba ex meliorum librorum auctoritate et ex legibus rei grammaticae ab eo inde tempore melius perspectis, quantum fieri posset, restitueret. Quum enim tres post Brunckium exorti sint Apollonii editores, Flanginius, Beckius, Hoerstelius, omnes novis ad textum emendandum copiis instructi, nullus tamen eorum iis uti aut potuit aut voluit. Flanginius praestantissimos codices Vaticanos serius contulit, quam ut ad verba poetae restituenda iis uti potuerit; Beckius, quamquam praeter Brunckii copias etiam Flanginii thesaurus ei in promtu erat, aliaque nova aliunde accesserant, tamen his omnibus adeo non usus est, ut anxie

Brunckii vestigia legerit, et singulis carminis nostri libris vix binis ternisve locis ab eo discedere ausus sit, ac ne lectiones quidem omnes librorum, quibus uti ei licuit, in aliorum usum publici juris fecerit, sed partem tantum eorum, nescio an pro arbitrio an certa quadam ratione delectam, textui subjecerit, partem ad alterum editionis suae volumen rejecerit, quod nunquam lucem vidit. Hoerstelium plane silentio praeterire licet, quem ligna potius scindere quam Apollonium edere oportebat. Non item silentio praetermittendus est Eduardus Gerhardus, qui quamquam justam Apollonii editionem exhibere noluit, tamen Lectionibus suis Apollonianis tantum utilitatis textui emendando praestitit, quantum vix priores editores omnes conjunctis viribus potuerunt.

Habemus igitur etiamnunc Apollonii textum eum quem ante hos quinquaginta fere annos Brunckius exhibuerat; qui quam bene quamque male in scriptoribus antiquis edendis versatus sit, in vulgus notum est. Sagacissimus ceteroquin poetarum emendator saepe tamen emendandi pruritu se ultra quam par erat, abripi passus est, saepe ex legibus metricis et grammaticis, a se ipso perperam scriptis, locos sanissimos corrupit, saepe codicibus suis propterea, quod a se primum collati erant, nimiam fidem habuit. Quae quum omnia in nostro quoque poeta corrigendo ei acciderint, tum casu infelici factum est, ut initio in codices pessimos et misere interpolatos inciderit, ex quorum auctoritate totum fere textum refinxit, deinde quum meliorum librorum collationes serius ad eum transmitterentur, tam exigui momenti eos habuerit, ut ex iis ne varietates quidem omnes in appendice enotaret. Quae quum ita sint, facile intelligi potest, quantum adhuc absit, ut genuina poetae manus restituta sit, neque operae pretium non esse mihi visum est, textum, qui vocatur, poetae nostri denuo recensere, praesertim cum, etsi codices ab aliis nondum collatos adhibere non licuit, tamen optimis libris primus ad Apollonii verba emendanda uti potuerim.

Itaque in hac nova editione adornanda id mihi ante omnia propositum fuit, ut poetae verba accuratissime ad optimorum codicum fidem examinarem, et praestantissimi cujus-

que lectiones religiosissime exhiberem. Quae res quum tota a librorum manuscriptorum auctoritate ponderanda pendeat, de his jam paullo fusius verba facere tempus est. Codices, quorum lectionibus usus sum, hi sunt:

I. Mediceus, a Bandinio in Heynii gratiam collatus, cujus varietatem quum Brunckius non prius accepisset, quam maxima editionis parte jam absoluta, eo uti non amplius potuit, et exiguam tantum variae lectionis partem Appendici inseruit, minorem etiam inde excerpsit Beckius. Integra libri praestantissimi collatio asservatur in bibliotheca Gottingensi, unde sicut alia complura, intercedente viri doctissimi Caroli Odofredi Mülleri amicitia et benevolentia, transscriptam accepi, et primus publici juris feci, atque ad textum emendandum non sine fructu adhibui.

II — V. Codices Vaticani A. B. C. D., a Flanginio collati, qui varias eorum lectiones secundo volumini editionis suae, in Germania rarissimae, praefixit, unde pauca exhibuit Beckius. Et horum librorum integram varietatem, ex qua ad textum restituendum plurimum utilitatis redundat, notis meis inserui.

VI. Codex Guelpherbytanus, primum a Jo. Aug. Ernestio collatus, qui ejus varietatem cum Piersono communicaverat. Is aliquot ejus lectiones in Verisimilibus p. 197 sqq. publici juris fecerat. Eadem collatio transmissa ad Brunckium in Appendice tantum ab eo excerpta est. Iterum librum contulit Hoerstelius, et integram ejus varietatem editioni suae, ceteroquin haud flocci faciendae, subjecit. Hinc in meam editionem recepi, nonnunquam dubius, cui plurimum fidei tribuendum sit, quum Piersonus, Brunckius, Hoerstelius mox diversa narrent, mox alius ab alio omissa commemorent.

VII. Codex Vratislaviensis, in bibliotheca Rehdigerana asservatus, in Buhlii praef. ad Arat. XI fusius descriptus. Primus eum contulit Beckius et exiguam varietatis partem in editione sua enotavit, ne in his paucis quidem erroris expers. Ipse enim iterum librum haud contemnendum accuratissime inspexi et integram lectionis varietatem, bonae frugis plenam, annotationi meae inserui.

VIII. Codex Vindobonensis, a Blessigio in Brunckii

usum collatus, qui tamen ne hujus quidem libri omnem varietatem commemoravit. Quum hujus quoque codicis plenam collationem Gottinga transmissam accepissem, adeo eum ad verbum cum Vratislaviensi consentire intellexi, ut aut alterutrum ex altero descriptum esse aut ex eodem fonte ambos fluxisse necesse sit.

IX — XIII. Codices Regii Parisienses A. B. C. D. E., 2727. 2846. 2728. 2729. 1845, a Brunckio collati et in textu emendando maxime in auxilium vocati, quamquam reliquis omnibus deteriores sunt. In horum quoque lectionibus commemorandis non satis accuratum fuisse Brunckium ex eo judicari potest, quod collatio Regii A., a Ruhnkenio confecta, quae Gottingae servatur, permulta a Brunckio omissa exhibet, quae in editione mea accesserunt. Quinque illi libri cum omnes inter se simillimi sint, duo illi, quos litteris A. et E. insignivimus, ita concinunt, ut alter alterius apographum esse videatur.

Editiones ex libris manuscriptis expressae eorumque instar habendae sunt tres, Florentina anni MCCCCXCVI, Aldina MDXXI, Parisina MDXLI. His quae proxime successerunt Brubachiana Francofurtensis MDXLVI et Basileensis MDLXXII, Aldinam ita secuti sunt, ut vix tribus quatuorve locis, nescio qua auctoritate, ab ea discedant. Hae quoque editiones ab editoribus adhuc negligentissime collatae sunt, itaque eas denuo excutiendi laborem non subterfugi, neque ejus laboris me poenituit, quum satis largam variae lectionis messem inde reportaverim, maxime ex Florentina, quam rarissimis libris merito adnumeratam in una bibliothecarum Vratislaviensium me invenisse admodum gaudeo.

Libri hi, quos nominavimus, omnes et scripti et impressi exceptis Parisinis magnopere sibi invicem similes sunt et multa habent omnibus communia; ea tamen est eorum diversitas, ut in tres classes sive familias commode dividi possint. Primae ejusque praestantissimae sunt Mediceus, Vaticani A. C. D., Guelpherbytanus, et Vratislaviensis cum Vindobonensi, qui libri, quum interdum inter se discrepent, plerisque tamen locis veram lectionem unanimi consensu tuentur. Huc pertinet etiam Florentina editio, quae ex Mediceo maxime fluxisse vi-

detur. Quae ab eo diversa habet, incertum est ex alione codice hausta sint an ex editoris conjectura profecta. Non tamen silentio praetermittendum, eam quarto Argonauticorum libro mirum in modum multo magis quam in prioribus ab hujus familiae codicibus discedere et proprias quasdam lectiones habere, quae in alio libro nullo nisi ex parte in Guelph. inveniuntur. Ab his paullo diversa est classis altera, cui solus Vat. B. assignari posse videtur cum editione Aldina. Multae enim lectiones editiones nostras, quas ex Aldina maxime profecisse jam supra monui, occupant, quarum in codicibus nullum est vestigium nisi in uno Vat. B. Hoc igitur libro maxime usus fuisse videtur Franciscus Asulanus, qui editionem Aldinam curavit, isque vulgati textus fons habendus est. Multum denique ab his, quos adhuc nominavi, libris distant codices Parisini cum editione Parisina, quae ex iis fluxisse videtur, eamque tertiam quasi familiam dico. Permultas enim lectiones exhibent a vulgato textu discrepantes, quae, si accuratius eas examinaveris, illo longe deteriores tibi videantur necesse est, et ita comparatae, ut dubitari vix possit, quin a librario profectae sint, qui aut metrum emendare, aut sensui subvenire voluit, cujus rei non est quod hoc loco exempla proferam, quum singulae fere editionis meae paginae documenta exhibeant. Haec interpolatorum commenta magnam partem in textum recepit Brunckius.

Rejicienda est hac occasione Beckii opinio, qui praef. p. X duas esse codicum familias putat, quarum singulae alterutram e duabus carminis recensionibus exhibeant, id quod nemini profecto persuadebit, qui varias librorum lectiones accuratius perpenderit; minime enim adeo inter se sunt diversae, ut diversas possint recensiones repraesentare. Duas carminis recensiones ab ipso poeta profectas esse ex certis veterum testimoniis constat, codices vero nostri omnes posteriorem sequuntur, prioris in scholiis tantum passim lectiones commemorantur, quae ipsae in libro nullo comparent, quamquam non negaverim, in codicem etiam unum et alterum, maxime Vaticanos, hic illic aliquam prioris recensionis lectionem, fortasse ex margine, irrepsisse, de qua re singulis locis monebitur. Sed de toto hoc loco tam docte disseruit Gerhardus in primo et secundo Lectionum capite, ut pauca, quae

addi possint, reliquerit, eaque aptius iis locis, ad quae pertinent, commemorabuntur.

His igitur libris ita usus sum, ut omnes eorum lectiones, altero fere tanto plures quam quas Brunckius attulit, enotarem, quo fieret, ut tandem aliquando certum aliquod esset fundamentum, quo Apollonii textus niti posset. Ita nunc demum singulis locis certo judicari poterit, quid antiquitus in libris lectum sit, quid a poeta sit profectum, quid ab editoribus, et si de quo loco minus recte sensero, id quod saepius mihi accidisse facile credo, omnibus libera erit optio et judicandi potestas. Nam poetae verba ubique fere ad codicum auctoritatem revocavi, ejectis quae saepe satis inconsiderate novaverant editores, quia tam bene conservatum ad nos pervenisse carmen persuasum habeo, ut ad conjecturas raro confugiendum sit. Itaque conjecturas rarissime in textum recepi, nec nisi ubi et prorsus necessarias habebam et certissimam medelam invenisse mihi videbar, id quod novem circiter decemve locis factum est; ex quo genere nonnulla mihi adeo luculenta videntur, ut ab omnibus probatum iri sperem. Paullo saepius aliorum virorum doctorum emendationes, quae quidem certae mihi videbantur, recepi, quas per varios libros dispersas diligenter conquisivi, quamquam multa etiam, quae est harum rerum natura, me fugisse non dubito *). Non neglexi

*) His adnumeranda sunt Anecdota Hemsterhusiana a Geelio edita, quorum parti primae quum Hemsterhusii animadversiones in Apollonium insertas esse certior factus essem, librum comparandum esse statui, sed non prius eo potiri potui, quam quum maxima hujus libri pars jam typis expressa esset. Libro inspecto etsi mox intellexi, non magnam Apollonio meo futuram fuisse jacturam, etiamsi prorsus eo carendum fuisset, tamen quae alicujus momenti esse viderentur, in lectorum usum hic subjicere decrevi. Sunt vero haec. P. 294. I, 214 legendum judicat ἀνερέψατο vel ἀνερείψατο, idemque addit restituendum esse IV, 918. P. 296. I, 306 emendat δόμων ἐξ ὤρτο νέεσθαι. P. 297. I, 315 sic explicat: *sed haec quidem, utpote gravis aetate, eo in loco linquebatur a junioribus, prono corpore, atque adeo citato gressu praetereuntibus.* ubi Geelius in nota: *Mihi quidem hic locus ita intelligendus videtur, ut* παρακλιδόν *referatur ad sacerdotem, passiva potestate: illa quidem a festinantium turba dimovebatur, et sic extra tumultum posita, utpote vetula, a junioribus facile relinquebatur.* P. 301. II, 224 legendum proponit ὄλεθρον: *ex improviso undecunque perniciem inferentes.* P. 304. II, 312 legendum putat: ὅσσα δ' ἄρηρε θεοῖς, φίλοι, οὐκ ἐπικεύσω, ubi Geelius conjicit: ὅσσα δ' ὄρωρε, θεοῖς φίλον, οὐκ ἐ. *quae mihi in mentem veniant, permittente Deo, non celabo.* Neutrum probandum esse liquet. P. 314. III, 262 seq. ita distinguit et legit:

δειλὴ ἐγὼν, οἷον πόθον Ἑλλάδος, ἔκ ποθεν ἄτης

etiam aliorum scriptorum loca, quibus Apollonii verba laudantur, interdum textui emendando utilia; in quo genere, quamquam satis raro a grammaticis citatur Apollonius, multa tamen a prioribus editoribus praetermissa supplevi, nec dubito, quin alia, quae me quoque latuerunt, ab aliis addi possint. Multum denique utilitatis cepi ex Apollonii Scholiis, tam vulgatis quam Parisinis, quae ad poetae verba emendanda adhuc parum ab editoribus adhibita sunt.

Haec de textu ejusque emendandi subsidiis sufficiant. Hujus loci foret, nonnulla etiam de rebus quibusdam ad orthographicam pertinentibus dicere, in quibus a Brunckio discessi, nisi in his minus recte Brunckium versatum esse nunc jam inter omnes constaret. Itaque de uno ν̄ finali loquar, quod Brunckius semper omisit, nisi si versus sequens a vocali inciperet. Codicum neque magna est in hac re auctoritas, neque ab iis, qui eos contulerunt, ejusmodi minutiae satis accurate ubique enotatae sunt. De solis Mediceo et Vratislaviensi mihi certo constat, in quibus illud ν̄ finale ubique inveniri hic semel moneo, ut in animadversionibus eorum testimonia omittere possim, ne variae lectionis moles nimis accrescat.

Textui subjeci Scholia, quod non ingratum fore hujus libri emtoribus spero, quum praeter antiquas editiones admodum raras in una Schaeferiana legantur, in hac vero haud satis ad usum accommodate ita distributa sint, ut seorsim legantur et Parisina et vulgata Scholia, ita ut eadem pleraque bis legenda sint. Cui incommodo ita subveni ut utraque Scholia in unum corpus conjungerem, quod facile fieri potuit, quum non tanta sit eorum diversitas. Fundamenti loco habui vulgata, non Parisina, quod mirabuntur fortasse, qui haec multo praestantiora putant. Sed haec opinio fuit virorum docto-

λευγαλέης, Φρίξοιο ἐφημοσύνῃσι νέεσθε
πατρός; κ. τ. λ.

hoc sensu: *Me miseram, quale desiderium Graeciae ex quacunque demum, vel nescio qua, luctuosa mentis noxa (scil. suscepistis, in animum inducere potuistis!) verum est, Phrixi monitu patris et impulsu proficiscebamini* etc., in quibus *abruptum orationis praecipitatae impetum* agnoscit. P. 315. III, 276 τετριγώς emendat probante Geelio. P. 316. III, 278 emendat ὑπὸ φλιήν. P. 320. III, 288 ita exponit: *illique ex pectore omnis prudentia perturbatione animi exspiravit.* P. 321. III, 294 emendat ἄγχι μάλ' ἐζομένη.

rum, quamdiu magna exspectatione desiderabantur; ex quo a Schaefero publici juris facta sunt, facile intelligi potuit, ea vulgatis haud paullo deteriora esse, quum et multo magis quam illa corrupta sint, maxime in scriptorum, qui laudantur, nominibus, et multa omittant, quae in vulgatis leguntur, neque adeo multa nova addant. Itaque non solum ea, quae in vulgatis Scholiis desiderantur, diligenter addidi *), sed etiam diversitates omnes Parisinorum accurate in margine inferiore adnotavi, exceptis iis locis, quibus eundem sensum paullo diversis verbis exprimunt Parisina, quae non ubique adjicere operae pretium duxi. Interdum etiam loca corrupta in notis emendavi; omnia perpolire non mei consilii fuit.

Denique Indices adjeci novos a me ipso confectos, quia minus pleni erant et passim erroribus referti, qui in prioribus editionibus legebantur. Ex quibus si quid utilitatis capi posse judices aequi existimaverint, summopere gaudebo.

*) Uncinis quadratis inclusi, quae in Scholiis vulgatis desunt, rotundis, quae in Parisinis.

ΓΕΝΟΣ ΑΠΟΛΛΩΝΙΟΥ
ΚΑΙ ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Ἀπολλώνιος, ὁ τῶν Ἀργοναυτικῶν ποιητὴς, τὸ μὲν γένος ἦν Ἀλεξανδρεὺς, υἱὸς δὲ Σιλλέως, ὡς δέ τινες Ἰλλέως, φυλῆς Πτολεμαΐδος· ἐγένετο δὲ ἐπὶ τῶν Πτολεμαίων, Καλλιμάχου μαθητὴς, τὸ μὲν πρῶτον συνὼν Καλλιμάχῳ τῷ ἰδίῳ διδασκάλῳ, ὀψὲ δὲ ἐπὶ τὸ ποιεῖν ποιήματα ἐτράπετο. Τοῦτον λέγεται ἔτι ἔφηβον ὄντα ἐπιδείξασθαι τὰ Ἀργοναυτικὰ καὶ κατεγνῶσθαι· μὴ φέροντα δὲ τὴν αἰσχύνην τῶν πολιτῶν καὶ τὸ ὄνειδος καὶ τὴν διαβολὴν τῶν ἄλλων ποιητῶν, καταλιπεῖν τὴν πατρίδα καὶ μετεληλυθέναι εἰς Ῥόδον, κἀκεῖ αὐτὰ ἐπιξέσαντα διορθῶσαι, καὶ οὕτως ἐπιδείξασθαι καὶ ὑπερευδοκιμῆσαι. διὸ καὶ Ῥόδιον ἑαυτὸν ἐν τοῖς ποιήμασιν ἀναγράφει· ἐπαίδευσέ τε λαμπρῶς ἐν αὐτῇ καὶ τῆς Ῥοδίων πολιτείας καὶ τιμῆς ἠξιώθη. Καὶ τὰ μὲν τοῦ γένους ταῦτα· ἡ δὲ ὑπόθεσις τῶν Ἀργοναυτικῶν Ἀπολλωνίου τοῦτον ἔχει τὸν τρόπον.

Τυρὼ ἡ Σαλμωνέως θυγατὴρ ἔτεκεν ἐκ Ποσειδῶνος Νηλέα καὶ Πελίαν· εἶτα γαμεῖται Κρηθεῖ τῷ Αἰόλου παιδὶ καὶ τίκτει ἐξ αὐτοῦ Αἴσονα, Φέρητα, Ἀμυθάονα. καὶ γίνεται ἐκ μὲν Αἴσονος Ἰάσων, ἐκ δὲ Φέρητος Ἄδμητος, ἀπὸ δὲ Ἀμυθάονος Μελάμπους. Καὶ ὁ μὲν Ἰάσων ἐκδίδοται Χείρωνι τρέφεσθαι καὶ τὴν ἰατρικὴν μανθάνειν, Αἴσονος τοῦ πατρὸς

αὐτοῦ τὴν βασιλείαν τῷ ἰδίῳ ἀδελφῷ Πελίᾳ καταλιπόντος καὶ κρατεῖν τῆς Θεσσαλίας κελεύσαντος, ἕως ἂν ὑποστραφῇ ὁ Ἰάσων ἀπὸ Χείρωνος. Χρησμὸν δὲ ἦν εἰληφὼς παρὰ τοῦ Ἀπόλλωνος ὁ Πελίας, φυλάττεσθαι τὸν ἐπιόντα πρὸς αὐτὸν μονοπέδιλον, τεθνήξεσθαι γὰρ δι' αὐτόν. Ὁ δὲ Ἰάσων αὐξηθεὶς ἔρχεται πρὸς τοὺς ἀδελφοὺς τοῦ πατρὸς, μεθέξων καὶ αὐτὸς τῆς τοῦ πατρὸς βασιλείας. γενόμενος δὲ ἐν τῷ Ἀναύρῳ ποταμῷ (ἔστι δὲ οὗτος Θεσσαλίας) καὶ βουλόμενος παρελθεῖν, εὑρίσκει ἐπὶ τῆς ὄχθης τὴν Ἥραν γραῒ ὁμοιωθεῖσαν, διαπεράσαι μὲν βουλομένην, φοβουμένην δὲ καὶ ἑστῶσαν. λαβὼν δὲ αὐτὴν ἐπὶ τῶν ὤμων ὁ Ἰάσων διασώζει, κατὰ μέσον τοῦ ποταμοῦ τὸ ἓν πέδιλον καταλιπὼν ἐπὶ τοῦ πηλοῦ. εἶτα ἀπέρχεται εἰς τὴν πόλιν μονοπέδιλος, καὶ εὑρίσκει πανήγυριν δημοσίαν καὶ θυσίαν ἀγομένην τοῖς θεοῖς παρὰ Πελίου. Θεασάμενος οὖν τὸν Ἰάσονα μονοπέδιλον ὁ Πελίας ὑπομιμνήσκεται τοῦ χρησμοῦ· εὐλαβούμενος δὲ αὐτὸν ἀνελεῖν ἆθλον αὐτῷ προστάσσει τοιοῦτον, εἰπὼν, ὅτι ἀπελθὼν εἰς τὴν Σκυθίαν τὸ χρυσόμαλλον δέρας κόμισον, καὶ λήψῃ τὴν βασιλείαν τοῦ σοῦ πατρός. Τοῦτο δὲ προσέταττεν, οὐχ ὡς τοῦ κωδίου τοῦ χρυσοῦ δεόμενος, ἀλλ' οἰόμενος αὐτὸν ἐν τῇ ἀλλοδαπῇ ἀναιρεθήσεσθαι ὑπό τινος, ἢ ἐν τῇ θαλάσσῃ ναυαγήσειν. Τὸ δὲ κατὰ τὸ χρυσόμαλλον δέρας ὧδέ πως ἔχει.

*) Ἀθάμας υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως, πρότερον γυναῖκα ἐσχηκὼς Νεφέλην, δύο παῖδας ἐκ ταύτης, Φρίξον καὶ Ἕλλην, ἐγέννησεν. Ἀποθανούσης δὲ τῆς Νεφέλης δευτέραν ἠγάγετο γυναῖκα Ἰνὼ, ἥτις ἐπιβουλεύσασα τοῖς τῆς Νεφέλης παισὶ παρέπεισε τὰς τῶν ἐγχωρίων γυναῖκας φρύγειν τὰ σπέρματα· ἡ γῆ δὲ πεφρυγμένον τὸν σπόρον δεχο-

*) Haec quae sequuntur ad finem usque aliis verbis expressa edidit Brunckius, nescio unde. Beckius ea exhibuit ut in cod. Vrat. leguntur, in plerisque cum Brunckii editione conspirantia. Sensus cum in universum sit idem, ea adscribere vix operae pretium est.

μένη καρπους ἐτησίους οὐκ ἀπεδίδου. Πέμψας οὖν εἰς Δελφοὺς Ἀθάμας περὶ τῆς ἀφορίας ἐπυνθάνετο· δώροις δὲ πείσασα Ἰνὼ τοὺς πεμφθέντας ὑπέθετο αὐτοῖς εἰπεῖν ὑποστρέψασιν, ὡς ἀνεῖλεν ὁ θεὸς Ἕλλην καὶ Φρίξον σφαγιασθῆναι, εἰ θέλοιεν ἀπαλλαγὴν τῆς ἀφορίας ἔσεσθαι. πεισθεὶς οὖν ὁ Ἀθάμας Ἕλλην καὶ Φρίξον τῷ βωμῷ παρέστησεν. Ἀλλ' ἐκείνους μὲν κατοικτείραντες οἱ θεοὶ διὰ τοῦ χρυσομάλλου κριοῦ ἐναερίους ἀφήρπασαν, ὅθεν Ἕλλη μὲν ἀντέχειν μὴ δυναμένη εἰς τὸν ἀπ' ἐκείνης κληθέντα Ἑλλήσποντον καταπίπτει, Φρίξος δὲ εἰς τὴν Κολχικὴν διασώζεται γῆν. Ἔνθα θύει μὲν τὸν κριὸν Διῒ Φυξίῳ, ὅτι ἐξέφυγε τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς, γαμεῖ δὲ Χαλκιόπην τὴν θυγατέρα Αἰήτου, τοῦ Σκυθῶν βασιλέως, καὶ γεννᾷ ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἄργον, Κυτίσσωρον, Μέλανα, Φρόντιν. Καὶ οὕτως ἐκεῖσε τελευτᾷ.

ΑΛΛΩΣ ΑΠΟΛΛΩΝΙΟΥ ΒΙΟΣ.

Ἀπολλώνιος ὁ ποιητὴς τὸ μὲν γένος ἦν Ἀλεξανδρεὺς, πατρὸς δὲ Σιλλέως ἤτοι Ἰλλέως, μητρὸς δὲ Ῥόδης. οὗτος ἐμαθήτευσε Καλλιμάχῳ ἐν Ἀλεξανδρείᾳ ὄντι γραμματικῷ, καὶ συντάξας ταῦτα τὰ ποιήματα ἐπεδείξατο. Σφόδρα δὲ ἀποτυχὼν καὶ ἐρυθριάσας παρεγένετο ἐν τῇ Ῥόδῳ κἀκεῖ ἐπολιτεύσατο καὶ σοφιστεύει ῥητορικοὺς λόγους, ὅθεν καὶ Ῥόδιον αὐτὸν ἀπεκάλεσαν. Ἐνταῦθα τοίνυν διάγων καὶ ἐπιξέσας αὐτοῦ τὰ ποιήματα, εἶτα ἐπιδειξάμενος σφόδρα εὐδοκίμησεν, ὥς καὶ τῆς Ῥοδίων ἀξιωθῆναι πολιτείας καὶ τιμῆς. Τινὲς δέ φασιν, ὅτι ἐπανῆλθεν ἐς Ἀλεξάνδρειαν, κἀκεῖ αὖθις ἐπιδειξάμενος εἰς ἄκρον εὐδοκίμησεν, ὥς καὶ τῶν βιβλιοθηκῶν τοῦ Μουσείου ἀξιωθῆναι αὐτὸν, καὶ ταφῆναι δὲ σὺν αὐτῷ τῷ Καλλιμάχῳ.

Παράκειται τὰ σχόλια ἐκ τῶν τοῦ Λουκίλλου Ταῤῥαίου καὶ Σοφοκλέους καὶ Θέωνος. Τάῤῥα δὲ πόλις Κρήτης, ὥς φησι Λογγῖνος ἐν τοῖς Φιλολόγοις.

ΑΠΟΛΛΩΝΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ Α.

᾿Αρχόμενος σέο, Φοῖβε, παλαιγενέων κλέα φωτῶν
μνήσομαι, οἳ Πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας
Κυανέας βασιλῆος ἐφημοσύνῃ Πελίαο
χρύσειον μετὰ κῶας ἐΰζυγον ἤλασαν ᾿Αργώ.
Τοίην γὰρ Πελίης φάτιν ἔκλυεν, ὥς μιν ὀπίσσω
μοῖρα μένει στυγερὴ τοῦδ᾽ ἀνέρος, ὅντιν᾽ ἴδοιτο
δημόθεν οἰοπέδιλον, ὑπ᾽ ἐννεσίῃσι δαμῆναι,
δηρὸν δ᾽ οὐ μετέπειτα τοίην κατὰ βάξιν ΙΗΣΩΝ

V. 1. *παλαιγένεα* Guelph. — *κλέα ἀνδρῶν* Reg. A., quod quis probare possit propter locos Homericos Il. IX, 189. 524. Od. VIII, 73. unde profecit Theocr. XVI, 2. Sed neque obtrudenda est Apollonio imitatio Homerica, neque ex uno codice recipienda lectio, quae facile potuit vel a librario Homerica lectione tincto inferri, vel ex interpretatione nasci, quemadmodum saepe vocabula *φώς* et *ἀνήρ* confusa reperiuntur. Sic Eustath. et Thomas M. locis ab Hermanno laudatis apud Soph. Aj. 440 *ἀνδρὶ* pro *φωτὶ* legunt, apud Tryphiod. v. 113 plurimi codd. male *ἀνδρὶ* habent, quod Northmor. ex uno recte in *φωτὶ* mutavit, et apud Maximum *περὶ καταρχ.* v. 277 vulgo *ἐπὶ ἄνδρα* legitur, ubi veram esse emendationem Hermanni ad Orph. p. 749 *ἐπὶ φωτὶ* ex v. 299 et 377 intelligitur. Praeterea *κλέα φωτῶν* legitur etiam apud auctorem Homerici hymni XXXII, 18 et Christodor. 378, et nostro loco illud ipsum *φωτῶν* idem ille codex in margine scriptum exhibet.

2. Verba *οἳ πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας κυανέας*, quae IV, 1002 recurrunt, in usum suum convertit Orpheus Argon. v. 711, mutato tantum vocabulo *πόντοιο* in *πορθμοῖο*.

5. *Πελίας* Guelph.

7. *αἰνεσίῃσι* Flor. Brub.

8. *τεήν* vulg., quod quum sensu careat, quia jam neque Apollinem alloquitur poeta, neque Peliam alloqui potest, in recentioribus editionibus recte repudiatum est. Sed Brunck. (quem sequitur Kraus.) ex emendatione Cuperi Observv. III, 24 *θεήν* recepit; contra Ruhnk. epist. crit. p. 280 *τοίην* conjecit, quod receperunt Beck. et Hoerstel. Quam lectionem quum non solum marg. Vrat. sed etiam marg. Reg. A. ab ipso Ruhnkenio collati (quod oblitus fuisse videtur vir summus, quum conjecturam illam scriberet) exhibeat, ita ut non conjectura sed librorum lectio vocanda sit, et ego in textum recepi, suadente praeterea sensu, quem viri illi non ceperunt. Puncto enim distinxerunt versus praecedentis fine, quo facto nescio quid molesti habet repetitum illud *τοίην*. Sed perspicuum est alterum *τοίην* ad praecedens ita

χειμερίοιο ῥέεθρα κιὼν διὰ ποσσὶν Ἀναύρου
ἄλλο μὲν ἐξεσάωσεν ὑπ' ἰλύος, ἄλλο δ' ἔνερθεν
κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν.
ἵκετο δ' ἐς Πελίην αὐτοσχεδὸν ἀντιβολήσων
εἰλαπίνης, ἣν πατρὶ Ποσειδάωνι καὶ ἄλλοις
ῥέζε θεοῖς, Ἥρης δὲ Πελασγίδος οὐκ ἀλέγιζεν.
αἶψα δὲ τόν γ' ἐσιδὼν ἐφράσσατο καί οἱ ἄεθλον
ἔντυε ναυτιλίης πολυκηδέος, ὄφρ' ἐνὶ πόντῳ
ἠὲ καὶ ἀλλοδαποῖσι μετ' ἀνδράσι νόστον ὀλέσσῃ.
Νῆα μὲν οὖν οἱ πρόσθεν ἐπικλείουσιν ἀοιδοὶ

referri, ut sensus sit: *quod oraculum Pelias acceperat, ex eo Iason etc.*, idque poeta ita expressit, ut non relativo uteretur, sed antiquam rationem Homericam sequeretur eam, quam parataxin nuperrime vocavit Thierschius gr. gr. §. 315 s. ed. nov. Similis est locus Pind. Nem. IV, 4 *οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τέγγει γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.* Neque in particula *δέ* offendendum est, quae in parataxi est usitata, ut Hom. Il. VII, 146 *οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν*, ut recte emendavit Buttm. ad Soph. Philoct. 87. cf. Thiersch. §. 316, 10 sqq. Haec vero loci nostri explicatio etiam propter prius *τοίην* necessaria est, quod ex vulgari explicatione molestum est, idque ne Scholiasten quidem fugit. Quapropter post *δαμῆναι* commate interpunxi. Vulgatum *τεήν* patronum nuper nactum est virum doctum, qui censuram Apollonii Schaeferiani egit in Ephem. Jenens. 1814, p. 266, qui tamen causas, quibus illud se tueri posse putet, addidit nullas.

10. Hunc et qui sequitur versum laudat Tzetz. ad Lycophr. 175.

13. *Ποσειδάονι* Vrat.

14. *Ἥρας* Guelph.

15. *τόνδ'* edd. antiquae, sed *τόν γ'* Med. Guelph. Regg. A. B. C. D. E. Vatt. A. B. C. D. Vrat. et inde a Brunckio omnes, recte. — *ἐφράσατο* Flor. Brub.

17. Brunckius soloecum esse ratus conjunctivum ab *ὄφρα* pendentem praecedente praeterito *ἔντυε*, ex conjectura reposuit *ἠέ κεν*, quod omnes deinde receperunt. Sed jam dudum de hac re rectius judicant viri docti, ut non sit, quod pluribus Brunckii sententiam refellamus; cf. Herm. ad Vig. p. 793. ad Orph. p. 736. Wunderl. obss. critt. in Aeschyl. p. 138, qui etiam ad tuendam particulam *καί*, quae Brunckio otiosa videbatur, apte attulit Hom. Od. I, 174. 267 et sexcenta alia afferre poterat. Loca Apollonii, quibus item *ὄφρα* et similes particulae praecedente praeterito cum conjunctivo junguntur, sunt I, 100 *πέμπεν, ἵνα θρασέεσσι μεταπρέπῃ ἡρώεσσιν.* I, 851 *Κύπρις γὰρ ἐπὶ γλυκὺν ἵμερον ὦρσεν, — ὄφρα κεν αὖτις Ναίηται μετόπισθεν.* II, 1094 *ἐνέοντο παρ' Αἰήταο Κυταίου, — ἵν' ἄσπετον ὄλβον ἄρωνται.* III, 1134 *ὣς γὰρ τόδε μήδετο Ἥρη, Ὄφρα κακὸν Πελίῃ ἱερὴν ἐς Ἰωλκὸν ἵκηται.* III, 1307 *εἷλκεν ἐπικρατέως παντὶ σθένει, ὄφρα πελάσσῃ.* IV, 59 *κίον, — ἵνα σκοτίῃ ἐνὶ νυκτὶ Φαρμάσσῃς εὔκηλος.* IV, 907 *κανάχησεν — Ὄφρ' ἄμυδις κλονέοντος ἐπιβρομέωνται ἀκουαί.* Uterque modus pro sensus diversitate sequitur I, 446 *πάτρης ἐξήϊον, ὄφρ' ἐπιβαίην Νηός, ἐϋκλείη δὲ δόμοις ἐπιβάντι λίπηται*, de quo genere cf. quae monui ad I, 660. Contra praecedente praesente optativus ponitur IV, 399 *Ἀψύρτῳ μεμάασιν ἀμυνέμεν, ὄφρα σε πατρὶ — οἰκάδ' ἄγοιτο.* IV, 534 *εἰσέτι νῦν κείνῃ ὅδε κεύθεται αἴῃ — ὥς κεν ἄφαντος ἀεὶ μερόπεσσι πέλοιτο.* His omnibus fere locis Brunckius invitis libris manum emendatricem admovit.

18. *οἱ* omittit Vrat. — *ἔτι κλείουσιν* codd. et edd. vett. omnes, inepte.

Ἄργον Ἀθηναίης καμέειν ὑποθημοσύνῃσιν.
νῦν δ' ἂν ἐγὼ γενεήν τε καὶ οὔνομα μυθησαίμην
ἡρώων δολιχῆς τε πόρους ἁλὸς ὅσσα τ' ἔρεξαν
πλαζόμενοι· Μοῦσαι δ' ὑποφήτορες εἶεν ἀοιδῆς.
Πρῶτά νυν ΟΡΦΗΟΣ μνησώμεθα, τόν ῥά ποτ' αὐτὴ
Καλλιόπη Θρήϊκι φατίζεται εὐνηθεῖσα
Οἰάγρῳ σκοπιῆς Πιμπληΐδος ἄγχι τεκέσθαι.
αὐτὰρ τόν γ' ἐνέπουσιν ἀτειρέας οὔρεσι πέτρας
θέλξαι ἀοιδάων ἐνοπῇ ποταμῶν τε ῥέεθρα.
φηγοὶ δ' ἀγριάδες, κείνης ἔτι σήματα μολπῆς,
ἀκτῆς Θρηϊκίης Ζώνης ἔπι τηλεθόωσαι
ἑξείης στιχόωσιν ἐπήτριμοι, ἃς ὅ γ' ἐπιπρὸ
θελγομένας φόρμιγγι κατήγαγε Πιερίηθεν.
Ὀρφέα μὲν δὴ τοῖον ἑῶν ἐπαρωγὸν ἀέθλων
Αἰσονίδης Χείρωνος ἐφημοσύνῃσι πιθήσας
δέξατο, Πιερίῃ Βιστωνίδι κοιρανέοντα.

Veram lectionem reposuit Brunck., quem recte secuti sunt omnes.

19. *καμεῖν* Guelph. Vrat.. — *ὑποθημοσύναισι* Guelph. *ὑποθημοσύνῃσιν* Vrat.

20. Wernick. ad Tryphiod. p. 255 particulam *τέ* delendam putat, quae speciosa est sane emendatio, si contuleris et locum Iliadis, ex quo hemistichium hausisse videtur noster, III, 235:

οὕς κεν ἐῢ γνοίην καὶ οὔνομα μυθησαίμην

ut legendum putat ille, et nostri ipsius II, 762:

Αἰσονίδης μέν οἱ γενεὴν καὶ οὔνομ' ἑκάστου

et, qui inde profecit, Quint. Smyrn. VII, 234:

μυθεῖτ' ἀτρεκέως γενεὴν καὶ οὔνομ' ἑκάστου

et qui consimilis est locus Dionys. Perieg. 705:

κείνων ἀνθρώπων γενεὴν καὶ ἤθεα γαίης.

Sed tribus postremis locis productio particulae facta est in quarto pede, ubi produci *καί* solebat ad vitandam caesuram trochaicam, v. Herm. ad Orph. p. 728. Gerhard. lectt. Apoll. p. 159 sq. Alio vero loco neque Homerus neque noster id sibi permisisse videntur, quare neque Homericum neque nostrum locum cum Wernickio mutandum duco. Bis praeterea Apollonius *καί* produxit III, 329. IV, 213, bis etiam Dionys. Perieg. v. 705 et 753, sed semper in quarto pede. Emendanda igitur, si quo alio loco comparet, haec productio est, nedum inferenda.

23. *νῦν* Vrat.

28. *ἐπὶ* Reg. A.

29. *ἀκτῆς θρηϊκίας* Guelph., quod recepit Hoerstel., absurde. — *ἔτι τηλεθόωσαι* Guelph. *ἐπιτηλεθόωσαι* Vatt. A. C. D. Hunc versum ita laudat Schol. ad Nicand. Theriac. v. 470 *ἀκτῇ Θρηϊκίῃ Ζώνης ἐπιτηλεθάουσαι.*

30. Scholia Paris. *ἑξείης στιχόωντο* praebent, quod cave ne vulgato praeferendum putes; quum enim in explicatione praesente utantur: *στοιχηδόν εἰσι*, elucet, ipsa quoque vulgatam lectionem explicare voluisse. Ceterum *στιχόωσι* non est, ut solet h. l. verti, *stant ex ordine*, quod ne potest quidem significare, sed ut ubique *ordine incedunt*, quod poetica licentia de stante arborum serie dixit Apollonius. In scholiis quoque *στιχηδὸν εἰσι* legendum esse certissimum videtur, quid enim esset *στιχηδόν εἰσι*? — *ἐπίτριμοι* Reg. A.

33. *πεπονθὼς* (*πεποιθὼς*?) Reg. A.

34. *Βιστωνίῃ* Reg. A. *Βιστωνίτας* var. lect. in Schol. Paris.

Ἤλυθε δ' ΑΣΤΕΡΙΩΝ αὐτοσχεδὸν, ὅν ῥα Κομήτης
γείνατο δινήεντος ἐφ' ὕδασιν Ἀπιδανοῖο,
Πειρεσιὰς ὄρεος Φυλληΐου ἀγχόθι ναίων,
ἔνθα μὲν Ἀπιδανός τε μέγας καὶ δῖος Ἐνιπεὺς
ἄμφω συμφορέονται, ἀπόπροθεν εἰς ἓν ἰόντες.
Λάρισσαν δ' ἐπὶ τοῖσι λιπὼν ΠΟΛΥΦΗΜΟΣ ἵκανεν
Εἰλατίδης, ὃς πρὶν μὲν ἐρισθενέων Λαπιθάων,
ὁππότε Κενταύροις Λαπίθαι ἐπεθωρήσσοντο,
ὁπλότερος πολέμιζε· τότ' αὖ βαρύθεσκέ οἱ ἤδη
γυῖα, μένεν δ' ἔτι θυμὸς ἀρήϊος, ὡς τὸ πάρος περ.
Οὐδὲ μὲν ΙΦΙΚΛΟΣ Φυλάκῃ ἔνι δηρὸν ἔλειπτο
μήτρως Αἰσονίδαο· κασιγνήτην γὰρ ὄπυιεν
Αἴσων Ἀλκιμέδην Φυλακηΐδα· τῆς μιν ἀνώγει
πηοσύνη καὶ κῆδος ἐνικρινθῆναι ὁμίλῳ.
Οὐδὲ Φεραῖς ΑΔΜΗΤΟΣ ἐϋῤῥήνεσσιν ἀνάσσων
μίμνεν ὑπὸ σκοπιὴν ὄρεος Χαλκωδονίοιο.
Οὐδ' Ἀλόπῃ μίμνον πολυλήϊοι Ἑρμείαο

37. *Πιρεσίας* vulg. *Τειρεσίας* Reg. E. et Vrat., de qua varietate v. Ruhnk. epist. crit. p. 92. *Πειρεσίας* Regg. A. B. C. D. Vat. B. marg. Vrat. Schol. Paris., quod recepit Beck. *Πειρεσιάς* dedit Brunck. ex v. 584.

38. *Ἐνιππεὺς* Steph. mendo typographico.

39. *ἀπόπροσθεν* Guelph. *ἀπόπροθι* Regg. B. C. D. E. (nam Reg. A. teste Ruhnkenio *ἀπόπροθεν* habet), quod recepit Brunck. et deinde omnes. Sed vel propter hiatum repudianda est haec lectio, qui etsi defendi possit, non tamen paucorum librorum auctoritate inferendus est. Neque sensus praestantiam video, quam jactat Brunck., qui quum vertit: *longo tractu eodem fluentes alveo*, neque quomodo *εἰς ἓν* illud significare possit video, neque quomodo hoc sensui aptum sit, quum de Apidani et Penei confluente hic ne sermo quidem sit. Imo sensus est: *qui ex longinquo venientes in unum alveum confluunt.* Hanc sententiam et lectionis vulgatae veritatem confirmat Hygin. fab. XIV, qui nostrum aperte secutus haec habet: *quo loco duo flumina, Apidanus et Enipeus, separatim projecta, in unum conveniunt*, ubi *provecta* legendum esse ex nostro loco perspicitur. Praeterea conf. Arat. Phaen. 459 *μακρὰ δὲ σήματα κεῖται ἀπόπροθεν εἰς ἓν ἰόντων.* — *ἱέντες* Vat. B.

40. *Λάρισαν* Guelph. Flor. Brub.

42. *ἐπιθωρήσσοντο* Guelph. Vrat.

43. *βαρύθεσκεν* Vat. B.

45. *ἐλείπετο* Vrat. *ἐλέλειπτο* Schol. Paris.

46. *ὄπυεν* Vrat. Schol. Paris.

47. *Φυλακηΐδαν* Reg. A. *Φυλακηΐδαο* Vrat.

48. *ἐνικριθῆναι* Guelph. Vat. B. *ἐνικροθῆναι* Reg. A. (teste Ruhnk.)

49. *Φερεαῖς* Vrat., sed puncto sub ε posito. — *ἐϋρήνεσσιν* Reg. C., quod recepit Brunck., qui perperam talia semper uno ρ scribit. *εὐρήνεσι* Schol. Par.

51. *πολυληΐου* Guelph. cum gl. *πολλὰ λήϊα ἔχοντος.* Hinc Pierson. Veris. p. 198 suspicatur, *πολυληΐῳ* legendum esse, quia soleat hoc epitheton plerumque regionibus et urbibus tribui, quod non displiceret, quamquam eodem modo de hominibus dictum legitur infra II, 507 *πολυλήϊοι Αἱμονιῆες*, nisi eandem Alopen *πετρήεσσαν* vocaret Orph. Arg. v. 135.

υἱέες, εὖ δεδαῶτε δόλους, ΕΡΥΤΟΣ καὶ ΕΧΙΩΝ.
τοῖσι δ' ἔπι τρίτατος γνωτὸς κίε νισσομένοισιν
ΑΙΘΑΛΙΔΗΣ· καὶ τὸν μὲν ἐπ' Ἀμφρυσοῖο ῥοῇσιν
Μυρμιδόνος κούρη Φθιὰς τέκεν Εὐπολέμεια·
τὼ δ' αὖτ' ἐκγεγάτην Μενετηΐδος Ἀντιανείρης.
Ἤλυθε δ' ἀφνειὴν προλιπὼν Γυρτῶνα ΚΟΡΩΝΟΣ
Καινείδης, ἐσθλὸς μὲν, ἑοῦ δ' οὐ πατρὸς ἀμείνων.
Καινέα γὰρ ζωόν περ ἔτι κλείουσιν ἀοιδοὶ
Κενταύροισιν ὀλέσθαι, ὅτε σφέας οἶος ἀπ' ἄλλων
ἤλασ' ἀριστεύων· οἳ δ' ἔμπαλιν ὁρμηθέντες
οὔτε μιν ἐγκλῖναι προτέρω σθένον, οὔτε δαΐξαι·
ἀλλ' ἄῤῥηκτος, ἄκαμπτος ἐδύσατο νειόθι γαίης,

52. *δεδαῶτες δόλον* Schol. Paris.
53. *ἐπὶ* edd. vett., quod tacite correxit Brunck. — *νισομένοισιν* Vatt. A. C. D. Flor. *νεισομένοισιν* Brub. utrumque ex errore perpetuo. *νισσομένοισιν* Regg. A. B. C. D. E. Vat. B. Guelph. Vrat. Steph. et recentiores.
54. *Αἰολίδης* Guelph. *Ὀφρύσσοιο* Reg. A. *Ἀφρύσσοιο* Flor. *Ἀμφρίσοιο* Guelph. *Ἀμφρυσοῖο* Reg. C. et a prima manu A. *Ἀμφρύσσοιο* reliqui codd. et edd. vett. *Ἀμφίῤῥυσος* vel *Ἀμβίῤῥυσος* vocatur in Schol. Paris. *Ἀμφρυσοῖο* recte dedit Brunck., secutus Callim. in Apoll. 48 et Virg. Georg. III, 4.
55. *Εὐπολέμια* Guelph.
57. *ἤλυθεν ἀφνειὴν* Reg. A.
58. *Καινεΐδης* Brunck., ut in similibus patronymicis omnibus, contra poetae voluntatem, obsequente Beckio. Iidemne in Homero ubique scribi voluerunt *Τυδεΐδης*, *Ἀτρεΐδης* &c? v. Wolf. praef. ad Hom. p. LXV.
59. *ἔτι κλείουσιν* codd. et edd. omnes. *ἐπικλείουσιν* Schol. Ven. ad Il. I, 264, qui hunc et quinque sequentes versus laudat. Inde recepit Brunck., Beck. et reliqui, et recipiendum esse judicaverat jam Pierson. Veris. p. 173. Sed totus versus ibi sic legitur:

Καινέα γὰρ τὸν πρόσθεν ἐπικλείουσιν ἀοιδοί.

ex qua lectione, quae ad priorem carminis recensionem pertinere videtur, *ἐπικλείουσιν* necessarium esse quisque videt. Sed ad *ζωόν περ* tam parum aptum est, ut Beckio duo illa vocabula merito suspecta visa sint. Aptissimum vero sensum praebet vulg., modo ne verba *ζωόν περ ἔτι* cum *κλείουσιν* jungas sed cum sequente *ὀλέσθαι*, ut sensus sit: *Caeneum quamquam etiamtum viventem per Centauros periise tradunt poetae*, quo exprimitur id, quod deinde pluribus enarratur, Caeneum a Centauris non interfectum esse, sed vivum periisse. Ovid. Metam. XII, 508 vivacemque animam missis elidite sylvis. Orph. Argon. v. 171 *ζωόν τ' ἐν φθιμένοισι μολεῖν ὑπὸ κεύθεα γαίης*. Itaque revocavi antiquam lectionem.
60. *σφόδρα* pro *σφέας* Guelph.
61. *ἀριστήων* vulg. *ἀριστεύων* Regg. A. (teste Ruhnk.) B. C. D. Vat. B., quod recte praetulit Brunck., non obsequente Beckio. Apte monuit hoc magis accommodum esse poetae Caeneum laudibus efferentis proposito; neque omnino in eo rei cardo versatur, quod sine aliis heroibus, sed quod sine aliorum hominum ope sua solius virtute Centauros fugavit.
62. *ἀγκλῖναι* Vrat. et Schol. Hom. supra laudatus, quod receperunt Brunck. et Beck. Sed non ita sensus praestantia se commendat, ut tam exigua auctoritate recipi debeat, imo propter sequens *προτέρω* minus aptum est; itaque retinui librorum lectionem.
63. *ἄρηκτος* Vrat. Flor. Brub. — *ἐδύσσετο* vulg. *ἐδύσετο* Guelph. Vat. A. B. Flor. Brub. *ἐδύσσατο* Schol. Hom., unde recte *ἐδύσατο* Brunck. et Beck. — Hunc et proximum ver-

θεινόμενος στιβαρῇσι καταΐγδην ἐλάτῃσιν.
Ἤλυθε δ' αὖ ΜΟΨΟΣ Τιταρήσιος, ὃν περὶ πάντων
Λητοΐδης ἐδίδαξε θεοπροπίας οἰωνῶν·
ἠδὲ καὶ ΕΥΡΥΔΑΜΑΣ Κτιμένου παῖς· ἄγχι δὲ λίμνης
Ξυνιάδος Κτιμένην Δολοπηΐδα ναιετάασκεν.
Καὶ μὴν Ἄκτωρ υἷα ΜΕΝΟΙΤΙΟΝ ἐξ Ὀπόεντος
ὦρσεν, ἀριστήεσσι σὺν ἀνδράσιν ὄφρα νέοιτο.
Εἵπετο δ' ΕΥΡΥΤΙΩΝ τε καὶ ἀλκήεις ΕΡΙΒΩΤΗΣ,
υἷες ὁ μὲν Τελέοντος, ὁ δ' Ἴρου Ἀκτορίδαο·
ἤτοι ὁ μὲν Τελέοντος ἐϋκλειὴς Ἐριβώτης,
Ἴρου δ' Εὐρυτίων. σὺν καὶ τρίτος ἦεν ΟΙΛΕΥΣ
ἔξοχος ἠνορέην καὶ ἐπαΐξαι μετόπισθεν
εὖ δεδαὼς δηΐοισιν, ὅτε κλίνωσι φάλαγγας.
Αὐτὰρ ἀπ' Εὐβοίης ΚΑΝΘΟΣ κίε, τόν ῥα Κάνηθος
πέμπεν Ἀβαντιάδης λελιημένον· οὐ μὲν ἔμελλεν

sum verbis paullisper immutatis laudat Eustath. ad Il. p. 76 ed. Bas.

65. *πέρι* Vrat. et sic de suo dedit Brunck., sequente Beckio. Sed nulla est anastrophae causa, quum non adverbialiter sit adhibita vox, sed sequente genitivo.

67. *πάϊς* vulgo, quod in *παῖς* mutavi secundum ea, quae ad I, 202 disputabuntur.

68. *ναιετάεσκεν* Reg. A. (teste Ruhnk.) *ναιετάεσκε* Reg. E. *ναιετάασκε* Brunck. et Beck. sine causa et auctoritate.

71. *Ἐρυβώτης* Guelph. Vrat. *Εὐρυβώτης* Reg. A. et Schol. Paris. Sic etiam Eudocia Violar. p. 220 et Hygin. fab. XIV. cf. Buttm. Lexilog. II p. 147 sq. — Post hunc versum in Vrat. hic legitur, incuria scribentis e sequentibus ortus: *υἷες ὁ μὲν Τελέοντος ἐϋκλείης Ἐρυβώτης.*

73. In *Ἐριβώτης* eadem varietas, quae v. 71.

74. *ἦεν* vulg., in Guelph. cum gl. *ὑπῆρχεν. ἤηεν* Vat. B. a prima manu, *ἦπεν* Reg. A. (teste Ruhnk.) *ἦκεν* Regg. B. C. D. E., quod receperunt Brunck. et Beck., sed *ἦεν* Vrat., quod reposui, quia et ad vulgatam lectionem propius accedit, et eadem varietas recurrit infra IV, 454.

76. *δαΐοισι* Guelph. — *ὅτε κλείνωσι* vulg. *ὅτε κλίνωσι* Guelph. *ὅταν κλίνωσι* Regg. A. B. C. D. E. Vrat. *ὅτε κλίνειε* Brunck., obsequente Beckio, ex Schol. Ms. nescio quo. Schol. Paris., dequo fortasse loquitur Brunck., haec habet: *συνυπακούεται δὲ καὶ ὁ καὶ, ἵν' ᾖ, ὅτε κλίνει φάλαγγας, ἤγουν εἰς φυγὴν τρέψειεν.* Sed in tanto librorum consensu exigua est Scholiastae auctoritas, qui totum locum se non satis intellexisse eo prodit, quod *καί* subaudiendum esse putat, ut talem sibi constructionem finxisse videatur: *εὖ δεδαὼς καὶ ἐπαΐξαι δηΐοισιν, καὶ κλίνειν φάλαγγας*, quo ducit etiam corrupta lectio *κλίνει*; itaque omnino ne legisse quidem videtur *κλίνειε*, nam quod non *τρέψειε* sed *τρέψειεν* habet, ex eo perspicuum est *τρέψειαν* legendum esse, ut in scholiis vulgatis. Dedi igitur id, ad quod libri optimi ducunt, *ὅτε κλίνωσι*, idque verum esse satis erit vel uno loco probasse, qui ad sensum quoque simillimus est, Hom. Il. XIV, 521 *Οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν, Ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ.* Quam enim sensus difficultatem videt Kraus., propter quam satis ridicule *φάλαγγες* legendum putat, eam video nullam in his verbis: *peritus erat artis hostes persequendi, quum se in fugam verterant.*

νοστήσειν Κήρινθον ὑπότροπος. αἶσα γὰρ ἦεν
αὐτὸν ὁμῶς Μόψον τε δαήμονα μαντοσυνάων
πλαγχθέντας Λιβύης ἐνὶ πείρασι δῃωθῆναι,
ὡς οὐκ ἀνθρώποισι κακὸν μήκιστον ἐπαυρεῖν,
ὁππότε κἀκείνους Λιβύῃ ἔνι ταρχύσαντο,
τόσσον ἑκὰς Κόλχων, ὅσσον τέ περ ἠελίοιο
μεσσηγὺς δύσιές τε καὶ ἀντολαὶ εἰσορόωνται.
Τῷ δ' ἄρ' ἔπι ΚΛΥΤΙΟΣ τε καὶ ΙΦΙΤΟΣ ἠγερέθοντο,
Οἰχαλίης ἐπίουροι, ἀπηνέος Εὐρύτου υἷες,
Εὐρύτου, ᾧ πόρε τόξον Ἑκηβόλος· οὐδ' ἀπόνητο
δωτίνης· αὐτῷ γὰρ ἑκὼν ἐρίδηνε δοτῆρι.
Τοῖσι δ' ἔπ' Αἰακίδαι μετεκίαθον· οὐ μὲν ἅμ' ἄμφω,
οὐδ' ὁμόθεν. νόσφιν γὰρ ἀλευάμενοι κατένασθεν
Αἰγίνης, ὅτε Φῶκον ἀδελφεὸν ἐξενάριξαν
ἀφραδίῃ. ΤΕΛΑΜΩΝ μὲν ἐν Ἀτθίδι νάσσατο νήσῳ·
ΠΗΛΕΥΣ δὲ Φθίῃ ἐνὶ δώματα ναῖε λιασθείς.
Τοῖς δ' ἔπι Κεκροπίηθεν ἀρήϊος ἤλυθε ΒΟΥΤΗΣ,

80. ὁμοίως Reg. A.

81. δηϊωθῆναι vulg. Verum dant Steph. Brunck. et recentiores.

82. ὣς dedit Beck., sine causa; ὡς *enim* aptum sensum praebet, modo punctum, quo vulgo post δῃωθῆναι distinguitur, tollatur, quod feci. — κακῶν vulg. κακὸν Regg. A. C. D. E. et legisse videtur Schol., quod post Brunck. et Beck. recepi. Nam possit quidem et vulgata explicari, ita: οὐκ ἀνθρώποισι μήκιστόν ἐστι, κακῶν ἐπαυρεῖν, *non valde remotum ab hominibus est in mala incidere*, sed neque μήκιστον hoc sensu accipi posse puto, neque cum reliquis hoc satis apte cohaeret. Sed neque is verus est sensus, quem dant scholia et agnoscit Brunckius: οὐκ ἔστι μέγιστον κακὸν, οὗ μὴ ἐπαυρεῖν τοῖς ἀνθρώποις συμβαίνει, id enim Apollonii verbis inesse omnino non potest. Nam κακὸν μήκιστον ἐπαυρεῖν nihil esse potest nisi, ut totidem verbis exprimam: *malum acceptu longinquissimum* seu *remotissimum*. Sensus igitur est: *nullum est malum hominibus adeo in longinquo situm, quin in illud incidere possint.* Vix operae pretium est, monere, loci obscuritate ad emendandum impulsum esse Wakefield., qui ἐπαυρεῖν in ἀπαυδᾶν, κἀκείνους in κἀκεῖνοι mutandum putavit.

86. ἐπὶ Hoelzlin. Shaw., quam non debebat vulgatam lectionem vocare Beck.—Ἴφικλος suprascr. in Guelph.

87. ἀπηνέες Guelph.

89. δωρεᾶς Vat. D.

90. In ed. Steph. hic versus typothetae culpa omissus est. — δ' omittit Reg. A.

91. νόσφι Brunck. ex Reg. E. inepte.

93. ἀφραδίᾳ Schol. Paris.

94. δ' αὖ Φθίῃ Vind. Vrat. — ἔνι vulg. ἐνὶ scribendum et cum verbo jungendum esse, ne praepositio a substantivo male caesura disjungatur, recte monuit Gerhard. lectt. Apoll. p. 132. — διασθεὶς Vat. D. — Schol. ad Pind. Nem. V, 25 hunc versum ita laudat: Πηλεὺς δ' ἐν Φθίῃ ἐριβώλακι ναῖε λιασθείς, quae varietas aut ad priorem carminis recensionem referenda est, aut Scholiastae debetur, qui versum e memoria citavit, obversantibus locis Homericis, quemadmodum de eodem Peleo Orph. Argon. v. 132 ὃς Δολόπεσσιν ἄνασσεν ἐνὶ Φθίῃ ἐριβώλῳ.

95. De ἔπι idem quod v. 86 monendum est. — τοῖσι δ' ἐπὶ Κεκροπήϊος Schol. Paris.

παῖς ἀγαθοῦ Τελέοντος ἐϋμμελίης τε ΦΑΛΗΡΟΣ.
Ἄλκων μιν προέηκε πατὴρ ἑός· οὐ μὲν ἔτ' ἄλλους
γήραος υἷας ἔχεν βιότοιό τε κηδεμονῆας.
ἀλλά ἑ τηλύγετόν περ ὅμως καὶ μοῦνον ἐόντα
πέμπεν, ἵνα θρασέεσσι μεταπρέπῃ ἡρώεσσιν.
Θησέα δ', ὃς πέρι πάντας Ἐρεχθείδας ἐκέκαστο,
Ταιναρίην ἀΐδηλος ὑπὸ χθόνα δεσμὸς ἔρυκεν,
Πειρίθῳ ἑσπόμενον κοινὴν ὁδόν. ἦ τέ κεν ἄμφω
ῥηΐτερον καμάτοιο τέλος πάντεσσιν ἔθεντο.
ΤΙΦΥΣ δ' Ἀγνιάδης Σιφαέα κάλλιπε δῆμον
Θεσπιέων, ἐσθλὸς μὲν ὀρινόμενον προδαῆναι
κῦμ' ἁλὸς εὐρείης, ἐσθλὸς δ' ἀνέμοιο θυέλλας
καὶ πλόον ἠελίῳ τε καὶ ἀστέρι τεκμήρασθαι.
αὐτή μιν Τριτωνὶς ἀριστήων ἐς ὅμιλον
ὦρσεν Ἀθηναίη, μετὰ δ' ἤλυθεν ἐλδομένοισιν.
[αὐτὴ γὰρ καὶ νῆα θοὴν κάμε· σὺν δέ οἱ Ἄργος
τεῦξεν Ἀρεστορίδης κείνης ὑποθημοσύνῃσιν.

96. ἐϋμελίης Regg. A. B. C. D. E. Vind. Vrat. Vat. B. Flor. Brub. Eadem corruptela in Homeri quoque libris frequens est, quam non recipere debebant Brunck. et Beck.

98. εἶχε Reg. D., unde perperam ἔχε Brunck. κηδεμονίας Flor.

100. θρασσέεσσι Vind. — μεταπρέποι vulg., sed μεταπρέπῃ Reg. E. et, quod eodem ducit, μεταπρέπει Regg. A. C. Vind. Vrat. Non igitur dubitavi, sensu suadente, conjunctivum restituere, qui jam nemini soloecus videbitur, ut visus est Brunckio. Vid. quae ad v. 17 monita sunt.

101. περὶ vulg. Tacite correxit Brunck., quem male non imitatus est Beck. ut v. 138. — Ἐρεχθεΐδας Brunck. et Beck. ut v. 58.

103. ἑσπόμενος Reg. A. — κεινὴν vulg. κείνην Flor. Brub. utramque lectionem sensui parum aptam etiam Schol. exhibent. κοινὴν conjecit Spanh. ad Callim. hymn. in Jovem v. 59, quod ex Regg. D. E. receperunt Brunck. et Beck. Idem vulgatae suprascriptum est in Guelph., et propter sensus praestantiam praeferendum videtur.

105. Ἀγνιάδης Vatt. C. D. v. Gesner. ad Orph. Arg. 120. Ἀγννάδης Guelph. — σιφαίεα Vat. B. ἐϋφαέα Guelph.

106. θεσπεσίων Guelph.

108. τεκμήρεσθαι Vat. D. a manu secunda.

110. ἐλδομένοισι Guelph.

111. Mirum in hoc et tribus qui sequuntur versibus neminem praeter Beckium offendisse, quum eos quam ineptissime hoc loco legi quivis intelligere facile possit. Facilius tuleris, si supra ante v. 20 legerentur, quamquam et illi loco, ut nunc legitur, parum apti forent. Vero igitur simillimum est, in priore recensione poetam de navi aedificata paulo fusius locutum esse, et ex illa enarratione hos quatuor versus superesse, qui deinde propter pronomen αὐτὴ, quod ad praecedens Minervae nomen referri debet, huic loco assuti sunt. Hic vero eos abesse debere vel scholia docent, quae eos ne verbo quidem tangunt. Propterea non dubitavi uncis eos includere.

112. Ἀλεκτορίδης reponi voluit Meziriac. ad Ovid. Epist. VI, 65. cf. Burmann. Catal. Argonaut. p. CI ed. Harles. Heyn. ad Apollod. II, 1, 3. Sturz. ad Pherecyd. p. 174 et Tzetz. ad Lycophr. 883, qui hunc Nostri locum respicit. — ὑπὸ θημοσύνῃσιν Flor. ὑπὸ θυμοσύνῃσιν Brub.

τῷ καὶ πασάων προφερεστάτη ἔπλετο νηῶν,
ὅσσαι ὑπ' εἰρεσίῃσιν ἐπειρήσαντο θαλάσσης.]
ΦΛΙΑΣ δ' αὖτ' ἐπὶ τοῖσιν Ἀραιθυρέηθεν ἵκανεν,
ἔνθ' ἀφνειὸς ἔναιε Διωνύσοιο ἕκητι,
πατρὸς ἑοῦ, πηγῇσιν ἐφέστιος Ἀσωποῖο.
Ἀργόθεν αὖ ΤΑΛΑΟΣ καὶ ΑΡΗΙΟΣ, υἷε Βίαντος,
ἤλυθον ἴφθιμός τε ΛΕΩΔΟΚΟΣ, οὓς τέκε Πηρὼ
Νηληΐς· τῆς δ' ἄμφι δύην ἐμόγησε βαρεῖαν
Αἰολίδης σταθμοῖσιν ἐν Ἰφίκλοιο Μελάμπους.
Οὐδὲ μὲν οὐδὲ βίην κρατερόφρονος ΗΡΑΚΛΗΟΣ
πευθόμεθ' Αἰσονίδαο λιλαιομένου ἀθερίξαι.
ἀλλ' ἐπεὶ ἄϊε βάξιν ἀγειρομένων ἡρώων,
νεῖον ἀπ' Ἀρκαδίης Λυρκήϊον Ἄργος ἀμείψας
τὴν ὁδὸν, ᾗ ζωὸν φέρε κάπριον, ὅς ῥ' ἐνὶ βήσσης
φέρβετο Λαμπείης, Ἐρυμάνθιον ἂμ μέγα τῖφος·
τὸν μὲν ἐνὶ πρώτῃσι Μυκηναίων ἀγορῇσιν
δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεθήκατο νώτων·

114. *ὑπειρεσίῃσιν* vulg. *ὑπ' εἰρεσίῃσιν* Regg. A. D. E. Vatt. A. B. C. D. Guelph. Brunck. Beck. recte. Eadem varietas est Orph. Argon. v. 670 et 706.

115. *Φλείας* vulg. *Φλοίας* Regg. A. et B. vel C. et Schol. Paris. *Φιλίας* Guelph. *Φλίας* Vat. B. a manu prima et Reg. D., quod verum esse docet Orph. Arg. v. 195 et Pausan. II, 12, ubi hic versus cum proximis duobus laudatur. Inde Brunck. et Beck. — *δ' αὖ* Schol. Paris. *αὖτ'* omisso *δ'* Pausan. l. c.

116. *Διωνύσσοιο* Guelph.

117. *Ἀσσωποῖο* Reg. A.

119. *Πειρὼ* Vat. D. *Πυρὼ* Reg. A. Guelph. Eadem varietas est in Orph. Arg. v. 150 et Eudoc. Violar. p. 221.

120. *ἀμφὶ* Flor. Brub.

121. Praepositionem caesura ab substantivo disjunctam recte excusat Gerhard. lectt. p. 133.

124. *ἐγειρομένων* Reg. A. Vrat.

125. *Λυγκήϊον* vulg., quod a Lynceo derivant Scholia, probante Brunckio. Sed ab eo Argos cognominatum apud nullum alium scriptorem reperimus; oppidulum tantum quoddam ab eo Lynceae nomen accepisse tradit Pausan. II, 25, quod et ipsum mox in Lyrceam transierit; ab eo vero Argos cognominari non potuit. Contra Scholia aliam lectionem exhibent *Λυρκήϊον* (in Paris. male legitur *Λυκήϊον*), quod cognomen acceperit Argos non ab oppidulo illo (quod merito ridiculum videtur Brunckio, qui non satis accurate Scholiastae verba inspexisse videtur) sed a monte Lyrceo, quem Stephanus quoque Byz. ex Callimachi Hecale affert. Ab hoc vero monte revera Argos cognominatum esse, docent et *Lyrceïa arva* apud Ovid. Metam. I, 598 (nam *Lyrceïa liquerat arva* ex Vatic. legendum videtur) et *Lyrceia tellus* apud Valer. Flacc. IV, 355. Vid. Interpp. ad hh. ll. Praeterea ipsum hoc adjectivum *Λυρκήϊος* adfert Steph. Byz. s. v. *Λύρκειον*. Quare non dubitavi lectionem, a Gerhardio quoque p. 19 probatam, in textum recipere.

127. *ἂν μέγα* Reg. A. et Vind., sed vulgatum *ἀμμέγα* margini adscriptum, cujus loco *ἂμ μέγα* scripsi, ut *ἂμ πέλαγος* et similia.

128. *πρώτοισι* Reg. A. Vind. Vrat. Flor. quae confusio est frequentissima.

129. *μεγάλων ἀπεσείσατο νώτων* praebet Simplicius in Empedoclis et Parmenidis Fragm. ed. Amad. Peyron.

αὐτὸς δ' ᾗ ἰότητι, παρὲκ νόον Εὐρυσθῆος,
ὡρμήθη· σὺν καί οἱ Ὕλας κίεν, ἐσθλὸς ὀπάων,
πρωθήβης, ἰῶν τε φορεὺς φύλακός τε βιοῖο.
Τῷ δ' ἔπι δὴ θείοιο κίεν Δαναοῖο γενέθλη,
ΝΑΥΠΛΙΟΣ. ὃς γὰρ ἔην Κλυτονήου Ναυβολίδαο·
Ναύβολος αὖ Λέρνου· Λέρνον γε μὲν ἴδμεν ἐόντα
Προίτου Ναυπλιάδαο· Ποσειδάωνι δὲ κούρη
πρίν ποτ' Ἀμυμώνη Δαναῒς τέκεν εὐνηθεῖσα
Ναύπλιον, ὃς πέρι πάντας ἐκαίνυτο ναυτιλίῃσιν.
ΙΔΜΩΝ δ' ὑστάτιος μετεκίαθεν, ὅσσοι ἔναιον
Ἄργος, ἐπεὶ δεδαὼς τὸν ἑὸν μόρον οἰωνοῖσιν
ἤϊε, μή οἱ δῆμος ἐϋκλείης ἀγάσαιτο.
οὐ μὲν ὅγ' ἦεν Ἄβαντος ἐτήτυμον, ἀλλά μιν αὐτὸς
γείνατο κυδαλίμοις ἐναρίθμιον Αἰολίδῃσιν
Λητοΐδης· αὐτὸς δὲ θεοπροπίας ἐδίδαξεν,

p. 16, quod magnopere arrisit Schaefero praef. ad Apollon. p. XIII sqq., qui hanc lectionem ad posteriorem carminis recensionem pertinere eandemque confirmari arbitratur verbis Schol.: διὰ δὲ τοῦ ἀπεθήκατο τοῦ βαστάζοντος ἐπιδείκνυται ἡ δύναμις, ὅτι εὐχερῶς. Sed ex his nihil colligi posse, recte jam monuit Gerhard. lectt. p. 69, aptissima enim est illa explicatio verbo ἀπεθήκατο, nam id ipsum maximi roboris est, gravissimum onus non raptim abjicere, quo celerius eo libereris, sed sensim deponere. Aliud vero argumentum pro Schaeferi sententia afferri potest probabilius. Quum enim in altera carminis recensione ab Apollonio propter simultatem, quae ipsi cum Callimacho intercedebat, multa immutata esse constet, quae Callimacheis similia videri potuissent (v. Gerhard. p. 7 sqq.), potuit et illud ἀπεθήκατο mutare propter versum Callimacheum H. in Jov. 15:

ἔνθα σ' ἐπεὶ μήτηρ μεγάλων ἀπεθήκατο κόλπων,

et revera mutasse probaverit aliquis ex Nonno XI, 217:

ἡβητὴν προκάρηνον ἑῶν ἀπεσείσατο νώτων.

Sed supersunt etiamnunc multa in Apollonio Callimacheis similia, v. Gerhard. p. 8 sq., et versus ille Nonni nihil probat, nisi in altera utra recensione ἀπεσείσατο lectum esse, quod certissimum est. Quare in librorum lectione acquievi.

130. δηιότητι Vind.

132. πορφεὺς Guelph. (teste Piersono, nam Hoerstel. nihil ad hunc versum habet.)

133. Δαναοῖο κίε Vrat. et Vind. a manu prima.

134. ἡ γὰρ vulg. sensu non apto. ᾗ γὰρ Guelph., quod ad γενέθλη referendum ineptissime recepit Hoerstel. ὃς γὰρ Regg. A. E. Vrat. Vind., quod cum Beckio recepi.

136. Ναυπλίδαο Vatt. A. B. C. D. Vind. Vrat., omisso, ut saepe, Α ante Δ. Sic etiam cod. (Med.) apud Dorvill. Vann. crit. p. 377.

138. περὶ Guelph. vid. v. 101. — ἐκαίνετο Vat. B. ἐκέννυτο Flor.

140. οἰωνοῖσι Guelph. Vind.

141. *Ne populus ipsi propter gloriam deficientem indignaretur.* cf. Aeschyl. Choeph. v. 198 et quae ibi monuimus.

143. Αἰολίδῃσι scripsit Brunck. consentientibus Vrat. et Vind., sed quam parum auctoritatis in hac re libris tribuendum sit, docet eorum lectio v. 140. 144. 147.

144. ἐδίδαξε Guelph. — αὐτὸν malle se dicit Beck., quod quomodo in mentem ei venire potuerit non intelligo, quum vel praecedens αὐτὸς

οἰωνούς τ' ἀλέγειν ἠδ' ἔμπυρα σήματ' ἰδέσθαι.
Καὶ μὴν Αἰτωλὶς κρατερὸν ΠΟΛΥΔΕΥΚΕΑ Λήδη
ΚΑΣΤΟΡΑ τ' ὠκυπόδων ὦρσεν δεδαημένον ἵππων
Σπάρτηθεν· τοὺς δ' ἥ γε δόμοις ἔνι Τυνδαρέοιο
τηλυγέτους ὠδῖνι μιῇ τέκεν· οὐδ' ἀπίθησεν
νισσομένοις· Ζηνὸς γὰρ ἐπάξια μήδετο λέκτρων.
Οἵ τ' Ἀφαρητιάδαι ΛΥΓΚΕΥΣ καὶ ὑπέρβιος ΙΔΑΣ
Ἀρήνηθεν ἔβαν, μεγάλῃ περιθαρσέες ἀλκῇ
ἀμφότεροι· Λυγκεὺς δὲ καὶ ὀξυτάτοις ἐκέκαστο
ὄμμασιν, εἰ ἐτεόν γε πέλει κλέος, ἀνέρα κεῖνον
ῥηϊδίως καὶ νέρθε κατὰ χθονὸς αὐγάζεσθαι.
Σὺν δὲ ΠΕΡΙΚΛΥΜΕΝΟΣ Νηλήϊος ὦρτο νέεσθαι,
πρεσβύτατος παίδων, ὅσσοι Πύλῳ ἐξεγένοντο
Νηλῆος θείοιο· Ποσειδάων δέ οἱ ἀλκὴν
δῶκεν ἀπειρεσίην, ἠδ' ὅ ττι κεν ἀρήσαιτο
μαρνάμενος, τὸ πέλεσθαι ἐνὶ ξυνοχῇ πολέμοιο.
Καὶ μὴν ΑΜΦΙΔΑΜΑΣ ΚΗΦΕΥΣ τ' ἴσαν Ἀρκαδίηθεν,
οἳ Τεγέην καὶ κλῆρον Ἀφειδάντειον ἔναιον,

necessario nominativum repetitum flagitet; αὐτὸν vero admodum frigeret.

146. καὶ μὲν Schol. Paris.

147. ὦρσε Vat. B. Regg. C. D. E., quod male receperunt Brunck. Beck.

149. ἀπίθησε Brunck. et Beck. consentientibus Vind. et Vrat. vid. v. 143.

150. νεισομένοις vulg. νεισσομένοις Vind. Vrat. νισσομένοις Vat. B. Reg. D. Brunck. Beck. vid. v. 53.

151. Οἱ δ' ex conjectura dedit Beck., quia in hac heroum enumeratione semper δέ transitui inservit, nunquam τε. Sed in omnium librorum consensu nihil hic mutandum est, quum poeta hos Apharetiadas arctius cum praecedentibus Dioscuris jungere voluisse videatur, par fratrum cum pari. Simile quid innuere videtur Schol., cujus haec sunt verba: συνήκμασαν δὲ οὗτοι τοῖς Τυνδαρίδαις.

152. περιθαλπέες Reg. A. Vat B. Vind., sed hic in margine vulg. Memorabilis sane lectionis varietas

155. νέρθεν ὑπὸ χθονός praebet Schol. ad Aristoph. Plut. 210, quae lectio, ab ipso profecto Scholiasta profecta, cur adeo melior visa sit Brunckio, ut in textum eam receperit, non intelligo, quamquam eadem reperitur apud Suidam, ubi s. v. Λυγκέως legitur: καὶ ἔνερθεν ὑπὸ χθονός.

157. ὅσοι ἐν Πύλῳ Brunck. sine auctoritate, nam quod in plerisque codd. esse dicit ὅσοι Πύλῳ, id in solis Regiis esse potest (quamquam et de Reg. A. silet Ruhnk.), nam reliqui omnes vulgatam habent. In uno Reg. A. ἐν a secunda manu inter lineas insertum est, qua exigua auctoritate non recipere debebat lectionem versus quoque causa deteriorem.

161. Ἰφιδάμας marg. Vat. D. Eandem lectionem omnes libri habent in Orph. Argon. v. 151, ubi tamen recte nunc legitur Ἀμφιδάμας. Constanter enim hunc heroa Amphidamanta nominant Pausan. VIII, 4. Apollod. III, 9. Hygin. Fab. XIV. Schol. Ven. ad Il. II, 609, confusio vero nominum Amphidamas et Iphidamas est frequentissima, v. Hom. Il. XXIII, 87. Strab. T. II p. 486 ed. Tzsch. Tryphiod. v. 181.

162. Ἀμφιδάντειον Vind. — Respicit hunc versum Pausan. VIII, 4.

υἷε δύω Ἀλεοῦ· τρίτατός γε μὲν ἕσπετ' ἰοῦσιν
ΑΓΚΑΙΟΣ, τὸν μέν ῥα πατὴρ Λυκόοργος ἔπεμπεν,
τῶν ἄμφω γνωτὸς προγενέστερος. ἀλλ' ὁ μὲν ἤδη
γηράσκοντ' Ἀλεὸν λίπετ' ἂμ πόλιν ὄφρα κομίζοι,
παῖδα δ' ἑὸν σφετέροισι κασιγνήτοισιν ὄπασσεν.
βῆ δ' ὅ γε Μαιναλίης ἄρκτου δέρος ἀμφίτομόν τε
δεξιτερῇ πάλλων πέλεκυν μέγαν. ἔντεα γάρ οἱ
πατροπάτωρ Ἀλεὸς μυχάτῃ ἔγκρυψε καλιῇ,
αἴ κέν πως ἔτι καὶ τὸν ἐρητύσειε νέεσθαι.
  Βῆ δὲ καὶ ΑΥΓΕΙΗΣ, ὃν δὴ φάτις Ἠελίοιο
ἔμμεναι· Ἠλείοισι δ' ὅ γ' ἀνδράσιν ἐμβασίλευεν,
ὄλβῳ κυδιόων· μέγα δ' ἵετο Κολχίδα γαῖαν
αὐτόν τ' Αἰήτην ἰδέειν σημάντορα Κόλχων.
  ΑΣΤΕΡΙΟΣ δὲ καὶ ΑΜΦΙΩΝ Ὑπερασίου υἷες
Πελλήνης ἀφίκανον Ἀχαιΐδος, ἥν ποτε Πέλλης
πατροπάτωρ ἐπόλισσεν ἐπ' ὀφρύσιν αἰγιαλοῖο.
  Ταίναρον αὖτ' ἐπὶ τοῖσι λιπὼν ΕΥΦΗΜΟΣ ἵκανεν,
τόν ῥα Ποσειδάωνι ποδωκηέστατον ἄλλων

164. *Λυκόεργος* Vat. C.

165. *ἀμφοῖν* ed. Paris. v. Matthiae gr. gr. T. I. p. 263.

166. Quia Lycurgus ipse ab Orpheo Argon. v. 200 *πατὴρ γηραιὸς* vocatur, Schneiderus ad illum locum suspicatur, Orpheum hunc Apollonii locum ita scriptum invenisse: *ἀλλ' ὁ μὲν ἤδη γηράσκων κ. τ. λ.* Sed videtur potius Orpheus alteram genealogiam secutus esse, quam praebet Schol. Homeri supra laudatus, qui Ancaeum Alei filium facit, quemadmodum Apollod. l. c. eum Amphidamantis fratrem vocat. — *ἂν πόλιν* Vind., sed in marg. vulg. *ἀμπόλιν*, cujus loco dedi *ἂμ πόλιν*. — *κομίζῃ* vulg. *κομίζοι* Regg. A. B. C. D. E. Vatt. A. C. et B. a manu prima, Guelph. Vrat., quod librorum auctoritate permotus cum Brunck. et Beck. recepi.

167. *σφετερῄισι* Guelph.

168. *ἀμφεῖ τότε* cum glossa interlin. *ἐνεδέδυτο* Reg. A. Videtur librarius verbum, a quo *δέρος* penderet, desiderasse; sed male desideravit. Uberrime hoc dicendi genus illustravit Dorvill. ad Charit. p. 440 sqq. ed. Lips., ubi et nostrum locum tetigit p. 443. *Ἀμφίτομον* vero *πέλεκυν* frequentissime dicunt hujus generis poetae, vid. Merrick. ad Tryphiod. p. 241 ed. Wernick.

170. *ἐνέκρυψε* vulg. *ἐνέκρυψαι* Vind. *ἔγκρυψε* Guelph., quod verum videtur propter correptionem vitiosam, quam vulgata praebet, cujus unum exemplum afferri potest Hom. Od. V, 488 idque dubium, vid. Herm. ad Orph. p. 756. Spitzner. de vers. her. p. 92. Itaque quamquam ex uno libro recepi.—*καλειῇ* Med. Vrat. Flor. Brub. errore ubivis obvio. vid. IV, 1095.

171. *γ' ἐῤῥητύσειε* Guelph. *ἐρυτύσειε* Reg. A. *ἐρυτήσειε* Brub.

174. *ἵετο* Guelph. Brub. Steph.

179. *αὖ* Vind. Vrat. Schol. Paris.—*Πολύφημος* vulg. *Εὔφημος* Regg. A. B. C. D. E. Vind. Vrat. Brunck. Beck., quod vel sine libris reponendum erat ex Orph. Argon. v. 206. Maxim. *περὶ καταρχ.* v. 412, qui nostrum locum respexit. Confusa sunt eadem nomina apud Tzetz. ad Lycophr. v. 175.

180. *ποδωκειέστατον* Med. Vatt. B. C. Flor. Brub. Hoelzlin. *ποδωκηέστατον* Regg. A. B. C. D. E. Guelph. (errat enim Brunck.) Vatt. A. D. Vind. Vrat. Steph. Brunck. Beck.

Εὐρώπη Τιτυοῖο μεγασθενέος τέκε κούρη.
κεῖνος ἀνὴρ καὶ πόντου ἐπὶ γλαυκοῖο θέεσκεν
οἴδματος, οὐδὲ θοοὺς βάπτεν πόδας, ἀλλ' ὅσον ἄκροις
ἴχνεσι τεγγόμενος διερῇ πεφόρητο κελεύθῳ.
Καὶ δ' ἄλλω δύο παῖδε Ποσειδάωνος ἵκοντο·
ἤτοι ὁ μὲν πτολίεθρον ἀγαυοῦ Μιλήτοιο
νοσφισθεὶς ΕΡΓΙΝΟΣ, ὁ δ' Ἰμβρασίης ἕδος Ἥρης,
Παρθενίην, ΑΓΚΑΙΟΣ ὑπέρβιος· ἴστορε δ' ἄμφω
ἠμὲν ναυτιλίης, ἠδ' ἄρεος εὐχετόωντο.
Οἰνείδης δ' ἐπὶ τοῖσιν ἀφορμηθεὶς Καλυδῶνος
ἀλκήεις ΜΕΛΕΑΓΡΟΣ ἀνήλυθε ΛΑΟΚΟΩΝ τε,
Λαοκόων Οἰνῆος ἀδελφεὸς, οὐ μὲν ἰῆς γε
μητέρος· ἀλλά ἑ θῆσσα γυνὴ τέκε· τὸν μὲν ἄρ' Οἰνεὺς
ἤδη γηραλέον κοσμήτορα παιδὸς ἴαλλεν·
ὧδ' ἔτι κουρίζων περιθαρσέα δῦνεν ὅμιλον
ἡρώων. τοῦ δ' οὔ τιν' ὑπέρτερον ἄλλον ὀΐω
νόσφιν γ' Ἡρακλῆος ἐπελθέμεν, εἴ κ' ἔτι μοῦνον

182. *τῆνος ἀνὴρ* Guelph. teste Piersono Veris. p. 199 (silet enim Hoerstel.), qui id miro errore probum et antiquum esse judicat. — Obversatus poetae videtur locus Homericus Il. XX, 228 sq.

183. *κάμπτεν* Reg. A. *κάμπτε* Regg. B. C. D. E. ut videtur.

184. Maxim. v. 414 *ὁδῷ πεφορημένον ὑγρῇ.*

186. *πολίεθρον* Guelph.

187. *Ἰμβρησίης* Vind.

188. *Παρθενίης* vulg. *Παρθενίην* ex emendatione Brunckii cum Beckio dedi; quamquam enim vulgata eo defendi possit, quod et insula et Juno *Παρθενία* vocabatur, ineptum tamen foret, Junoni h. l. duo cognomina tribui.— Hunc locum respicit Tzetz. ad Lycophr. v. 890. — *ἴστορε* Guelph.

190. *Οἰνεΐδης* Brunck. Beck. vid. v. 58.— *τ'* Reg. A.

191. *ἀλκείης* vulg. *Ἀλθαίης* conjecit Holstenius, *ἀλκήεις* Arnald. lectt. gr. p. 236, idque praebent Regg. A. B. D. E., fortasse etiam C., Vatt. A. C. D. Guelph. (erravit enim Brunck.) Vind. Vrat. Sic cum Brunck. et Beck. scripsi.

195. *ὧδε* adeo non aptum est sensui, ut malim *ὃς δὲ*, quod quum in *ὁ δὲ* corruptum esset, facile metri causa in *ὧδε* transire potuit.

196. *ἄλλων* Vind.

197. *νόσφι* Guelph. — *ἐσελθέμεν* Regg. A. B. C. D. E. Vat. B. Vind. Vrat., quod a Brunckio et Beckio receptum sensu caret. Brunckius quidem quomodo locum intellexerit non addidit, Beckius vero ita eum latine reddidit, ut sensum perverterit. Est autem sensus satis perspicuus hic: *Meleagro neminem fortiorem, excepto Hercule, ad Argonautas accessurum fuisse puto, si unum amplius annum in patria remansisset.* Itaque *ἐσελθέμεν* tum demum ferri posset, si in praecedentibus de navi Argo sermo fuisset, ut subaudiri potuisset *εἰς τὴν ναῦν*; quod quum non sit, eam lectionem revocavi, quam Med. Guelph. Vatt. A. C. D. et edd. antiquae praebent. Ceterum ad infinitivum *ἐπελθέμεν* patet *ἂν* subaudiendum esse, quod tamen non ex conjectura intrudendum est, id quod voluit Schaeferus, qui Melett. critt. p. 61 *ἂν ἐλθέμεν* legendum putat. Ipse enim in apodosi, praecedente *εἰ* cum indicativo praeteriti, nonnunquam *ἂν* omitti, exemplis adstruxit Melett. critt. p. 55 sq. cf. Herm. ad Eur. Hecub. v. 1087. ad Aristoph.

αὖθι μένων λυκάβαντα μετετράφη Αἰτωλοῖσιν.
καὶ μήν οἱ μήτρως αὐτὴν ὁδὸν, εὖ μὲν ἄκοντι,
εὖ δὲ καὶ ἐν σταδίῃ δεδαημένος ἀντιφέρεσθαι,
Θεστιάδης ΙΦΙΚΛΟΣ ἐφωμάρτησε κιόντι.
Σὺν δὲ ΠΑΛΑΙΜΟΝΙΟΣ Λέρνου παῖς Ὠλενίοιο,
Λέρνου ἐπίκλησιν, γενεήν γε μὲν Ἡφαίστοιο·
τοὔνεκ' ἔην πόδε σιφλός· ἀτὰρ δέμας οὔ κέ τις ἔτλη
ἠνορέην τ' ὀνόσασθαι, ὃ καὶ μεταρίθμιος ἦεν
πᾶσιν ἀριστήεσσιν Ἰήσονι κῦδος ἀέξων.

Nub. v. 1344. Wunderl. ad Aesch. in Ctes. c. 106 et Add. p. 222. Idque fit, *quum significatur eventus veritati proximus et jam certissimus, nisi ex conditione esset aptus*, ut verbis utar Reisigii de vi et usu ἄν part. p. 139. Sic apud Nostrum omissum est I, 253. Apud infinitivum vero ἄν eodem jure, quo apud indicativum, omitti posse nemo negabit, cujus rei exempla praebent ipse Apollonius III, 584 sq. οὐδὲ γὰρ Αἰολίδην Φρίξον— δέχθαι—, εἰ μή οἱ Ζεὺς αὐτὸς ἀπ' οὐρανοῦ ἄγγελον ἧκεν. Xenoph. Anab. V, 2, 31, ubi v. Krüger. Plat. Apol. c. 22 ἆρ' οὖν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ ἔπραττον τὰ δημόσια; Tac. Agr. c. 4 *Se in prima juventute studium philosophiae acrius hausisse, ni prudentia matris incensum ac flagrantem animum coercuisset.* ibid. c. 13 *Agitasse Caesarem de intranda Britannia satis constat, ni velox ingenio, mobilis poenitentia, et ingentes adversus Germaniam conatus frustra fuissent.* Ita supra pro *accessurum fuisse* scribere potuissemus *accessisse.* — εἴ γ' ἔτι reponi olim voluit Schaefer. probante Herm. ad Viger. p. 813, sed retractavit uterque sententiam suam, hic ad Vig. p. 950, ille Melett. critt. p. 61, et p. 50 sq. particularum εἴ κε conjunctarum exempla dedit.

202. πάϊς tacite correxit Brunck., invitis libris, neque causa est mutandi. Apollonium enim non magis quam Homerum contracta hujus vocabuli forma abstinuisse docent loci I, 96 παῖς ἀγαθοῦ Τελέοντος. II, 1047 τοῖσιν δ' Ἀμφιδάμας μυθήσατο, παῖς Ἀλεοῖο. Distrahitur vero in duas syllabas, ubi posterior producitur I, 224. 570. III, 866. IV, 905. Quod ubi non fit, vocabuli distrahendi non video causam, in quo consentientes habeo Wolf. praef. ad Hom. p. LXV s. Herm. ad Orph. Arg. v. 864. Itaque παῖς omnibus libris adsentientibus restituendum est III, 361 Φρίξος δ' αὖτ' Ἀθάμαντος ἔην παῖς Αἰολίδαο. itemque I, 67 ἠδὲ καὶ Εὐρυδάμας Κτιμένου παῖς· ἄγχι δὲ λίμνης. IV, 460 εἷο κασιγνήτης ἀταλὸς παῖς οἷα χαράδρης. 912 ἀλλὰ καὶ ὣς Τελέοντος ἐῢς παῖς, οἷος ἑταίρων. 1762 Σπάρτην Αὐτεσίωνος ἐῢς παῖς ἤγαγε Θήρας. Notandum in his versibus omnibus vocabulum παῖς in quarti pedis thesi collocatum esse. Duo sunt loci, in quibus res dubia est, quia contractum παῖς aliquid de numerorum suavitate videtur detrahere II, 703 μελπόμενοι· σὺν δέ σφιν ἐῢς πάϊς Οἰάγροιο. III, 241 ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάϊς Αἰήταο, ibique hoc retinendum duxi. Secus res se habet in poetis recentioribus, qui contractum παῖς prorsus respuerunt, v. Herm. Add. ad Orph. p. XIV sq. Wernick. ad Tryphiod. p. 185.

204. πόδα Vulg. πόδας Med. ποσὶ Reg. D. πόδε Regg. A. B. C. E. Vind. Vrat., quod recte praetuleruntBrunck. Beck. — De voce σιφλὸς v. Ruhnk. epist. crit. p. 253. — οὐκέτις Reg. A. οὐκ ἔτις Vind. Flor. οὐ δέ τις Guelph. οὐκέτι σ' Brub. οὐχ ἔ τις sine ulla auctoritate nisi Stephani et Hoelzlini Brunck. Beck. οὔ κέ τις ἔτλη, in quo plurimi libri consentiunt, nihil prorsus offensionis habet (v. Matthiae gr. gr. §. 598), ideoque revocavi.

205. ἦε tacite dedit Brunck.

206. ἀριστήεσσι Vrat.

Ἐκ δ' ἄρα Φωκήων κίεν ΙΦΙΤΟΣ Ὀρνυτίδαο
Ναυβόλου ἐκγεγαώς· ξεῖνος δέ οἱ ἔσκε πάροιθεν,
ἦμος ἔβη Πυθῶδε θεοπροπίας ἐρεείνων
ναυτιλίης· τόθι γάρ μιν ἑοῖς ὑπέδεκτο δόμοισιν.
ΖΗΤΗΣ αὖ ΚΑΛΑΙΣ τε Βορήϊοι υἷες ἵκοντο,
οὕς ποτ' Ἐρεχθηῒς Βορέῃ τέκεν Ὠρείθυια
ἐσχατιῇ Θρήκης δυσχειμέρου· ἔνθ' ἄρα τήν γε
Θρηΐκιος Βορέης ἀνερείψατο Κεκροπίηθεν,
Ἰλισσοῦ προπάροιθε χορῷ ἔνι δινεύουσαν.
καί μιν ἄγων ἕκαθεν, Σαρπηδονίην ὅθι πέτρην
κλείουσίν, ποταμοῖο παρὰ ῥόον Ἐργίνοιο,
λυγαίοις ἐδάμασσε περὶ νεφέεσσι καλύψας.
τὼ μὲν ἐπ' ἀκροτάτοισι ποδῶν ἑκάτερθεν ἐρεμνὰς
σεῖον ἀειρομένω πτέρυγας, μέγα θάμβος ἰδέσθαι,
χρυσείαις φολίδεσσι διαυγέας· ἀμφὶ δὲ νώτοις
κράατος ἐξ ὑπάτοιο καὶ αὐχένος ἔνθα καὶ ἔνθα
κυάνεαι δονέοντο μετὰ πνοιῇσιν ἔθειραι.
Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάϊς μενέαινεν ΑΚΑΣΤΟΣ
ἰφθίμου Πελίαο δόμοις ἔνι πατρὸς ἐῆος

207. Ὀρνιτίδαο vulg., veram lectionem, quam dedit Brunck., praebent Vatt. A. B. C. D. Guelph. Vind. Vrat. Regg. A. (teste Ruhnk.) B. C. D. E.

211. Ζήτης δ' αὖ ex uno Reg. D. receperunt Brunck. et Beck. Causam non video, pariter enim supra v. 118 αὖ solum absque particula δέ transitum facit.—ἰκέσθην Etym. M. p. 411, 5.

212. Εὐρειθυία Reg. A. Vind. Ὠριθυία Flor. Brub. — Respexit hunc versum Maxim. περὶ καταρχ. v. 417 οὓς ὑποκυσαμένη ῥαδινὴ τέκεν Ὠρείθυια.

213. ἐσχατιαῖς Guelph.

214. ἀνερίψατο vulg. ἀνηρείψατο Vatt. A. C. D. ἀναρείψατο Vind. ἀνεθρέψατο Guelph. ἀνερείψατο Regg. A. B. C. D. E. Vat. B. Vrat. Brunck. Beck.

215. Εἰλισσοῦ Regg. A. C. E. Κηφισσοῦ var. lect. in marg. Reg. A.— προπάροιθεν Vind. Vrat.

216. πέτριν Vrat.

217. κλείουσι Brunck., ut solet, ex solis Regg. C. E. Obsecutus est Beck. — παραὶ Vatt. A. C. Vind. Vrat., quae frequens est librariorum ad metrum sublevandum correctio.

218. De productione ultimae in περί v. Spitzn. de vers. her. p. 46. — καλύψαι Vind.

219. ἐρυμνὰς Guelph.

220. θαῦμα Reg. A. et Vind., sed hic in marg. vulg. habet.

221. χρυσείοις Vind. Vrat.

222. ὑπάτου Schol. Paris.

225. ἐῆος vulg. ἑοῖο Guelph., quod receperunt Brunck. Beck. Hoerstel. Sed quum in illo et libri omnes consentiant et Schol. Paris., non dubitavi rescribere ἐῆος (cf. Heyn. ad Il. I, 393. Buttm. Lexilog. I. p. 85 sqq. p. 92), quod sensum aptissimum praebet, recte interpretante Schol. Paris.: ὡς δηλονότι τοῦ πατρὸς πείθοντος μένειν. Vera lectio in ἐῆος mutata est ex sententia Grammaticorum, qui hunc pronominis genitivum putabant, deinde ἑοῖο scriptum est ut in locis Homericis, quos affert Buttmannus, a docto quodam grammatico, qui illam formam improbabat. Quare non opus est hic de duplice recensione cogitare cum Gerhard. lectt. p. 93 sq., qui er-

μιμνάζειν; ΑΡΓΟΣ τε θεᾶς ὑποεργὸς Ἀθήνης·
ἀλλ' ἄρα καὶ τῷ μέλλον ἐνικρινθῆναι ὁμίλῳ.
  Τόσσοι ἄρ' Αἰσονίδῃ συμμήστορες ἠγερέθοντο.
τοὺς μὲν ἀριστῆας ΜΙΝΥΑΣ περιναιετάοντες
κίκλησκον μάλα πάντας, ἐπεὶ Μινύαο θυγατρῶν
οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο
ἔμμεναι· ὣς δὲ καὶ αὐτὸν Ἰήσονα γείνατο μήτηρ
Ἀλκιμέδη, Κλυμένης Μινυηΐδος ἐκγεγαυῖα.
  Αὐτὰρ ἐπεὶ δμώεσσιν ἐπαρτέα πάντα τέτυκτο,
ὅσσαπερ ἐντύνονται ἐπαρτέες ἔνδοθι νῆες,
εὖτ' ἂν ἄγῃ χρέος ἄνδρας ὑπεὶρ ἅλα ναυτίλλεσθαι,
δὴ τότ' ἴσαν μετὰ νῆα δι' ἄστεος, ἔνθα περ ἀκταὶ
κλείονται Παγασαὶ Μαγνήτιδες· ἀμφὶ δὲ λαῶν
πληθὺς ἐπερχομένων ἄμυδις θέεν· οἱ δὲ φαεινοὶ
ἀστέρες ὣς νεφέεσσι μετέπρεπον· ὧδε δ' ἕκαστος
ἔννεπεν εἰσορόων σὺν τεύχεσιν ἀΐσσοντας.
  „Ζεῦ ἄνα, τίς Πελίαο νόος; πόθι τόσσον ὅμιλον
„ἡρώων γαίης Παναχαιΐδος ἔκτοθι βάλλει;
„αὐτῆμάρ κε δόμους ὀλοῷ πυρὶ δῃώσειαν

rat etiam, quum ἑοῖο hic *tui* significare putat.

227. τὸ Vind. — ἐνικριθῆναι Vatt. A. B. D. Guelph. Vind. Vrat. ut v. 48.

229. περιναιετάοντας vulg. περιναιετάοντε Vind. περιναιετάοντες codd. reliqui omnes, quod jam ex conjectura dederat Hoelzlin. Sic recte Brunck. Beck.

230. πάντες Guelph.

232. ὡς vulg., quod tacite correxit Brunck. — Ἰάσονα Vind. Vrat.

233. Μινυυΐδος Flor.

234. δμώεσσι Vrat. — ἐπάρμενα ex conjectura dedit Brunck., ne idem vocabulum duobus continuis versibus recurrat, sed nihil hac repetitione apud quosvis scriptores frequentius. Vid. quos laudavi ad Aesch. Choeph. v. 236, quibus add. Ernesti opusc. philol. p. 132. Weichert. dissert. de versibus aliquot Virgilii injuria suspectis p. 95 sq. Jahn. ad Virg. Aen. I, 315. et Spitzner. Observv. in Quint. Smyrn. p. 242 sq., qui ex Nostro affert I, 375. 6. IV, 1245. 6. add. II, 602. 5. 1107. 8. III, 294 s. IV, 1522 s. — πάντα τέτυκτο pro vulg. πάντ' ἐτέτυκτο ex conjectura dedi. vid. ad II, 1072.

235. ἐντίνονται Vind. — ἐπαρτέα Reg. A.

239. πληθὺς ultima brevi adhibitum est contra usum Homericum, a quo nonnisi recentissimi poetae epici recesserunt, vid. Spitzner. de vers. her. p. 67 s. Wernick. ad Tryphiod. v. 322. In Apollonio igitur omnium minime hoc admittendum videtur, nam quem alterum locum affert Spitzner., I, 515, eum corruptum esse infra videbimus. Itaque non dubitandum est, quin locus emendandus sit, quod facile fieri poterit, aut πλῆθος ἐπερχομένων scribendo, aut πληθὺς ἐρχομένων, quod placet Wernickio. Sed quum incertum sit, utrum praestet, nihil mutare malui. — θέον Reg. A. — φαειναὶ ex errore typoth., ut videtur, in ed. Hoelzlin., unde migravit in ed. Shaw.

242. In usu vocabuli πόθι ita offendit Slothouwer. in Act Soc. Traj. T. III p. 162, ut τό τε vel τί δὲ legendum putaret, sed. v. IV, 1251. cf. Seidler. ad Eur. Troad. v. 3.

244. αὐτῆμαρ καὶ δόμους Med.

„Αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρος ἐγγυαλίξῃ.
„ἀλλ' οὐ φυκτὰ κέλευθα, πόνος δ' ἄπρηκτος ἰοῦσιν.“
Ὣς φάσαν ἔνθα καὶ ἔνθα κατὰ πτόλιν· αἱ δὲ γυναῖκες
πολλὰ μάλ' ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον,
εὐχόμεναι νόστοιο τέλος θυμηδὲς ὀπάσσαι.
ἄλλη δ' εἰς ἑτέρην ὀλοφύρετο δακρυχέουσα.
„Δειλὴ 'Αλκιμέδη, καὶ σοὶ κακὸν ὀψέ περ ἔμπης
„ἤλυθεν, οὐδ' ἐτέλεσσας ἐπ' ἀγλαΐῃ βιότοιο.
„Αἴσων αὖ μέγα δή τι δυσάμμορος. ἦ τέ οἱ ἦεν
„βέλτερον, εἰ τὸ πάροιθεν ἐνὶ κτερέεσσιν ἐλυσθεὶς
„νειόθι γαίης κεῖτο, κακῶν ἔτι νῆϊς ἀέθλων.
„ὡς ὄφελεν καὶ Φρίξον, ὅτ' ὤλετο παρθένος Ἕλλη,
„κῦμα μέλαν κριῷ ἅμ' ἐπικλύσαι· ἀλλὰ καὶ αὐδὴν
„ἀνδρομένην προέηκε κακὸν τέρας, ὥς κεν ἀνίας
„'Αλκιμέδῃ μετόπισθε καὶ ἄλγεα μυρία θείη.“
Αἱ μὲν ἄρ' ὧς ἀγόρευον ἐπὶ προμολῇσι κιόντων.
ἤδη δὲ δμῶές τε πολεῖς δμωαί τ' ἀγέροντο·
μήτηρ δ' ἀμφ' αὐτὸν βεβολημένη. ὀξὺ δ' ἑκάστην
δῦνεν ἄχος· σὺν δέ σφι πατὴρ ὀλοῷ ὑπὸ γήρᾳ

Flor. Ald. ex errore frequentissimo. *αὐτῆμαρ δὲ δόμους* Brub. *αὐτῆμάρ κε δόμους* Steph. et sic codd. omnes, unde recte Brunck. Beck.—*δηϊώσειαν* Vatt. C. D. Hoelzlin. Shaw.

245. *μὴν* Vind.—*δέρας* Vatt. C. D. Reg. C. Flor. Brub. Hoelzlin. Shaw. *δέρος* Regg. A. B. D. E. Vatt. A. B. Vind. Guelph. Vrat. Steph., quod cum Brunck. et Beck. recepi.

246. *ἄπρηκτος difficilis* v. Ruhnk. ep. crit. p. 281. Non video igitur, quid ominosi hoc vocabulum habere videatur Brunckio, quare magis ipsi placeat *ἀμέγαρτος*. Ceterum ille loci sensum recte ita explicavit: *Aeetem vi cogent, ut sibi vellus tradat, si ad eum pervenerint. Sed illuc perveniendum est. Quantumlibet animi et corporis robore praestent, non effugient, quin longissimum iter faciendum sit, et iter facientibus difficillimi perferendi sint labores.*

250. *ὀλοφύρατο* Vind. Vrat.

251. *δειλὸς* Guelph.

252. *ἐτέλεσας* Flor.

253. Hic versus in Vat. B. ita legitur: *Αἴσονα δ' αὖ μέγα μοῖρα δυσάμμορος ἤχθετο πάντων*, quae quin sit prioris recensionis lectio, dubitari vix potest, a librario enim profectam esse quis putet, si vel exquisitum genitivi *πάντων* usum consideraverit. In *βέλτερον*, quod deinde nude positum est omisso verbo, non offendendum est, eodem enim modo legitur Hom. Od. VI, 282, sed mirus est accusativus *Αἴσονα*, quum *ἄχθεσθαι* vi intransitiva adhibitum cum dativo construi soleat, ut Hom. Od. XIV, 366. Callim. H. in Cer. v. 32.

254. *τὸ πάροιθεν* cum Vrat. Beck. scripsi, quum vulgo in unum verbum jungatur. — *ἐλισθεὶς* Vat. B. eadem varietate, quae conspicua est etiam Hom. Il. XXIII, 393. XXIV, 510. Oppian. Cyneg. III, 418. Tryphiod. v. 262, ubi vid. quae monuit Wernick.

256. *ὧς* dedit Beck. lectore non monito, sine causa.

258. Ad *ἀνδρομένην* in marg. Reg. A. legitur: *γρ. 'Αντιόπην, ἥτις ἦν μήτηρ τοῦ Αἰήτου.* — *προέοικε* Vat. D.

260. *ἐπὶ προμολῇσιν ἰόντων* Regg. A. E. *ἐπὶ προβολῇσι κιόντων* Vatt. C. D. *ὑπὸ προμολῇσι κιόντες* Guelph.

262. *βεβολομένη* Guelph.

ἐντυπὰς ἐν λεχέεσσι καλυψάμενος γοάασκεν.
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα κατεπρήϋνεν ἀνίας
θαρσύνων, δμώεσσι δ' ἀρήϊα τεύχε' ἀείρειν
πέφραδεν· οἱ δὲ σῖγα κατηφέες ἠείροντο.
μήτηρ δ' ὡς τὰ πρῶτ' ἐπεχεύατο πήχεε παιδὶ,
ὣς ἔχετο κλαίουσ' ἀδινώτερον, ἠΰτε κούρη
οἰόθεν ἀσπασίως πολιὴν τροφὸν ἀμφιπεσοῦσα
μύρεται, ᾗ οὐκ εἰσὶν ἔτ' ἄλλοι κηδεμονῆες,
ἀλλ' ὑπὸ μητρυιῇ βίοτον βαρὺν ἡγηλάζει,
καί ἑ νέον πολέεσσιν ὀνείδεσιν ἐστυφέλιξεν·
τῇ δέ τ' ὀδυρομένῃ δέδεται κέαρ ἔνδοθεν ἄτῃ,
οὐδ' ἔχει ἐκφλῦξαι τόσσον γόον, ὅσσον ὀρεχθεῖ·
ὣς ἀδινὸν κλαίεσκεν ἑὸν παῖδ' ἀγκὰς ἔχουσα
Ἀλκιμέδη, καὶ τοῖον ἔπος φάτο κηδοσύνῃσιν.
„Αἴθ' ὄφελον κεῖν' ἦμαρ, ὅτ' ἐξειπόντος ἄκουσα
„δειλὴ ἐγὼ Πελίαο κακὴν βασιλῆος ἐφετμὴν,
„αὐτίκ' ἀπὸ ψυχὴν μεθέμεν κηδέων τε λαθέσθαι,

264. ἐνπυπὰς Vind. Obversatus est Nostro versus Homericus Il. XXIV, 163 ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος.

265. ὅ Vrat. Brunck. Beck. male.

267. οἱ δὲ σῖγα codd. et edd. vett. omnes (σίγα Flor.) praeter ed. Paris., ubi ex correctione metrica, ut videtur, οἱ δαὶ σῖγα legitur, quod recepit Steph. Rara profecto productio syllabae brevis in thesi sequente σ, quam tamen ferendam judicarunt editores omnes, nec non Jacobs. Animadv. in Anthol. Gr. III, 3 p. 781 et Ind. in Not. crit. Anth. Palat. p. 1043, eandemque vitiosam quidem sed ab ipso Apollonio profectam arbitratur Gerhard. Lect. Apollon. p. 44 et p. 121. Sed tam turpe vitium rhythmicum in Apollonio non ferendum esse opinatus Wernick. ad Tryphiod. p. 399 versum ita corrigendum esse judicat: πέφραδεν. αἶψα δὲ σίγα κατηφέες ἠείροντο, duce codice Vat. B., in quo legitur πέφραδεν· οἱ δ' αἶψα κατ. Sed in hac emendatione aegre desideratur pronomen οἱ, quod non facile abesse potest, neque vitium metricum, quod vulgata lectio exhibet, tantum est, ut non eadem excusatione gaudeat, qua Homericum πολλὰ λισσομένῃ Il. V, 358 et similia, vid. Spitzn. de vers. her. p. 82. Ceterum lectio illa codicis Vaticani admodum memorabilis est, neque tamen inde cum Gerhardio conjecerim, prioris recensionis lectionem fuisse πέφραδεν· τοὶ δ' αἶψα, quod vitium committere Apollonius non potuit, sed aut αἶψα mero librarii errori debetur, αἶψα et σῖγα inter se confundentis, quod facile fieri potuit, aut antiquissima lectio ea fuit, quam conjectura invenit Wernickius, quod probare videtur Nonn. Dionys. XXXIV, 101 αἶψα δὲ σίγῃ Ἔννεπε. — ἠπείγοντο sine causa conjecit Wakefield.

268. ταπρῶτ' vulg. τὰ πρῶτ' Guelph. Vrat. Flor. Brub. Beck. recte.

269. ἀδινότερον Vind.

272. ἡγηλάζει male cum spiritu aspero in Brub. Steph. legitur.

273. ὀνείδεσσιν Vind. — ἐστυφέλιξε Guelph.

275. Male vulgo ἐκφλύξαι. — ὅσον ἐρεχθεῖ Guelph.

278. αἴδ' ed. Steph. ex errore typoth., qui in sequentes editiones usque ad Brunckium propagatus est. — ὅτε ἔξει Vind.

280. κηδέων δὲ ind.

„οφρ᾽ αὐτός με τεῇσι φίλαις ταρχύσαο χερσὶν,
„τέκνον ἐμόν· τὸ γὰρ οἶον ἔην ἔτι λοιπὸν ἐέλδωρ
„ἐκ σέθεν, ἄλλα δὲ πάντα πάλαι θρεπτήρια πέσσω.
„νῦν γε μὲν ἡ τὸ πάροιθεν Ἀχαιϊάδεσσιν ἀγητὴ,
„δμωῒς ὅπως, κενεοῖσι λελείψομαι ἐν μεγάροισιν,
„σεῖο πόθῳ μινύθουσα δυσάμμορος, ᾧ ἔπι πολλὴν
„ἀγλαΐην καὶ κῦδος ἔχον πάρος, ᾧ ἔπι μούνῳ
„μίτρην πρῶτον ἔλυσα καὶ ὕστατον. ἔξοχα γάρ μοι
„Εἰλείθυια θεὰ πολέος ἐμέγηρε τόκοιο.
„ᾤ μοι ἐμῆς ἄτης· τὸ μὲν οὐδ᾽ ὅσον, οὐδ᾽ ἐν ὀνείρῳ
„ᾠϊσάμην, εἰ Φρίξος ἐμοὶ κακὸν ἔσσετ᾽ ἀλύξας."
Ὣς ἥγε στενάχουσα κινύρετο· ταὶ δὲ γυναῖκες
ἀμφίπολοι γοάασκον ἐπισταδόν· αὐτὰρ ὁ τήνγε
μειλιχίοις ἐπέεσσι παρηγορέων προσέειπεν.
„Μή μοι λευγαλέας ἐνιβάλλεο, μῆτερ, ἀνίας
„ὧδε λίην, ἐπεὶ οὐ μὲν ἐρητύσεις κακότητος
„δάκρυσιν, ἀλλ᾽ ἔτι κεν καὶ ἐπ᾽ ἄλγεσιν ἄλγος ἄροιο.

281. ταρχύσας Med. Vatt. A. C. D. marg. Vind. marg. Vrat. ταρχύσῃς Reg. A. ταρχύσαις Reg. B. Vind. Vrat. ταρχύσαιο Reg. C. τάρχυσα χέρεσσι Guelph., cui in margine adscriptum τὸ σ ἐκβάλλεται τοῦ μέτρου ἕνεκα. Reliqui codd. et edd. omnes recte ταρχύσαο praebent, turbas vero illas vere monet Brunckius ex inscitia librariorum natas esse, qui non intellectam particulae ὄφρα constructionem emendare conabantur.

283. Brunckius articulum hic male abesse ratus, ita eum restitui posse judicat: ἐκ σέο, τἄλλα δὲ πάντα. Sed eodem sensu ἄλλα πάντα recurrit I, 1209. Cf. quae ad I, 910 monebuntur.

284. τοπάροιθεν Brunck.

285. κεν ἑοῖσι vulg. κενεοῖσι ex Huetii emendatione dedit Brunck., idque praebent Vat. B. et Schol. Paris. — γε λείψομαι Guelph. βίωσομαι in priore recensione lectum fuisse tradunt Scholia vulgata, βείομαι Schol. Paris., quod quum aperte corruptum judicat Gerhard. p. 9, non meminit loci Homerici Il. XXII, 431 τί νυ βείομαι αἰνὰ παθοῦσα. Imo illud βιώσομαι ex interpretatione natum videtur, quare antiquitus lectum fuisse conjicio κενεοῖσί γε βείομαι, assumto γε ex Guelph. (nam in duplice γε nemo offendet, qui contulerit Valck. ad Eur. Phoen. 557. Reisig. Conjectan. p. 248. Heindorf. ad Plat. Euthyd. p. 319. Stallb. ad Plat. Phileb. p. 213.) Hinc simul intelligitur id, in quo explicando, quum βιώσομαι nihil reprehensionis habeat, frustra laboravit Gerhard., quid commoverit Apollonium ad locum mutandum: scilicet rejecit formam βείομαι improbatam ab Aristarcho apud Schol. Il. XXII, 431.

286. In priore recensione ita lectum fuisse tradunt Scholia: οἰζυρὴ ἀχέεσσι δυσάμμορος, cui addunt variam lectionem σεῖο πόθῳ, φίλε κοῦρε, δυσάμμορος. Hom. H. in Cer. v. 201 ἧστο πόθῳ μινύθουσα. — δυσάμμωρος Guelph.

288. μήτρην Vrat. Schol. Paris.

290. ὤ μοι Guelph.

291. De singulari particulae εἰ usu v. Herm. ad Vig. p. 830.

292. Displicet et articuli usus et ordo verborum ταὶ δὲ γυναῖκες ἀμφίπολοι, quare malim τῇ δὲ, dativo ab ἐπισταδὸν pendente, quod recte ἐφεστηκυῖαι explicant scholia.

293. ὃ Brunck. Beck. ut supra v. 265.

295. μήτηρ Flor.

296. ἐρητύσῃς Reg. A.

„πήματα γάρ τ᾽ ἀΐδηλα θεοὶ θνητοῖσι νέμουσιν,
„τῶν μοῖραν κατὰ θυμὸν ἀνιάζουσά περ ἔμπης
„τλῆθι φέρειν· θάρσει δὲ συνημοσύνῃσιν Ἀθήνης
„ἠδὲ θεοπροπίῃσιν, ἐπεὶ μάλα δεξιὰ Φοῖβος
„ἔχρη, ἀτὰρ μετέπειτα ἀριστήων ἐπαρωγῇ.
„ἀλλὰ σὺ μὲν νῦν αὖθι μετ᾽ ἀμφιπόλοισιν ἕκηλος
„μίμνε δόμοις, μηδ᾽ ὄρνις ἀεικελίη πέλε νηΐ·
„κεῖσε δ᾽ ὁμαρτήσουσιν ἔται δμῶές τε κιόντι."
Ἦ καὶ ὁ μὲν προτέρωσε δόμων ἐξῶρτο νέεσθαι.
οἷος δ᾽ ἐκ νηοῖο θυώδεος εἶσιν Ἀπόλλων
Δῆλον ἀν᾽ ἠγαθέην ἠὲ Κλάρον ἢ ὅ γε Πυθὼ
ἢ Λυκίην εὐρεῖαν ἐπὶ Ξάνθοιο ῥοῇσιν,
τοῖος ἀνὰ πληθὺν δήμου κίεν· ὦρτο δ᾽ ἀϋτὴ
κεκλομένων ἄμυδις. τῷ δὲ ξύμβλητο γεραιὴ
Ἰφιὰς, Ἀρτέμιδος πολιηόχου ἀρήτειρα,
καί μιν δεξιτερῆς χειρὸς κύσεν οὐδέ τι φάσθαι
ἔμπης ἱεμένη δύνατο προθέοντος ὁμίλου·
ἀλλ᾽ ἡ μὲν λίπετ᾽ αὖθι παρακλιδὸν, οἷα γεραιὴ
ὁπλοτέρων, ὁ δὲ πολλὸν ἀποπλαγχθεὶς ἐλιάσθη.
Αὐτὰρ ἐπεί ῥα πόληος ἐϋδμήτους λίπ᾽ ἀγυιὰς,
ἀκτὴν δ᾽ ἵκανεν Παγασηΐδα, τῇ μιν ἑταῖροι
δειδέχατ᾽ Ἀργῴῃ ἄμυδις παρὰ νηῒ μένοντες.
στῆ δ᾽ ἄρ᾽ ἐπὶ προμολῆς· οἱ δ᾽ ἀντίοι ἠγερέθοντο.

298. *νέμονται* Vat. B. a manu prima.

300. *συνημοσύνῃσι* Vind.

301. *θεοπροπίοισιν* Regg. A. C. E., quod cur ex his tribus codd. receperint Brunck. et Beck. non intelligo.

302. *μετέπειτά γ᾽ ἀριστήων* vulg. sed *γ᾽* omittit Flor., quare non dubitavi otiosam particulam ejicere, quam librarius metri emendandi studiosus inseruit, sed in tertio pede et post illiusmodi vocabula hiatus frequentissimus est, ut Il. XXIV, 297 *ἔπειτα ἐποτρύνουσα.* Od. XII, 397. XIV, 249 *ἔπειτα ἐμοί.* XVI, 48 *ἔπειτα Ὀδυσσῆος.* XVII, 67 *ἔπειτα ἀλεύατο.* Il. IV, 96 *μάλιστα Ἀλεξάνδρῳ.* Od. III, 175 *τάχιστα ὑπὲκ* et similia. Assentientem de loco nostro habeo Gerhard. p. 191.

303. *νῦν* omittunt Vind. Vrat.

304. Hunc versum, ex Hom. Il. XXIV, 218 haustum, laudat Schol. ad Aristoph. Plut. v. 63.

305. Ad *ὁμαρτήσουσιν ἔται* animum advertant digammatis patroni.

306. *ὦρτο* Guelph. — In sequentibus Apollonius imitari videtur Hom. H. Apoll. 179 sqq. Nostrum imitantur Dionys. Perieg. 144 et Virg. Aen. IV, 143.

311. *γεραὴ* Vrat.

313. *οὐδ᾽ ἔτι* vulg. *οὐδέ τι* Regg. A. B. D. E. Vatt. A. D. Guelph. Vrat. Brunck. Beck.

316. *πολλῶν* Flor. — *ἀποπλαγθεὶς* Vind. *ἀποπλαχθεὶς* Guelph.

318. *ἵκανε* Vrat. et Brunck. Beck. ut solent. — Antecedens *δ᾽* inepte Beckius monet in *τ᾽* mutari potuisse, hoc enim nihil foret, *δέ* vero in apodosi notissimum est.

320. *ἄρα* Vind. Vrat. — *προμολῆς* codd. nonnulli Brunckii, qui hunc genitivum recepit, Beckio recte non

ἐς δ' ἐνόησαν Ἄκαστον ὁμῶς Ἄργον τε πόληος
νόσφι καταβλώσκοντας, ἐθάμβησαν δ' ἐσιδόντες
πασσυδίῃ Πελίαο παρὲκ νόον ἰθύνοντας.
δέρμα δ' ὁ μὲν ταύροιο ποδηνεκὲς ἀμφέχετ' ὤμους
Ἄργος Ἀρεστορίδης λάχνῃ μέλαν· αὐτὰρ ὁ καλὴν
δίπλακα, τήν οἱ ὄπασσε κασιγνήτη Πελόπεια.
ἀλλ' ἔμπης τὼ μέν τε διεξερέεσθαι ἕκαστα
ἔσχετο· τοὺς δ' ἀγορήνδε συνεδριάασθαι ἄνωγεν.
αὐτοῦ δ' ἰλλομένοις ἐπὶ λαίφεσιν ἠδὲ καὶ ἱστῷ
κεκλιμένῳ μάλα πάντες ἐπισχερὼ ἑδριόωντο.
τοῖσιν δ' Αἴσονος υἱὸς ἐϋφρονέων μετέειπεν.
„Ἄλλα μὲν ὅσσα τε νηῒ ἐφοπλίσσασθαι ἔοικεν,
„πάντα γὰρ εὖ κατὰ κόσμον, ἐπαρτέα κεῖται ἰοῦσιν.
„τῷ οὐκ ἂν δηναιὸν ἐχοίμεθα τοῖο ἕκητι

obsequente, codicum enim in hac re nulla auctoritas, dativum vero unice verum esse docet supra v. 260. III, 215. IV, 1160. Arat. Phaen. 239 (ubi ἐπὶ δὲ προμολῇσι legendum).—Schol. Flor. ad I, 1174 ita hunc versum laudat: στῆ δ' ἄρ' ἐπὶ προμολῇσιν, οἱ δ' ἀντίοι ἠερέθοντο, eodem modo Schol. Paris., nisi quod ἐνὶ habet.

322. ἐπιδόντες Guelph.

323. πασσιδίῃ Vind. πανσυδίῃ Guelph. sed recte reliqui libri πασσυδίῃ, qua forma constanter utitur Apollonius, v. Gerhard. p. 94. Iota subscriptum male omiserunt Brunck et Beck. — ἰθύοντας ex conjectura Brunck. et Beck., quia verbum intransitivum postulare sensus videtur, sed metro illud adversari non animadverterunt, quapropter necessario retinenda est librorum lectio, quamquam fatendum est, nusquam ab Apollonio ἰθύνειν hoc sensu usurpatum esse.

324. ἀμπέχετ' ὤμοις Hoelzlin. et Shaw., nescio ex quo fonte, quamquam sic in Vat. C. legi videtur. ἀμφ' ἔχετ' Vrat.

326. ὤπασε Vind. Vrat. — κασιγνήτην Vind.

329. ἱλομένοις Vrat. — λαίφεσι Vrat.

330. ἐπ' ἰσχερῷ Flor.

331. τοῖσι Vind. Vrat.

332. ἐφοπλίσασθαι vulg., quod correxit Brunck. — Propter hiatum in νηῒ ἐφοπλίσσασθαι Hermann. ad Orph. p. 731 fortasse νηυσὶν scribendum esse judicat, comparans I, 235, cujus versus alia est ratio. Hic singularem sensus postulat, neque mutatione opus est, quum hiatus post ῑ dativi sit frequentissimus. Exempla Homerica ipse congessit p. 730, apud Nostrum recurrit III, 421. 849. 1283.

333. Quum vulgo in hoc versu non interpungeretur, particulae γὰρ locus non esse videbatur, quare eam in μάλ' mutavit Huetius, quod receperunt Brunck. et Beck. Ut vero γὰρ retineri posset, Gerhard. p. 73 versu praecedente ἄλλα μὲν in ἄρσαμεν mutavit. Sed in ἄλλα μὲν non offendendum esse, quod videtur Gerhardio, mox ostendemus, neque omnino tanto molimine opus est, quum virgula post κόσμον posita, quod in textu feci, sensus optime hic evadat: *reliqua quidem, quae ad navem instruendam necessaria sunt, parata nobis sunt ad profectionem, omnia enim justo sunt ordine, sed duce opus est, priusquam proficiscamur, quem jam eligatis velim.* — ἐπαρτέως Guelph.

334. τοῖό γ' ἕκητι ex Reg. D. Brunck. et Beck., sed notus est ante ἕκητι hiatus. Apud Nostrum I, 116 Διωνύσοιο ἕκητι. 902 Πελίαο ἕκητι. II, 253. 297. 755. III, 621. 1060 τοῖο ἕκητι. IV, 1087. 1199 σεῖο ἕκητι, quorum locorum plurimos Brunckius aut nullis aut paucissimis libris assentientibus mutavit.

„ναυτιλίης, ὅτε μοῦνον ἐπιπνεύσουσιν ἀῆται.
„ἀλλὰ, φίλοι, ξυνὸς γὰρ ἐς Ἑλλάδα νόστος ὀπίσσω,
„ξυναὶ δ' ἄμμι πέλονται ἐς Αἰήταο κέλευθοι·
„τοὔνεκα νῦν τὸν ἄριστον ἀφειδήσαντες ἕλεσθε
„ὄρχαμον ἡμείων, ᾧ κεν τὰ ἕκαστα μέλοιτο,
„νείκεα συνθεσίας τε μετὰ ξείνοισι βαλέσθαι."
Ὣς φάτο· πάπτηναν δὲ νέοι θρασὺν Ἡρακλῆα
ἥμενον ἐν μέσσοισι· μιῇ δέ ἑ πάντες ἀϋτῇ
σημαίνειν ἐπέτελλον· ὁ δ' αὐτόθεν, ἔνθα περ ἧστο,
δεξιτερὴν ἀνὰ χεῖρα τανύσσατο φώνησέν τε.
„Μή τις ἐμοὶ τόδε κῦδος ὀπαζέτω. οὐ γὰρ ἔγωγε
„πείσομαι, ὥστε καὶ ἄλλον ἀναστήσεσθαι ἐρύξω.
„αὐτὸς, ὅτις ξυνάγειρε, καὶ ἀρχεύοι ὁμάδοιο."
Ἦ ῥα μέγα φρονέων, ἐπὶ δ' ᾔνεον, ὡς ἐκέλευεν
Ἡρακλέης· ἀνὰ δ' αὐτὸς ἀρήϊος ὤρνυτ' Ἰήσων
γηθόσυνος, καὶ τοῖα λιλαιομένοις ἀγόρευεν.
„Εἰ μὲν δή μοι κῦδος ἐπιτρωπᾶτε μέλεσθαι,
„μηκέτ' ἔπειθ', ὡς καὶ πρὶν, ἐρητύοιτο κέλευθα.
„νῦν γε μὲν ἤδη Φοῖβον ἀρεσσάμενοι θυέεσσιν
„δαῖτ' ἐντυνώμεσθα παρασχεδόν. ὄφρα δ' ἴωσιν
„δμῶες ἐμοὶ σταθμῶν σημάντορες, οἷσι μέμηλεν
„δεῦρο βόας ἀγέληθεν ἐῢ κρίναντας ἐλάσσαι,
„τόφρα κε νῆ' ἐρύσαιμεν ἔσω ἁλὸς, ὅπλα τε πάντα

335. *ἐπιπνεύσωσιν* ex uno Reg. D. Brunck. et Beck., sed nulla est conjunctivi necessitas, quum non tam de conditione, quam de tempore agatur, et de re certa sermo sit. Inepte vero Brunckius putat, *ἂν* ex priore membro repetendum esse; quem vero confert locum I, 245, ejus alia est ratio.

337. *ἄμμε* Vat. D.

338. *ἑλέσθαι* Vind.

339. *ὑμείων* vulg. *ἡμείων* Regg. A. C. E. Vat. B. et sic Brunck., quod male non recepit Beck., ejus enim, quem elegissent, imperio Iason et ipse obsecuturus erat.

341. *νέον* Guelph. — *ἡρακλέα* Steph. errore typ.

342. *ἑ* omittit Vrat.

343. *σημένειν* Vind.

344. *τανύσατο* Vind. Vrat.

346. *ος τε* Regg. A. C. E. *ὅς γε* Hoerstel. nescio an ex Guelph. *ὥς δὲ* ex conjectura Brunck. et Beck., sed vulgatum *ὥστε et sic* seu *quemadmodum* (vid., si tanti est, Thiersch. Gr. gr. p. 601 ed. nov.) unice verum est. — *ἀναστήσασθαι* vulg. *ἀναστήσεσθαι* Regg. A. B. C. D. E. Vat. D. Guelph. Vind. Vrat., quod recte receperunt Brunck. Beck.

347. *συνάγειρε* Vind. Vrat.

349. *ὄρνυτ'* Reg. A.

350. *ἀγόρευσεν* Guelph.

352. *ἔπειτ'* Flor.

354. *ἐντυνώμεθα* Vind. Vrat. — *ἴασιν* Med.

356. *ἐϋκρίναντας* vulg., quod recte disjunxit Brunck. *ἐϋκρίνοντας* Guelph. teste Piers. — *ἐλάσαι* Reg. A.

357. *ἐρύσομεν* Reg. A. teste Ruhnk. *ἐρύσωμεν* Regg. B. C. D. E. Vind. Vrat., qui conjunctivus propter praecedens *κε* ferri nequit, quare vulgatam dedi cum Vatt. A. B. C. D. Med. Guelph. Flor. Brub. Brunck. Beck.

„ἐνθέμενοι πεπάλαχθε κατὰ κληῗδας ἐρετμά.
„τείως δ' αὖ καὶ βωμὸν ἐπάκτιον Ἐμβασίοιο
„θείομεν Ἀπόλλωνος, ὅ μοι χρείων ὑπέδεκτο
„σημανέειν δείξειν τε πόρους ἁλὸς, εἴ κε θυηλαῖς
„οὗ ἕθεν ἐξάρχωμαι ἀεθλεύων βασιλῆϊ.
Ἦ ῥα καὶ εἰς ἔργον πρῶτος τράπεθ'· οἱ δ' ἐπανέσταν
πειθόμενοι· ἀπὸ δ' εἵματ' ἐπήτριμα νηήσαντο
λείῳ ἐπὶ πλαταμῶνι, τὸν οὐκ ἐπέβαλλε θάλασσα
κύμασι, χειμερίη δὲ πάλαι ἀποέκλυσεν ἅλμη.
νῆα δ' ἐπικρατέως Ἄργου ὑποθημοσύνῃσιν
ἔζωσαν πάμπρωτον ἐϋστρεφεῖ ἔνδοθεν ὅπλῳ
τεινάμενοι ἑκάτερθεν, ἵν' εὖ ἀραροίατο γόμφοις
δούρατα καὶ ῥοθίοιο βίην ἔχοι ἀντιόωσαν.
σκάπτον δ' αἶψα κατ' εὖρος, ὅσον περιβάλλετο χῶρος,
ἠδὲ κατὰ πρῶραν εἴσω ἁλὸς, ὁσσάτιόν περ
ἑλκομένη χείρεσσιν ἐπιδραμέεσθαι ἔμελλεν.
αἰεὶ δὲ προτέρω χθαμαλώτερον ἐξελάχαινον

Sed conjunctivus et sensus causa et propter sequens *πεπάλαχθε* atque *θείομεν* melior videtur, quare malim *τόφρα δὲ νῆ' ἐρύσωμεν*, quod mutatum est fortasse a librariis propter *δὲ* in apodosi, in quo saepe offenderunt.

358. *ἀνθέμενοι* Vat. C. a manu prima. — *κληῗδος* vulgo male. *κληῗδας* Regg. B. C. D. E. Vatt. A. C. D. Guelph. Med. Vind. Vrat., quod receperunt Brunck. et Beck., sed mutato accentu cum Reg. A. *κληῗδας* scribendum est.

359. *ἐπακτίου* ex conj. Stephani male Hoelzlin. et Shaw.

362. *ἐξάρχομαι* Vind. — De pleonasmo *οὗ ἕθεν* vid. Schaef. ad Gregor. Cor. p. 86.

363. *τράπετ'* Flor. — *ἐπάνεσσαν* Vatt. C. D., in quo a manu secunda *ἐπαίνεσαν*.

364. *πυθόμενοι* Guelph. cum glossa interlin. *μαθόντες*.

368. Cogitarunt h. l. interpretes omnes de navi extrinsecus funibus succingenda et constringenda, quare offenderunt omnes in vocabulo *ἔνδοθεν*, quod Sanctamand. in *ἔκτοθεν*, Weston. Hermesian. p. 72 s. in *ἐνδυτὸν* mutavit, Brunck. corruptum judicavit, Shaw. et Beck. cum *ἐϋστρεφεῖ* jungendum censuerunt. Sed horum nihil opus est, non enim de eo, quod putant, sermo esse potest. Solebant quidem revera naves interdum funibus succingi, sed nonnisi in summo periculo, carina jam dissiliente et disrupta, (cf. Raphel. ad Act. Apost. XXVII, 17. Passerat. ad Propert. III, 5, 23. Interpp. ad Hor. Od. I, 14, 6) id quod in nostrum locum non cadit. Itaque dubitari vix potest, quin de alia quadam colligatione, in ipsa navi facienda, loquatur poeta, quae qualis fuerit non satis perspectum habemus, sed simili fortasse ei, quam describit Orph. Arg. 1158 s.

369. *θεινάμενοι* Regg. A. B. C. D. E. (hic in margine habet vulgatam) Vind. Vrat., reliqui libri in vulgata consentiunt.

371. *περιβάλλεται* Flor. — *χῶρον* ex uno Guelph. receperunt Brunck. et Beck., ut *εὖρος* dicatur *χῶρον περιβάλλεσθαι*, quod fieri non potest, recte contra dicitur *χῶρος περιβάλλεσθαι τὴν ναῦν*.

372. *ἔσσω* vulg. metrica, ut videtur, correctio lectionis corruptae *ἔσω*, quam habent Vatt. A. D. Guelph. et Regiorum, ut videtur, nonnulli, unde Brunck. recte *εἴσω* dedit, obsequente Beckio.

στείρης, ἐν δ᾽ ὁλκῷ ξεστὰς στορέσαντο φάλαγγας·
τὴν δὲ κατάντη κλῖναν ἐπὶ πρώτῃσι φάλαγξιν,
ὥς κεν ὀλισθαίνουσα δι᾽ αὐτάων φορέοιτο.
ὕψι δ᾽ ἄρ᾽ ἔνθα καὶ ἔνθα μεταστρέψαντες ἐρετμὰ
πηχύϊον προὔχοντα περὶ σκαλμοῖσιν ἔδησαν.
τῶν δ᾽ ἐναμοιβαδὶς αὐτοὶ ἐνέσταθεν ἀμφοτέρωθεν,
στέρνα θ᾽ ὁμοῦ καὶ χεῖρας ἐπήλασαν. ἐν δ᾽ ἄρα Τῖφυς
βήσαθ᾽, ἵν᾽ ὀτρύνειε νέους κατὰ καιρὸν ἐρύσσαι·
κεκλόμενος δ᾽ ἤϋσε μάλα μέγα· τοὶ δὲ παρᾶσσον
ᾧ κράτεϊ βρίσαντες ἰῇ στυφέλιξαν ἐρωῇ
νειόθεν ἐξ ἕδρης, ἐπὶ δ᾽ ἐῤῥώσαντο πόδεσσιν
προπροβιαζόμενοι· ἡ δ᾽ ἕσπετο Πηλιὰς Ἀργὼ
ῥίμφα μάλ᾽· οἱ δ᾽ ἑκάτερθεν ἐπίαχον ἀΐσσοντες.
αἱ δ᾽ ἄρ᾽ ὑπὸ τρόπιδι στιβαρῇ στενάχοντο φάλαγγες
τριβόμεναι· περὶ δέ σφιν ἀϊδνὴ κήκιε λιγνὺς
βριθοσύνῃ, κατόλισθε δ᾽ ἔσω ἁλός· οἱ δέ μιν αὖθι
ἂψ ἀνασειράζοντες ἔχον προτέρωσε κιοῦσαν.
σκαλμοῖς δ᾽ ἀμφὶς ἐρετμὰ κατήρτυον· ἐν δέ οἱ ἱστὸν
λαίφεά τ᾽ εὐποίητα καὶ ἁρμαλίην ἐβάλοντο.
Αὐτὰρ ἐπεὶ τὰ ἕκαστα περιφραδέως ἀλέγυναν,
κληῗδας μὲν πρῶτα πάλῳ διεμοιρήσαντο,

375. *στείρης δ᾽* Reg. A.—*φάλαγκας* Flor.
376. *κλίναν* Guelph. Flor. Brub.
378. *ὕψι δὲ ἔνθα* Guelph. — Matthiae obss. critt. p. 26 quum hunc et qui sequitur versus spurios judicat, quia nondum locus sit remis ad scalmos religandis, de qua re infra demum v. 392 sermo sit, neque hos neque sequentes versus satis attente legisse videtur; inest enim adeo nihil difficultatis, ut verbum non amplius addam.
379. *σκάλμοισιν* Brunck. et recentiores male. — Duo prima versus vocabula laudat Etymol. M. p. 671, 8.
382. *βήσατ᾽* Flor.
383. *παρ᾽ ἆσσον* Vatt. A. B. D. et C. a manu prima.
384. *βρίσαντε μιῇ* vulg. *βρίσαντε μιῇ* Vrat. *βρίσαντες μιῇ* Vatt. A. C. D. Guelph. Regg. A. C. E., unde recte Brunck. dedit *βρίσαντες ἰῇ*, glossa *μιῇ* ejecta.
385. *ἕδρας* Vat. C. — *πόδεσσι* Brunck. Beck.
388. *ὑποτρόπιδι* Flor. Brub. — *στενάκοντο* Vrat.—*φάλαγκες* Flor.— Ad verbum fere hunc locum expressit Quint. Smyrn. Posthom. XII, 430 *στιβαραὶ δὲ περιστενάχοντο φάλαγγες τριβόμεναι*, nec tamen inde cum Wernick. ad Tryphiod. p. 287 nostro loco correxerim *στιβαραὶ*, hoc enim mutare debuit Quintus, quia verba *ὑπὸ τρόπιδι* omisit, apteque Apollonius *τρόπιδα* vocavit *στιβαρὴν*, quippe sub qua gemuere phalanges. Imitatus est etiam Tryphiod. v. 319 sqq.
389. *ἐκήκιε* ex conjectura dedit Brunck., quem sequitur Beck., qui qua causa adducti id fecerint, et quomodo aures eorum ferre potuerint, ignoro. Praeterea caesuram trochaicam in pede quarto nunquam hi poetae admiserunt, v. Herm. ad Orph. p. 694 s. Restitui igitur librorum lectionem.
392. *σκαλθμοῖς* Vind. Vrat.
393. *ἐβάλλοντο* Guelph.
395. *κληῗδας* Brunck. et Beck. ma-

ἄνδρ' ἐντυναμένω δοιὼ μίαν· ἐκ δ' ἄρα μέσσην
ἥρεον Ἡρακλῆϊ καὶ ἡρώων ἄτερ ἄλλων
Ἀγκαίῳ, Τεγέης ὅς ῥα πτολίεθρον ἔναιεν.
τοῖς μέσσην οἴοισιν ἀπὸ κληῗδα λίποντο
αὔτως, οὔ τι πάλῳ· ἐπὶ δ' ἔτρεπον αἰνήσαντες
Τῖφυν ἐϋστείρης οἰήϊα νηὸς ἔρυσθαι.
"Ενθεν δ' αὖ λάϊγγας ἁλὸς σχεδὸν ὀχλίζοντες
νήεον αὐτόθι βωμὸν ἐπάκτιον Ἀπόλλωνος,
Ἀκτίου Ἐμβασίοιό τ' ἐπώνυμον· ὦκα δὲ τοί γε
φιτροὺς ἀζαλέης στόρεσαν καθύπερθεν ἐλαίης.
τείως δ' αὖτ' ἀγέληθεν ἐπιπροέηκαν ἄγοντες
βουκόλοι Αἰσονίδαο δύω βόε. τοὺς δ' ἐρύσαντο
κουρότεροι ἑτάρων βωμοῦ σχεδόν. οἱ δ' ἄρ' ἔπειτα
χέρνιβά τ' οὐλοχύτας τε παρέσχεθον. αὐτὰρ Ἰήσων
εὔχετο κεκλόμενος πατρώϊον Ἀπόλλωνα.
„Κλῦθι ἄναξ, Παγασάς τε πόλιν τ' Αἰσωνίδα ναίων,
„ἡμετέροιο τοκῆος ἐπώνυμον, ὅς μοι ὑπέστης
„Πυθοῖ χρειομένῳ ἄνυσιν καὶ πείραθ' ὁδοῖο
„σημανέειν, αὐτὸς γὰρ ἐπαίτιος ἔπλευ ἀέθλων·
„αὐτὸς νῦν ἄγε νῆα σὺν ἀρτεμέεσσιν ἑταίροις
„κεῖσέ τε καὶ παλίνορσον ἐς Ἑλλάδα. σοὶ δ' ἂν ὀπίσσω

le, ut v. 399 κληῗδα. — διεμερίσαντο Vat. C. διεμοιράσαντο Guelph.
396. ἄνδ' Vat. A. — ἒν δ' ἄρα Vat. D.
397. ἤρεμον Vat. D. a manu prima, ἤνεμον a secunda.
398. ἄνασσε Regg. A. B. C. D. E.
399. μεσσηνείοισιν Vat. D. — ἀποκληῗδα Flor.
401. ἐρύσασθαι Guelph.
403. ἐπακτίου codd. et edd. omnes. ἐπάκτιον, quod ex conjectura dedit Brunck., quin verum sit dubitare non sinit et sequens Ἀκτίου et βώμου ἐπακτίου mentio I, 359 et II, 689.
406. αὔτ' Vrat. — ἐπεὶ προέηκεν Reg. A.
407. τούς γ' Reg. A.
408. βομοῦ Vind.
409. παρέσχεθεν Guelph.
411. ναῖον Vind.
413. χρωμένῳ Guelph.
414. σειμανέειν Flor.
415. ἀρτεμέεσσι Vrat.
416. τοὶ δ' ἄρ' vulg. σοὶ δ' ἂν Vatt. A. C. D. Regg. A. B. C. D. E. Med. Guelph. (in hoc σὺ δ' ἂν teste Piers. Veris. p. 199. Hoerstel. vero silet) Vind. Vrat., unde Brunck. et Beck. σοὶ δ' ἄρ' dederunt. Sed nihil impedit, quominus totam librorum lectionem σοὶ δ' ἂν recipiamus, nam quod illi ἄν cum futuri indicativo jungi non posse putarunt, errasse eos docent loci plurimorum scriptorum, quos collegerunt Markl. ad Eur. Iph. T. 894. Brunck. ad Aristoph. Nub. 465. ad Soph. Philoct. 1089. ad Theogn. 1015. Locell. ad Xenoph. Ephes. p. 229. Wolf. ad Dem. Lept. p. 259. Heind. ad Plat. Phaed. p. 22. Sturz. Lex. Xenoph. I, 173. Schaef. ad Greg. Cor. p. 66. Corai. ad Heliod. p. 62. Dissen. Disquisitt. Philol. I p. 11. Reisig. Conjectt. p. 141 s. idemque De vi et usu ἄν particulae p. 100 s., et quam hic vim inesse dicit huic particulae cum futuro indicativi junctae, ut aliquid futurum esse confidentius significetur, ea nostro loco aptissima est. Saepius

„τόσσων, ὅσσοι κεν νοστήσομεν, ἀγλαὰ ταύρων
„ἱρὰ πάλιν βωμῷ ἐπιθήσομεν· ἄλλα δὲ Πυθοῖ,
„ἄλλα δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσω.
„νῦν δ' ἴθι καὶ τήνδ' ἡμὶν, Ἑκηβόλε, δέξο θυηλὴν,
„ἥν τοι τῆσδ' ἐπίβαθρα χάριν προτεθείμεθα νηὸς
„πρωτίστην· λύσαιμι δ', ἄναξ, ἐπ' ἀπήμονι μοίρῃ
„πείσματα σὴν διὰ μῆτιν· ἐπιπνεύσειε δ' ἀήτης
„μείλιχος, ᾧ κ' ἐπὶ πόντον ἐλευσόμεθ' εὐδιόωντες."
Ἦ καὶ ἅμ' εὐχωλῇ προχύτας βάλε. τὼ δ' ἐπὶ βουσὶν
ζωσάσθην, Ἀγκαῖος ὑπέρβιος Ἡρακλέης τε.
ἤτοι ὁ μὲν ῥοπάλῳ μέσσον κάρη ἀμφὶ μετώπῳ
πλῆξεν, ὁ δ' ἀθρόος αὖθι πεσὼν ἐνερείσατο γαίῃ·
Ἀγκαῖος δ' ἑτέροιο κατὰ πλατὺν αὐχένα κόψας
χαλκείῳ πελέκει κρατεροὺς διέκερσε τένοντας·
ἤριπε δ' ἀμφοτέροισι περιῤῥηδὴς κεράεσσιν.
τοὺς δ' ἕταροι σφάξαν τε θοῶς δεῖράν τε βοείας,
κόπτον δαίτρευόν τε καὶ ἱερὰ μῆρ' ἐτάμοντο,
καδδ' ἄμυδις τά γε πάντα καλύψαντες πύκα δημῷ
καῖον ἐπὶ σχίζῃσιν· ὁ δ' ἀκρήτους χέε λοιβὰς
Αἰσονίδης, γήθει δὲ σέλας θηεύμενος Ἴδμων
πάντοσε λαμπόμενον θυέων ἄπο, τοῖό τε λιγνὺν
πορφυρέαις ἑλίκεσσιν ἐναίσιμον ἀΐσσουσαν·
αἶψα δ' ἀπηλεγέως νόον ἔκφατο Λητοΐδαο.
„Ὑμῖν μὲν δὴ μοῖρα θεῶν χρειώ τε περῆσαι
„ἐνθάδε κῶας ἄγοντας· ἀπειρέσιοι δ' ἐνὶ μέσσῳ
„κεῖσέ τε δεῦρό τ' ἔασιν ἀνερχομένοισιν ἄεθλοι.

hac constructione Apollonius utitur, ut I, 663 *οὐδέ τι πάμπαν Θυμηδές κεν τοῖσι τόγ' ἔσσεται.* II, 18 *ἦ κέν τις στυγερῶς κρατερὴ ἐπιέψετ' ἀνάγκη.* III, 506 *ὥρη μητιάασθαι ὅ κ' ἕρξομεν.* III, 1026 *ὥς κέν τοι ἐγὼ μητίσομ' ἀρωγήν.* IV, 405 *οὐδ' ἂν ὅμως περιναιέται ἀντιόωσιν.* IV, 408 *οὐδ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξω.* III, 793 *καί κέν με διὰ στόματος φορέουσαι Κολχίδες — μωμήσονται.*

417. *τόσσον* Vrat. — *ὅσοι* Vind. Vrat. — *κε* Vrat. — *νοστήσομέν γε* Reg. A.

418. *ἱερὰ* Vind.

423. *σὺν* Vind.

427. *μέσον* Vind. Vrat. — *κάρηα* Vind. — Pro vulg. *μέτωπα* ex Regg. A. B. C. D. E. et Vat. C. *μετώπῳ* recte receperunt Brunck. et Beck., nam neque accusativus, neque pluralis ferri potest.

428. *ἀθρόως* Vind. Vrat. *ἀθρόον* Reg. A.

431. *περιρηδὴς* male, ut solent, Brunck. Beck.

432. *σφάξαντες θοῶς* Flor.

437. *θυέων. ἀπὸ τοῖο* Vrat.

438. *ἀναίσιμον* Vatt. C. D.

440. *ἡμῖν* Vatt. A. C. D.

441. *ἔχοντας* vulg. *ἄγοντας* Regg. A. B. C. D. E. Vatt. A. B. C. D. Med. Guelph. Vind. Vrat. Brunck. Beck. Eadem confusio est infra v. 889.

442. *ἔασσιν* Guelph. ut semper.

„αὐτὰρ ἐμοὶ θανέειν στυγερῇ ὑπὸ δαίμονος αἴσῃ
„τηλόθι που πέπρωται ἐπ' Ἀσίδος ἠπείροιο.
„ὧδε κακοῖς δεδαὼς ἔτι καὶ πάρος οἰωνοῖσιν
„πότμον ἐμὸν πάτρης ἐξήϊον, ὄφρ' ἐπιβαίην
„νηὸς, ἐϋκλείη δὲ δόμοις ἐπιβάντι λίπηται.“
Ὣς ἄρ' ἔφη· κοῦροι δὲ θεοπροπίης ἀΐοντες
νόστῳ μὲν γήθησαν, ἄχος δ' ἕλεν Ἴδμονος αἴσῃ.
ἦμος δ' ἠέλιος σταθερὸν παραμείβεται ἦμαρ,
αἱ δὲ νέον σκοπέλοισιν ὑποσκιόωνται ἄρουραι
δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο,
τῆμος ἄρ' ἤδη πάντες ἐπὶ ψαμάθοισι βαθεῖαν
φυλλάδα χευάμενοι πολιοῦ πρόπαρ αἰγιαλοῖο
κέκλινθ' ἑξείης· παρὰ δὲ σφίσι μυρί' ἔκειτο
εἴδατα καὶ μέθυ λαρὸν, ἀφυσσαμένων προχόησιν
οἰνοχόων· μετέπειτα δ' ἀμοιβαδὶς ἀλλήλοισιν
μυθεῦνθ', οἷά τε πολλὰ νέοι παρὰ δαιτὶ καὶ οἴνῳ
τερπνῶς ἑψιόωνται, ὅτ' ἄατος ὕβρις ἀπείη.
ἔνθ' αὖτ' Αἰσονίδης μὲν ἀμήχανος εἰν ἑοῖ αὐτῷ
πορφύρεσκεν ἕκαστα κατηφιόωντι ἐοικώς.
τὸν δ' ἄρ' ὑποφρασθεὶς μεγάλῃ ὀπὶ νείκεσεν Ἴδας.
„Αἰσονίδη, τίνα τήνδε μετὰ φρεσὶ μῆτιν ἑλίσσεις;
„αὔδα ἐνὶ μέσσοισι τεὸν νόον. ἦέ σε δαμνᾷ

443. *στυγερῆς* Guelph.— *ἐπὶ* vulg. *ὑπὸ* Regg. A. B. C. D. E. Vatt. A. C. D. Med. Guelph. Vind. Vrat. Brunck. Beck. Hoc verum esse docet *ὑπὸ δαίμονος αἴσῃ* apud Quint. Smyrn. IX, 502. X, 396.

444. *ἀσσίδος* Reg. A. *αἰσίδος* Vrat.

445. *κακοῖσι* Guelph.

446. *ἐπιβαίνην* Vind.

448. *θεοπροπίας* Guelph.

450. Respicit hunc versum Etymol. M. p. 724, 42.

451. Propter frequentissimam praepositionum *ἐπί* et *ὑπό* confusionem in verbis maxime compositis (v. Spitzner. obss. ad Quint. Smyrn. p. 202 s.) facile aliquis adduci possit, ut usitatius *ἐπισκιόωνται* reponendum putet ex Quinto et Nonno, quorum ille dixit *ἐπεσκιόωντο δ' ἀλωαὶ* V, 346, hic *ἐπεσκιόωντο κολῶναι* XXXVIII, 20. XLVI, 150, sed non tantum horum imitationi tribuendum est, ut invitis libris aliquid mutetur.

453. *ψαμάθοιο* Vatt. C. D. — *βαρεῖαν* Vind., sed vulg. margini adscripta est.

456. *ἀφυσομένων* Reg. A. *ἀφυσσομένων* Vat. B. et nonnulli, ut videtur, ex Regg., unde recepit Brunck., propter temporum, ut dicit, rationem, ex qua nullam video praesentis necessitatem. Quare plurimorum librorum lectionem, a Beckio quoque posthabitam, revocavi. — *προχοῇσιν* vulg. *προχόοισιν* Reg. E., quod dedit Steph., *προχόησιν* Regg. A. B., quod recte reposuit Brunck.

457. Locos similes indicat Ruhnk. ep. crit. p. 114.

460. *μὲν* omittit Flor.

464. *μέσοισι* Vrat. Flor. — Productio syllabae brevis ante *μέσσοισι* exemplo Homerico caret, sed eandem habet Noster II, 879 *ἐνὶ μέσσοις* et

„τάρβος ἐπιπλόμενον, τότ' ἀνάλκιδας ἄνδρας ἀτύζει;
„ἴστω νῦν δόρυ θοῦρον, ὅτῳ περιώσιον ἄλλων
„κῦδος ἐνὶ πτολέμοισιν ἀείρομαι, οὐδέ μ' ὀφέλλει
„Ζεὺς τόσον, ὁσσάτιόν περ ἐμὸν δόρυ, μή νύ τι πῆμα
„λοίγιον ἔσσεσθαι μηδ' ἀκράαντον ἄεθλον
„Ἴδεω ἑσπομένοιο, καὶ εἰ θεὸς ἀντιόῳτο.
„τοῖόν μ' Ἀρήνηθεν ἀοσσητῆρα κομίζεις."
Ἦ καὶ ἐπισχόμενος πλεῖον δέπας ἀμφοτέρῃσιν
πῖνε χαλίκρητον λαρὸν μέθυ· δεύετο δ' οἴνῳ
χείλεα κυάνεαί τε γενειάδες· οἱ δ' ὁμάδησαν
πάντες ὁμῶς, Ἴδμων δὲ καὶ ἀμφαδίην ἀγόρευσεν.
„Δαιμόνιε, φρονέεις ὀλοφώϊα καὶ πάρος αὐτῷ,
„ἠέ τοι εἰς ἄτην ζωρὸν μέθυ θαρσαλέον κῆρ
„οἰδάνει ἐν στήθεσσι, θεοὺς δ' ἀνέηκεν ἀτίζειν;
„ἄλλοι μῦθοι ἔασι παρήγοροι, οἷσί περ ἀνὴρ
„θαρσύνοι ἕταρον· σὺ δ' ἀτάσθαλα πάμπαν ἔειπας.
„τοῖα φάτις καὶ τοὺς πρὶν ἐπιφλύειν μακάρεσσιν

IV, 870 *διὰ μέσσην*, ut Dionys. Perieg. 918 *ἐνὶ μέσσῃσιν*.

465. *ἀτίζει* Vat. B. Guelph.

466. Imitationes poetarum latinorum indicat Ruhnk. ep. crit. p. 282.

467. *πτολέμοισι* Vrat. — Male Beckius verba *οὐδ'* — *δόρυ* parenthesi inclusit, ignarus constructionis apud epicos frequentissimae, proptereaque perperam *οὔ δέ μ'* scripsit. Contra peccavit Brunck., qui ex more suo *οὐδ' ἐμ'* dedit. Restitui unice veram librorum lectionem.

468. *τοι* Vrat.

469. *ἔσεσθαι* Vrat. Flor. — *ἀκράατον* Guelph.

470. Initio versus inest hiatus, qui ferri nequit, nec male sensui consuluit Spitzner. de vers. her. p. 109, *Ἴδεω γ' ἑσπομένοιο* legendum judicans, quae emendatio confirmatur loco Iliadis, qui Nostro obversatus est X, 246. *τούτου γ' ἑσπομένοιο*. Sed in textu nihil mutare ausus sum. — *ἑπομένοιο* Flor.

471. Apte Brunckius comparat Hom. Il. XV, 254.

472. *ἐπισχόμενον* Flor. — *ἀμφοτέροισι* Vatt. A. C. D. Flor. Brub. vid. ad III, 1020.

473. *χαλίχρητον* Vrat. *χαλίκρατον* Schol. Paris.

475. *ἀφραδίην* Reg. A. Vat. D.

476. *αὐτῷ* quum non ad Iasonem referendum sit, sed ad Idam, ut *σοὶ αὐτῷ* exspectetur, facile aliquis adduci possit, ut *αὑτῷ* corrigendum putet, quod ita usurpari notum est, praesertim quum Reg. A. exhibeat illud ipsum *αὑτῷ* cum glossa interlineari *σοί*. Sed in poeta epico ab hac emendatione abstinendum est, et putandum, pronomen *σοὶ* omissum esse. Non dissimile est III, 321, ubi *αὐτούς* pro *ἡμᾶς αὐτούς* positum est; et III, 350, ubi plane ut nostro loco *αὐτῷ* pro *σοὶ αὐτῷ*.

477. *ἠέ τι* Reg. A.

478. *ἀνέοικε* Reg. A. cum glossa interl. *οὐ προσήκει*. — *ἀτύζειν* vulg. *ἀτίζειν* Vat. B. Vind. Vrat. marg. Reg. B., quod sensus causa praeferendum esse viderunt Ruhnk. epist. crit. p. 93, Brunck. et rell. Eadem verba inter se commutata erant supra v. 465.

479. *ἔασσι* Guelph. Steph. — *κεν* pro *περ* ex conjectura Brunck. Beck., de quo ad v. seq.

480. *θαρσύνει* vulg. *θαρσύνοι* Med. Reg. B. Vatt. A. D. Vind. Vrat. Flor., quod recte recepit Brunck., sed male propterea versu praecedente *περ* in *κεν* mutandum judicavit, obsequente Beckio. De particula *ἄν* apud opta-

„υἷας Ἀλωϊάδας, οἷς οὐδ' ὅσον ἰσοφαρίζεις
„ἠνορέην· ἔμπης δὲ θοοῖς ἐδάμησαν ὀϊστοῖς
„ἄμφω Λητοΐδαο καὶ ἴφθιμοί περ ἐόντες."
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσεν ἄδην Ἀφαρήϊος Ἴδας,
καί μιν ἐπιλλίζων ἠμείβετο κερτομίοισιν.
„Ἄγρει νῦν τόδε σῇσι θεοπροπίῃσιν ἔνισπε,
„εἰ καὶ ἐμοὶ τοιόνδε θεοὶ τελέουσιν ὄλεθρον,
„οἷον Ἀλωϊάδῃσι πατὴρ τεὸς ἐγγυάλιξεν·
„φράζεο δ' ὅππως χεῖρας ἐμὰς σόος ἐξαλέοιο,
„χρειὼ θεσπίζων μεταμώνιον εἴ κεν ἁλῴης."
Χώετ' ἐνιπτάζων· προτέρω δέ κε νεῖκος ἐτύχθη,
εἰ μὴ δηριόωντας ὁμοκλήσαντες ἑταῖροι
αὐτός τ' Αἰσονίδης κατερήτυεν· ἂν δὲ καὶ Ὀρφεύς·

tivum omissa nunc nota sunt omnia. Exempla Homerica sunt Il. II, 340. V, 303. VII, 48. XXIII, 151. Od. XIV, 123. Apud Nostrum infra III, 355 *εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις γενεήν τε Ἴδμεναι, οἵτινες εἰσὶν, ἕκαστά γε μυθησαίμην* et, qui nostro loco simillimus est, IV, 1719 *ῥέζον δ' ὅσσα περ ἄνδρες ἐρημαίῃ ἔνι ῥέζειν Ἀκτῇ ἐφοπλίσσειαν.* — *ἑτάρων* Vind. sed *ἕταρον* in marg. Beckius *ἕτερον* dedit lectore non monito, idemque in versione latina expressit, nescio qua auctoritate vel qua causa commotus.

482. *υἷε* Vat. C. — *Ἀλωϊάδων* et mox *ὅσσον* Schol. Paris.

485. *ὣς φάτ'* Vatt. A. D. Vind. Vrat. Flor., unde Stephanus *ὣς φάτο* dedit, quod Vat. C. a manu prima habere videtur. *ὣς ἄρ' ἔφατ'* Vat. B. *ὣς ἔφατ'* Vat. C. a manu sec. Regg. quinque, Guelph. Brub. Basil. Hoelzlin. Brunck. et rell., idque verum esse dubitari non potest, nam Homerus quoque *ὣς φάτο* nunquam habet nisi ante vocabulum a consonante incipiens. Eadem varietas est IV, 1096. — *ἐκγέλασεν* Vat. D. a manu prima. *ἐκ δ' ἐγέλασεν* Vind. Vrat. *ἐκ δὲ γέλασσεν* Schol. vulg.

487. *νυν* male Brunck. cf. Hom. Il. XIV, 271. — *σοῖσι θεοπροπίοισιν* Reg. E. *σοῖσι θεοπροπίῃσιν* Flor. Brub. Basil. — *ἔνισπες* inepte Med. Guelph. Ald., unde per edd. Brub. Basil. Hoelzlin. propagatum est, donec Brunckius codicum reliquorum et Florentinae lectionem recte revocavit, quam dederat jam Steph.

488. *μοὶ* Vind. *ἐμὸν* Reg. A.

491. *μελαμώνιον* Vind. *μεταμώλιον*, quod in codice nullo comparet, Schol. Paris. pro varia lectione affert, Schol. vulg. in textu habet, unde solus recepit Stephanus. — *ἤ κεν* Med. Flor. Ald. Basil. *ἥκεν* Brub. *ἤ κεν* Vind. Vrat. ex confusione frequentissima. De *εἴ κε* vid. supra ad v. 197.

492. *ἐνιπάζων* Vat. D. — *προτέρωσε δὲ νεῖκος* vulg. *προτέρω δὲ νεῖκος* Vatt. A. B. Guelph. Vind. Vrat. *προτέρω δέ κε νεῖκος* Med. Regg. A. C. D. E. Vat. C., quod inde a Brunckio in textu legitur. Litem dirimit locus Homericus, quem attulit Brunckius, Il. XXIII, 490.

καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ φάτο μῦθον.

494. *κατερήτυθεν* Guelph. — *ἀνὰ* Vat. D. Vind. Vrat. Schol. Vulgatum *ἂν* cum sensu carere videretur, Pierson. Verisimil. p. 108 emendavit: *κατερήτυε· σὺν δὲ καὶ Ὀ.* Brunckius vero *ἐν δὲ καὶ*, quod recepit Beck. Vulgatam qui tenet Hoerstelius ita tuetur, ut *ἂν* ad *πείραζεν* trahendum putet per tmesin disjunctum, sed verbum *ἀναπειράζω* aliunde non est notum, et si esset, sensum huic loco non aptum praeberet. In scholiis vulgatis *ἂν* pro *ἀναστὰς* positum dicitur, quod fieri non potest, in Parisinis pro *ἀν-*

λαιῇ ἀνασχόμενος κίθαριν πείραξεν ἀοιδῆς.
"Ηειδεν δ' ὡς γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα,
τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῇ συναρηρότα μορφῇ,
νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα·
ἠδ' ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
ἄστρα σεληναίη τε καὶ ἠελίοιο κέλευθοι·
οὔρεά θ' ὡς ἀνέτειλε, καὶ ὡς ποταμοὶ κελάδοντες
αὐτῇσιν Νύμφῃσι καὶ ἑρπετὰ πάντα γένοντο.
ἤειδεν δ' ὡς πρῶτον Ὀφίων Εὐρυνόμη τε
Ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο,
ὥς τε βίῃ καὶ χερσὶν ὁ μὲν Κρόνῳ εἴκαθε τιμῆς,
ἡ δὲ Ῥέῃ, ἔπεσον δ' ἐνὶ κύμασιν Ὠκεανοῖο·
οἱ δὲ τέως μακάρεσσι θεοῖς Τιτῆσιν ἄνασσον,
ὄφρα Ζεὺς ἔτι κοῦρος, ἔτι φρεσὶ νήπια εἰδώς,
Δικταῖον ναίεσκεν ὑπὸ σπέος· οἱ δέ μιν οὔπω
Γηγενέες Κύκλωπες ἐκαρτύναντο κεραυνῷ
βροντῇ τε στεροπῇ τε· τὰ γὰρ Διῒ κῦδος ὀπάζει.
Ἦ καὶ ὁ μὲν φόρμιγγα σὺν ἀμβροσίῃ σχέθεν αὐδῇ.
τοὶ δ' ἄμοτον λήξαντος ἔτι προὔχοντο κάρηνα
πάντες ὁμῶς ὀρθοῖσιν ἐπ' οὔασιν ἠρεμέοντες

ἔστη, id quod apud Homerum saepissime fieri constat, eaque mihi quoque vera videtur explicatio. Sed ita versus sequens non junctus est cum hoc versu, cui rei levi mutatione succurrendum puto, ΔΑΝ pro ΑΝΑ reponens, ita enim hunc locum constituendum censeo:

ἂν δὲ καὶ Ὀρφεύς·
λαιῇ δ' ἀνσχόμενος κίθαριν πείραξεν ἀοιδῆς.

Librorum lectionem ἂν revocavi, conjecturam in textum recipere non ausus sum.

495. ἐπήραξεν Schol. Paris., quod explicatur: ἀντὶ τοῦ ἥρμοζεν, ut in Schol. vulg. πείραξεν ἀντὶ τοῦ· ἥρμοττεν.

496. ἤειδε δὲ Vat. D. ἤειδε δ' Vrat. et sic Brunck. Beck., ut solent, male, et hoc versu et v. 503, ubi Vat. D. eandem, quam hic lectionem praebet, Vrat. vero vulgatam. Achilles Tatius, qui Isagoge ad Arat. c. 3. (Petavii Uranolog. p. 125) hunc et duos, qui proxime sequuntur, versus laudat, ita dedit: ἤειδεν δ' ὡς γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε τὸ πρὶν κ. τ. λ. fortasse memoriae lapsu.

499. αἰθέρει Flor. Brub. Basil.

501. οὔρεά τ' Vrat. Flor. Brub. Basil.

502. αὐτῇσι Med. Reg. E. Vrat. Brub. Basil., quod non recipere debebant cum Hoelzlino Brunckius et Beckius. — πάντα γένοντο Regg. A. E., quod recepi pro vulg. πάντ' ἐγένοντο. vid. ad II, 1072.

508. ἐπὶ φρεσὶ ed. Paris. et inde Steph.

510. καρτύναντο Vrat.

513. Pro τοὶ Brunckius lectore non monito τοῦ dedit, quod neque unde sumserit, neque qua causa commotus vulgato praetulerit scio, nusquam enim comparet nisi in marg. Vind. et Schol. Paris. et sensum adeo pervertit, ut typothetarum magis errori quam Brunckii ingenio deberi putem. Migravit tamen in editiones sequentes, Beckianam quoque. — πλήξαντος Guelph. teste Piersono, πλήξαντο teste Hoerstelio cum gl. ἐθαύμασαν et suprascr. ἢ λήξαντος.

κηληθμῷ· τοίην σφιν ἐνέλλιπε θελκτὺν ἀοιδῆς.
οὐδ᾽ ἐπὶ δὴν μετέπειτα κερασσάμενοι δὴ λοιβάς,

515. *τοῖόν σφιν ἐνέλλιπε θέλκτιν ἀοιδήν* vulg., quae corrupta esse liquet. Libri magnopere variant: *τοίην* habent Guelph., marg. Vind. et, ut videtur, Vat. B. cum Regg. quinque, reliqui *τοῖον* exhibent. *τοίην γάρ σφιν ἐνέλιπε* Reg. A. *θέλκτον* Vatt. C. D. Vind. (ubi marg. *θέλκτιν*) Vrat. *θέλκτην* Vat. A. Guelph. et suprascr. in Vrat. *θέλκτυν* Reg. A., reliquorum Regiorum alii *θέλκτυν*, alii *θέλκτην*, denique *ἀοιδῇ* Vrat. *ἀριδῆς* Regg. quinque et Med. Inde Brunck. ad Epigr. gr. p. 292 et ad Eur. Hippol. 228 hunc locum ita restituere conatus est: *τοίην σφιν ἐνέλλιπε θελκτὺν ἀοιδῆς*, et ita cum eo edidit Beckius. Sensui quidem haec lectio satisfacit, neque librorum auctoritate caret, ideoque a me quoque in textum recepta est, at nihilo minus admodum est dubia. Receptae lectiones neque plurimorum sunt neque optimorum librorum, vocabulum *θελκτύς* alibi non reperitur, et, quod maximum est, syllabam postremam longam habere debet, cf. Wernick. ad Tryphiod. p. 288 s. Itaque ampliandum censeo.

516. Hic quoque et qui sequuntur versus corrupti sunt, nam et *δὴ* sensus aeque ac metri causa ferri nequit, et *τέως* absurdum est, et *τε* constructionem turbat, et totus locus cum praecedentibus non satis apte cohaeret. Librorum fere nulla est discrepantia. Pro *ἐπὶ δὴν* in Vat. D. a secunda manu legitur *ἔτι δὴν*, in Schol. vulg. *ἐπιδὴν*, quod habent etiam Steph. et Hoelzlin. Pro *δὴ* idem Vat. D. a sec. manu *Διΐ* habet, quod conjectura assecutus erat Steph. probante Ruhnk. epist. crit. p. 283, et recepit Beck. Profecto ea emendatione vix ulla potest luculentior esse, eamque et ipse recepissem, si magna lux inde toti loco affulgeret, sed locus ea non corrigitur, praeterea *δὴ* abest a Vrat., et a Scholiastis alto silentio premitur, qui de Mercurio potius, quam de Jove loquuntur. Totum locum qui emendare conaretur inventus est nemo praeter Gerhardium, qui Lectt. Apoll. p. 74 s. ita eum restituendum judicat:

οὐδ᾽ ἐπὶ δὴν μετέπειτα κερασσάμενοι δὴ λοιβάς,
ᾗ θέμις ἐστί, θεοῖς, ἐπί τε γλώσσῃσι χέοντο κ. τ. λ.

Sed etiamsi *τε* post participium illatum non moror, cujus ipse exempla attuli ad Aesch. Ag. 97, tolerari nequit spondeus disjunctus in pede quinto, displicet *θεοῖς* et ipse verborum nexus. Ut dicam quod sentio, locus mihi ita comparatus videtur, ut nulla unquam conjectura sanari possit, deesse enim nonnulla et *τέως* et *τε* clarissime indicant. Quomodo vero factum sit, ut locus adeo sit truncatus et corruptus, satis manifestum est, totus enim hic locus a v. 516 ad v. 524 posteriori carminis recensioni debetur, in priore alia omnia legebantur, quae deinde margini adscripta turbas non poterant non ciere. Versus a Scholiastis servatos adscribam, quantum fieri potuit emendatos:

ἦμος δὲ τριτάτη φάνη ἠὼς τῇδ᾽ ἐπὶ νυκτὶ
βουθυσίην Ἑκάτοιο καταυτόθι δαινυμένοισι,
ἦμος ἄρ᾽ ἐκ Διόθεν πνοιὴ πέσεν· ὦρτο δὲ Τῖφυς
κεκλόμενος βαίνειν ἐπὶ σέλμασι· τοὶ δ᾽ ἀΐοντες
ἰθὺς ἔβαινον —

Postremi versus initium in solis Scholiis Parisinis legitur, eumque explere conatus est Gerhard. p. 12, additis verbis: *ἄφαρ λελιημένοι εἰρεσιάων*. Primum quoque illorum versuum corruptum esse perspicuum est, quid enim est: *ubi tertia aurora iis hac nocte coenantibus apparuit?* Sanare eum conatus est Gerhard. emendando *τῆλ᾽ ἐπὶ νυκτὶ*, sed etiamsi id graece sic dici possit, saniorne est hic sensus: *ubi eis ad extremam noctem coenantibus tertia aurora apparuit?* nisi forte Gerhard. revera putavit, *τριτάτη ἠὼς* de tertia parte noctis secundum Il. X, 252 dici posse, quod non potest. Itaque aut *τριτάτη* aut *ἠὼς* corruptum est, idque confirmat satis mira lectionis varietas in Schol. Paris., *ὁδὸς* pro *ἠὼς*, qua tamen quid faciendum sit nemo facile dixerit. Sed haec sufficiant ad

ᾗ θέμις ἐστὶ, τέως ἐπί τε γλώσσῃσι χέοντο
αἰθομέναις, ὕπνου δὲ διὰ κνέφας ἐμνώοντο.
Αὐτὰρ ὅτ' αἰγλήεσσα φαεινοῖς ὄμμασιν Ἠὼς
Πηλίου αἰπεινὰς ἴδεν ἄκριας, ἐκ δ' ἀνέμοιο
εὔδιοι ἐκλύζοντο τινασσομένης ἁλὸς ἄκραι,
δὴ τότ' ἀνέγρετο Τῖφυς· ἄφαρ δ' ὀρόθυνεν ἑταίρους
βαινέμεναί τ' ἐπὶ νῆα καὶ ἀρτύνασθαι ἐρετμά.
σμερδαλέον δὲ λιμὴν Παγασήϊος ἠδὲ καὶ αὐτὴ
Πηλιὰς ἴαχεν Ἀργὼ ἐπισπέρχουσα νέεσθαι.
ἐν γάρ οἱ δόρυ θεῖον ἐλήλατο, τό ῥ' ἀνὰ μέσσην
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
οἱ δ' ἀνὰ σέλματα βάντες ἐπισχερὼ ἀλλήλοισιν,
ὡς ἐδάσαντο πάροιθεν ἐρεσσέμεν ᾧ ἐνὶ χώρῳ,
εὐκόσμως σφετέροισι παρ' ἔντεσιν ἑδριόωντο.
μέσσῳ δ' Ἀγκαῖος μέγα τε σθένος Ἡρακλῆος
ἵζανον· ἄγχι δέ οἱ ῥόπαλον θέτο καί οἱ ἔνερθεν
ποσσὶν ὑπεκλύσθη νηὸς τρόπις. εἵλκετο δ' ἤδη
πείσματα καὶ μέθυ λεῖβον ὕπερθ' ἁλός. αὐτὰρ Ἰήσων
δακρυόεις γαίης ἀπὸ πατρίδος ὄμματ' ἔνεικεν.
οἱ δ', ὥστ' ἠΐθεοι Φοίβῳ χορὸν ἢ ἐνὶ Πυθοῖ
ἤ που ἐν Ὀρτυγίῃ ἢ ἐφ' ὕδασιν Ἰσμηνοῖο
στησάμενοι, φόρμιγγος ὑπαὶ περὶ βωμὸν ὁμαρτῇ
ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν·
ὣς οἱ ὑπ' Ὀρφῆος κιθάρῃ πέπληγον ἐρετμοῖς
πόντου λάβρον ὕδωρ, ἐπὶ δὲ ῥόθια κλύζοντο·
ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη

indicandas loci difficultates, quem reliqui editores silentes et sicco pede transierunt.

517. χέονται Flor. Brub. Basil.

523. ἀρτυνέεσθαι ex uno Reg. D. recepit Brunck. ut venustius. Miror quomodo venustum ei visum sit, quod soloecum est.

524. Παγασήϊδος Vrat.

526. τόῤῥ' vulgo male. τό ῥ' Vatt. B. D. Vrat. Flor. Brub. Basil. Brunck. Beck. τό omittit Guelph.

528. ἐπὶ σχερῷ Vatt. B. D. ἐπισχερῷ Flor. ἐπισχερῷ Brub. Basil.

530. ἔντεσσιν Vrat. Vind.

533. ὑπεκλάσθη Reg. A. Schol. Paris. et suprascr. in Vind., quod non praeferendum.

538. περὶ βωμὸν ἐνισπῇ Vat. B. a manu prima, mira sane discrepantia. Hinc perspicuum est, Apollonium apud Hom. Il. XVIII, 571 ὁμαρτῇ legisse, ubi nunc ἁμαρτῇ editur.

539. κραιπνοῖσιν Vind. Vrat.

540. ὣς ὑπ' Ὀ. vulg. versu claudicante, cui subvenire voluit Stephanus, καὶ aut ἄρ' interjiciendo, Arnald. lectt. gr. p. 236 ὣς ὑπὸ scribendo, sed ὣς οἱ ὑπ' Reg. B. Med. (cod. ap. Dorvill. Obss. Misc. IV p. 194) Vatt. A. C. D. Vind. Vrat. et ut videtur Guelph. Male Reg. D. ὣς οἵ γ' ὑπ'—, male etiam Brunck. et Beck. ὣς οἳ ὑπ' Ὀ.

541. ῥεῤῥόθια Vat. B.

542. κελαινὴ ἐκήκιεν Guelph. Med.

δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.
στράπτε δ' ὑπ' ἠελίῳ φλογὶ εἴκελα νηὸς ἰούσης
τεύχεα· μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι,
ἀτραπὸς ὣς χλοεροῖο διειδομένη πεδίοιο.
πάντες δ' οὐρανόθεν λεῦσσον θεοὶ ἤματι κείνῳ
νῆα καὶ ἡμιθέων ἀνδρῶν μένος, οἳ τότ' ἄριστοι
πόντον ἐπιπλώεσκον· ἐπ' ἀκροτάτῃσι δὲ Νύμφαι
Πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
ἔργον Ἀθηναίης Ἰτωνίδος ἠδὲ καὶ αὐτοὺς
ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.
αὐτὰρ ὁ ἐξ ὑπάτου ὄρεος κίεν ἄγχι θαλάσσης
Χείρων Φιλλυρίδης, πολιῇ δ' ἐπὶ κύματος ἀγῇ

(apud Dorvill. l. c.) Flor. Ald. Brub. Basil., quod recipiendum judicavit Piers. Veris. p. 199, receperunt Brunck. et Beck. Nescio quomodo aures eorum ferre potuerint. Nusquam Apollonius caesuram trochaicam in pede quarto admisit, cf. Herm. ad Orph. p. 695.

543. Hermann. ad Orph. p. 731, offensus hiatu, qui est in vocabulis *μορμύρουσα ἐρισθενέων*, emendandum censuit *περισθενέων*. Sed est is hiatus eo loco, quo facillime toleratur, et quo Apollonius ipse eum saepius admisit, in caesura pedis tertii, cf. Spitzner. de vers. her. p. 142 s. Gerhard. lectt. p. 188. Ceterum in priore recensione Schol. Florentina hanc lectionem fuisse tradunt: *μορμύρουσα τυπῇσιν ἐρισθενέων μένει ἀνδρῶν.*

546. Imitationes latinas indicat Ruhnk. ep. crit. p. 283.

547. *θεοὶ λεῦσσον* Reg. A.

548. *ἀνδρῶν γένος* Regg. A. C. E. Guelph. *γένος ἀνδρῶν* Vat. B.

549. *ἀκροτάτοισι* vulg. *ἀκροτάτῃσι* Regg. A. C. E. Med. Guelph. Vrat. Vind. Vatt. A. B. D. et C. a manu prima, quod cum Brunck. et Beck. recepi, quamquam vulgatam tuetur Dorvill. ad Charit. p. 652 ed. Lips. De confusione illarum terminationum sermo fuit supra ad v. 128.

550. *σκοπιῇσιν* pro *κορυφῇσιν* habet auctor Etymol. M. p. 479, 52, quod memoriae ejus inhaeserat ex locis aliis ut Orph. Arg. 371. *Πηλίου κορυφὰς* habet Maneth. II, 105.

551. *Τριτωνίδος* Reg. A. et alii fortasse Regiorum, Vrat. Vind. (ubi in marg. vulg.) Guelph. (teste Hörstel., nam Piers. Veris. p. 200 *Ἰρινίδος* in eo legi dicit) et var. lect. in Schol. utrisque, quod valde dubitavi an recipiendum sit, quia reliquis omnibus locis Apollonius eam Tritonidem vocat, cujus omnino magnae sunt in fabulis ad Minyas pertinentibus partes, cf. C. O. Müller. Orchom. p. 213. 355. Sed *Ἰτωνίδος* non potuit a librariis proficisci, *Τριτωνίδος* facile reponere potuerunt, quum id reliquis locis reperissent. Praeterea vulgatam eandemque librorum plurimorum lectionem tuetur etiam Etymol. M. l. l. et qui ejus verba exscripserunt Tzetz. ad Lycophr. 355. Eudoc. p. 322 et Phavorin.

552. *ἐρετμοὺς* Guelph. teste Piers. *ἐρτμὰ* Vind.

553. *ὅ γ' ἐξ* vulg. *ὁ ἐξ ὑπάτοιο ὄρους* Vat. B., quo auctore ejiciendum est *γ'*, quod hiatus removendi causa intrusum est a librariis, cf. Gerhard. p. 191 et quae ad IV, 873 monebuntur.

554. *Φυλιρίδης* Reg. A. *Φιλυρίδης* Regg. C. E. Brunck. Beck. Sed quamquam poterat Apollonius vocis tetrasyllabae primam producere, ante liquidam maxime, tamen propter tot librorum consensum in vulgata acquievi. Etiam Orph. Arg. 454 libri omnes in *Φιλλυρίδης* consentiunt, itemque poetae latini *Phillyrides* scribunt, v. Propert. II, 1, 60. Virgil. Georg. III, 550. Ovid. Art. Am. I, 11.

τέγγε πόδας, καὶ πολλὰ βαρείῃ χειρὶ κελεύων
νόστον ἐπευφήμησεν ἀκηδέα νισσομένοισιν·
σὺν καί οἱ παράκοιτις ἐπωλένιον φορέουσα
Πηλείδην Ἀχιλῆα φίλῳ δειδίσκετο πατρί.
Οἱ δ' ὅτε δὴ λιμένος περιηγέα κάλλιπον ἀκτὴν
φραδμοσύνῃ μήτι τε δαΐφρονος Ἁγνιάδαο
Τίφυος, ὅς ῥ' ἐνὶ χερσὶν ἐΰξοα τεχνηέντως
πηδάλι' ἀμφιέπεσκ', ὄφρ' ἔμπεδον ἐξιθύνοι,
δή ῥα τότε μέγαν ἱστὸν ἐνεστήσαντο μεσόδμῃ,
δῆσαν δὲ προτόνοισι τανυσσάμενοι ἑκάτερθεν,
καδδ' αὐτοῦ λίνα χεῦαν ἐπ' ἠλακάτην ἐρύσαντες.
ἐν δὲ λιγὺς πέσεν οὖρος· ἐπ' ἰκριόφιν δὲ κάλωας
ξεστῇσιν περόνῃσι διακριδὸν ἀμφιβαλόντες
Τισαίην εὔκηλοι ὑπὲρ δολιχὴν θέον ἄκρην.
τοῖσι δὲ φορμίζων εὐθήμονι μέλπεν ἀοιδῇ
Οἰάγροιο πάϊς νηοσσόον εὐπατέρειαν
Ἄρτεμιν, ἣ κείνας σκοπιὰς ἁλὸς ἀμφιέπεσκεν
ῥυομένη καὶ γαῖαν Ἰωλκίδα· τοὶ δὲ βαθείης
ἰχθύες ἀΐσσοντες ὕπερθ' ἁλὸς, ἄμμιγα παύροις
ἄπλετοι, ὑγρὰ κέλευθα διασκαίροντες ἕποντο.
ὡς δ' ὁπότ' ἀγραύλοιο κατ' ἴχνια σημαντῆρος
μυρία μῆλ' ἐφέπονται ἄδην κεκορημένα ποίης
εἰς αὖλιν, ὁ δέ τ' εἶσι πάρος σύριγγι λιγείῃ
καλὰ μελιζόμενος νόμιον μέλος· ὣς ἄρα τοί γε
ὡμάρτευν· τὴν δ' αἰὲν ἐπασσύτερος φέρεν οὖρος.

557. *ἐπολένιον* Vind.

558. *Πηλεΐδην* Brunck. Beck. ex more.

559. *ἄκρην* scribendum videri pro *ἀκτήν* monebitur ad II, 994.

560. *μῆτι* Flor. Brub. Basil. et codd. aliquot, male, ultima enim ex contractione producitur, v. Spitzner. de vers. her. p. 44.

561. Hic cum trecentis proximis versibus desunt in Guelph.

564. *δῆσάν τε* Brunck. ex conjectura inepta.— *ἑκάτερθε* ex Regg. D. E. Brunck. Beck. Reliqui omnes *ἑκάτερθεν.*

565. *χεῦον* Flor. Brub. Basil. — Schol. Ven. ad Il. XVI, 183 et Etym. M. p. 424, 19 hunc versum, poetae nomine non addito, ita laudant: *καδδ' αὐτοῦ λίνα χεῦον ἐπ' ἠλάκατα τανύσαντες.*

567. *ξεστῇσι* Regg. D. E. Vatt. A. B. D. Brunck. Beck. ut solent. — *ἀμφιβάλλοντες* Vind.

569. *ἐϋθήμονι* Brunck. ut solet.

570. *νηοσόον* Schol. Paris.

572. *τῇ δὲ βαθείης* Regg. A. C. E., quod recepit Brunck. inepte. *τοὶ δ' ἐκ βαθείης* Ald. Paris. *ἐκ δὲ βαθείης* Vat. A. Brub. Basil. Hölzlin. Shaw. In recepta lectione, quam reliqui codd. omnes cum ed. Flor. tuentur, nihil est offensionis.

573. *ἔμμιγε* Schol. Paris. fortasse pro *ἔμμιγα.*

574. *ἄπλατοι* Schol. Paris. Uterque scholiastes explicat: *ἀπροσπέλαστοι, μεγάλοι.*

579. *ὡμάρτευ* Vind.

Αὐτίκα δ' ἠερίη πολυλήϊος αἶα Πελασγῶν
δύετο, Πηλιάδας δὲ παρεξήμειβον ἐρίπνας
αἰὲν ἐπιπροθέοντες· ἔδυνε δὲ Σηπιὰς ἄκρη,
φαίνετο δ' εἰναλίη Σκίαθος, φαίνοντο δ' ἄπωθεν
Πειρεσιαὶ Μάγνησά θ', ὑπεύδιος ἠπείροιο
ἀκτὴ, καὶ τύμβος Δολοπήϊος· ἔνθ' ἄρα τοίγε
ἑσπέριοι ἀνέμοιο παλιμπνοίῃσιν ἔκελσαν,
καί μιν κυδαίνοντες ὑπὸ κνέφας ἔντομα μήλων
κεῖαν ὀρινομένης ἁλὸς οἴδματι· διπλόα δ' ἀκταῖς
ἤματ' ἐλινύεσκον· ἀτὰρ τριτάτῳ προέηκαν
νῆα τανυσσάμενοι περιώσιον ὑψόθι λαῖφος.
τὴν δ' ἀκτὴν Ἀφέτας Ἀργοῦς ἔτι κικλήσκουσιν.
Ἔνθεν δὲ προτέρωσε παρεξέθεον Μελίβοιαν,
[ἀκτήν τ' αἰγιαλόν τε δυσήνεμον εἰσορόωντες.]

581. De prima vocabuli *δύετο* producta v. Wernick. ad Tryph. p. 374.

582. *ἐπὶ προθέοντες* Vatt. A. C.— *ἀκτή* Reg. D. ex confusione frequentissima; ita et Orpheus, qui hunc locum imitatur, Arg. v. 462 s.

Τισαίη δ' ἀπέκρυφθεν ἄκρη καὶ Σηπιὰς ἀκτὴ,
φάνθη δὲ Σκίαθος, Δόλοπός τ' ἀνεφαίνετο σῆμα.

Sed hunc oportebat *ἀκτή* dicere, quum *ἄκρη* praecessisset.

583. *ἄποθεν* Vind.

584. *Μάγνησσα* Schol. Paris.

585. *Δολοπείης* Reg. A. *Δολοπίηος* Vrat.

586. *πάλιν πνοιῇσιν* vulg. *παλιμπνοίῃσιν* ex conjectura dedit Brunck., quam confirmant codd., nam *παλινπνοιῇσιν* habent Vatt. A. D. *παλιμπνοιῇσιν* Vrat. *παλιμπνοίῃσιν* Vind. cum gl. *ἐναντίαις πνοιαῖς*.

588. *κῆαν* Vatt. A. D. Vrat. — *αὐταῖς* pro *ἀκταῖς* Steph. ex errore typ.

589. *ἤματα δαννύεσκον* Vat. B., qui merus error videtur ex frequente litterarum *Λ* et *Δ* confusione natus, non igitur propterea cum Gerhardo p. 44 putandum, in priore recensione mendosum *δαιννύεσκον* scriptum fuisse.

590. *τανυσάμενοι* vulg. Veram lectionem praebent Vatt. A. C. D. Med. Vind. Vrat. Regg. A. B. D. E.

592. *παρεξέθενον* Vind. *παρεξέθευν* Vrat.

593. Quod versus hic et sequens in idem vocabulum *εἰσορόωντες* exeunt, id omnino ferri nequit, quamquam enim II, 574 s. uterque versus in *αὖθις* et II, 1108 s. in *αὔτως* exit, ea et breviora sunt vocabula et minoris momenti, hanc autem ejusmodi repetitionem tolerasse Apollonium nemo putaverit. Quare Brunck. ad Theocr. XX, 26 prius *εἰσορόωντες* in *ἐκνεύσαντες* mutandum judicavit, quo in simili re utitur Orph. Arg. 460, idque deinde in textum recepit, et eandem emendationem iterum laudibus extulit ad Aristoph. Eccles. 614. Sed ea est admodum temeraria mutatio neque probabilior Jacobsii conjectura apud Weichert. *de versibus Virgilii et Valerii injuria suspectis* p. 88 *δυσήνεμον ὀῤῥωδοῦντες*; praeterea totus versus ita est comparatus, ut sine ullo sensus detrimento abesse possit; denique *ἀκτὴν* et *αἰγιαλὸν*, vocabula idem significantia, quis conjuncta ferat? Itaque rectius vidisse videntur Matthiae obss. p. 26 et Beckius, qui versum spurium judicant. Omnino dubitari non potest, quin ex priore recensione irrepserit, in qua sequens versus ita comparatus erat, ut non in *εἰσορόωντες* desineret, quae est et Gerhardi p. 29 s. sententia. Fortasse tum *ἄκρην τ' αἰγιαλόν τε* lectum est. His causis commotus versum uncis inclusi.

ἠῶθεν δ' Ὁμόλην αὐτοσχεδὸν εἰσορόωντες
πόντῳ κεκλιμένην παρεμέτρεον· οὐδ' ἔτι δηρὸν
μέλλον ὑπὲκ ποταμοῖο βαλεῖν Ἀμύροιο ῥέεθρα.
κεῖθεν δ' Εὐρυμενάς τε πολυκλύστους τε φάραγγας
Ὄσσης Οὐλύμποιό τ' ἐσέδρακον· αὐτὰρ ἔπειτα
κλίτεα Παλλήναια Καναστραίην ὑπὲρ ἄκρην
ἤνυσαν ἐννύχιοι πνοιῇς ἀνέμοιο θέοντες.
ἦρι δὲ νισσομένοισιν Ἄθω ἀνέτελλε κολώνη
Θρηϊκίη, ἣ τόσσον ἀπόπροθι Λῆμνον ἐοῦσαν,
ὅσσον ἐς ἔνδιόν κεν ἐΰστολος ὁλκὰς ἀνύσσαι,
ἀκροτάτῃ κορυφῇ σκιάει, καὶ ἐσάχρι Μυρίνης.
τοῖσιν δ' αὐτῆμαρ μὲν ἄεν καὶ ἐπὶ κνέφας οὖρος
πάγχυ μάλ' ἀκραὴς, τετάνυστο δὲ λαίφεα νηός.
αὐτὰρ ἅμ' ἠελίοιο βολαῖς ἀνέμοιο λιπόντος
εἰρεσίῃ κραναὴν Σιντηΐδα Λῆμνον ἵκοντο.
Ἔνθ' ἄμυδις πᾶς δῆμος ὑπερβασίῃσι γυναικῶν
νηλειῶς δέδμητο παροιχομένῳ λυκάβαντι.
δὴ γὰρ κουριδίας μὲν ἀπηνήναντο γυναῖκας
ἀνέρες ἐχθήραντες, ἔχον δ' ἐπὶ ληϊάδεσσιν
τρηχὺν ἔρον, ἃς αὐτοὶ ἀγίνεον ἀντιπέρηθεν

594. Propter homoeoteleuton hunc versum omiserunt librarii, qui Vat. B. et Vrat. scripserunt, hic eum in margine adjecit.

595. *οὐδέ τι* Vatt. A. C. D. Vrat.

596. *βάλλειν* Vind.

597. *εὐριμένας* Vatt. A. C. D. *εὐρυμένας* vulg., quod pro adjectivo etiam Schol. habent. Sed male se habent epitheta copula juncta, recte igitur Ruhnk. ep. crit. p. 283 *Εὐρυμενάς* scribendum esse vidit, quam Thessaliae urbem etiam Steph. Byz. commemorat. Certissimo argumento est Valer. Flacc. II, 14 *remis insurgitur; inde salutant Eurymenas.* Beckius male *Εὐρυμένας.* — *φάλαγγας* Vat. C. a m. 1. et Schol. Paris.

599. *κλείτεα* Vatt. A. C. D. Vind. Vrat. Brub. Basil. — *Παλλήνεα* Vind. Vrat.

600. *πνοιῇ* Vatt. A. B. D. et C. a m. 1. *πνοῆς* C. a m. 2.

601. *ἀνέτειλε* Reg. A.—*Ἄθως ἀνέτελλε κολώνη Θρηικίη* laudat Schol. ad Theocrit. VII, 76.

603. Expressit hunc versum Dionys. Perieg. 155, ubi male editur *ἀνύσσῃ.*

604. *ἐς ἄχρι* Vatt. A. B. C. D.

608. *Σιντιῆδα* Vind. — Hemistichium laudat Etymol. M. p. 713, 42.

609. *δέμδητο* Flor.

611. *ἀπανήναντο* Reg. A.

612. *ἐχθείραντες* Med. Reg. E. Vat. B. Flor. Brub. Shaw. Reposuerat jam Stephanus, quod in reliquis libris legitur.

613. *ἔρων* Reg. A., quod a librario profectum est metro prospiciente. Eadem de causa *τὰς* legitur in Vat. B. Flor. et reliquis editionibus, quod tam aperte correctori metrico debetur, ut mirer, quomodo id recipiendum esse judicaverit Spitzner. de vers. her. p. 61 post exempla contraria, quae ipse eo loco collegit; *ἃς*, quod codd. omnes, illo uno excepto, praebent, recte recepit Brunck. — *ἀγήνεον* Regg. A. E. Vat. B. Flor. Brub. Basil. Hölzlin. Veram lectionem, quam reliqui libri praebent, jam reposuerat Steph. — *ἀντυπέριθεν* Vind. *ἀντιπέῤῥη* Schol. Paris.

Θρηϊκίην δηοῦντες· ἐπεὶ χόλος αἰνὸς ὄπαζεν
Κύπριδος, οὕνεκά μιν γεράων ἐπὶ δηρὸν ἄτισσαν.
ὢ μέλεαι ζήλοιό τ' ἐπισμυγερῶς ἀκόρητοι.
οὐκ οἶον σὺν τῇσιν ἑοὺς ἔῤῥαισαν ἀκοίτας
ἀμφ' εὐνῇ, πᾶν δ' ἄρσεν ὁμοῦ γένος, ὥς κεν ὀπίσσω
μή τινα λευγαλέοιο φόνου τίσειαν ἀμοιβήν.
οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς
Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ δῆμον ἄνασσεν·
λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι,
αἴ κε φύγῃ. καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
πρόσθεν ἀτὰρ Σίκινόν γε μεθύστερον αὐδηθεῖσαν
νῆσον ἐπακτῆρες, Σικίνου ἄπο, τόν ῥα Θόαντι
Νηϊὰς Οἰνοίη Νύμφη τέκεν εὐνηθεῖσα.
ταῖσι δὲ βουκόλιαί τε βοῶν χάλκειά τε δύνειν
τεύχεα πυροφόρους τε διατμήξασθαι ἀρούρας
ῥηΐτερον πάσῃσιν Ἀθηναίης πέλεν ἔργων,
οἷς αἰεὶ τοπάροιθεν ὁμίλεον. ἀλλὰ γὰρ ἔμπης
ἦ θαμὰ δὴ πάπταινον ἐπὶ πλατὺν ὄμμασι πόντον
δείματι λευγαλέῳ, ὁπότε Θρήϊκες ἴασιν.
τῷ καὶ ὅτ' ἐγγύθι νήσου ἐρεσσομένην ἴδον Ἀργὼ,
αὐτίκα πασσυδίῃ πυλέων ἔκτοσθε Μυρίνης
δήϊα τεύχεα δῦσαι ἐς αἰγιαλὸν προχέοντο,
Θυιάσιν ὠμοβόροις ἴκελαι· φὰν γάρ που ἱκάνειν

615. *ἐπιδηρὸν* Flor. Brub. Basil., eaedemque edd. cum Schol. Paris. *ἄτισαν*.

616. *μέλαιε* Vind. — *ἐπεισμυγερῶς* Reg. A. — Hunc versum non suo loco legi, et versu sequente *οὐδ'* scribendum esse suspicatur Beckius, nescio qua causa.

617. Hic legitur adverbium *οἶον*, cujus exempla desideravi ad Aesch. Agam. 130. Item infra II, 634. III, 1109. IV, 652. 1077. — *ἔῤῥασσαν* Vat. B.

623. *φύγοι* Brunck. ex uno Reg. C. (ubi tamen vulgata suprascripta est) dedit, tanquam huic loco aptius, allatis locis I, 171. 663. 827. II, 340. III, 535, quorum primus tantum cum nostro comparari potest. Contra *αἴ κε* eadem deliberandi vi cum conjunctivo jungitur Il. I, 420. IV, 249. VII, 394. VIII, 191. X, 55. XI, 797. 799. XIII, 236. XXIV, 301. Od. I, 379 et passim. Eodem sensu *αἴ κε* apud Nostrum legitur cum conjunctivo II, 1128. III, 26. *εἴ κε* I, 807. III, 642. cum optativo II, 696. III, 535. 693. IV, 417. 462. Itaque vulgatam revocavi.

624. *αὐτὰρ* Reg. A. — *Σύκινον* Reg. A. et Schol. Paris. — *αὐδηθῆσαν* Flor. Brub. Basil. — Hunc versum cum parte praecedentis laudat Etymol. M. p. 712, 51.

625. *ἐπακτῆρες ἄνδρες Συκίνου* Reg. A.

627. *τῇσι* ex conjectura Brunck. Beck. Mirum sane in forma insolentiore hic libros omnes consentire.

629. *ἡδύτερον* corrigi vult Matthiae Misc. phil. II, 2 p. 115 sine causa. — *πέλον* Reg. A.

635. *δῦσαν* Vind. *δύσαντες* Vrat.

636. *θυάσιν* vulg. contra metrum. *θυιάσιν* ex Etymol. M. p. 457, 19 recte restituit Brunck. cf. Bentl. ad

Θρηΐκας· ἡδ' ἅμα τῇσι Θοαντιὰς Ὑψιπύλεια
δῦν' ἐνὶ τεύχεσι πατρός. ἀμηχανίῃ δ' ἐχέοντο
ἄφθογγοι· τοῖόν σφιν ἐπὶ δέος ᾐωρεῖτο.
Τείως δ' αὖτ' ἐκ νηὸς ἀριστῆες προέηκαν
Αἰθαλίδην, κήρυκα θοόν, τῷπέρ τε μέλεσθαι
ἀγγελίας καὶ σκῆπτρον ἐπέτρεπον Ἑρμείαο,
σφωϊτέροιο τοκῆος, ὅ οἱ μνῆστιν πόρε πάντων
ἄφθιτον· οὐδ' ἔτι νῦν περ ἀποιχομένου Ἀχέροντος
δίνας ἀπροφάτους ψυχὴν ἐπιδέδρομε λήθη.
ἀλλ' ἥ γ' ἔμπεδον αἰὲν ἀμειβομένη μεμόρηται,
ἄλλοθ' ὑποχθονίοις ἐναρίθμιος, ἄλλοτ' ἐς αὐγὰς
ἠελίου ζωοῖσι μετ' ἀνδράσιν. ἀλλὰ τί μύθους
Αἰθαλίδεω χρειώ με διηνεκέως ἀγορεύειν;
ὅς ῥα τόθ' Ὑψιπύλην μειλίξατο δέχθαι ἰόντας
ἤματος ἀνομένοιο διὰ κνέφας· οὐδὲ μὲν ἠοῖ
πείσματα νηὸς ἔλυσαν ἐπὶ πνοιῇ Βορέαο.
Λημνιάδες δὲ γυναῖκες ἀνὰ πτόλιν ἷζον ἰοῦσαι
εἰς ἀγορήν· αὐτὴ γὰρ ἐπέφραδεν Ὑψιπύλεια.
καὶ ῥ' ὅτε δὴ μάλα πᾶσαι ὁμιλαδὸν ἠγερέθοντο,
αὐτίκ' ἄρ' ἥγ' ἐνὶ τῇσιν ἐποτρύνουσ' ἀγόρευεν.

Hor. Carm. II, 19, 9. Brunck. et Blomf. ad Aesch. Sept. Th. 500 (494). θωάσιν Vatt. A. C. D.

637. Malim. ἡ δ' ἅμα τῇσι.—τοῖσι Flor. Brub. Basil. Steph. ut mox v. 656, inde ταῖσι Hölzlin. Shaw., sed τῇσι codd. omnes, Brunck. Beck.

638. δύν' Vrat. — ἐν Vat. B. — ἐγένοντο Vind. ἐλέοντο marg. Vind. ἐκέχυντο ex uno Reg. D. Brunck. Beck. male. cf. Il. XVI, 267. XIX, 356.

639. ἠώρητο Vind. ᾐωρεῖτο marg.

642. ἐπέτραπον ex uno Reg. D. Brunck. Beck. Idem exhibent Vatt. A. C. D., sed nihilominus imperfectum retinui, semper enim legationibus fungi Aethalidem jubebant.

643. σφωΐτερος *suus*, ut II, 763. III, 335. 600. 625. 1227. IV, 273.— Fugit hic versus Hermannum, quum ad Orph. p. 782 locos colligeret, quibus syllaba brevis in consonantem desinens ante οἷ non producitur, legitur enim vulgo τοκῆος, ὅς οἱ, neque dubitavi ὃς in ὃ mutare, ab imperitis librariis propter hiatum, qui eis videbatur, corruptum. Loci Homerici, quibus ὃς ante οἷ non producitur sunt Il. VI, 90. XIII, 561. Od. I, 300. III, 198. 308. XXI, 416, quibus omnibus ὃ reponendum videtur. Unus modo est praeter hunc Apollonii locus, quo ita a regula deflectitur, III, 1204, de quo infra sermo erit.

644. οὐδέ τι Vrat. Schol. Paris.

651. ἀνυμένοιο vulg. invito metro. ἀνωμένοιο Reg. D. ἀνομένοιο Regg. A. B. C. E. Vatt. A. D. et C. a m. 1. ed. Paris. Schol. Paris. et Etymol. M. p. 111, 17. hinc recte Brunck. Beck. Idem restitui jam poterat ex locis Nostri II, 494 et III, 1340.

653. ἷζον ἰοῦσαι emendandum judicat Gerhard. p. 75 propter loca Homerica Il. X, 470 et XXIII, 38, ubi ἷξον ἰόντες legitur. Cujus mutationis necessitatem non video, nam et sensum probum exhibet vulg. lectio, modo verba ita jungantur: ἀνὰ πτόλιν ἰοῦσαι, ἷζον εἰς ἀγορὴν, neque minus Homericum est ἷζον ἰοῦσαι, sic Il. IX, 87 ἷζον ἰόντες, XIX, 50 ἵζοντο κιόντες.

656. αὐτίκα ῥ' ἥγ' vulg. αὐτίκ' ἄρ' ἥγ' Regg. A. E. Vatt. A. C. D.

„Ὦ φίλαι, εἰ δ' ἄγε δὴ μενοεικέα δῶρα πόρωμεν
„ἀνδράσιν, οἷά τ' ἔοικεν ἄγειν ἐπὶ νηὸς ἔχοντας,
„ἤϊα καὶ μέθυ λαρὸν, ἵν' ἔμπεδον ἔκτοθι πύργων
„μίμνοιεν, μηδ' ἄμμε κατὰ χρειὼ μεθέποντες
„ἀτρεκέως γνώωσι, κακὴ δ' ἐπὶ πολλὸν ἵκηται
„βάξις· ἐπεὶ μέγα ἔργον ἐρέξαμεν, οὐδέ τι πάμπαν
„θυμηδές κεν τοῖσι τόγ' ἔσσεται, εἴ κε δαεῖεν.
„ἡμετέρη μέν νυν τοίη παρενήνοθε μῆτις·
„ὑμέων δ' εἴ τις ἄρειον ἔπος μητίσεται ἄλλη,
„ἐγρέσθω· τοῦ γάρ τε καὶ εἵνεκα δεῦρο κάλεσσα."
Ὣς ἄρ' ἔφη καὶ θῶκον ἐφίζανε πατρὸς ἑοῖο

Vrat., quod recte praetulit Brunck. Ita enim infra II, 1082 *αὐτίκ' ἄρ' οἵγε* et ipsum illud *αὐτίκ' ἄρ' ἥγε* Hom. Od. XXI, 46. Praeterea *αὐτίκ' ἄρα* legitur Il. XVI, 308. XXI, 378. Od. V, 77. XV, 93, nusquam vero *αὐτίκα ῥα.* — *τοῖσιν* Flor. Brub. Basil.

658. *ἔηκεν* Vind.

660. *μίμνωσι* ex conj. Brunck. Beck., quibus optativus soloecus visus est, qui nunc nemini amplius videtur. Neque in eo est offendendum quod juncta est utraque syntaxis, ut ab optativo ad conjunctivum transeatur. Simillimus est locus Hom. Il. XXIV, 584 sq. et apud Nostrum I, 446 *πάτρης ἐξήϊον, ὄφρ' ἐπιβαίην νηὸς, ἐύκλείη δὲ δόμοις ἐπιβάντι λίπηται.* Cf. quae monui ad Aesch. Prom. 202 et Schaef. ad Oed. R. p. 248. — *ἄμμι* vulg. *ἄμμιν* Reg. A. *ἄμι* Vind. Vrat. Quum dativus ferri nequeat, *ἄμμε* a Stephano repositum receperunt Brunck. Beck., quos secutus sum, quamquam memorabilis est librorum omnium consensus. *Ἄμμε* tamen exhibent Schol. Florentina. — *μετέποντες* Vind.

662. *ὀρέξαμεν* Vatt. A. C. D.

663. *θ. καὶ τοῖσι τόγ' ἔσσεται* vulg. profecto male, nam *καὶ* nullo modo ferri potest. *θ. καὶ τοῖσι τόγε ἔσσεται* Vatt. A. C. D. Vrat. Vind. *θυμῆδες τοῖσι τόγ' ἔσσεται* Reg. E. Hae solae sunt librorum discrepantiae, nam quod Brunckius dicit, *καὶ* in pluribus codd. abesse, ei non multum tribuendum est, quum nomina eorum non addat; (neque alii possunt quam quidam de Regg. esse, quorum quum ex solo E. eam lectionem afferat, in qua *καὶ* desideratur, in hoc solo vel fortasse etiam in Reg. A. *καὶ* abesse puto.) Nihilominus hac re nititur ejus emendatio admodum temeraria et omni probabilitate carens: *θυμῆδες τοῖσίν γε τόδ' ἔσσεται.* Beckius vero pejus etiam scripsit: *θυμηδὲς τοῖσι τό γε ἔσσεται*, quod et ipsum omni auctoritate caret, nam quod in Vrat. et al. ita legi dicit, falsum est; in nullo libro hoc legi vidimus. Iam vulgatum *καί*, quod omni sensu caret, non aliunde potest quam ex *κεν* ortum esse librariorum errore, quem frequentissimum esse jam supra vidimus. (Apud Nostrum *καί* et *κέ* confusa reperiuntur I, 244. 689. 780. 1208. II, 232. 294. 342. 362. 389. 413. 696. III, 377. 401. 693. 842. IV, 636. 1049. 1418.) Deinde si quis librorum lectiones diligenter inter se contulerit, duplices fuisse deprehendet lectiones in duabus recensionibus, alteram priorem *θ. τοῖσιν τόγε ἔσσεται*, alteram posteriorem *θ. κεν τοῖσι τόγ' ἔσσεται*, quae deinde in libris confusae sunt. Posteriorem non dubitavi in textum recipere, non offensus particula *κέν* cum futuro indicativi juncta, de qua vid. quae ad I, 416 monita sunt.

664. *νῦν* Vrat.

665. *ὑμείων* Vind. Vrat. Brub. Basil. — *ἔτι* pro *εἰ* Basil. — *μητίσσεται* vulg. *μητίσηται* Regg. A. E. *μητίσεται* Regg. C. D. Vatt. B. D. Flor. Brub. Basil. Brunck. Beck.

666. *δεῦρ' ἐκάλεσσα* suspicatur Brunck. sine causa. vid. ad II, 1072.

λάϊνον· αὐτὰρ ἔπειτα φίλη τροφὸς ὦρτο Πολυξὼ,
γήραϊ δὴ ῥικνοῖσιν ἐπισκάζουσα πόδεσσιν,
βάκτρῳ ἐρειδομένη, πέρι δὲ μενέαιν' ἀγορεῦσαι.
τῇ καὶ παρθενικαὶ πίσυρες σχεδὸν ἑδριόωντο
ἀδμῆτες λευκῇσιν ἐπιχνοαούσῃ ἐθείραις.
στῆ δ' ἄρ' ἐνὶ μέσσῃ ἀγορῇ, ἀνὰ δ' ἔσχεθε δειρὴν
ἦκα μόλις κυφοῖο μεταφρένου ὧδέ τ' ἔειπεν.
„Δῶρα μὲν, ὡς αὐτῇ περ ἐφανδάνει Ὑψιπυλείῃ,
„πέμπωμεν ξείνοισιν, ἐπεὶ καὶ ἄρειον ὀπάσσαι.
„ὔμμι γε μὴν τίς μῆτις ἐπαυρέσθαι βιότοιο,
„αἴ κεν ἐπιβρίσῃ Θρήϊξ στρατὸς ἠέ τις ἄλλος
„δυσμενέων; ἅτε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
„ὡς καὶ νῦν ὅδ' ὅμιλος ἀνωΐστως ἀφικάνει.
„εἰ δὲ τὸ μὲν μακάρων τις ἀποτρέποι, ἄλλα δ' ὀπίσσω
„μυρία δηϊοτῆτος ὑπέρτερα πήματα μίμνει.
„εὖτ' ἂν δὴ γεραραὶ μὲν ἀποφθινύθωσι γυναῖκες,
„κουρότεραι δ' ἄγονοι στυγερὸν ποτὶ γῆρας ἵκησθε,
„πῶς τῆμος βώσεσθε δυσάμμοροι; ἠὲ βαθείαις
„αὐτόματοι βόες ὔμμιν ἐνιζευχθέντες ἀρούραις

668. αὐτὰρ omittunt Vrat. Vind. Flor. Brub. Basil., et hae quidem editiones pro λάϊνον exhibent λαΐνειον, in qua lectione, a nullo editorum annotata, nescio an alterius recensionis vestigium agnoscendum sit.

670. περὶ vulg. πέρι, quod etiam in codd. nonnullis legitur, recte restituit Brunck. — δὴ Reg. A. et alii quidam, ut videtur, Regg. ex metri ignorantia, v. Herm. ad Orph. p. 704. — μενέαινε Vind. μενέαινεν a m. 2. μεναίεν Vrat.

672. λευκῇσιν ἐπιχνοάουσαι vulg., in quo merito offendit Brunck., quum de puellis juvenculis ex ea lectione sermo sit, ideoque ξανθῇσιν reposuit; sed id quomodo in λευκῇσιν transierit, nemo facile dixerit. Weston. Hermesian. p. 73 s. πλεκτῇσιν rescribendum judicat, quod eadem difficultate premitur. Gerhard. Lectt. p. 76 λευρῇσιν emendavit, sed λευραὶ ἔθειραι an unquam dictae sint, nescio; si dictae sunt, quomodo ad juventutem significandam adhiberi possint non video. Multo facilior et aptior in promtu est emendatio Passovii, quam V. D. humanissime mecum communicavit, ἐπιχνοαούσῃ, qua omnis loci difficultas ita tollitur, ut eam in textum recipiendam esse judicaverim.

675. Ὑψιπυλείᾳ Reg. A.

676. πέμπομεν Vind. Vrat.

677. ἐπαύρεσθαι vulg. ἐπαυράσθαι Vatt. C. D. ἐπαυρέσθαι, quod in Flor. Brub. Basil. legitur et a Schol. quoque affertur, necessario rescribendum duxi.

678. ἐπιβρίσσῃ Vind. Vrat.

679. Brunckius non hic sed post ἀφικάνει interrogationis notam posuit, minus bene. — πέλωνται Flor. Brub. Basil.

680. ἀποτρέπει vulg. ἀποτρέποι Med. Vatt. A. C. D. Vind. Vrat., quod recte praetulit Brunck.

683. ἀποφθινύθουσι vulg. ἀποφθινίθουσι Flor. Brub. Basil. ἀποφθινύθωσι Reg. E. Vind. Vrat., recte repositum a Brunckio. Conjecerat jam Steph.

684. κουρότεροι Flor.

685. βαρείαις et Brunck. errore typ. ut videtur. — Prius hemistichium laudat Etym. M. p. 218, 36.

686. αὐτόματι Vind.

„γειοτόμον νειοῖο διειρύσσουσιν ἄροτρον,
„καὶ πρόκα τελλομένου ἔτεος στάχυν ἀμήσονται;
„ἦ μὲν ἐγὼν, εἰ καί με τανῦν ἔτι πεφρίκασι
„Κῆρες, ἐπερχόμενόν που ὀΐομαι εἰς ἔτος ἤδη
„γαῖαν ἐφέσσεσθαι, κτερέων ἀπὸ μοῖραν ἑλοῦσαν
„αὔτως ᾗ θέμις ἐστὶ, πάρος κακότητα πελάσσαι.
„ὁπλοτέρῃσι δὲ πάγχυ τάδε φράζεσθαι ἄνωγα.
„νῦν γὰρ δὴ παρὰ ποσσὶν ἐπήβολος ἔστ' ἀλεωρὴ,
„εἴ κεν ἐπιτρέψητε δόμους καὶ ληΐδα πᾶσαν
„ὑμετέρην ξείνοισι καὶ ἀγλαὸν ἄστυ μέλεσθαι."
῝Ως ἔφατ'· ἐν δ' ἀγορὴ πλῆτο θρόου. εὔαδε γάρ σφιν
μῦθος. ἀτὰρ μετὰ τήν γε παρασχεδὸν αὖτις ἀνῶρτο
῾Υψιπύλη, καὶ τοῖον ὑποβλήδην ἔπος ηὔδα.
„Εἰ μὲν δὴ πάσῃσιν ἐφανδάνει ἥδε μενοινὴ,
„ἤδη κεν μετὰ νῆα καὶ ἄγγελον ὀτρύναιμι."
ἦ ῥα καὶ Ἰφινόην μετεφώνεεν ἄσσον ἐοῦσαν.
„Ὄρσο μοι, Ἰφινόη, τοῦδ' ἀνέρος ἀντιόωσα,
„ἡμέτερόνδε μολεῖν, ὅστις στόλου ἡγεμονεύει,
„ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπω·
„καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλωσι,
„κέκλεο θαρσαλέως ἐπιβαινέμεν εὐμενέοντας."
Ἦ καὶ ἔλυσ' ἀγορήν· μετὰ δ' εἰς ἑὸν ὦρτο νέεσθαι·
ὣς δὲ καὶ Ἰφινόη Μινύας ἵκεθ'· οἱ δ' ἐρέεινον

687. **γειοπόνον** Flor. — **διεῤῥύσσουσιν** Regg. A. E. **διερύσσουσιν** Steph. errore, ut videtur, typ.

688. **καὶ περιτελλομένου** Vatt. A. B. C. D. Vind. var. lect. in Schol. Flor. fortasse ex altera recensione. In marg. Vind. est **προκατελλομένου**. — **ἀμήσεσθε** suspicatur Beck. inepte; consulto ad boves relatum est, quo magis rem fieri non posse eluceat.

689. **εἴ κέν με** Flor. Brub. Basil. perperam. — **μετὰ νῦν** Vind. — **πεφρίκασσι** vulg. **πεφρύκασσι** Flor. Brub. Basil. **πεφρίκασι** Regg. A. D. E. Vatt. A. D. Vind. Vrat. Brunck. Beck.

692. **κακότητι** Regg. A. E. — **πελάσσω** Vat. C. a m. 1. **πελάσαι** Vind. Vrat.

693. **φράζεσθει** Flor.

695. **εἴκε** Vind.

696. **νέμεσθαι** vulg. **μέλεσθαι** Regg. B. C. D. Vatt. A. B. C. D. Vrat. Vind. Brunck. recte. **μελέσθαι** Flor. Brub. Basil. Beck.

697. **ἀγορῇ** Med. Flor. Brub. Basil. male. — **σφι** Regg. D. E. Brunck. Beck.

698. **τήνδε** vulg. **τὴν** Vind. **τήν γε** Med. Regg. A. B. C. D. E. Vatt. A. C. D. Vrat. Brunck. Beck.

706. **αἴ κε θέλωσι** vulg. **ἄν κε θέλωσι** Steph. errore typ. **αἴ κ' ἐθέλωσι** Regg. A. B. D. Vatt. A. C. Vrat., quod ex epicorum usu recte praetulit Brunck., quamquam alteram formam sibi permisit Apollon. II, 960. Persaepe in hoc genere dubia res est. Apud Quint. Smyrn. III, 654 legitur **θέλῃσι**. IV, 490 **θέλητε**. VIII, 320 **θέλον**. XIV, 221 **θέλωσι**, sed plerumque praecedente **κέ**, ut facilis sit mutatio, quemadmodum Apollon. IV, 1103, ubi libri variant.

709. **ὡς** et comma post **ἵκεθ'** Flor. Brub. Basil. male.

χρεῖος ὅ τι φρονέουσα μετήλυθεν. ὦκα δὲ τούς γε
πασσυδίῃ μύθοισι προσέννεπεν ἐξερέοντας.
„Κούρη τοί μ' ἐφέηκε Θοαντιὰς ἐνθάδ' ἰοῦσαν
„Ὑψιπύλη καλέειν νηὸς πρόμον, ὅστις ὄρωρεν,
„ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπῃ·
„καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλητε,
„κέκλεται αὐτίκα νῦν ἐπιβαινέμεν εὐμενέοντας."
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἐναίσιμος ἥνδανε μῦθος.
Ὑψιπύλην δ' εἴσαντο καταφθιμένοιο Θόαντος
τηλυγέτην γεγαυῖαν ἀνασσέμεν· ὦκα δὲ τόν γε
πέμπον ἴμεν, καὶ δ' αὐτοὶ ἐπεντύνοντο νέεσθαι.
Αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι θεᾶς Τριτωνίδος ἔργον,
δίπλακα πορφυρέην, περονήσατο, τήν οἱ ὄπασσεν
Παλλὰς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
Ἀργοῦς, καὶ κανόνεσσι δάε ζυγὰ μετρήσασθαι.
τῆς μὲν ῥηΐτερόν κεν ἐς ἠέλιον ἀνιόντα
ὄσσε βάλοις, ἢ κεῖνο μεταβλέψειας ἔρευθος.

710. ὧδε pro ὦκα Reg. A.

711. πανσυδίῃ vulg. πασσυδίῃ Regg. A. B. D. E. Vatt. A. D. Vrat. Vind. Med. Brunck. Beck. Vid. supra ad v. 323. — ἐξερέουσα Reg. D.

712. κάρη Schol. Paris. — ἐπέηκε Regg. A. B. C. D. E., quam formam epicis inauditam non recipere debebat Brunckius.

713. καλέην Vind. καλέει Reg. A.

714. θυμηδὲς vulg. θυμῆρες Regg. A. B. C. D. E., quod propter v. 705 necessarium restituit Brunck.

715. αἴ κε θέλητε vulg. αἴ κ' ἐθέλητε Regg. A. D. Brunck. Beck. ut v. 706.

717. αἰνέσιμος Regg. A. E.

718. οἴσαντο malle se dicit Brunck. et hic et v. 1024, ubi εἴσαντο eadem *putandi* significatione adhibitum est, sed exemplis non caret hic usus vel prosaicorum scriptorum, cf. Herod. III, 61 ὡς ὀλίγοι ἦσαν οἱ ἐπιστάμενοι αὐτὸν Περσέων, οἱ δὲ πολλοὶ περιεόντα μιν εἰδείησαν.

720. αὐτὸν Reg. A.

721. Ἰτωνίδος vulg. Τριτωνίδος Vatt. A. B. C. D. Vrat. Vind. var. lect. in Reg. A. et al. fortasse Regg. Flor. Brub. Basil., et hoc quidem loco ita scripsisse Apollonium dubitare non sinit tantus librorum consensus, maxime vero v. 768, ubi quum de eadem re sermo sit, non potuit alio Deae cognomine uti, quam hoc loco, ibi vero libri omnes in Τριτωνίδος consentiunt, quod propterea hic quoque ex plurimis recepi.

724. δάεν Schol. Paris.

725. ἢ μὲν ex conjectura Brunck. Beck., quibus genitivus ferri non posse videbatur propter sequens ἤ, sed est haec negligentia quaedam sermonis apud quosvis scriptores obvia, cf. Toup. ad Longin. p. 321. Markl. ad Lys. p. 370. Heind. ad Plat. Gorg. p. 183. Wopk. lectt. Tull. p. 123. Nostro vero loco negligentiae origo maxime perspicua est, quippe in priore recensione versus 726 et 727 abfuisse refert Schol. Flor., itaque haec fere lectio fuisse videtur:

τῆς μὲν ῥηΐτερόν κεν ἐς ἥλιον
ὄσσε βάλοισθα.
ἄκρα δὲ πορφυρέη πάντῃ πέλεν·
κ. τ. λ.

cf. Gerhard. p. 13. Iam vero ceteris mutatis initium orationis non mutavit poeta. — ἐπ' ἠέλιον vulg. ἐς ἠέλιον Regg. A. B. C. D. E. Vind. Vrat., quod recte praetulit Brunck.

δὴ γάρ τοι μέσση μὲν ἐρευθήεσσα τέτυκτο,
ἄκρα δὲ πορφυρέη πάντη πέλεν· ἐν δ' ἄρ' ἑκάστῳ
τέρματι δαίδαλα πολλὰ διακριδὸν εὖ ἐπέπαστο.
Ἐν μὲν ἔσαν Κύκλωπες ἐπ' ἀφθίτῳ ἥμενοι ἔργῳ,
Ζηνὶ κεραυνὸν ἄνακτι πονεύμενοι, ὃς τόσον ἤδη
παμφαίνων ἐτέτυκτο, μιῆς δ' ἔτι δεύετο μοῦνον
ἀκτῖνος, τὴν οἵγε σιδηρείης ἐλάασκον
σφύρῃσιν, μαλεροῖο πυρὸς ζείουσαν ἀϋτμήν.
Ἐν δ' ἔσαν Ἀντιόπης Ἀσωπίδος υἷεε δοιώ,
Ἀμφίων καὶ Ζῆθος· ἀπύργωτος δ' ἔτι Θήβη
κεῖτο πέλας, τῆς οἵγε νέον βάλλοντο δομαίους
ἱέμενοι. Ζῆθος μὲν ἐπωμαδὸν ἠέρταζεν
οὔρεος ἠλιβάτοιο κάρη μογέοντι ἐοικώς·
Ἀμφίων δ' ἐπί οἱ χρυσέῃ φόρμιγγι λιγαίνων
ἤϊε, δὶς τόσση δὲ μετ' ἴχνια νίσσετο πέτρη.
Ἑξείης δ' ἤσκητο βαθυπλόκαμος Κυθέρεια
Ἄρεος ὀχμάζουσα θοὸν σάκος· ἐκ δέ οἱ ὤμου
πῆχυν ἐπὶ σκαιὸν ξυνοχὴ κεχάλαστο χιτῶνος
νέρθεν ὑπὲρ μαζοῖο· τὸ δ' ἀντίον ἀτρεκὲς αὔτως
χαλκείῃ δείκηλον ἐν ἀσπίδι φαίνετ' ἰδέσθαι.
Ἐν δὲ βοῶν ἔσκεν λάσιος νομός· ἀμφὶ δὲ βουσὶ

727. *ἐρευθείεσσα* Flor. Brub. Basil.

729. *ἐκέκαστο* vulg. *ἐπέπαστο* emendavit Ruhnk. ep. crit. p. 284, quod recepit Beck. Certa est emendatio propter locos Homericos Il. III, 125 *ἣ δὲ μέγαν ἱστὸν ὕφαινεν, Δίπλακα πορφυρέην· πολέας δ' ἐνέπασσεν ἀέθλους.* XXII, 440 *Ἀλλ' ἥγ' ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο, Δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσεν.*

733. *σιδηρείοις* Vatt. C. D.

734. *σφύρῃσι* Brunck. Beck. ut solent, et sic Vatt. A. C. D. — *ἀϋτμῇ* ex Reg. D. Brunck. Beck. sine causa, *ζεῖν* cum accusativo jungi in vulgus notum est, cf. Ruhnk. ep. crit. p. 224. Blomfield. glossar. ad Aesch. Prom. 678.

735. *ἔσ ἀντιόπης* Vrat. — Laudat hunc versum cum duobus proximis Etymol. M. p. 411, 8. Respexit hunc locum Probus ad Virg. Ecl. II, 23.

738. *Ζῆτος* Vrat.

739. *καρημογέοντι* Flor. Brub. Basil. Hölzlin.

741. *μετίχνια* Flor. Brub. Basil. Hölzlin. Shaw. Correctum jam est in Paris. et Steph. — *νείσετο* vulg. *νείσσετο* Vind. Vrat. *νίσσετο* Regg. quatuor, Brunck. Beck.

742. *Κυθερείη* ex Regg. A. B. E. Brunck. Beck., quod non est vocabulum graecum.

744. *ἐπισκαιὸν* Reg. A.

745. *νέρθεν ὑπὲρ μαζοῖο* quomodo ferri possit non video, *ὑπὸ μαζοῖο* suspicatur Brunck., sed Vatt. A. B. C. praebent *ὑπερμαζοῖο*, unde *ὑπερμάζοιο* in textum recepissem, si illud vocabulum alibi reperiretur. Sed verum mihi videtur et in lexica ex h. l. inferendum. — *ἀνταῖον* Vind.

746. *δίκηλον* vulg. *δίκελον* Flor. *δείκηλον* Vind. Vrat., quod metri causa recte receperunt Brunck., ut IV, 1672.

747. *ἔσκε* Regg. A. D. E. Vatt. A. C. D. Vind. Vrat. Brunck. Beck. ut semper.

Τηλεβόαι μάρναντο καὶ υἱέες Ἠλεκτρύωνος·
οἱ μὲν ἀμειβόμενοι, ἀτὰρ οἵγ' ἐθέλοντες ἀμέρσαι
ληϊσταὶ Τάφιοι· τῶν δ' αἵματι δεύετο λειμὼν
ἑρσήεις, πολέες δ' ὀλίγους βιόωντο νομῆας.
Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντες.
καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε τινάσσων
ἡνία, σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια·
τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους.
σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς
ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
πῖπτεν, ἐπεσσύμενος Πελοπήϊα νῶτα δαΐξαι.
Ἐν καὶ Ἀπόλλων Φοῖβος ὀϊστεύων ἐτέτυκτο,
βούπαις οὔπω πολλὸς, ἑὴν ἐρύοντα καλύπτρης
μητέρα θαρσαλέως Τιτυὸν μέγαν, ὅν ῥ' ἔτεκέν γε
δῖ' Ἐλάρη, θρέψεν δὲ καὶ ἂψ ἐλοχεύσατο Γαῖα.
Ἐν καὶ Φρίξος ἔην Μινυήϊος, ὡς ἐτεόν περ
εἰσαΐων κριοῦ, ὁ δ' ἄρ' ἐξενέποντι ἐοικώς.
κείνους κ' εἰσορόων ἀκέοις ψεύδοιό τε θυμὸν,
ἐλπόμενος πυκινήν τιν' ἀπὸ σφείων ἐσακοῦσαι
βάξιν, ὃ καὶ δηρόν περ ἐπ' ἐλπίδι θηήσαιο.
Τοῖ' ἄρα δῶρα θεᾶς Τριτωνίδος ἦεν Ἀθήνης.
δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' Ἀταλάντη

748. *ἠλτκιρύωνως* Vind.
749. *οἵ γε θέλοντες* Vind. Vrat.
752. *πεπονείατο* Med. Flor. Brub. Basil. — Totum hunc locum usque ad v. 758 laudat Tzetz. ad Lycophr. 156.
754. *ἔσκαι* Vind.
757. Corrupte hunc versum laudat Schol. ad Soph. El. 737 *ἀζόμενος πλήμνῃσι παρακλιδὸν αἰνυμένοιο.*
759. *ἐν δὲ καὶ Ἀπόλλων* Schol. Paris.
760. *βούπαις, οὔπω πολλὸς ἔην, ἐρύοντα* Vatt. A. B. C. D. Vrat. Flor. Brub. Basil., quod silentio transierunt editores, sed vix ferendum.
762. *ἐλάρω* Vind. *Ἑλάρη* Beck. nescio quo jure. — *θρέψε* Vatt. A. B. D. Vind. Vrat. Flor. Brub. Basil. — *αὖ* Reg. A.
763. *ἐν δὲ καὶ* Schol. Paris. et Beck. errore typ. ut videtur. — *ὡς ῥ' ἐτεόν περ* vulg. *ῥ'* omittunt Regg. A. B. C. D. E. Vatt. C. D. Vind. Vrat. Brunck. Beck. recte, cf. Hom. Il. XIV, 125. — *ἐὸν* Vatt. C. D. sed correctum in C. a m. 2.
764. *ἔοικε* Reg. A. et duo alii Regg., unde Brunck. emendavit *ἐῴκει*, sine causa. *ἔοικε* ex Med., ut videtur, recepit Hörstel. v. praef. p. VII.
765. *κ'* omittit Flor.
766. *τιν'* deest in Vind. Vrat. — *εἰσακοῦσαι* Vrat.
767. *περ* omittunt Vatt. A. C. D. Vind. Vrat. ejus loco *νῦν* habet Reg. A. *νυν* Regg. B. C. D. E., quod Brunck. et Beck. receperunt, sed non tantum his libris tribuendum esse scimus. Lacunam, quam invenerat, ex ingenio explevit librarius.
768. *Ἰτωνίδος* invitis omnibus libris ex conjectura Brunck. Beck. propter v. 721, sed ibi potius propter hunc versum *Τριτωνίδος* reponendum esse vidimus.
769. *ὅ ῥ' Ἀταλάντη* vulg. correxit Brunck. ex Reg. E.

Μαινάλῳ ἔν ποτέ οἵ ξεινήϊον ἐγγυάλιξεν
πρόφρων ἀντομένη· περὶ γὰρ μενέαινεν ἕπεσθαι
τὴν ὁδόν· ἀλλὰ γὰρ αὐτὸς ἑκὼν ἀπερήτυε κούρην·
δεῖσεν δ' ἀργαλέας ἔριδας φιλότητος ἕκητι.
Βῆ δ' ἴμεναι προτὶ ἄστυ φαεινῷ ἀστέρι ἶσος,
ὅν ῥά τε νηγατέῃσιν ἐεργόμεναι καλύβῃσιν
νύμφαι θηήσαντο δόμων ὕπερ ἀντέλλοντα,
καί σφίσι κυανέοιο δι' ἠέρος ὄμματα θέλγει
καλὸν ἐρευθόμενος, γάνυται δέ τε ἠϊθέοιο
παρθένος ἱμείρουσα μετ' ἀλλοδαποῖσιν ἐόντος
ἀνδράσιν, ᾧ καί μιν μνηστὴν κομέουσι τοκῆες·
τῷ ἴκελος πρὸ πόληος ἀνὰ στίβον ἤϊεν ἥρως.
καί ῥ' ὅτε δὴ πυλέων τε καὶ ἄστεος ἐντὸς ἔβησαν,
δημότεραι μὲν ὄπισθεν ἐπεκλονέοντο γυναῖκες,
γηθόσυναι ξείνῳ· ὁ δ' ἐπὶ χθονὸς ὄμματ' ἐρείσας
νίσσετ' ἀπηλεγέως, ὄφρ' ἀγλαὰ δώμαθ' ἵκανεν
Ὑψιπύλης· ἄνεσαν δὲ πύλας προφανέντι θεράπναι
δικλίδας, εὐτύκτοισιν ἀρηρεμένας σανίδεσσιν.

770. Hic et sequens versus inverso ordine leguntur in Reg. A. (et alius fortasse Regg.) Vatt. A. B. D. Vrat. Vind. Flor. Brub. Basil. — De anastrophe praepositionis *ἐν* v. Gerhard. Lectt. p. 134, ubi addatur I, 121.

773. *δεῖσε* Vrat. Vind. Flor.

775. *ἀεργομέναι* Vatt. C. D. — *καλύβῃσιν* Flor. Brub. Basil.

776. *ὑπεραντέλλοντα* vulg. *ὑπερ ἀντέλλοντα* Vat. A. *ὕπερ ἀντέλλοντα* Reg. A. Vat. B., quod recipere non dubitavi.

777. *καί σφι* Vatt. C. D.

778. *γάννυται* Flor. Brub. Basil.— Hiatum in vocabulis *τε ἠϊθέοιο* recte excusavit Herm. ad Orph. p. 731, neque erat quod emendationes circumspiceret.

780. *κέ* pro *καί* dant Regg. D. E. *κέν* Regg. A. B. C. *κομέωσι* Regg. A. B. C. D. E., unde Brunckius obsequente Beckio dedit: *ᾧ κέν μιν μνηστὴν κομέωσι τοκῆες.* Sed illud *κέν* hic prorsus male se habet, et pro *καὶ* ex frequentissimo errore natum est, quo facto conjunctivum deinde reposuit librarius ille, cui tot lectiones codicum Regg. debemus. Revocavi igitur vulgatam lectionem, quae optimum sensum praebet.

781. *πόλιος* Vatt. A. C. D. — *ἀνὰ στείβων* Vatt. A. C. D. Vind. *ἀναστείβων* Vrat.

782. *ἔβησε* suspicatur Beck., quo se neque hujus aoristi vim tenere neque Brunckii notam legisse testatur, is enim recte jam animadvertit, Iasonem et Iphinoen intelligi.

783. *ἐπικλονέοντο* Schol. Paris.

785. *νίσετ'* Flor. Brub. Basil.

786. *θύρας* Regg. quinque, quod praetulit Brunck., profecto non alia de causa, quam quod in *suis* libris invenerat, recepit tamen etiam Beckius; *πύλας δικλίδας* habet etiam Hom. Il. XII, 454.

787. *κικλίδας* Vat. D. et C. a m. 1. *δικλεῖδας* Reg. A. *δικλύδας* Flor. Brub. Basil. — *ἀνηραμένας* Reg. A. *ἀρηραμένας* Regg. C. E., quod recepit Brunck., vulg. nihil esse ratus, hoc vero participium aoristi medii, eique obsecutus est Beckius. Sed etiamsi forma ista aoristi exemplis comprobata esset, quomodo aoristum medii hic sensus admittere possit non dixerunt. Imo Apollonius perfectum passivi recte fecit *ἀρήρεμαι*, unde

ἔνθα μιν Ἰφινόη κλισμῷ ἐνὶ παμφανόωντι
ἑσσυμένως καλῆς διὰ παστάδος εἷσεν ἄγουσα
ἀντία δεσποίνης· ἡ δ᾽ ἐγκλιδὸν ὄσσε βαλοῦσα
παρθενικὰς ἐρύθηνε παρηΐδας· ἔμπα δὲ τόνγε
αἰδομένη μύθοισι προσέννεπεν αἱμυλίοισιν.
„Ξεῖνε, τίη μίμνοντες ἐπὶ χρόνον ἔκτοθι πύργων
„ἧσθ᾽ αὔτως; ἐπεὶ οὐ μὲν ὑπ᾽ ἀνδράσι ναίεται ἄστυ·
„ἀλλὰ Θρηϊκίης ἐπινάστιοι ἠπείροιο
„πυροφόρους ἀρόωσι γύας. κακότητα δὲ πᾶσαν
„ἐξερέω νημερτὲς, ἵν᾽ εὖ γνοίητε καὶ αὐτοί.
„εὖτε Θόας ἀστοῖσι πατὴρ ἐμὸς ἐμβασίλευεν,
„τηνίκα Θρηϊκίης, οἵ τ᾽ ἀντία ναιετάουσιν,
„δήμου ἀπορνύμενοι λαοὶ πέρθεσκον ἐπαύλους

plusquamperfectum ἠρήρειντο III, 1398. IV, 947. Perfecti vero illius participium occurrit praeter hunc locum III, 833. IV, 677, quorum utroque suum aoristum restituit Brunckius.

788. In priore recensione hanc lectionem fuisse refert Schol. Flor.:

ἔνθα μιν Ἰφινόη προδόμου διὰ ποιητοῖο
ἐσσυμένως καλῆς διὰ δίφρακος εἷσεν ἄγουσα,

ubi ἐπὶ pro διὰ legendum esse perspicuum est; hoc per errorem Schol. ex altera recensione immigravit.

789. δι᾽ ἀναστάδος vulg. male ex frequentissima litterarum *N* et *Π* confusione; διὰ παστάδος ex Schol. et Etymol. M. s. v. παστάς emendarunt Rutgers. var. lect. p. 9 et Salmas. Exercitt. Plin. p. 856 probante Piers. ad Moer. p. 88 et receperunt Brunck. Beck.

790. δεσποίης Vrat. — De postrema versus parte v. Wernick. ad Tryphiod. p. 232.

791. παρθενικῆς Vrat.

794. ἐπὶ Vind.

796. γέας Regg. A. C. Vatt. A. B. C. D. Ald. Brub. Basil.

798. λαστοῖσι var. lect. in marg. Vind.

799. Θρηϊκίην vulg., quod sensu caret, quare Θρηϊκίων conjecit Hölzlin., quod recepit Brunck. Sed Θρηϊκίης praebent Med. (v. Hörstel. praef. p. VII) marg Reg. A. Reg. E. Vind. Vrat., quod receperunt Beck. et Hörstel., probatque Spitzner. de vers. her. p. 101. Profecto recte; pluralis relativi ad nomen terrae relatus nemini potest offensioni esse.

800. Λήμνου conjecit Piers. Veris. p. 200, quod receperunt Brunck. et Beck. Speciosa sane emendatio, sed non necessaria, vulgata enim minime tam absurda est, quam videtur Brunckio. Δῆμος enim Homerica significatione usurpatum est, ut sit *terra, domicilium.* itaque δήμου ἀπορνύμενοι est *domo profecti.* Eodem modo δῆμον et λαοὺς sibi oppositos vides Hom. Od. III, 214 ἦ σέ γε λαοὶ ἐχθαίρουσ᾽ ἀνὰ δῆμον. Denique, ut omnis scrupulus eximatur, eadem vi δῆμος dictum est apud Nostrum II, 1020. III, 472. 639. — ἐπορνύμενοι Schol. Paris., sed hunc merum librarii errorem esse, docet ejusdem interpretatio ἀπερχόμενοι. — πόρθεσκεν cod. Flor. apud Dorvill. — ἐπαύλεις vulg., quod verum non esse docet et Schol. Florentini interpretatio: *ΕΠΑΥΛΕΙΣ.* τὰς ἐπαύλεις, τὰς μάνδρας, et lectionis discrepantia, nam ἐναύλους praebent Regg. A. B. C. D. E. Vatt. A. C. D. Vrat. Vind. Schol. Paris. et cod. Florent. apud Dorvill. ad Charit. p. 283 et Lips., noster, ni fallor, Mediceus. Jam qui hanc lectionem cum vulgata contulerit, dubitare vix poterit, quin verum sit ἐπαύλους, quod ex emendatione Piersoni Veris. p. 200 reposuerunt Brunck. et Beck., eadem litterarum *N* et *Π* confusione corruptum, quam supra ad v. 789 obser-

„ἐκ νηῶν, αὐτῇσι δ' ἀπείρονα ληΐδα κούραις
„δεῦρ' ἄγον· οὐλομένης δὲ θεᾶς πορσύνετο μῆτις
„Κύπριδος, ἥτε σφιν θυμοφθόρον ἔμβαλεν ἄτην.
„δὴ γὰρ κουριδίας μὲν ἀπέστυγον, ἐκ δὲ μελάθρων
„ᾗ ματίῃ εἴξαντες ἀπεσσεύοντο γυναῖκας·
„αὐτὰρ ληϊάδεσσι δορικτήτῃ παρίαυον,
„σχέτλιοι. ἦ μὲν δηρὸν ἐτέτλαμεν, εἴ κέ ποτ' αὖτις
„ὀψὲ μεταστρέψωσι νόον· τὸ δὲ διπλόον αἰεὶ
„πῆμα κακὸν προὔβαινεν. ἀτιμάζοντο δὲ τέκνα
„γνήσι' ἐνὶ μεγάροις, σκοτίη δ' ἀνέτελλε γενέθλη.
„αὔτως δ' ἀδμῆτές τε κόραι χῆραί τ' ἐπὶ τῇσιν
„μητέρες ἂμ πτολίεθρον ἀτημελέες ἀλάληντο.
„οὐδὲ πατὴρ ὀλίγον περ ἑῆς ἀλέγιζε θυγατρὸς,
„εἰ καὶ ἐν ὀφθαλμοῖσι δαϊζομένην ὁρόῳτο
„μητρυιῆς ὑπὸ χερσὶν ἀτασθάλου· οὐδ' ἀπὸ μητρὸς
„λώβην, ὡς τοπάροιθεν, ἀεικέα παῖδες ἄμυνον·
„οὐδὲ κασιγνήτοισι κασιγνήτη μέλε θυμῷ.
„ἀλλ' οἶαι κοῦραι ληΐτιδες ἔν τε δόμοισιν
„ἔν τε χοροῖς ἀγορῇ τε καὶ εἰλαπίνῃσι μέλοντο.
„εἰσόκε τις θεὸς ἄμμιν ὑπέρβιον ἔμβαλε θάρσος,
„ἂψ ἀνερχομένους Θρῃκῶν ἄπο μηκέτι πύργοις

vavimus. Nam quominus ipsum ἐναύλους in textum recipiatur, obstat vocis significatio, quae non facile de hominum habitaculis usurpata reperitur. Praeterea Hesychius ἐπαύλους iisdem verbis interpretatur, quibus nostro loco Scholl. Scrupulum tamen injicit Maximus, qui v. 421 habet Θρῄκης ἐναύλους.

801. In priore recensione hanc lectionem fuisse refert Schol. Flor.:

ἐκ νηῶν· ἄμυδις δὲ βόας καὶ μῆλα κόμιζον
αὐτῇσιν κούρῃσιν, ἀπείρονα ληΐδα δεῦρο.
καὶ τότ' ἔπειτ' ἀνὰ δῆμον ἀάατος ἔμπεσε λύσσα,
οὐκ οἶδ' ἢ θεόθεν, ἢ αὐτῶν ἀφροσύνῃσιν.

803. σφι Med.

805. ἡματίῃ Vat. D. ἡματίῃ Vrat. — ἐπεσσεύοντο vulg., ἀπεσσεύοντο Reg. D., quod receperunt Brunck. Beck. recte.

806. δορυκτήταις Regg. quinque, quod receperunt Brunck. et Beck., ille aurium, ut dicit, judicio commotus, quod quid h. l. sibi velit nescio.

807. ἐπέτλαμεν Vatt. C. D. — αὖθις Reg. A.

812. ἀτημελέως vulg. ἀτημελέες Regg. A. C. D., quod recte receperunt Brunck. et Beck. Illud debetur librariis metro consulentibus, quemadmodum in Reg. D. τ' post ἀτημελέες insertum est.

815. μητρυῆς Vind.

817. κασιγνήτῃσι vulg. inepte, quum fratres sensus flagitet. κασιγνήτοισι Vatt. A. C. D. Med. Vrat. Vind. Regg. A. B. E. Brunck. Beck. — κασιγνήτης Vrat. Vind. non male.

821. Initio versus metrum claudicare videtur, quare Hölzlin. ex conjectura ἀναερχομένους dedit, Brunck. et Beck. ex Regg. quinque ἐπανερχομένους. Sed vulgatam plurimorum librorum consensu firmatam retinui ad exemplum Homericum Il. IV, 392 ἂψ ἀνερχομένῳ, cf. F. A. Wolf. praef. ad Hom. p. LV. — Θρηϊκῶν vulg. Correxerunt Dorvill. Vann. crit. p. 386. Brunck. Beck.

„δέχθαι, ἵν' ἢ φρονέοιεν ἅπερ θέμις, ἠέ πῃ ἄλλῃ
„αὐταῖς ληϊάδεσσιν ἀφορμηθέντες ἵκοιντο.
„οἳ δ' ἄρα θεσσάμενοι παίδων γένος, ὅσσον ἔλειπτο
„ἄρσεν ἀνὰ πτολίεθρον, ἔβαν πάλιν, ἔνθ' ἔτι νῦν περ
„Θρηϊκίης ἄροσιν χιονώδεα ναιετάουσιν.
„τῷ ὑμεῖς στρωφᾶσθ' ἐπιδήμιοι· εἰ δέ κεν αὖθι
„ναιετάειν ἐθέλοις καί τοι ἅδοι, ἦτ' ἂν ἔπειτα
„πατρὸς ἐμοῖο Θόαντος ἔχοις γέρας· οὐδέ τί σ' οἴω
„γαῖαν ὀνόσσεσθαι· πέρι γὰρ βαθυλήϊος ἄλλων
„νήσων, Αἰγαίῃ ὅσαι εἰν ἁλὶ ναιετάουσιν.
„ἀλλ' ἄγε νῦν ἐπὶ νῆα κιὼν ἑτάροισιν ἔνισπε
„μύθους ἡμετέρους, μηδ' ἔκτοθι μίμνε πόληος."
Ἴσκεν ἀμαλδύνουσα φόνου τέλος, οἷον ἐτύχθη
ἀνδράσιν· αὐτὰρ ὁ τήνγε παραβλήδην προσέειπεν.
„Ὑψιπύλη, μάλα κεν θυμηδέος ἀντιάσαιμεν
„χρησμοσύνης, ἣν ἄμμι σέθεν χατέουσιν ὀπάζεις.
„εἶμι δ' ὑπότροπος αὖθις ἀνὰ πτόλιν, εὖτ' ἂν ἕκαστα
„ἐξείπω κατὰ κόσμον. ἀνακτορίη δὲ μελέσθω
„σοί τ' αὐτῇ καὶ νῆσος· ἔγωγε μὲν οὐκ ἀθερίζων
„χάζομαι, ἀλλά με λυγροὶ ἐπισπέρχουσιν ἄεθλοι."
Ἦ καὶ δεξιτερῆς χειρὸς θίγεν· αἶψα δ' ὀπίσσω
βῆ ῥ' ἴμεν, ἀμφὶ δὲ τόνγε νεήνιδες ἄλλοθεν ἄλλαι
μυρίαι εἱλίσσοντο κεχαρμέναι, ὄφρα πυλάων
ἐξέμολεν· μετέπειτα δ' ἐϋτροχάλοισιν ἁμάξαις
ἀκτὴν εἰσανέβαν ξεινήϊα πολλὰ φέρουσαι,
μῦθον ὅτ' ἤδη πάντα διηνεκέως ἀγόρευσεν,
τόν ῥα καλεσσαμένη διεπέφραδεν Ὑψιπύλεια·
καὶ δ' αὐτοὺς ξεινοῦσθαι ἐπὶ σφέα δώματ' ἄγεσκον
ῥηϊδίως. Κύπρις γὰρ ἐπὶ γλυκὺν ἵμερον ὦρσεν

823. ἵκοντο Vat. C. et D. a m. 1.
824. ὅσον Flor.
826. Θρηϊκίην Vatt. A. B. D.
829. ἐμεῖο Med. Vrat. — οὐδ' ἔτι vulg. οὐδέ τι Reg. E. Vatt. A. C. D. Brunck. Beck. recte. οὐδέ σ' οἴω Reg. D. οἴω etiam Vat. D.
830. ὀνόσεσθαι Flor. ὀνώσεσθαι Brub. Basil.
831. Αἰγείης Regg. A. E. Vat. C. Vind. Vrat. Flor. Brub. Basil. — ὅσαι ἁλὶ Vat. C. ὅσσαι ἁλὶ Vatt. A. B. Vind. Vrat. Flor. Brub. Basil. — ναιετάουσι Hölzlin.
832. ἐνίσπες Med.
837. ὀπάζοις Regg. A. C. E.
838. αὖτις Brunck. lectore non monito. — ἑκάστῳ Vind. Vrat., sed in hoc vulg. margini adscripta.
842. δεξιτερῇ Vatt. C. D.
843. γενηΐδες Reg. A.
844. μυρία Flor.
845. ἐξέμολε Brunck. ut solet. — ἐϋτροχάλῃσιν Vatt. A. D. et C. a m. 1.
848. Hic versus deest in Reg. A., sed adscriptus est in margine.
849. αὖτις Reg. A.

Ἡφαίστοιο χάριν πολυμήτιος, ὄφρα κεν αὖτις
ναίηται μετόπισθεν ἀκήρατος ἀνδράσι Λῆμνος.
"Ενθ' ὁ μὲν Ὑψιπύλης βασιλήϊον ἐς δόμον ὦρτο
Αἰσονίδης· οἱ δ' ἄλλοι ὅπῃ καὶ ἔκυρσαν ἕκαστος,
Ἡρακλῆος ἄνευθεν, ὁ γὰρ παρὰ νηῒ λέλειπτο
αὐτὸς ἑκὼν, παῦροί τε διακρινθέντες ἑταῖροι.
αὐτίκα δ' ἄστυ χοροῖσι καὶ εἰλαπίνῃσι γεγήθει,
καπνῷ κνισσήεντι περίπλεον· ἔξοχα δ' ἄλλων
ἀθανάτων Ἥρης υἷα κλυτὸν ἠδὲ καὶ αὐτὴν
Κύπριν ἀοιδῇσιν θυέεσσί τε μειλίσσοντο.
ἀμβολίη δ' εἰς ἦμαρ ἀεὶ ἐξ ἤματος ἦεν
ναυτιλίης· δηρὸν δ' ἂν ἐλίννυον αὖθι μένοντες,
εἰ μὴ ἀολλίσσας ἑτάρους ἀπάνευθε γυναικῶν
Ἡρακλέης τοίοισιν ἐνιπτάζων μετέειπεν.
„Δαιμόνιοι, πάτρης ἐμφύλιον αἷμ' ἀποέργει
„ἡμέας; ἦε γάμων ἐπιδευέες ἐνθάδ' ἔβημεν
„κεῖθεν ὀνοσσάμενοι πολιήτιδας; αὖθι δ' ἕαδεν
„ναίοντας λιπαρὴν ἄροσιν Λήμνοιο ταμέσθαι;
„οὐ μὰν εὐκλειεῖς γε σὺν ὀθνείῃσι γυναιξὶν
„ἐσσόμεθ' ὧδ' ἐπὶ δηρὸν ἐελμένοι· οὐδέ τι κῶας
„αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.

851. *πολυμίλιος* Vind.

856. *διακριθέντες* vulg. *διακρινθέντες* Reg. D. Vind. Vrat., quod metri causa recte receperunt Brunck. Beck.

858. *κνησήεντι* Flor. Brub. Basil.

860. *ἀοιδῇσι* Reg. C. Vatt. A. C. D. Vind. Vrat. Brunck. Beck. ut solent. *λοιβῇσιν* emendat sine causa Piers. Veris. p. 201. — *θηέεσσι* Vrat. — *τ' ἐμειλίσσοντο* Med. Regg. A. E. contra Apollonii morem.

861. *αἰεὶ* Vrat. Flor.

862. *ἀνελίννυον* vulg., quemadmodum etiam Suid. et Etymol. M. s. v. *ἐλίννυον*. *ἀνελίννον* Vind. Vrat. *ἀνελύνιον* Reg. A. *ἂν ἐλίννυον* Guelph. *ἂν ἐλύνιον* Reg. E. *ἂν ἐλίνιον* Reg. D. *ἂν ἐλίννον* Reg. B., quod conjecerat Steph. probante Piers. ad Moer. p. 162 (qui recte monet, ex ipsis Etymol. verbis liquere, *ἐλίννυον* scribendum esse) et receperunt Brunck. Beck. Dedissem *ἀνελίννυον*, quoniam *ἂν* commode hic abesse potest, nisi *ἀνελινύω* a nemine usurpatum esset.

863. *ἀολλίσας* vulg. contra metrum. *ἀολήσας* Reg. A. *ἀολλήσας* Reg. E., quod dederunt Brunck. Beck., dubiae fidei vocabulum. Scripsi igitur *ἀολλίσσας*, suadente Schaefero ad Schol. Apoll. Rhod. p. 68.

864. *τοῖσιν* Vind., sed vulg. in marg. — *ἐνιπάζων* Vatt. A. C. D. — *προσέειπε* Regg. A. B. D. E., quod sine causa praetulit Brunck., nimium, ut solet, suis libris tribuens; habuit tamen obsequentem Beckium. *μετέειπε* Guelph. *μελέειπεν* Vind.

867. *ἕασεν* Vind., sed *ἕαδεν* in marg. *ἕαδεν* Flor. Brub. Basil.

869. *οὐ μὲν* Hoelzlin. Shaw.

870. *οὐδ' ἔτι* vulg. *οὐδέ τι* Vrat. et ut videtur Regii, inde Brunck. Beck. recte. Ita etiam Schol. Paris. et Flor. ad II, 333 hunc versum laudantes. Haec jam in superioribus saepissime confusa vidimus.

871. *ἑλὼν* deest in Reg. C. *ἑκὼν* pro eo habent Regg. A. E.

„ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα· τὸν δ' ἐνὶ λέκτροις
„Ὑψιπύλης εἰᾶτε πανήμερον, εἰσόκε Λῆμνον
„παισὶν ἐσανδρώσῃ μεγάλη τέ ἑ βάξις ἵκηται."
Ὣς νείκεσσεν ὅμιλον· ἐναντία δ' οὔ νύ τις ἔτλη
ὄμματ' ἀνασχεθέειν, οὐδὲ προτιμυθήσασθαι·
ἀλλ' αὔτως ἀγορῆθεν ἐπαρτίζοντο νέεσθαι
σπερχόμενοι. ταὶ δέ σφιν ἐπέδραμον, εὖτ' ἐδάησαν.
ὡς δ' ὅτε λείρια καλὰ περιβρομέουσι μέλισσαι
πέτρης ἐκχύμεναι σιμβληΐδος, ἀμφὶ δὲ λειμὼν
ἑρσήεις γάνυται, καὶ δὲ γλυκὺν ἄλλοτε ἄλλον
καρπὸν ἀμέργουσιν πεποτημέναι· ὣς ἄρα ταί γε
ἐνδυκὲς ἀνέρας ἀμφὶ κινυρόμεναι προχέοντο.
χερσί τε καὶ μύθοισιν ἐδεικανόωντο ἕκαστον,
εὐχόμεναι μακάρεσσιν ἀπήμονα νόστον ὀπάσσαι.
ὣς δὲ καὶ Ὑψιπύλη ἠρήσατο χεῖρας ἑλοῦσα
Αἰσονίδεω, τὰ δέ οἱ ῥέε δάκρυα χήτει ἰόντος.
„Νίσσεο, καὶ σὲ θεοὶ σὺν ἀπήμοσιν αὖτις ἑταίροις
„χρύσειον βασιλῆϊ δέρος κομίσειαν ἄγοντα
„αὔτως, ὡς ἐθέλεις καί τοι φίλον· ἥδε δὲ νῆσος

872. *αὖθις* Vrat. — *ἕκαστος* Regg. A. C. Vat. B, quod cur praetulerint Brunck. et Beck. non video.

874. *ἐπανδρώσῃ* Guelph., quod ex hoc uno libro receperunt Brunck. et Beck., neque hic addita causa.

879. *περιβρομέωσι* Guelph.

880. *συμβληΐδος* Vat. B. Vind.

881. *ἄλλοτέ τ' ἄλλον* vulg., inepta est copula, quam de hiatu solliciti inseruerunt librarii, quare *ἄλλοτ' ἐπ' ἄλλον* conjecit Rutgers. var. lect. p. 10. Sed *ἄλλοτε ἄλλον* praebent Regg. A. B. C. D. E. Vat. B. Vrat. Vind., quod receperunt Brunck. Beck. Post eos Herm. ad Orph. p. 732, hiatu offensus, vel potius participio *πεποτημέναι*, quod ei post *ἄλλοτε ἄλλον* otiosum et languidum videtur, emendavit *ἄλλοθεν ἄλλῃ*. Sed ut admodum violentam esse hanc emendationem taceam, neque quid offensionis sit in illo participio video, et formula *ἄλλοτε ἄλλος* tam frequens est in poetis epicis, ut tolli nec possit nec debeat; cf. Hom. Od. IV, 236. Hesiod. Op. et D. 713. Theogn. v. 113. 1180. 1184 ed. Welck. Phocyl. in Anal. Brunckii T. I p. 78. Oppian. Halieut. II, 268. 566. IV, 186. 193. 290.

882. *ἀμέργουσι* Regg. A. B., quod ex more receperunt Brunck. Beck. *ἀμέλγουσι* Vind. Vrat. *ἀμέλγουσιν* Guelph. teste Piers.

883. *ἐνδυκέως* vulg. contra metrum, quare Arnald. lectt. gr. p. 186 emendavit *ἐνδυκέως ἀνέρ' ἀμφὶ*. Sed melius Rutgers. *ἐνδυκὲς*, quod receperunt Brunck. Beck. Similem confusionem vidimus supra v. 812, videbimus infra II, 312. 391. — *ἀμφικινυρόμεναι* Flor. Brub. Basil.

888. *νείσεο* vulg. *νείσαιο* Med. Vind. Vrat. Schol. Paris. *νισσετο* (ει) Guelph. *νίσσεο* Regg. quinque, Brunck. Beck. — *ἀπηρέσιν* Etymol. M. p. 122, 8, quod praetulerunt Brunck. et Beck., me non assentiente, quamquam idem visum est Hemsterhusio ad Hesych. v. *ἀπαρές*. Sed quum libri omnes in *ἀπήμοσιν* consentiant, vix dubitandum est, quin altera lectio priori recensioni debeatur. — *αὖθις* Vind. Vrat. Etymol.

889. *ἔχοντα* Regg. A. E. et marg. Vind.

890. *ὡς ἐθέλῃς* vulg. male. *ὡς θέλεις* Reg. A. *ὡς ἐθέλεις* Regg. B. C.

„σκῆπτρά τε πατρὸς ἐμοῖο παρέσσεται, ἢν καὶ ὀπίσσω
„δή ποτε νοστήσας ἐθέλῃς ἄψοῤῥον ἱκέσθαι.
„ῥηϊδίως δ' ἂν ἑοὶ καὶ ἀπείρονα λαὸν ἀγείραις
„ἄλλων ἐκ πολίων· ἀλλ' οὐ σύ γε τήνδε μενοινὴν
„σχήσεις, οὔτ' αὐτὴ προτιόσσομαι ὧδε τελεῖσθαι.
„μνώεο μὴν ἀπεών περ ὁμῶς καὶ νόστιμος ἤδη
„Ὑψιπύλης· λίπε δ' ἡμὶν ἔπος, τό κεν ἐξανύσαιμι
„πρόφρων, ἢν ἄρα δή με θεοὶ δώωσι τεκέσθαι.“
Τὴν δ' αὖτ' Αἴσονος υἱὸς ἀγαιόμενος προσέειπεν·
„Ὑψιπύλη, τὰ μὲν οὕτω ἐναίσιμα πάντα γένοιτο
„ἐκ μακάρων· τύνη δ' ἐμέθεν πέρι θυμὸν ἀρείω
„ἴσχαν', ἐπεὶ πάτρην μοι ἅλις Πελίαο ἕκητι
„ναιετάειν· μοῦνόν με θεοὶ λύσειαν ἀέθλων.
„εἰ δ' οὔ μοι πέπρωται ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
„τηλοῦ ἀναπλώοντι, σὺ δ' ἄρσενα παῖδα τέκηαι,
„πέμπε μιν ἡβήσαντα Πελασγίδος ἔνδον Ἰωλκοῦ,
„πατρί τ' ἐμῷ καὶ μητρὶ δύης ἄκος, ἢν ἄρα τούς γε
„τέτμῃ ἔτι ζώοντας, ἵν' ἄνδιχα τοῖο ἄνακτος
„σφοῖσιν πορσύνωνται ἐφέστιοι ἐν μεγάροισιν.“
Ἦ καὶ ἔβαιν' ἐπὶ νῆα παροίτατος· ὣς δὲ καὶ ἄλλοι

D. E. Vat. D. Med. Guelph. Vind. Vrat. Brunck. Beck.

891. ἐμεῖο vulg. ἐμοῖο Regg. A. E., quod propter v. 829 cum Brunck. et Beck. recepi.

892. ἐθέλεις Regg. A. C. ἐθέλοις Reg. D. Hinc Brunckius, quum versu praecedente καὶ otiosum et ineptum videretur, ibi ἢν καὶ in εἴ κεν mutavit, hic ἐθέλοις dedit, eumque secutus est Beckius, quod minime probandum est, nam etiamsi illud εἴ κεν necessarium fuisset, non tamen optativus ex uno libro reponi debebat, sed conjunctivus etiam tum unice verus erat. At ne illa quidem mutatione opus est, constat enim, καί saepe a Graecis ita usurpari, ut nobis paene otiosum videatur. Hoc vero loco eam fere vim particula habere mihi videtur, quam habet in interrogationibus, cf. Jacobs. ad Anthol. Pal. p. 101. 296. Itaque librorum lectionem revocavi.

893. ἄν τι Regg. A. C. ἄν τοι Regg. B. D. Vind., quod receperunt Brunck. Beck., sed ἑοί etiam de prima et secunda persona usurpari docet Gerhard. lectt. p. 93. Dedi enim ἑοὶ cum Vrat. pro vulg. ἑοῖ. In Guelph. est ἑοῖο.

895. τε ἐκτελέσθαι Guelph.

896. ὅμως vulg. ὁμῶς Regg. quatuor. Vatt. A. C. D. Guelph., quod recte praetulit Brunck., cum sequente καὶ νόστιμος jungendum.

898. ἢν δ' ἄρα Vind.

900. οὕτως Vatt. A. C. D. Vrat. Vind.

903. μοῦνον δὲ Vind.

904. De εἰ οὐ v. Herm. ad Vig. p. 833.

905. ἀναπλώωντι Flor. Shaw. — τέκοιο ex conj. Brunck. Beck., quibus conjunctivus soloecus videtur, v. Herm. ad Vig. p. 831. Recurrit hic conjunctivus infra III, 61. III, 1081.

907. ματρὶ Flor. Brub. Basil.

908. ἔτ' οὐ Reg. A.

909. σφῖσιν Flor. Brub. Basil. σφίσιν Guelph. — ἐφέστιον emendavit Brunck., quod non necessarium judicat Beck. Imo ἐφέστιοι necessarium est, opponitur enim praecedentibus ἄνδιχα τοῖο ἄνακτος.

910. βαιν' Vind. Vrat. — ὤλλοι

βαῖνον ἀριστῆες· λάζοντο δὲ χερσὶν ἐρετμὰ
ἐνσχερὼ ἐζόμενοι· πρυμνήσια δὲ σφίσιν Ἄργος
λῦσεν ὑπὲκ πέτρης ἁλιμυρέος. ἔνθ' ἄρα τοίγε
κόπτον ὕδωρ δολιχῇσιν ἐπικρατέως ἐλάτῃσιν.
ἑσπέριοι δ' Ὀρφῆος ἐφημοσύνῃσιν ἔκελσαν
νῆσον ἐς Ἠλέκτρης Ἀτλαντίδος, ὄφρα δαέντες
ἀῤῥήτους ἀγανῇσι τελεσφορίῃσι θέμιστας
σωότεροι κρυόεσσαν ὑπεὶρ ἅλα ναυτίλλοιντο.
τῶν μὲν ἔτ' οὐ προτέρω μυθήσομαι· ἀλλὰ καὶ αὐτὴ
νῆσος ὁμῶς κεχάροιτο καὶ οἳ λάχον ὄργια κεῖνα
δαίμονες ἐνναέται, τὰ μὲν οὐ θέμις ἄμμιν ἀείδειν.
Κεῖθεν δ' εἰρεσίῃ Μέλανος διὰ βένθεα πόντου
ἱέμενοι τῇ μὲν Θρῃκῶν χθόνα, τῇ δὲ περαίην
Ἴμβρον ἔχον καθύπερθε· νέον γε μὲν ἠελίοιο
δυομένου Χερόνησον ἐπὶ προὔχουσαν ἵκοντο.
ἔνθα σφιν λαιψηρὸς ἄη νότος, ἱστία δ' οὔρῳ
στησάμενοι κούρης Ἀθαμαντίδος αἰπὰ ῥέεθρα
εἰσέβαλον· πέλαγος δὲ τὸ μὲν καθύπερθε λέλειπτο

ex emend. Brunck. Beck., quod invitis libris omnibus recipere nolui, quamquam probante Gerhard. p. 93. Etsi enim formam ὤλλοι non aeque ac Homerus plane aspernatus est Apollonius, tamen etiam ἄλλοι Homerica significatione *reliqui* interdum adhibuisse videtur. Sic in eadem formula ὣς δὲ καὶ ἄλλοι, in qua Homericam formam consulto Noster retinuisse videtur, etiam infra v. 1101 et III, 992 libri ἄλλοι praebent. Certissimum vero est ex ἄλλα pro τὰ ἄλλε usurpato, ubi non aeque facile τἄλλα reponi potest, ut I, 283. 1209. Item ἄλλοι pro οἱ ἄλλοι legitur III, 58. IV, 785, ubi inutilem conjecturam tentavit Brunck. ἄλλων pro τῶν ἄλλων III, 1275. ἄλλους pro τοὺς ἄλλους IV, 187. 594. ἄλλαις pro ταῖς ἄλλαις IV, 824. ἄλλαι pro αἱ ἄλλαι IV, 1521. cf. Reiz. de accentus inclin. p. 74. 77.

912. ἐν σχερῷ Vat. B. Vrat.—σφιν Guelph.

913. λῦσσεν Vrat. Vind. λύσθεν Vatt. C. D.— ὑπ' ἐκ vulg. ὑπὲκ Vrat. Vind. Brunck. Beck.

914. ἐλάτῃσι Vrat.

916. ἀταλαντίδος Vrat.

917. ἀῤῥήκτους vulg. ἀῤῥήτους emendavit Bizetus, probantibus Burm. ad Valer. Flacc. II, 431 et Dorvill. ad Charit. p. 490. In eandem conjecturam incidit Arnald. Lectt. gr. p. 237, eamque confirmatam a Reg. E. Guelph. Vrat. cum Brunck. et Beck. recepi. In eadem re apud Orph. Arg. 469 ἄῤῥητα pro ἄῤῥηκτα ex codicibus repositum est.

918. θαρσύτεροι Guelph., quod recepit Hoerstel.— ὑπὲρ Vatt. A. B. C. D.

920. λάβον Hoelzlin. Shaw. fortasse ex errore typ. Videtur tamen ita legi in Vatt. A. B.

922. μέλανος vulg. littera minuscula, quod correxit Brunck. Nomen proprium esse, non fluvii quidem, ut dicit Beck., sed maris, jam ex Schol. discere poterant editores. Eodem modo emendandus est Hom. Il. XXIV, 79.

923. Θρηΐκων Flor. Brub. Basil.

925. Χέρνησον vulg. Χερόνησον recte Regg. A. B. C. D. E. Guelph. Brunck. Beck.

926. σφι Regg. A. C. E. Brunck. Beck. κε Vat. C. lacuna in Vat. D.— λαιψιρὸς Vrat. — ἄητο Guelph.

927. Ita Hellespontum saepius vocant poetae, cf. Wernick. ad Tryph. p. 227.

ἦρι, τὸ δ' ἐννύχιοι Ῥοιτειάδος ἔνδοθεν ἀκτῆς
μέτρεον, Ἰδαίην ἐπὶ δεξιὰ γαῖαν ἔχοντες.
Δαρδανίην δὲ λιπόντες ἐπιπροσέβαλλον Ἀβύδῳ,
Περκώτην δ' ἐπὶ τῇ καὶ Ἀβαρνίδος ἠμαθόεσσαν
ἠϊόνα ζαθέην τε παρήμειβον Πιτύειαν.
καὶ δὴ τῇ γ' ἐπὶ νυκτὶ διάνδιχα νηὸς ἰούσης
δίνῃ πορφύροντα διήνυσαν Ἑλλήσποντον.
Ἔστι δέ τις αἰπεῖα Προποντίδος ἔνδοθι νῆσος
τυτθὸν ἀπὸ Φρυγίης πολυληΐου ἠπείροιο
εἰς ἅλα κεκλιμένη, ὅσσον τ' ἐπιμύρεται ἰσθμὸς
χέρσῳ ἐπιπρηνὴς καταειμένος· ἐν δέ οἱ ἀκταὶ
ἀμφίδυμοι, κεῖνται δ' ὑπὲρ ὕδατος Αἰσήποιο.
Ἄρκτων μιν καλέουσιν ὄρος περιναιετάοντες·
καὶ τὸ μὲν ὑβρισταί τε καὶ ἄγριοι ναιετάουσι

929. *Ῥοιτιάδος* Reg. A. Eadem varietas apud Tryphiod. v. 216.
930. *Ἰδαίαν* Vrat. Vind. Reg. A.
931. *ἐπὶ προσέβαλον* Vatt. C. D. *ἐπιπροσέβαλον* Vind. Vrat.
932. *Περκώπην* Regg. A. C. E. Vatt. A. C. D., quod reliquorum librorum lectioni immerito praetulerunt Brunck. et Beck. Cf. Heyn. ad Il. II, 835. XI, 229. Wessel. et Schweigh. ad Herod. V, 117. Etiam apud Orph. Arg. 489 libri omnes in *Περκώτης* consentiunt, et *Περκώτην* exhibet hunc versum laudans Steph. Byz. s. v. *Ἄβαρνος*.
934. *τοί γ'* vulg. *τῆς γ'* Reg. D. *τῇ γ'* Regg. A. B. C., quod recte receperunt Brunck. Beck.
936. De *τις* producto v. Herm. ad Orph. p. 704.
938. *ἐπιμέρεται* Vind., sed vulg. in margine.
939. *ἐπὶ πρηνὴς* suprascripto *ἐπίπροσθεν* Vind. — *κατακείμενος* Vatt. A. B. C. et D. a m. 2. *καταήμενος* var. lect. in Schol. Paris.
941. *Ἄρκτον* vulg. *Ἄρκτων* var. lect. in Reg. B., et emendatio Hoelzlini, quam veram esse demonstravit Brunck. ex Strabone et Nostro infra v. 1150. Sed major difficultas est in pronomine *μιν*, quod non habet quo referatur. Nam ad totam insulam referri non potest, hanc enim *Ἄρκτων νῆσον* vocatam esse testatur Steph. Byz. s. v. *Ἄρκτων νῆσος* et *Κύζικος*, quod nomen acceperat ab altera ripa, in qua erat mons *Ἄρκτων ὄρος* vocatus. Itaque recte vidit Brunckius ante v. 941 unum pluresve versus excidisse, quibus dictum erat, duarum riparum alteram planitiem fuisse, alteram monte obsitam, ad quem deinde *μιν* refertur. Aliam rationem eamque minime probabilem iniit Gerhard. p. 30 sq., qui in priore recensione ita lectum fuisse putat:

ἀμφίδυμοι, κεῖνται δ' ὑπὲρ ὕδατος Αἰσήποιο.
οὖρος μέν τ' ἐν τῇ, πεδίον δ' ἐν τῇ παρακεῖται.
καὶ τὸ μὲν ὑβρισταί τε καὶ ἄγριοι ἀμφινέμονται
Γηγενέες.

in posteriore vero:

ἀμφίδυμοι, κεῖνται δ' ὑπὲρ ὕδατος Αἰσήποιο.
Ἄρκτων μὲν καλέουσιν ὄρος περιναιετάοντες
Γηγενέες.

Sed ita prorsus nescis, quidnam vocetur *Ἄρκτων ὄρος*. Praeterea v. 942 abesse nullo pacto potest, tum quia ineptum foret, si ita quasi fortuito tantum et in transcursu ad Terrigenas illos transiret, tum propter oppositum v. 947; denique *Γηγενέες* non erant *περιναιετάοντες*, sed in ipso monte habitabant.
942. *τὰ μὲν* Guelph. — Extremam versus partem corruptam esse docet metrum, quamquam libri omnes con-

Γηγενέες, μέγα θαῦμα περικτιόνεσσιν ἰδέσθαι.
ἓξ γὰρ ἑκάστῳ χεῖρες ὑπέρβιοι ἠερέθονται,
αἱ μὲν ἀπὸ στιβαρῶν ὤμων δύο, ταὶ δ' ὑπένερθεν
τέσσαρες αἰνοτάτῃσιν ἐπὶ πλευρῇς ἀραρυῖαι.
ἰσθμὸν δ' αὖ πεδίον τε Δολίονες ἀμφενέμοντο
ἀνέρες· ἐν δ' ἥρως Αἰνήϊος υἱὸς ἄνασσεν
Κύζικος, ὃν κούρη δίου τέκεν Εὐσώροιο
Αἰνήτη. τοὺς δ' οὔ τι καὶ ἔκπαγλοί περ ἐόντες
Γηγενέες σίνοντο Ποσειδάωνος ἀρωγῇ·
τοῦ γὰρ ἔσαν ταπρῶτα Δολίονες ἐκγεγαῶτες.
ἔνθ' Ἀργὼ προὔτυψεν ἐπειγομένη ἀνέμοισιν
Θρηϊκίοις, καλὸς δὲ λιμὴν ὑπέδεκτο θέουσαν.
κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ἐκλύσαντες
Τίφυος ἐννεσίῃσιν ὑπὸ κρήνῃ ἐλίποντο,

sentiunt praeter Reg. B., in quo est *περιναιετάουσι*. Vulgatam ferre nemo potuit, nisi qui metri imperiti erant Iens. lectt. Lucian. II p. 177 s. et Schrader. ad Mus. p. 239. Metro subvenit emendatio Bentleji ad Callim. H. in Jovem 87, *ἀμφινέμονται* pro *ναιετάουσι* reponentis, quam amplexi sunt Brunck. Beck. et Gerhard. Sed multa sunt, quae vetant, ne veram eam habeamus. Primum intelligi prorsus non potest, quomodo *ἀμφινέμονται* potuerit a librariis in *ναιετάουσι* mutari, quum neque litterarum ulla sit similitudo, neque ex interpretatione illud, utpote vocabulum non minus poeticum, nasci potuerit. Praeterea hoc vocabulo non bene uti poeta, quum eodem statim v. 947, qui nostro oppositus est, utatur; ex emendatione certe inferri non debet. Denique, quod supra jam monui, Gigantes illi non circumsederunt montem, sed in ipso habitarunt, quod etiam ex Orph. Arg. 517 elucet. Minus etiam probabilis est emendatio Porsoni Advers. p. 271 ed. Lips. *ὑβρισταὶ καὶ ἀγρεῖοι ναιετάουσι*, quam bene confutavit Gerhard. p. 32. Id quidem certum videtur, vitium esse in vocabulo *ναιετάουσι*, quod ex simili vocabulo corruptum est, scribentis oculis ad versum praecedentem aberrantibus. Itaque genuinum fere puto *ἐνναίουσι*, quod tamen in textum recipere non ausus sum.

944. Imitatus est Orph. Arg. 519 *ἓξ γὰρ χεῖρες ἑκάστῳ ἀπ' ὤμων ἀΐσσοντο*, unde fere apud Nostrum quoque malim inverso ordine vocabula *ἑκάστῳ χεῖρες* scribere, ita enim versus rotundior foret, qui nunc in tres partes male dilabitur.

946. *ἀινοτάτῃσι* Vrat. — *πλευραῖς* vulg. *πλευρῇς* Regg. A. B. C. E. Med. Guelph. Vind. Vrat., quod recte receperunt Brunck. Beck. cf. Wernick. ad Tryph. p. 108 sqq.

947. *δ' ἂν πεδίον* Regg. B. E., quae frequens est confusio, inde corruptum *ἀμπεδίον* Reg. C. et *δ' ἀμπεδίον* Regg. A. B. neque tamen hoc vocabulum, quod nihil est, recipere dubitaverunt Brunck. et Beck.

949. *κούρη τέκεν* Vat. A. et a m. 1. D.

950. *οὗτοι* Reg. A.

951. *Ποσιδάωνος* Vind. — Postremam versus partem mutuatus est Tryphiod. v. 529.

952. *τὰ πρῶτα* Guelph. Beck.

954. *πάνορμος* pro *θέουσαν* Schol. Flor., quam lectionem ex Gallicano nescio quo libro enotavit Hoelzlin.

955. *ἑλκύσαντες* vulg., quod vel metri causa non ferendum, v. Herm. ad Aristoph. Nub. 536. Ex Scholiaste *ἐκλύσαντες* bene correxit Piers. Veris. p. 202, quod praebent etiam Regg. A. B. E. Vatt. A. C. D. Vrat. Med. et receperunt Brunck. Beck.

κρήνῃ ὑπ' Ἀρτακίῃ· ἕτερον δ' ἕλον, ὅστις ἀρήρει,
βριθύν· ἀτὰρ κεῖνόν γε θεοπροπίαις Ἑκάτοιο
Νηλεΐδαι μετόπισθεν Ἴαονες ἱδρύσαντο
ἱερὸν, ᾗ θέμις ἦεν, Ἰησονίης ἐν Ἀθήνης.
Τοὺς δ' ἄμυδις φιλότητι Δολίονες ἠδὲ καὶ αὐτὸς
Κύζικος ἀντήσαντες, ὅτε στόλον ἠδὲ γενέθλην
ἔκλυον οἵτινες εἶεν, ἐϋξείνως ἀρέσαντο,
καί σφέας εἰρεσίῃ πέπιθον προτέρωσε κιόντας
ἄστεος ἐν λιμένι πρυμνήσια νηὸς ἀνάψαι.
ἔνθ' οἵ γ' Ἐκβασίῳ βωμὸν θέσαν Ἀπόλλωνι
στησάμενοι παρὰ θῖνα, θυηπολίης τ' ἐμέλοντο.
δῶκεν δ' αὐτὸς ἄναξ λαρὸν μέθυ δευομένοισιν,
μῆλά θ' ὁμοῦ· δὴ γάρ οἱ ἔην φάτις, εὖτ' ἂν ἵκωνται
ἀνδρῶν ἡρώων θεῖος στόλος, αὐτίκα τόνγε
μείλιχον ἀντιάαν, μηδὲ πτολέμοιο μέλεσθαι.
ἶσόν που κἀκείνῳ ἐπισταχύεσκον ἴουλοι,
οὐδέ νύ πω παίδεσσιν ἀγαλλόμενος μεμόρητο·
ἀλλ' ἔτι οἱ κατὰ δώματ' ἀκήρατος ἦεν ἄκοιτις
ὠδίνων, Μέροπος Περκωσίου ἐκγεγαυῖα,
Κλείτη ἐϋπλόκαμος. τὴν μὲν νέον ἐξέτι πατρὸς
θεσπεσίοις ἕδνοισιν ἀνήγαγεν ἀντιπέρηθεν.

958. *θεοπροπίας* Reg. A. Flor. Brub. Basil.
959. *Νηλεῖδαι* Brunck. ut solet, *Νηλεΐδα* Beck. ex errore typ.
960. *Ἀθήναις* Reg. A. Flor. Brub. Basil., duae postremae etiam *ἰησονίῃς*. In Guelph. legitur *Ἰησονίης ἐν Ἀθήνης*, quod inepte recepit Hoerstel.
963. *ἤεν* male Regg. C. D. Vatt. B. C. D. Med. Guelph. Flor. Brub. Basil. Correctum est jam in ed. Paris. et Steph., quibuscum reliqui libri consentiunt. — *ἀραίσαντο* Flor.
966. *Ἐκβασίοιο* Schol. Paris.
967. *εἰσάμενοι* Etymol. M. p. 306, 32, quod probavit Ruhnk. ep. crit. p. 289, et receperunt Brunck. Beck., sed librorum omnium lectionem recte tuetur Gerhard. p. 65. — *τ'* omittit Flor. Brub. Basil. Steph. Hoelzlin. Shaw.
969. *ἵκηται* legendum suspicatur Brunck., quod mirandum est, quum hujus constructionis exempla sint ubivis obvia. Simillimus est locus Aesch. Agam. 563. cf. Wyttenb. Bibl. crit. III, 2 p. 35. Dorvill. ad Char. p. 380. 565.
970. *τοῖς γε* suspicatur Brunck. sine causa, saepe enim *ἀντιάω* cum casu quarto construitur.
972. *ἶσον* Vrat. Flor. *νεῖον* emendavit Ruhnk. ep. crit. p. 285 a Scholiasta in errorem inductus, obsecuti sunt Brunck. et Beck., sed recte obloquitur Gerhard. p. 7 s. In priore recensione Schol. Flor. ita lectum fuisse refert: *ἄρμοῖ που κἀκείνῳ ὑποσταχύεσκον ἴουλοι*, et ad illud *ἄρμοῖ* pertinet explicatio *ἀντὶ τοῦ νεωστὶ*, qua ad emendandum permotus est Ruhnkenius. Mutavit poeta in posteriore recensione, quia in Callimachi Hecale legebatur versus *ἄρμοῖ που κἀκείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος*, cf. Gerhard. l. c. *Ἶσον* vero recte monent Scholiastae ad Iasonem referendum esse: Cyzicus pari atque Iason lanugine gaudebat.
975. *Μείοπος* Guelph.

ἀλλὰ καὶ ὧς θάλαμόν τε λιπὼν καὶ δέμνια νύμφης
τοῖς μέτα δαῖτ' ἀλέγυνε, βάλεν δ' ἀπὸ δείματα θυμοῦ.
ἀλλήλους δ' ἐρέεινον ἀμοιβαδίς. ἤτοι ὁ μὲν σφέων
πεύθετο ναυτιλίης ἄνυσιν Πελίαό τ' ἐφετμάς·
οἱ δὲ περικτιόνων πόλιας καὶ κόλπον ἅπαντα
εὐρείης πεύθοντο Προποντίδος· οὐ μὲν ἐπιπρὸ
ἠείδει καταλέξαι ἐελδομένοισι δαῆναι.
ἠοῖ δ' εἰσανέβαν μέγα Δίνδυμον, ὄφρα καὶ αὐτοὶ
θηήσαιντο πόρους κείνης ἁλός· ἐκ δ' ἄρα τοίγε
νῆα Χυτοῦ λιμένος προτέρου ἐξήλασαν ὅρμου·
ἥδε δ' Ἰησονίη πέφαται ὁδὸς, ἥνπερ ἔβησαν.
Γηγενέες δ' ἑτέρωθεν ἀπ' οὔρεος ἀΐξαντες
φράξαν ἀπειρεσίοιο Χυτοῦ στόμα νειόθι πέτρης
πόντιον, οἷά τε θῆρα λοχώμενοι ἔνδον ἐόντα.
ἀλλὰ γὰρ αὖθι λέλειπτο σὺν ἀνδράσιν ὁπλοτέροισιν
Ἡρακλέης, ὃς δή σφι παλίντονον αἶψα τανύσσας
τόξον, ἐπασσυτέρους πέλασε χθονί· τοὶ δὲ καὶ αὐτοὶ
πέτρας ἀμφιῤῥῶγας ἀερτάζοντες ἔβαλλον.
δὴ γάρ που κἀκεῖνα θεὰ τρέφεν αἰνὰ πέλωρα
Ἥρη, Ζηνὸς ἄκοιτις, ἀέθλιον Ἡρακλῆϊ.
σὺν δὲ καὶ ὦλλοι δῆθεν ὑπότροποι ἀντιόωντες,
πρίν περ ἀνελθέμεναι σκοπιὴν, ἥπτοντο φόνοιο
Γηγενέων ἥρωες ἀρήϊοι, ἠμὲν ὀϊστοῖς,
ἠδὲ καὶ ἐγχείῃσι δεδεγμένοι, εἰσόκε πάντας
ἀντιβίην ἀσπερχὲς ὀρινομένους ἐδάϊξαν.
ὡς δ' ὅτε δούρατα μακρὰ νέον πελέκεσσι τυπέντα
ὑλοτόμοι στοιχηδὸν ἐπὶ ῥηγμῖνι βάλωσιν,

978. ὃς Guelph., quod recipiendum judicavit Hoerstelii sagacitas.
979. βάλε Vrat. Flor. Brub. Basil. Beck.
985. ὄφρα κεν αὐτοὶ ex emendatione Brunck. Beck., sed vulg. recte se habet: ascenderunt Dindymum, ut *et ipsi* viderent, quae antea ex aliis sciscitati erant.
986. θηήσαντο Hoelzlin. ex errore typ., qui et in ed. Shaw. migravit. — ἐν δ' ἄρα Vatt. C. D. Vrat. Flor. Brub. Basil. Similis corruptela apud Quint. Smyrn. I, 456, quam tollit Spitzner. obss. in Quint. p. 205.
990. πέτρης vulg. πέτρῃς Reg. E. Vrat. et alii fortasse plures, talia enim non solent enotari. Dativus sensus causa necessarius est, eumque dederunt Brunck. Beck.
993. σφιν Guelph. Vind. Flor. — τανύσας Vind. Vrat.
995. ἀποῤῥῶγας Regg. quinque et Schol. Paris., reliqui libri omnes vulgatam exhibent; ἀμφιρῶγας ex more Brunck. Beck.
996. δὴ γάρ δή που Reg. A.
998. ὦλλοι Vrat. Beck.
1003. πέλεσι Reg. A.
1004. στελεχηδὸν A. B. C. D. Vat. B. male, v. Gerhard. p. 47. στιχηδὸν Guelph.

ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους·
ὣς οἱ ἐνὶ ξυνοχῇ λιμένος πολιοῖο τέταντο
ἑξείης, ἄλλοι μὲν ἐς ἁλμυρὸν ἀθρόοι ὕδωρ
δύπτοντες κεφαλὰς καὶ στήθεα, γυῖα δ' ὕπερθεν
χέρσῳ τεινάμενοι· τοὶ δ' ἔμπαλιν αἰγιαλοῖο
κράατα μὲν ψαμάθοισι, πόδας δ' εἰς βένθος ἔρειδον,
ἄμφω ἅμ' οἰωνοῖσι καὶ ἰχθύσι κύρμα γενέσθαι.
  Ἥρωες δ', ὅτε δή σφιν ἀταρβὴς ἔπλετ' ἄεθλος,
δὴ τότε πείσματα νηὸς ἐπὶ πνοιῇς ἀνέμοιο
λυσάμενοι προτέρωσε διὲξ ἁλὸς οἶδμα νέοντο.
ἡ δ' ἔθεεν λαίφεσσι πανήμερος· οὐ μὲν ἰούσης
νυκτὸς ἔτι ῥιπὴ μένεν ἔμπεδον, ἀλλὰ θύελλαι
ἀντίαι ἁρπάγδην ὀπίσω φέρον, ὄφρ' ἐπέλασσαν
αὖτις ἐϋξείνοισι Δολίοσιν. ἐκ δ' ἄρ' ἔβησαν
αὐτονυχί· Ἱερὴ δὲ φατίζεται ἧδ' ἔτι πέτρη,
ᾗ πέρι πείσματα νηὸς ἐπεσσύμενοι ἐβάλοντο.
οὐ δέ τις αὐτὴν νῆσον ἐπιφραδέως ἐνόησεν
ἔμμεναι· οὐδ' ὑπὸ νυκτὶ Δολίονες ἂψ ἀνιόντας
ἥρωας νημερτὲς ἐπήϊσαν· ἀλλά που ἀνδρῶν
Μακριέων εἴσαντο Πελασγικὸν ἄρεα κέλσαι.
τῷ καὶ τεύχεα δύντες ἐπὶ σφίσι χεῖρας ἄειραν.
σὺν δ' ἔλασαν μελίας τε καὶ ἀσπίδας ἀλλήλοισιν
ὀξείῃ ἴκελοι ῥιπῇ πυρὸς, ἥτ' ἐνὶ θάμνοις
αὐαλέοισι πεσοῦσα κορύσσεται· ἐν δὲ κυδοιμὸς
δεινός τε ζαμενής τε Δολιονίῳ πέσε δήμῳ.
οὐδ' ὅγε δηϊοτῆτος ὑπὲρ μόρον αὖτις ἔμελλεν

1005. ὄφρα κε Regg. A. C. E., unde Brunckius, ὄφρα sine κε nonnisi cum conjunctivo jungi posse inepte ratus, ὥς κε scribendum judicavit, et imponi sibi passus est Beckius.

1006. λημένος Vind.

1007. Vocabulum ἁλμυρόν ex Nostro laudat Etymol. M. p. 72, 12.

1008. δρύπτοντες Vat. D. et Vind., sed hic vulg. in marg. habet.

1010. ψαμάθης Vind. ψαμάθοις Vrat.

1012. ἔπλετο Vind. Vrat.

1015. ἔθεε Brunck. ex more.

1017. ἀντίαν Guelph.— ἐπέλασσεν Regg. A. B. E., quod sine causa praetulit Brunck.

1019. αὐτονυχεὶ vulg. αὐτονυχὶ Regg. B. C. D. et E. a m. 2. Vatt. A. D. Med. Guelph. Vind. Vrat. Flor. Brub. Basil. Brunck. Beck. recte. Idem apud Nostrum legitur IV, 1130. — φατίζεται εἴσετι Schol. Paris. ad I, 1109.

1020. ἧερι Vind. περὶ in marg. adscripto. ἧπερ Guelph. Flor.—ἐβάλλοντο Flor.

1021. οὐδέ τις minus bene Brunck. Beck.

1022. ἂν ἀνιόντας Guelph.

1023. ἐπήδεσαν conj. Wakefield. sine causa.

1025. τεύχε' ἄειραν Flor.

1030. Versum aliquem ante hunc excidisse putat Heyn. ad Apollod. I, 9, 18, p. 85, quo Cyzici nomen contineatur; quod non necessarium: ὅγε,

οἴκαδε νυμφιδίους θαλάμους καὶ λέκτρον ἱκέσθαι.
ἀλλά μιν Αἰσονίδης τετραμμένον ἰθὺς ἑοῖο
πλῆξεν ἐπαΐξας στῆθος μέσον, ἀμφὶ δὲ δουρὶ
ὀστέον ἐῤῥαίσθη· ὁ δ' ἐνὶ ψαμάθοισιν ἐλυσθεὶς
μοῖραν ἀνέπλησεν. τὴν γὰρ θέμις οὔ ποτ' ἀλύξαι
θνητοῖσιν· πάντη περὶ γὰρ μέγα πέπταται ἕρκος.
ὣς τὸν οἰόμενόν που ἀδευκέος ἔκτοθεν ἄτης
εἶναι ἀριστήων, αὐτῇ ὑπὸ νυκτὶ πέδησεν
μαρνάμενον κείνοισι· πολεῖς δ' ἐπαρηγόνες ἄλλοι
ἔκταθεν· Ἡρακλέης μὲν ἐνήρατο Τηλεκλῆα
ἠδὲ Μεγαβρόντην· Σφόδριν δ' ἐνάριξεν Ἄκαστος·
Πηλεὺς δὲ Ζέλυν εἷλεν, ἀρηΐθοόν τε Γέφυρον.
αὐτὰρ ἐϋμμελίης Τελαμὼν Βασιλῆα κατέκτα.
Ἴδας δ' αὖ Προμέα, Κλυτίος δ' Ὑάκινθον ἔπεφνεν.
Τυνδαρίδαι δ' ἄμφω Μεγαλοσσάκεα, Φλόγιόν τε.
Οἰνείδης δ' ἐπὶ τοῖσιν ἕλεν θρασὺν Ἰτυμονῆα,
ἠδὲ καὶ Ἀρτακέα, πρόμον ἀνδρῶν· οὓς ἔτι πάντας
ἐνναέται τιμαῖς ἡρωΐσι κυδαίνουσιν.

ut saepe *αὐτός*, ad regem significandum sufficit. — *ὑπέρμορον* Vat. B.

1032. *τεταμμένον* Reg. A. — *ἑεῖο* Regg. A. C., quod receperunt Brunck. Beck.; sed ea est forma inaudita, contra ut *ἑοῦ* usurpat Apollon. IV, 802 (cf. Gerhard. p. 93) ita *ἑοῖο* praebent libri praeter hunc locum II, 6. III, 1065. 1335. IV, 782, quos omnes intactos relinquere debebat Brunckius.

1034. *ἐῤῥάσθη* Vrat. Vind., sed hic vulg. in marg. — *ψαμάθοισι* Vrat.

1035. *ἀνέπλησε* et vers. seq. *θνήτοισι* Brunck. Beck. — *γὰρ οὐ* Reg. A.

1036. *θνητοῖς* Guelph. — *πάντη γὰρ περὶ* vulg. invito metro. *πάντη γάρ τοι* Regg. A. E. *πάντη περὶ γὰρ* Vind. Vrat. *πάντη δὲ περὶ μέγα* Etymol. M. p. 16, 30, qui v. 1034—1037 poetae nomine non addito laudat, idque verum judicaverunt Arnald. lectt. gr. p. 237. Vir D. in Obss. miscell. IV p. 195 s. Brunck. Beck. Herm. ad Orph. p. 704 et Gerhard. p. 65. Sed quum libri omnes in *γὰρ* consentiant, praestantior mihi videtur codd. Vind. et Vrat. lectio, nam et sensus *γάρ* postulat, et lectionis depravatio facillime hinc explicari potest, quoties enim librarii *γάρ*, quum tertio quartove loco positum inveniebant, transposuerint, notum est; cf. quae monui ad Aesch. Agam. 710. Etymologi vero lectio aut ex frequentissima particularum *γάρ* et *δέ* confusione nata est, aut inde, quod duplex *γάρ* offensioni erat, cujus exempla attuli ad Aesch. Agam. 546.

1037. *περ* pro *που* cod. Etymol. apud Dorvill. obss. misc. IV p. 195. — *ἔκτοσθεν* Guelph. *ἔκτοθι* cod. Etymol.

1038. *αὐτῇ δ' ὑπὸ* vulg., sed particulam ineptam recte omittunt Regg. A. B. C. D. E. Vatt. A. C. D. Vind. Vrat. Brunck. Beck. Praeterea *αὐτὴ* habent Reg. A. Vind., quod male praetulerunt Brunck. Beck., *αὐτὴ* prorsus otiosum foret, contra *αὐτῇ ὑπὸ νυκτὶ* cum vi dictum est: ea ipsa nocte, qua se ab interitu immunem putabat.

1042. *Ζέλιν* Reg. E.

1043. *ἐϋμελίης* Regg. A. B. D. E. Vatt. A. D. Brunck. Beck. ut solent.

1046. *Οἰνεΐδης* Brunck. Beck. ut semper. — *ἕλε* Regg. A. B. E. Vatt. A. B. C. D. Vrat. Vind. Guelph. Brunck. Beck.

1047. *πάντες* Reg. A.

οἱ δ' ἄλλοι εἴξαντες ὑπέτρεσαν, ἠΰτε κίρκους
ὠκυπέτας ἀγεληδὸν ὑποτρέσσωσι πέλειαι.
ἐς δὲ πύλας ὁμάδῳ πέσον ἀθρόοι· αἶψα δ' ἀϋτῆς
πλῆτο πόλις στονόεντος ὑποτροπίῃ πολέμοιο.
ἠῶθεν δ' ὀλοὴν καὶ ἀμήχανον εἰσενόησαν
ἀμπλακίην ἄμφω· στυγερὸν δ' ἄχος εἷλεν ἰδόντας
ἥρωας Μινύας Αἰνήϊον υἷα πάροιθεν
Κύζικον ἐν κονίῃσι καὶ αἵματι πεπτηῶτα.
ἤματα δὲ τρία πάντα γόων τίλλοντό τε χαίτας
αὐτοὶ ὁμῶς λαοί τε Δολίονες. αὐτὰρ ἔπειτα
τρὶς περὶ χαλκείοις σὺν τεύχεσι δινηθέντες
τύμβῳ ἐνεκτερέϊξαν ἐπειρήσαντό τ' ἀέθλων,
ἣ θέμις, ἂμ πεδίον λειμώνιον, ἔνθ' ἔτι νῦν περ
ἐγκέχυται τόδε σῆμα καὶ ὀψιγόνοισιν ἰδέσθαι.
οὐδὲ μὲν οὐδ' ἄλοχος Κλείτη φθιμένοιο λέλειπτο
οὗ πόσιος μετόπισθε· κακῷ δ' ἔπι κύντερον ἄλλο
ἤνυσεν ἁψαμένη βρόχον αὐχένι. τὴν δὲ καὶ αὐταὶ
Νύμφαι ἀποφθιμένην ἀλσηΐδες ὠδύραντο·
καί οἱ ἀπὸ βλεφάρων ὅσα δάκρυα χεῦαν ἔραζε,
πάντα τάγε κρήνην τεῦξαν θεαί, ἣν καλέουσιν
Κλείτην, δυστήνοιο περικλεὲς οὔνομα νύμφης.
αἰνότατον δὴ κεῖνο Δολιονίῃσι γυναιξὶν
ἀνδράσι τ' ἐκ Διὸς ἦμαρ ἐπήλυθεν· οὐδὲ γὰρ αὐτῶν
ἔτλη τις πάσσασθαι ἐδητύος, οὐδ' ἐπὶ δηρὸν
ἐξ ἀχέων ἔργοιο μυληφάτου ἐμνώοντο·

1049. *ὑπέτραν* Reg. A.
1055. *Μυνύας* Flor. Brub. Basil. — *προπάροιθεν* Reg. A. Vind.
1056. *ἐν κονίῃ τε* Etymol. M. p. 662, 49.
1059. *δίχα τεύχεσι* vulg., sed *σὺν τεύχεσι* codd. omnes praeter unum Vat. B., quod recte receptum esse a Brunck. Beck., docet locus simillimus IV, 1535. Sed mira tamen illa lectionis discrepantia. Praeterea perspicuum est, Scholiasten Flor., cujus verba aut manca aut corrupta sunt, in libro suo legisse *χαλκείοισι σὺν ἔντεσι*, quod an praeferendum sit haud facile dixeris, utroque enim, et *σὺν τεύχεσι* et *σὺν ἔντεσι* saepius utitur Noster; illud confirmare videtur III, 499 (ubi Guelph. etiam *ἔντεσι* praebet), hoc IV, 1535. Ceterum hinc explicari posse mihi videtur vulgatae lectionis diversitas, namque verbis *σὺν τεύχεσι* suprascripserat vel adscripserat aliquis: *γράφεται δίχα, τεύχεσι καὶ ἔντεσι*; inde *δίχα τεύχεσι* in textum migravit.
1062. *ἀγκέχυται* Vrat.
1065. *ἀψαμένη* ed. Paris. Steph. errore typ.
1066. *ὀλοφύραντα* Vind. *ὀδύραντο* Vrat. marg. Vind.
1067. *χεῦεν* Regg. A. B. C.
1069. *περικαλὲς* Reg. A. *περικαλεὲς* Vrat.
1070. *δ' ἐκεῖνο* Vind. Vrat.
1072. *πάσασθαι* Reg. E. Vind. Vrat. Flor. Brub. Basil. — *ἐδυτίος* Flor. Brub. Basil. — *ἐδητύος, οὐδὲ γὰρ αὐτῶν* Reg. A.
1073. *μυληφάτοιο* Guelph.

ἀλλ᾽ αὔτως ἄφλεκτα διαζώεσκον ἔδοντες.
ἔνθ᾽ ἔτι νῦν, εὖτ᾽ ἂν σφιν ἐτήσια χύτλα χέωνται
Κύζικον ἐνναίοντες Ἰάονες, ἔμπεδον αἰεὶ
πανδήμιοιο μύλης πελάνους ἐπαλετρεύουσιν.
Ἐκ δὲ τόθεν τρηχεῖαι ἀνηέρθησαν ἄελλαι
ἦμαθ᾽ ὁμοῦ νύκτας τε δυώδεκα, τοὺς δὲ κατ᾽ αὖθι
ναυτίλλεσθαι ἔρυκον. ἐπιπλομένῃ δ᾽ ἐνὶ νυκτὶ
ὧλλοι μέν ῥα πάρος δεδμημένοι εὐνάζοντο
ὕπνῳ ἀριστῆες πύματον λάχος· αὐτὰρ Ἄκαστος
Μόψος τ᾽ Ἀμπυκίδης ἀδινὰ κνώσσοντας ἔρυντο.
ἡ δ᾽ ἄρ᾽ ὑπὲρ ξανθοῖο καρήατος Αἰσονίδαο
ποτᾶτ᾽ ἀλκυονὶς λιγυρῇ ὀπὶ θεσπίζουσα
λῆξιν ὀρινομένων ἀνέμων· συνέηκε δὲ Μόψος,
ἀκταίης ὄρνιθος ἐναίσιμον ὄσσαν ἀκούσας.
καὶ τὴν μὲν θεὸς αὖτις ἀπέτραπεν, ἷζε δ᾽ ὕπερθεν
νηΐου ἀφλάστοιο μετήορος ἀΐξασα.
τὸν δ᾽ ὅ γε κεκλιμένον μαλακοῖς ἐνὶ κώεσιν οἰῶν
κινήσας ἀνέγειρε παρασχεδὸν ὧδέ τ᾽ ἔειπεν.
„Αἰσονίδη, χρειώ σε τόδ᾽ ἱερὸν εἰσανιόντα
„Δινδύμου ὀκριόεντος ἐΰθρονον ἱλάξασθαι
„μητέρα συμπάντων μακάρων· λήξουσι δ᾽ ἄελλαι
„ζαχρηεῖς. τοίην γὰρ ἐγὼ νέον ὄσσαν ἄκουσα
„ἀλκυόνος ἁλίης, ἥτε κνώσσοντος ὕπερθεν

1074. *διεξύεσκον* Reg. A. *διεξώεσκον* Regg. C. D. E., quod sine causa receperunt Brunck. Beck. Hi soli etiam Regg. codd., quorum non magnam esse auctoritatem scimus, augmentum praebent in *ἀνεκρούεσκον* IV, 1650. Sed II, 551 omnes fere libri in *ἀνακλύζεσκον* consentiunt, itemque IV, 944 in *ἐπικαχλάζεσκεν*. I, 972 in *ἐπισταχύεσκον*. Contra plurimi libri praebent *ἐπεκλονέεσκον* III, 687 et *ἐπεστοβέεσκον* IV, 1725. Ubique librorum auctoritatem secutus sum. cf. Spitzner. obss. in Quint. p. 211 s.

1075. *χύτταλα* Vrat.

1077. *ἐπαλετρέουσιν* Vrat.— Versum laudat Etymol. M. p. 659, 18.

1078. *τραχεῖαι* Guelph. — *ἀνηγέρθησαν* Vat. C.

1079. *καταῦθι* Regg. tres, Vatt. A. C. D. Vrat. Flor. male.

1082. *λέχος* vulg. *λάχος* Regg. A. B. C. D. E. Guelph. et Schol. uterque, quod suadente Piersono Veris. p. 203 (qui apte confert Mosch. Europam v. 3) receperunt Brunck. et Beck. Eadem varietas est III, 1340.

1084. *ἢ δ᾽ ἄρ᾽ ἐπὶ ὑπὲρ* Vind. Vrat.

1085. *ποτᾶτ᾽* Flor. — *ἀλκιονὶς* Vind. Vrat.

1088. *ἀπέτρεπεν* Reg. A. — *ἵξε* Beck. errore typ.

1089. *μελήωρος* Vind. *μετήωρος* Vrat.

1090. *τὸν δέ γε* Reg. A. — *κώεσι* Beck. errore typ.

1092. *χρήωσε* Vind.

1093. *Ὀκριόεντος* Med. Guelph. Vind. Vrat., quod Brunck. Beck. recte vulgato *ὀκρυόεντος* sensus causa praetulerunt. *ἱλάξεσθαι* Vatt. C. D.

1095. *ἐγὼν ἔον* Vind.

1096. *ἀλκυόνης* Regg. A. E., quod correctori metrico debetur.

„σεῖο πέριξ τὰ ἕκαστα πιφαυσκομένη πεπότηται.
„ἐκ γὰρ τῆς ἄνεμοί τε θάλασσά τε νειόθι τε χθὼν
„πᾶσα πεπείρηται νιφόεν θ' ἕδος Οὐλύμποιο·
„καί οἱ, ὅτ' ἐξ ὀρέων μέγαν οὐρανὸν εἰσαναβαίνει,
„Ζεὺς αὐτὸς Κρονίδης ὑποχάζεται. ὣς δὲ καὶ ἄλλοι
„ἀθάνατοι μάκαρες δεινὴν θεὸν ἀμφιέπουσιν.“
Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι,
ὤρνυτο δ' ἐξ εὐνῆς κεχαρημένος· ὦρσε δ' ἑταίρους
πάντας ἐπισπέρχων, καί τε σφίσιν ἐγρομένοισιν
Ἀμπυκίδεω Μόψοιο θεοπροπίας ἀγόρευεν.
αἶψα δὲ κουρότεροι μὲν ἀπὸ σταθμῶν ἐλάσαντες
ἔνθεν ἐς αἰπεινὴν ἄναγον βόας οὔρεος ἄκρην.
οἱ δ' ἄρα λυσάμενοι Ἱερῆς ἐκ πείσματα πέτρης
ἤρεσαν ἐς λιμένα Θρηΐκιον· ἂν δὲ καὶ αὐτοὶ
βαῖνον, παυροτέρους ἑτάρων ἐν νηῒ λιπόντες.
τοῖσι δὲ Μακριάδες σκοπιαὶ, καὶ πᾶσα περαίη
Θρηϊκίης ἐνὶ χερσὶν ἑαῖς προυφαίνετ' ἰδέσθαι·
φαίνετο δ' ἠερόεν στόμα Βοσπόρου, ἠδὲ κολῶναι
Μυσίαι· ἐκ δ' ἑτέρης ποταμοῦ ῥόος Αἰσήποιο
ἄστυ τε καὶ πεδίον Νηπήϊον Ἀδρηστείης.
ἔσκε δέ τι στιβαρὸν στύπος ἀμπέλου ἔντροφον ὕλῃ

1097. *πιφασκομένη* Reg. A. Flor. — *πεπότητο* Regg. D. E., quod receperunt Brunck. Beck., propter servatam, ut ait ille, temporum rationem, quod non intelligo.

1098. *ἄνεμος* Guelph., quod placuit Hoerstelio. — *τε* post *θάλασσα* omittit Vat. D.

1099. *νιφόεντ'* Vind. Vrat. Flor. Brub. Basil.

1100. *εἰσαναβαίνῃ* Med. Guelph. *εἰσαναβαίνοι* Regg. B. C. E. Sed indicativus recte se habet, cf. Herm. ad Vig. p. 917. Vid. infra II, 938.

1101. *ὦλλοι* vulg. *ἄλλοι* Regg. A. B. C. D. E. Vind., cujus in margine adscripta est vulg. Illud reposui, vid. quae supra ad v. 910 monita sunt.

1103. *ἔγεντ' ἔπος* Vind. Vrat.

1105. *σφιν* Vrat. Flor. Brub. Bas. — *εἱρομένοισιν* Reg. A. *ἀγρομένοισιν* marg. Reg. A. Reg. E. Vatt. A. C. D. Vind. Vrat., quod non erat cur reciperent Brunck. Beck. Nec magis necessaria est Brunckii conjectura *καί τέ σφιν ἀγειρομένοισιν*, quam tamen, nisi mero librariorum errori lectionis diversitates tribuendae sunt, prioris recensionis lectionem fuisse facile quis putaverit.

1106. *ἀγόρευσεν* Guelph.

1108. *ἐπ' αἰπεινὴν* Regg. A. B. D. E., quod sine causa vulgatae praetulerunt Brunck. Beck. — *ἀπεινὴν* Vind.

1113. *προφαίνετ'* Flor. — Ad verba *ἐνὶ χερσὶν ἑαῖς* Arnald. Lectt. gr. p. 238 recte confert Eurip. Heracl. 430, qui locus nostro illustratur, Brunckius Virgil. Georg. II, 45. — De *ἑὸς* pro *σφέτερος*, quod reprehendit Schol., cf. Ruhnk. epist. crit. p. 265.

1115. *Μυσείαι* Reg. A. — *ἑτέροις* Flor. Brub. Basil.

1116. *ἄστυ δὲ* menda typographica in ed. Beck.

1117. *βριαρὸν* Etym. M. p. 228, 26. — *ὕλην* Vatt. A. B. C. D. Vind. Vrat. Flor. Brub. Basil. ex frequente confusione litterae *ῡ* et iota subscripti.

πρόχνυ γεράνδρυον· τὸ μὲν ἔκταμον, ὄφρα πέλοιτο
δαίμονος οὐρείης ἱερὸν βρέτας· ἔξεσε δ' Ἄργος
εὐκόσμως, καὶ δή μιν ἐπ' ὀκρυόεντι κολωνῷ
ἵδρυσαν, φηγοῖσιν ἐπηρεφὲς ἀκροτάτῃσιν,
αἵ ῥά τε πασάων πανυπέρταται ἐῤῥίζωνται.
βωμὸν δ' αὖ χεράδος παρενήνεον· ἀμφὶ δὲ φύλλοις
στεψάμενοι δρυΐνοισι θυηπολίης ἐμέλοντο,
Μητέρα Δινδυμίην πολυπότνιαν ἀγκαλέοντες,
ἐνναέτιν Φρυγίης, Τιτίην θ' ἅμα, Κύλληνόν τε,
οἳ μοῦνοι πολέων μοιρηγέται ἠδὲ πάρεδροι
Μητέρος Ἰδαίης κεκλήαται, ὅσσοι ἔασιν
Δάκτυλοι Ἰδαῖοι Κρηταιέες, οὕς ποτε Νύμφη
Ἀγχιάλη Δικταῖον ἀνὰ σπέος, ἀμφοτέρῃσιν
δραξαμένη γαίης Οἰαξίδος, ἐβλάστησε.
πολλὰ δὲ τήνγε λιτῇσιν ἀποστρέψαι ἐριώλας
Αἰσονίδης γουνάζετ' ἐπιλλείβων ἱεροῖσιν

1118. *γεράνδριον* Vrat. Vind. — *ἔταμον* Reg. A.

1120. Hic versus deest Vat. B. — *ὀκριόεντι* ex Med. et Reg. B. Brunck. Beck.

1121. *ἀκροτάτοισιν* Steph.

1122. *ἐῤῥίζοντο* ed. Paris. inde *ἐῤῥίζωντο* Steph., unde in reliquas editiones fluxit, sed id in solo Reg. E. legitur; reliqui codices omnes et editiones veteres habent *ἐῤῥίζωνται*, quod revocavi.

1124. *ἐμέλλοντο* Vrat. Vind.

1125. *ἐγκαλέοντες* vulg. male. *ἀγκαλέοντες* Regg. B. E. Vatt. A. C. D. Vrat. Vind. Brunck. Beck.

1126. *Τιτύην* Reg. A.

1128. *μαλερὸς* Vind. *ματέρος* Vrat.

1129. *Κρηταέες* vulg., quod metro adversari observavit Brunck., quapropter recte ex Etymol. M. p. 465, 26 dedit *Κρηταιέες*, cujus formae testis est etiam Steph. Byz. s. v. *Κρήτη*. — Fragmentum e versione Varronis, quod ad hunc locum pertinet, servarunt Serv. ad Virg. Eclog. I, 66 et Vib. Sequest. p. 15.

1130. *Δικταῖος* Vind.

1131. De *ἔβλαστησε* sensu transitivo adhibito, v. Northm. ad Tryphiod. v. 56.

1132. *ἀποστέψαι* Flor. — *ἐργώλας* codd. et edd. vett. omnes praeter Guelph., in quo monstrosum *ἐωργὰς* cum gl. *ὀργάς*. Illud corruptum esse et a solis scholiastis fictam explicationem *ἡ ἀπώλεια τοῦ ἔργου*, jam dudum viderunt viri docti, et *ἐριώλας*, quod IV, 1778 recurrit, reponendum esse observarunt Henr. Stephanus, Hemsterh. ad Lucian. T. I p. 287 et Intpp. ad Hesych. s. v. *ἐριωλαὶ*, et receperunt Brunck. Beck. Sed variant in accentu; hic quidem Brunck. edidit *ἐριωλὰς*, sed *ἐριώλη* scripsit ad Aristoph. Equ. 511 et Vesp. 1148, utroque modo ad Acharn. 1177. Litem dirimit Arcadius de Accentt. p. 109 ed. Barker., qui diserte testatur, *ἐριώλη* non ita ut reliqua in *ωλη ὑπερδισύλλαβα ὀξύνεσθαι* sed *βαρύνεσθαι*, quamquam apud hunc quoque vocabulum in *ἐρυμώλη* corruptum est; sed quum explicet *η μεγάλη πνοὴ* et derivet ab *ἔρι* et *ἄω*, alter vero codex *ἐριμώλη* praebeat, dubitari non potest, quin *ἐριώλη* legendum sit, quod vidit jam Bast. ad Gregor. Cor. p. 570. Praeterea libri et Aristoph. Vesp. 1187 et nostro loco vocem *παροξυτόνως* scribunt, quamquam Scholl. eam *ὀξυτόνως* quoque scribi testantur; adjicit tamen et Schol. Flor. *ἐπικρατεῖ δὲ ἡ βαρεῖα τάσις*.

1133. *γουνάξιν* Reg. A. — *ἐπιλείβων* libri omnes, quo exsultat Brun-

αἰθομένοις· ἄμυδις δὲ νέοι Ὀρφῆος ἀνωγῇ
σκαίροντες βηταρμὸν ἐνόπλιον ὠρχήσαντο,
καὶ σάκεα ξιφέεσσιν ἐπέκτυπον, ὥς κεν ἰωὴ
δύσφημος πλάζοιτο δι᾽ ἠέρος, ἣν ἔτι λαοὶ
κηδείῃ βασιλῆος ἀνέστενον. ἔνθεν ἐς αἰεὶ
ῥόμβῳ καὶ τυπάνῳ Ῥείην Φρύγες ἱλάσκονται.
ἡ δέ που εὐαγέεσσιν ἐπὶ φρένα θῆκε θυηλαῖς
ἀνταίη δαίμων· τὰ δ᾽ ἐοικότα σήματ᾽ ἔγεντο.
δένδρεα μὲν καρπὸν χέον ἄσπετον, ἀμφὶ δὲ ποσσὶν
αὐτομάτη φύε γαῖα τερείνης ἄνθεα ποίης.
θῆρες δ᾽ εἰλυούς τε κατὰ ξυλόχους τε λιπόντες,
οὐρῇσιν σαίνοντες ἐπήλυθον. ἡ δὲ καὶ ἄλλο
θῆκε τέρας· ἐπεὶ οὔ τι παροίτερον ὕδατι νᾶεν
Δίνδυμον· ἀλλά σφιν τότ᾽ ἀνέβραχε διψάδος αὔτως
ἐκ κορυφῆς ἄλληκτον· Ἰησονίην δ᾽ ἐνέπουσιν
κεῖνο ποτὸν κρήνην περιναιέται ἄνδρες ὀπίσσω.
καὶ τότε μὲν δαῖτ᾽ ἀμφὶ θεᾶς θέσαν οὔρεσιν Ἄρκτων,

ckius, patrocinari enim videtur ejus scribendi rationi, sed non dubitandum est, quin geminanda sit liquida. Infra IV, 1721 libri omnes, praeter Regg., *ἐπιλλείβοντας* habent. cf. Spitzner. de vers. her. p. 80. *ἐπιλείγεον* Guelph. cum gl. interlin. *ὑμνόων.* — *δὲ ἱεροῖσιν* Guelph.

1134. *ἀρωγῇ* Guelph.

1135. Versus deest in Vat. B. — *σκαίροντα* Etymol. M. 197, 2. — *ὀρχήσαντο* vulg. *ὠρχήσαντο* Regg. A. C. D. Vatt. A. C. D. Guelph. Steph. Brunck. Beck., quod recepi, quamquam dubia res est, cf. Spitzner. obss. in Quint. p. 245s. Sed et ipsum *ὠρχήσαντο* dubium est, nam Etymol. l. c. exhibet *εἱλίσσοντο*, quod unice verum judicant Ruhnk. epist. crit. p. 288 et Wernick. ad Tryph. p. 83. Neque negari potest, facilius illud quam hoc ex interpretatione nasci potuisse; praeterea maximi momenti est, quod Scholiastae imperfecto *ὠρχοῦντο* utuntur. Sed contra librorum consensum nihil novare ausus sum.

1138. *ἐσαιεὶ* Brunck. Beck.

1139. *ῥύμβῳ* Etymol. M. p. 706, 25, quod ex Eupoli et Didymo notant Scholl., sed vulgatum tuetur etiam Eustath. ad Dionys. Perieg. v. 1134. — *τυμπάνῳ* codd. et edd. vett., quod metro adversatur, *τυπάνῳ* Vat. C. Etymol. l. c. ed. Paris. Steph. Brunck. Beck. *τυπάνοισι καὶ ῥόμβοισι* jungit etiam Diogenes apud Athen. XIV p. 636. B., quem emendat Piers. Veris. p. 204. — *ἱλάονται* Guelph.

1142. *δένδρα μὲν* Guelph.

1143. Verba *τερείνης ἄνθεα ποίης* recurrunt infra III, 898; *τερείνης ἄνθεα γαίης* laudat Etymol. M. p. 752, 31.

1144. *ξυλλόχους* Reg. A. et Schol. Paris.

1145. *οὐρῇσι* Regg. A. D. E. Vatt. C. D. Vind. Vrat. Brunck. Beck. ut solent. — *ἠδὲ καὶ* Regg. quinque, quod receperunt Brunck. Beck. male rejecta vulg., quae maxime ex more epicorum est. Ridicule Brunckius exemplis affirmat, apud Homerum *ἠδὲ καὶ* jungi.

1146. *ναῖεν* vulg. male. *νᾶεν* Regg. A. B. C. D. E. marg. Vrat, quod et Scholl. probant. *νᾶε* Brunck. Beck.

1147. *ἀνεβράχθη* Schol. Paris., errore ex interpretatione *ἀνεδόθη* nato.

1148. *ἄληκτον* Reg. D., quod recipere debebat Brunck., si sibi constare voluisset. — *Ἰησονίαν* Hoelzlin. Shaw.

1150. *Ἄρκτον* Vrat. et marg. Reg. A.

μέλποντες Ῥείην πολυπότνιαν· αὐτὰρ ἐς ἠῶ
ληξάντων ἀνέμων νῆσον λίπον εἰρεσίῃσιν.
Ἔνθ᾽ ἔρις ἄνδρα ἕκαστον ἀριστήων ὀρόθυνεν,
ὅστις ἀπολλήξειε πανύστατος. ἀμφὶ γὰρ αἰθὴρ
νήνεμος ἐστόρεσεν δίνας, κατὰ δ᾽ εὔνασε πόντον.
οἱ δὲ γαληναίῃ πίσυνοι ἐλάασκον ἐπιπρὸ
νῆα βίῃ· τὴν δ᾽ οὔ κε διὲξ ἁλὸς ἀΐσσουσαν
οὐδὲ Ποσειδάωνος ἀελλόποδες κίχον ἵπποι.
ἔμπης δ᾽ ἐγρομένοιο σάλου ζαχρηέσιν αὔραις,
αἳ νέον ἐκ ποταμῶν ὑπὸ δείελον ἠερέθονται,
τειρόμενοι καὶ δὴ μετελώφεον· αὐτὰρ ὁ τούσγε
πασσυδίῃ μογέοντας ἐφέλκετο κάρτεϊ χειρῶν
Ἡρακλέης, ἐτίνασσε δ᾽ ἀρηρότα δούρατα νηός.
ἀλλ᾽ ὅτε δή, Μυσῶν λελιημένοι ἠπείροιο,
Ῥυνδακίδας προχοάς, μέγα τ᾽ ἠρίον Αἰγαίωνος
τυτθὸν ὑπὲκ Φρυγίης παρεμέτρεσον εἰσορόωντες,
δὴ τότ᾽ ἀνοχλίζων τετρηχότος οἴδματος ὁλκοὺς,
μεσσόθεν ἆξεν ἐρετμόν. ἀτὰρ τρύφος ἄλλο μὲν αὐτὸς
ἄμφω χερσὶν ἔχων πέσε δόχμιος, ἄλλο δὲ πόντος
κλύζε παλιρροθίοισι φέρων. ἀνὰ δ᾽ ἕζετο σιγῇ
παπταίνων· χεῖρες γὰρ ἀήθεσον ἠρεμέουσαι.

1153. *ἔνθεν* Reg. A. Vind. Vrat.
1154. *ἀπολήξειε* Brunck. Beck. ex more.
1155. *νήμενος* Vind. — *ἐστόρεσε* Vat. C. Vrat. *ἐστόρησε* Vat. D.
1157. *βίην* Guelph.
1159. *ἀγρομένοιο* Guelph.
1160. *ἠερέθοντο* Regg. quinque et ed. Paris., unde in sequentes edd. fluxit, sed praesens, quod reliqui codd. omnes et editiones veteres praebent, revocavi; est enim sermo de eo, quod semper sub vesperam fieri solet.
1161. Vulgata, quam exhibui, sensu caret, quare *τειρόμενοι καμάτῳ μετελώφεον*, quod poetae nomine non addito affert Etymol. M. p. 571, 13, probarunt Ruhnk. epist. crit. p. 288. Brunck. et Beck. Sed quis unquam credat *καμάτῳ* in *καὶ δὴ* mutari potuisse? quare alia emendatio circumspicienda videtur. Fuit quum unice verum putarem *ΧΑΙΔΗΙ*, vel si quis productam priorem syllabam improbaret, quamquam eam interdum produci certum est, *ΧΑΙΔΕΙ*, quorum utrumque facillime in *ΚΑΙΔΗ* corrumpi potuit. Sed de significatione dubito, itaque ampliandum censeo. Nam Etymologi lectionem aut ex interpretatione natam aut ex errore memoriter citantis ortam esse certissimum videtur.
1162. *πανσυδίῃ* Guelph.
1165. *Ῥινδακίδας* Vind. *Ῥυνδακίτας* Guelph. — *τε ῥίον* var. lect. apud Scholl., quam quis veram habere possit, extrusam a sciolo, cui metrum laborare videbatur, sed vetat adjectivum *μέγα*, quod minus bene cum *ῥίον* jungeretur. Praeterea recte monet Schol., *ῥίον* illatum esse ab iis, qui *ἠρίον* illius historiam ignorabant.
1166. *παραμέτρεον* Guelph., quod placuit Hoerstelio.
1167. *ἐνοχλίζων* Schol. Paris. — *τετρυχότος* Guelph., quod recepit Hoerstel.
1170. *παλιροθίοισι* Brunck. Beck.
1171. *ἀήθεσαν* Regg. A. B. E. ed.

Ἦμος δ' ἀγρόθεν εἶσι φυτοσκάφος, ἤ τις ἀροτρεὺς
ἀσπασίως εἰς αὖλιν ἑήν, δόρποιο χατίζων,
αὐτοῦ δ' ἐν προμολῇ τετρυμένα γούνατ' ἔκαμψεν
αὐσταλέος κονίῃσι, περιτριβέας δέ τε χεῖρας
εἰσορόων, κατὰ πολλὰ ἑῇ ἠρήσατο γαστρί·
τῆμος ἄρ' οἵ γ' ἀφίκοντο Κιανίδος ἤθεα γαίης,
ἀμφ' Ἀργανθώνειον ὄρος, προχοάς τε Κίοιο.
τοὺς μὲν ἐΰξείνως Μυσοὶ φιλότητι κιόντας
δειδέχατ', ἐνναέται κείνης χθονός, ἤϊά τέ σφι
μῆλά τε δευομένοις, μέθυ τ' ἄσπετον ἐγγυάλιξαν.
ἔνθα δ' ἔπειθ' οἱ μὲν ξύλα κάγκανα, τοὶ δὲ λεχαίην
φυλλάδα λειμώνων φέρον ἄσπετον ἀμήσαντες,
στόρνυσθαι· τοὶ δ' ἀμφὶ πυρήϊα δινεύεσκον·
οἱ δ' οἶνον κρητῆρσι κέρων, πονέοντό τε δαῖτα,
Ἐκβασίῳ ῥέξαντες ὑπὸ κνέφας Ἀπόλλωνι.
Αὐτὰρ ὁ δαίνυσθαι ἑτάροις οἷς εὖ ἐπιτείλας
βῆ ῥ' ἴμεν εἰς ὕλην υἱὸς Διός, ὥς κεν ἐρετμὸν
οἷ αὐτῷ φθαίη καταχείριον ἐντύνασθαι.
εὗρεν ἔπειτ' ἐλάτην ἀλαλήμενος, οὔτε τι πολλοῖς
ἀχθομένην ὄζοις, οὐδὲ μέγα τηλεθόωσαν,
ἀλλ' οἷον ταναῆς ἔρνος πέλει αἰγείροιο·
τόσση ὁμῶς μῆκός τε καὶ ἐς πάχος ἦεν ἰδέσθαι.

Paris., quod receperunt Brunck. Beck. male, quomodo enim a praesente *ἀηθέσσω* aoristus esse possit *ἀήθεσα* haud facile dixerint. Contra in imperfecto facile poterat poeta metri causa alterum *σ* omittere. Praeterea aoristum sensus non admittit. *ἀήθεσκον* Vrat., quae eadem est varia lectio in Hom. Il. X, 493.

1172. Brunckius apte confert Hom. Il. XI, 86 sqq., qui versus Nostro obversati sunt.

1174. *δὲ προμολῇ* Guelph. — *τετρυμμένα* vulg. ut solet in codd., quod bene correxit Brunck. *τετριμμένα* Regg. tres, Guelph. *τετρεμένα* Reg. C. *τετυμμένα* Vat. D.

1175. *αὐαλέος* Reg. A.

1177. *Κυανίδος* Guelph.

1178. *Ἀργαθώνιον* Vat. B.

1179. *εὐξείνως* Vrat.

1180. *σφιν* Vind. Guelph.

1182. *ἔπειτ'* Vind. Vrat. Flor. Brub. Basil.

1183. Hic versus deest in Vat. B.

1184. Postremam versus partem laudat Etymol. M. p. 697, 42.

1187. *ἑταίροις* Vat. B. *ἑτάροισιν* Guelph. — *ἑτάροις εὖ οἷς* vulg. adversante metro. *εὖ* omittunt Regg. A. C. D. E., *οἷς* omittunt Vatt. A. B. C. D. Guelph. Vrat. Vind. Flor. Brub. Basil., quod facile a syllaba praecedente absorberi potuit. *ἑτάροις οἷς εὖ* Reg. B., quod receperunt Brunck. Beck. *ἑτάροισιν ἑοῖς* emendavit Hoerstel., quod si in codice legeretur, recipere non dubitarem, nam neque a vulgata lectione multum recedit, et *εὖ*, quod in libris non multis omittitur, admodum otiosum est. Attamen et metrica ratio obstare videtur.

1191. *οὐδὲν μέγα* Regg. A. E. *οὐδ' αὖ μέγα* Reg. D. propter metrum, quod fulcro egere putabant imperiti librarii, v. Herm. ad. Orph. p. 704.

1192. *πέλοι* Guelph.

1193. *τε* omittit Guelph. — De

ῥίμφα δ' ὀϊστοδόκην μὲν ἐπὶ χθονὶ θῆκε φαρέτρην
αὐτοῖσιν τόξοισιν, ἔδυ δ' ἄπο δέρμα λέοντος.
τὴν δ' ὅγε χαλκοβαρεῖ ῥοπάλῳ δαπέδοιο τινάξας
νειόθεν ἀμφοτέρῃσι περὶ στύπος ἔλλαβε χερσὶν,
ἠνορέῃ πίσυνος· ἐν δὲ πλατὺν ὦμον ἔρεισεν
εὖ διαβάς· πεδόθεν δὲ, βαθύῤῥιζόν περ ἐοῦσαν,
προσφὺς ἐξήειρε σὺν αὐτοῖς ἔχμασι γαίης.
ὡς δ' ὅταν ἀπροφάτως ἱστὸν νεὸς, εὖτε μάλιστα
χειμερίη ὀλοοῖο δύσις πέλει Ὠρίωνος,
ὑψόθεν ἐμπλήξασα θοὴ ἀνέμοιο καταῖξ
αὐτοῖσι σφήνεσσιν ὑπὲκ προτόνων ἐρύσηται·
ὣς ὅγε τὴν ἤειρεν. ὁμοῦ δ' ἀνὰ τόξα καὶ ἰοὺς,
δέρμα θ' ἑλὼν, ῥόπαλόν τε, παλίσσυτος ὦρτο νέεσθαι.
Τόφρα δ' Ὕλας χαλκέῃ σὺν κάλπιδι νόσφιν ὁμίλου
δίζητο κρήνης ἱερὸν ῥόον, ὥς κέν οἱ ὕδωρ
φθαίη ἀφυσσάμενος ποτιδόρπιον, ἄλλα τε πάντα
ὀτραλέως κατὰ κόσμον ἐπαρτίσσειεν ἰόντι.
δὴ γάρ μιν τοίοισιν ἐν ἤθεσιν αὐτὸς ἔφερβεν
νηπίαχον τὰ πρῶτα; δόμων ἐκ πατρὸς ἀπούρας,
δίου Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνεν

praepositionis collocatione vid. quae ad Aesch. Eum. 673 monui.

1195. *αὐτοῖσι* Reg. E. Vind. Vrat. Brunck. Beck. ut semper.

1197. *λάβε* Guelph.

1199. *βαθύριζον* Brunck. Beck.

1201. *ὅτ' ἂν* vulg. *ὅτ' ἄρ'* Regg. A. B. E. *ὅταν* reliqui libri, quod cum Brunck. Beck. recepi. — *ναὸς* suprascr. *η* Guelph.

1202. *χειμερίης* Guelph. Vind. Flor. — *πέλει δύσις* Brunck. lectore non monito et invitis auribus.

1203. *ἐμπλήσασα* Guelph.

1204. *αὐτοῖσιν* Guelph. Flor. *αὐτῇσι* Regg. A. D. E.

1207. *χαλκῇ σὺν κάλπιδι* vulg. *χαλκείῃ σὺν κ.* Vrat. Vind. *χαλκείῃ κάλπιδι* Vatt. A. C. D. *χαλκέῃ σὺν κ.* recte Flor. Brunck. Beck. *χαλκίῃσι κάλπισι* Guelph., unde infeliciter Hoerstel. *χαλκίῃσιν κάλπισι* in textu dedit.

1208. *δίζετο κρήνης* Med. Vrat. Vind. Flor. Brub. Bas. metro laborante, cui succurritur lectione *δίζετό τε κρήνης* in Guelph., quam recepit Hoerstel. *δίζετο κρηναίης* Regg. A. B. D. E., quod item correctori debetur, receperunt tamen Brunck. Beck., male illata correptione, a qua cavit Apollonius. Facile intelligitur, quomodo corruptelae illae natae sint ex vulgata lectione, quam reliqui libri tuentur *δίζητο κρήνης*, quam unice veram judicant etiam Herm. ad Orph. p. 759 et Spitzn. de vers. her. p. 102. — *ὡς καὶ* vulg. sine sensu. *ὥς κεν* Regg. quinque, Guelph. Vind. Vrat. Brunck. Beck.

1209. *ἀφυσάμενος* Guelph. *ἀφεισάμενος* Flor.

1210. *ὠτραλέως* Flor. Brub. Basil. — *ἐπαρτίσειεν* Guelph.

1212. *νηπιάχοντα πρῶτα* vulg. *νηπίαχοντα πρῶτα* Flor. *νηπίαχον τὰ πρῶτα* Guelph. Beck. *νηπίαχον ταπρῶτα* Brunck. — *δόμον* Flor.

1213. Hunc versum laudat Tzetz. ad Lycophr. 480 sub nomine poetae *Ἡλίου*, de quo v. Weichert. *über das Leben und Gedicht des Apollonius* p. 47 sqq.

νηλειῶς, βοὸς ἀμφὶ γεωμόρου ἀντιόωντα.
ἤτοι ὁ μὲν νειοῖο γύας τέμνεσκεν ἀρότρῳ
Θειοδάμας ἀνίῃ βεβολημένος· αὐτὰρ ὁ τόνγε
βοῦν ἀρότην ἤνωγε παρασχέμεν οὐκ ἐθέλοντα.
ἵετο γὰρ πρόφασιν πολέμου Δρυόπεσσι βαλέσθαι
λευγαλέην, ἐπεὶ οὔ τι δίκης ἀλέγοντες ἔναιον.
ἀλλὰ τὰ μὲν τηλοῦ κεν ἀποπλάγξειεν ἀοιδῆς.
αἶψα δ' ὅ γε κρήνην μετεκίαθεν, ἣν καλέουσιν
Πηγὰς ἀγχίγυοι περιναιέται. οἱ δέ που ἄρτι
Νυμφάων ἵσταντο χοροί· μέλε γάρ σφισι πάσαις,
ὅσσαι κεῖσ' ἐρατὸν Νύμφαι ῥίον ἀμφενέμοντο,
Ἄρτεμιν ἐννυχίῃσιν ἀεὶ μέλπεσθαι ἀοιδαῖς.
αἳ μὲν ὅσαι σκοπιὰς ὀρέων λάχον, ἢ καὶ ἐναύλους,
αἵ γε μὲν ὑλήωροι ἀπόπροθεν ἐστιχόωντο,
ἡ δὲ νέον κρήνης ἀνεδύετο καλλινάοιο
Νύμφη ἐφυδατίη· τὸν δὲ σχεδὸν εἰσενόησεν
κάλλεϊ καὶ γλυκερῇσιν ἐρευθόμενον χαρίτεσσιν.
πρὸς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα
βάλλε Σεληναίη. τῆς δὲ φρένας ἐπτοίησεν
Κύπρις, ἀμηχανίῃ δὲ μόλις συναγείρατο θυμόν.
αὐτὰρ ὄγ' ὡς τὰ πρῶτα ῥόῳ ἔνι κάλπιν ἔρεισεν

1217. ἤγαγε Vatt. A. C. D. et var. lect. in marg. Vrat.

1220. ἀποπλάγξειαν Reg. A.

1222. ἀμφίγυοι Guelph. Vind., sed in hoc vulg. in margine.

1223. μέλεται Guelph.

1224. ὅσαι Vrat. Vind. — ῥόον vulg. ῥύον Med. ῥίον Regg. A. B. C. D. E. Vatt. A. C. D. Guelph. Vind. Vrat. Brunck. Beck. recte.

1226. ὅσσαι Guelph. — Hunc et sequentem versum spurios et ex priore recensione illatos judicat Ruhnk. ep. crit. p. 277, neque profecto, quam diu v. 1224 ῥόον legebatur, ferri poterant, sed veriore lectione recepta, nihil frigidi inest in sententia, quam infra explicabo. Offendit vero etiam Matthiae. obss. critt. p. 27 in eo, quod Nympharum genera, quum omnes sint Oreades, ita sibi opponuntur, ideoque legendum censet:

αἵ γε μὲν ὑλήωροι ἀποπρόθεν ἐστιχόωντο,
ἡ μὲν ὅσαι σκοπιὰς ὀρέων λάχον, ἢ καὶ ἐναύλους.
ἡ δὲ etc.

Sed mirum ni distingui possint Nymphae, quae montes incolunt, a sylvestribus. Nihil desideratur nisi copula, quam facile restituas, γε v. 1227 in τε mutando, quo facto sensus aptissimus hic erit: Nymphae omnes, quae promontorium illud accolebant, Dianam nocturnis cantibus celebrabant; eae quidem, quae montes antraque incolebant, et sylvestres Nymphae procul incedebant, una vero fontana etc.

1227. ἀπόπροσθεν Guelph.

1228. καλινάοιο Vrat.

1232. βάλε Guelph. — τὴν Regg. quinque, Brunck. Beck., quod potuit ponere poeta, non debuit.

1233. μόγις vulg. μόλις, quod apud Nostrum ubique legitur praeter hunc locum et III, 188, hic ex Vat. B. restitui, ibi ex aliis libris. Repetitur hemistichium infra III, 634, ubi omnes libri praeter unum Guelph. habent μόλις.

λέχρις ἐπιχριμφθεὶς, περὶ δ' ἄσπετον ἔβραχεν ὕδωρ
χαλκὸν ἐς ἠχήεντα φορεύμενον, αὐτίκα δ' ἦγε
λαιὸν μὲν καθύπερθεν ἐπ' αὐχένος ἄνθετο πῆχυν,
κύσσαι ἐπιθύουσα τέρεν στόμα· δεξιτερῇ δὲ
ἀγκῶν' ἔσπασε χειρὶ, μέσῃ δ' ἐνικάββαλε δίνῃ.
Τοῦ δ' ἥρως ἰάχοντος ἐπέκλυεν οἶος ἑταίρων
Εἰλατίδης Πολύφημος, ἰὼν προτέρωσε κελεύθου,
δέκτο γὰρ Ἡρακλῆα πελώριον, ὁππόθ' ἵκοιτο.
βῆ δὲ μεταΐξας Πηγέων σχεδὸν, ἠΰτε τις θὴρ
ἄγριος, ὅν ῥά τε γῆρυς ἀπόπροθεν ἵκετο μήλων,
λιμῷ δ' αἰθόμενος μετανίσσεται, οὐδ' ἐπέκυρσεν
ποίμνῃσιν· πρὸ γὰρ αὐτοὶ ἐνὶ σταθμοῖσι νομῆες
ἔλσαν· ὁ δὲ στενάχων βρέμει ἄσπετον, ὄφρα κάμῃσιν·
ὣς τότ' ἄρ' Εἰλατίδης μεγάλ' ἔστενεν, ἀμφὶ δὲ χῶρον
φοίτα κεκληγώς· μελέη δέ οἱ ἔπλετο φωνή.
αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο νέεσθαι,
μή πως ἢ θήρεσσιν ἕλωρ πέλεν, ἠέ μιν ἄνδρες
μοῦνον ἐόντ' ἐλόχησαν, ἄγουσι δὲ ληΐδ' ἑτοίμην.
ἔνθ' αὐτῷ ξύμβλητο κατὰ στίβον Ἡρακλῆϊ,
γυμνὸν ἐπαΐσσων παλάμῃ ξίφος· εὖ δέ μιν ἔγνω
σπερχόμενον μετὰ νῆα διὰ κνέφας. αὐτίκα δ' ἄτην
ἔκφατο λευγαλέην, βεβαρημένος ἄσθματι θυμόν.

1235. *λαιχρὶς* Schol. Paris.
1237. *ἔνθετ'* Reg. A. *ἔνθετο* Regg. tres.
1238. *κῦσαι* vulg. *κῦσσαι* Guelph. Vrat. Vind. Beck. *κύσσαι* Reg. B. Brunck. recte.
1239. *ἐνικάμβαλε* Vind. Vrat. Laudat hunc versum Probus ad Virgil. Georg. III, 7.
1241. *Εἰλαπίδης* Vind. *Εἰλασίδης* var. lect. in Schol.
1244. *γῦρος* Vind. — *ἀπόπροσθεν* Guelph.
1245. *μετανίσεται* Flor. Brub. Basil. — *ἐπίκερσε* Guelph., quod recepit Hoerstel.
1246. *ποίμνῃσι* Regg. quinque, Vrat. Guelph. Brunck. Beck.
1247. *κάμνῃσιν* Guelph.
1248. *ὃς* Vind. — *μέγα τ'* Flor.
1250. *δίεσθαι* pro *νέεσθαι* habet Suidas s. v. *δίεσθαι*, hunc versum laudans poetae nomine non addito, quod praeferendum judicavit Ruhnk. epist. crit. p. 291, praetulerunt Brunck. et Beck. Sed causam non video: *ὦρτο νέεσθαι* est solennis Nostro formula, ut I, 156. 306. 708. 1206. III, 1148, Suidas vero memoriter citavit.
1251. *πέλοι* vulg. *πέλῃ* Vrat. Vind. *πέλεν* Regg. A. C. E., quod cum Brunck. et Beck. recepi, necessarium enim videtur propter sequens *ἐλόχησαν*.
1252. *ἄγουσιν* Vrat. *ἄγωσιν* Guelph.
1253. *ἔνθα τῷ* Vrat. — *καταστείβων* Vrat. Vind. *κατὰ στείβων* Vatt. A. C. D.
1254. *ἐπισσείων* emendavit Ruhnk. epist. crit. p. 118, de activa vi verbi *ἀΐσσειν* dubitans, de qua v. Lobeck. ad Soph. Aj. 40. Pors. ad Eur. Orest. 1427.
1256. *βεβαρυμένος* Reg. A.

„Δαιμόνιε, στυγερόν τοι ἄχος πάμπρωτος ἐνίψω.
„οὐ γὰρ Ὕλας κρήνηνδε κιὼν, σόος αὖτις ἱκάνει.
„ἀλλά ἑ ληϊστῆρες ἐνιχρίμψαντες ἄγουσιν,
„ἢ θῆρες σίνονται· ἐγὼ δ' ἰάχοντος ἄκουσα."
Ὣς φάτο· τῷ δ' ἀΐοντι κατὰ κροτάφων ἅλις ἱδρὼς
κήκιεν, ἐν δὲ κελαινὸν ὑπὸ σπλάγχνοις ζέεν αἷμα.
χωόμενος δ' ἐλάτην χαμάδις βάλεν, ἐς δὲ κέλευθον
τὴν θέεν, ᾗ πόδες αὐτὸν ὑπέκφερον ἀΐσσοντα.
ὡς δ' ὅτε τίς τε μύωπι τετυμμένος ἔσσυτο ταῦρος,
πίσεά τε προλιπὼν καὶ ἑλεσπίδας, οὐδὲ νομήων
οὐδ' ἀγέλης ὄθεται, πρήσσει δ' ὁδὸν, ἄλλοτ' ἄπαυστος,
ἄλλοτε δ' ἱστάμενος, καὶ ἀνὰ πλατὺν αὐχέν' ἀείρων
ἵησιν μύκημα, κακῷ βεβολημένος οἴστρῳ·
ὣς ὅγε μαιμώων, ὁτὲ μὲν θοὰ γούνατ' ἔπαλλεν
συνεχέως, ὁτὲ δ' αὖτε μεταλλήγων καμάτοιο
τῆλε διαπρύσιον μεγάλῃ βοάασκεν ἀϋτῇ.
Αὐτίκα δ' ἀκροτάτας ὑπερέσχεθεν ἄκριας ἀστὴρ
ἠῷος, πνοιαὶ δὲ κατήλυθον· ὦκα δὲ Τῖφυς
ἐσβαίνειν ὀρόθυνεν, ἐπαύρεσθαί τ' ἀνέμοιο.
οἱ δ' εἴσβαινον ἄφαρ λελιημένοι· ὕψι δὲ νηὸς
εὐναίας ἐρύσαντες ἀνεκρούσαντο κάλωας.
κυρτώθη δ' ἀνέμῳ λίνα μεσσόθι, τῆλε δ' ἀπ' ἀκτῆς
γηθόσυνοι φορέοντο παραὶ Ποσιδήϊον ἄκρην.
ἦμος δ' οὐρανόθεν χαροπὴ ὑπολάμπεται ἠὼς

1257. *πάμπρωτον* vulg. *πάμπρωτος* Regg. A. B. C. D. E. Vatt. A. C. D. Med. Guelph. Vrat. Vind. Brunck. Beck.

1259. *ἄγουσι* Vrat.

1261. *τῷ δ'* omittunt Vatt. A. C. D. Vrat. Vind. absorptum et syllaba praecedente et sequente *A*.

1262. *ῥέεν* Reg. E.

1264. *ὑπ' ἔκφερον* Vat. B.

1265. *μύοπι* Guelph.

1266. *πείσεά τε* Guelph. v. Ruhnk. epist. crit. p. 138. — Imitatores hujus loci nominat Wernick. ad Tryphiod. p. 322. — Versum laudat Etymol. M. p. 673, 17.

1267. *ἄπαστος* cum gl. *ἄγευστος* Guelph., quod recepit Hoerstel.

1269. *ἵησι* Regg. D. E. Vind. Vrat. Brunck. Beck.

1271. *συννεχέως* Flor. Brub. Basil. Steph. male, et invitis codicibus, ut videtur, omnibus. cf. Spitzn. de vers. her. p. 77. — *μεταλήγων* Regg. A. C. E. Vatt. A. C. D. Vind. Vrat. Flor. Brub. Basil. Brunck. Beck. male. Minime eadem est hujus vocabuli ratio, quae praecedentis *συνεχέως*, ut putat Brunck., ibi enim liquida est in fine vocabuli *σύν*, ubi duplicari nullo modo potest (ut mirer Spitznerum, qui l. l. admittere geminationem videtur, diversissimo exemplo *ἄλλοφος* usus) hic vero in capite vocabuli *λήγων*, ubi geminatur saepissime.

1273. Versum laudat Etymol. M. p. 52, 31.

1276. *ἐσέβαινον* Brunck. sine libris et sine causa.

1278. *κυρθώθη* Vind.

1279. *γητόσυνοι* Vrat. — *φορέοιντο* Guelph.

ἐκ περάτης ἀνιοῦσα, διαγλαύσσουσι δ' ἀταρποὶ,
καὶ πεδία δροσόεντα φαεινῇ λάμπεται αἴγλῃ,
τῆμος τούσγ' ἐνόησαν ἀϊδρείῃσι λιπόντες.
ἐν δέ σφιν κρατερὸν νεῖκος πέσεν, ἐν δὲ κολῳὸς
ἄσπετος, εἰ τὸν ἄριστον ἀποπρολιπόντες ἔβησαν
σφωϊτέρων ἑτάρων. ὁ δ' ἀμηχανίῃσιν ἀτυχθεὶς
οὐδέ τι τοῖον ἔπος μετεφώνεεν, οὐδέ τι τοῖον
Αἰσονίδης· ἀλλ' ἧστο βαρείῃ νειόθεν ἄτῃ
θυμὸν ἔδων· Τελαμῶνα δ' ἕλεν χόλος, ὧδέ τ' ἔειπεν.
„Ἧσ' αὔτως εὔκηλος, ἐπεί νύ τοι ἄρμενον ἦεν
„Ἡρακλῆα λιπεῖν· σέο δ' ἔκτοθι μῆτις ὄρωρεν,
„ὄφρα τὸ κείνου κῦδος ἀν' Ἑλλάδα μή σε καλύψῃ,
„αἴ κε θεοὶ δώωσιν ὑπότροπον οἴκαδε νόστον.
„ἀλλὰ τί μύθων ἦδος, ἐπεὶ καὶ νόσφιν ἑταίρων
„εἶμι τεῶν, οἳ τόνγε δόλον συνετεκτήναντο.“
Ἦ, καὶ ἐς Ἁγνιάδην Τῖφυν θόρε· τὼ δέ οἱ ὄσσε
ὄστλιγγες μαλεροῖο πυρὸς ὣς ἰνδάλλοντο.
καί νύ κεν ἂψ ὀπίσω Μυσῶν ἐπὶ γαῖαν ἵκοντο,
λαῖτμα βιησάμενοι, ἀνέμου τ' ἄλληκτον ἰωὴν,
εἰ μὴ Θρηϊκίοιο δύω υἷες Βορέαο
Αἰακίδην χαλεποῖσιν ἐρητύεσκον ἔπεσσιν,
σχέτλιοι· ἦ τέ σφιν στυγερὴ τίσις ἔπλετ' ὀπίσσω
χερσὶν ὑφ' Ἡρακλῆος, ὅ μιν δίζεσθαι ἔρυκον.
ἄθλων γὰρ Πελίαο δεδουπότος ἂψ ἀνιόντας
Τήνῳ ἐν ἀμφιρύτῃ πέφνεν, καὶ ἀμήσατο γαῖαν

1281. διαγλαύσουσιν Vatt. A. B. D.
1282. φαεινὴ λ. αἴγλη vulg. sine sensu. Dativum reponendum esse viderat Arnald. Lectt. gr. p. 239, eumque praebent codd. omnes praeter Reg. E., in quo φαείνη αἴγλῃ. Itaque φαεινῇ λ. αἴγλῃ recte Brunck. Beck.
1283. τούσδ' vulg. male. τόν γ' Regg. A. E. τούς γ' Regg. B. C. D. Med. Guelph. Vind. Vrat. Brunck. Beck. — ἀϊδρίῃσι vulg. invito metro. ἀϊδρείῃσι ex Regg. D. E. recte Brunck. Beck. ut Hom. Od. X, 231. 257. XI, 271.
1284. ἐνθάδε Reg. D. — σφι Reg. D. Guelph. Vind. Vrat. Brunck. Beck.
1285. ἄπο προλιπόντες Vatt. B. D.
1287. οὐδ' ἔτι vulg. utroque loco. οὐδέ τι, quod praestat, utroque loco Regg. D. E. Guelph. Vrat. Vind., priore loco Vatt. A. B. C. D., posteriore A. C. D. et sic Brunck. Beck.
1288. βαρείην v. ἄτην Reg. A.
1289. ἕλε χόλος Brunck. Beck. ut solent. ἕλεν ἄχος Vatt. A. C. D. ex v. 1333.
1290. ἔκηλος Vind.
1292. κλέος pro κῦδος Guelph.
1295. τόνδε Guelph. — συνεκτεκτήναντο Vind. συνετεκτήσαντο suprascripto ν Vrat.
1296. τῷ Flor.
1299. ἄληκτον Reg. E. Vatt. A. D.
1302. οἵ τε Guelph. — σφι Flor. Steph. Brunck. Beck.
1304. De usu vocabuli δεδουπώς v. Herm. ad Orph. p. 819.
1305. ἀμφιῤῥύτῃ Guelph. — πέφνε Brunck.

ἀμφ' αὐτοῖς, στήλας τε δύω καθύπερθεν ἔτευξεν,
ὧν ἑτέρη, θάμβος περιώσιον ἀνδράσι λεύσσειν,
κίνυται ἠχήεντος ὑπὸ πνοιῇ Βορέαο.
καὶ τὰ μὲν ὣς ἤμελλε μετὰ χρόνον ἐκτελέεσθαι.
τοῖσιν δὲ Γλαῦκος βρυχίης ἁλὸς ἐξεφαάνθη,
Νηρῆος θείοιο πολυφράδμων ὑποφήτης·
ἴψι δὲ λαχνῆέν τε κάρη καὶ στήθε' ἀείρας
νειόθεν ἐκ λαγόνων, στιβαρῇ ἐπορέξατο χειρὶ
νηΐου ὁλκαίοιο, καὶ ἴαχεν ἐσσυμένοισιν.
„Τίπτε παρὲκ μεγάλοιο Διὸς μενεαίνετε βουλὴν
„Αἰήτεω πτολίεθρον ἄγειν θρασὺν Ἡρακλῆα;
„Ἄργει οἱ μοῖρ' ἐστὶν ἀτασθάλῳ Εὐρυσθῆϊ
„ἐκπλῆσαι μογέοντα δυώδεκα πάντας ἀέθλους,
„ναίειν δ' ἀθανάτοισι συνέστιον, εἴ κ' ἔτι παύρους
„ἐξανύσῃ· τῷ μή τι ποθὴ κείνοιο πελέσθω.
„αὔτως δ' αὖ Πολύφημον ἐπὶ προχοῇσι Κίοιο
„πέπρωται Μυσοῖσι περικλεὲς ἄστυ καμόντα,
„μοῖραν ἀναπλήσειν Χαλύβων ἐν ἀπείρονι γαίῃ.
„αὐτὰρ Ὕλαν φιλότητι θεὰ ποιήσατο Νύμφη
„ὃν πόσιν, οἷό περ οὕνεκ' ἀποπλαγχθέντες ἔλειφθεν."
Ἦ, καὶ κῦμ' ἀλίαστον ἐφέσσατο νειόθι δύψας·
ἀμφὶ δέ οἱ δίνῃσι κυκώμενον ἄφρεεν ὕδωρ
πορφύρεον, κοίλην δὲ διὲξ ἁλὸς ἔκλυσε νῆα.
γήθησαν δ' ἥρωες· ὁ δ' ἐσσυμένως ἐβεβήκει
Αἰακίδης Τελαμὼν ἐς Ἰήσονα, χεῖρα δὲ χειρὶ
ἄκρην ἀμφιβαλὼν προσπτύξατο, φώνησέν τε.

1307. λεύσειν vulg. λεύσσειν Vind. Vrat. Guelph. Regg. A. B. D. et suprascr. in Reg. E., inde Brunck. Beck.

1309. Hunc versum Callimacho deberi adnotant Scholl.

1310. τοῖσι Flor. Brub. Basil. Scholl.

1313. στιβαρῇ γ' ἐπορέξατο Reg. B., unde inutile fulcrum receperunt Brunck. Beck. Inde corrupta lectio στιβαρῇ μέγ' ἐπορέξατο in Regg. A. C. D., nisi forte latet lectio στιβαρῇ μέγ' ὀρέξατο. — πορέξατο Flor.

1314. ὁλκέοιο Vind. Vrat. Flor.

1315. παρ' ἐκ Vat. B.

1320. ἐξανύσαι Guelph.

1321. αὖτις δ' αὖ Reg. A. cum tribus aliis Regg.

1323. ἀτείρεϊ emendat Ruhnk. epist. crit. p. 292, quod poterat scribere poeta, non debebat.

1325. ἀποπλαγχθέντας Guelph. Vind. — ἔλιφθεν vulg. ἔλειφθεν Regg. quatuor, Vatt. A. C. D. Med. (Laurent. apud Dorvill. ad Char. p. 342.) Guelph. Vrat. Vind. Brunck. Beck.

1326. ἐδύσατο Reg. A.

1329. ὀσσομένως Schol. Paris.

1330. ἠίσονα Vrat. Vind.

1331. προσπτήξατο Vat. B. Flor. Brub. Basil. Steph. προσπτύσατο Schol. Paris.

„Αἰσονίδη, μή μοί τι χολώσεαι, ἀφραδίῃσιν
„εἴ τί περ ἀασάμην· πέρι γάρ μ' ἄχος εἷλεν ἐνισπεῖν
„μῦθον ὑπερφίαλόν τε καὶ ἄσχετον, ἀλλ' ἀνέμοισιν
„δώομεν ἀμπλακίην, ὡς καὶ πάρος εὐμενέοντες.“
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως προσέειπεν·
„Ὦ πέπον, ἦ μάλα δή με κακῷ ἐκυδάσσαο μύθῳ,
„φὰς ἐνὶ τοῖσιν ἅπασιν ἐνηέος ἀνδρὸς ἀλείτην
„ἔμμεναι. ἀλλ' οὐ θήν τοι ἀδευκέα μῆνιν ἀέξω,
„πρίν περ ἀνιηθείς· ἐπεὶ οὐ περὶ πώεσι μήλων,
„οὐδὲ περὶ κτεάτεσσι χαλεψάμενος μενέηνας,
„ἀλλ' ἑτάρου περὶ φωτός. ἔολπα δέ τοι σὲ καὶ ἄλλῳ
„ἀμφ' ἐμεῦ, εἰ τοιόνδε πέλοι ποτὲ, δηρίσασθαι.“
Ἦ ῥα, καὶ ἀρθμηθέντες, ὅπῃ πάρος, ἑδριόωντο.
τὼ δὲ Διὸς βουλῇσιν, ὁ μὲν Μυσοῖσι βαλέσθαι
μέλλεν ἐπώνυμον ἄστυ πολισσάμενος ποταμοῖο
Εἰλατίδης Πολύφημος· ὁ δ' Εὐρυσθῆος ἀέθλους
αὖτις ἰὼν πονέεσθαι. ἐπηπείλησε δὲ γαῖαν
Μυσίδ' ἀναστήσειν αὐτοσχεδὸν, ὁππότε μή οἱ
ἢ ζωοῦ εὕροιεν Ὕλα μόρον, ἠὲ θανόντος.
τοῖο δὲ ῥύσι' ὄπασσαν, ἀποκρίναντες ἀρίστους
υἱέας ἐκ δήμοιο, καὶ ὅρκια ποιήσαντο,
μή ποτε μαστεύοντες ἀπολλήξειν καμάτοιο.

1333. περ omittit Flor. — ἀασαίμην Schol. Paris.— ἧκεν Regg. quinque, Med. a manu secunda, Vrat. et marg. Vind., quod non erat cur praeferrent Brunck. Beck. ἄχος εἷλεν legitur Hom. Il. XIII, 581. Od. XXI, 299. — ἐνίσπειν male Brunck. Beck. v. Buttmann. gr. gr. maj. II p. 123.

1334. τε omittit Guelph.

1337. κακῶς Vatt. C. D. — ἐκυδάσσω Reg. A. κυδάσσαο Vrat. κυδάσσας Schol. Paris.

1338. τοῖσι Vrat. — ἀλήτην Guelph.

1340. Imitatus est Nonnus Dionys. II, 359 sq., uterque hausit ex Hom. Il. XXII, 159.

1342. δ' ἔτι vulg. δέ τι Vat. B. δέ τοι Reg. B. Vatt. A. C. D. Med. Guelph. Vrat. Vind. Brunck. Beck.— ἄλλον Guelph.

1343. μέλει Vatt. C. D. πέλει Flor. Brub. Basil. —ποτιδηρίσασθαι Flor. Brub. Basil. δηρίσασθαι etiam Vatt. C. D. Med. Guelph. Vrat. Vind., quod vulgato δηρίσεσθαι praetuli, quum hoc facilius a librariis inferri potuerit, cf. Thiersch. gr. gr. p. 518 ed. nov. et quos laudat Reisig. ad Soph. Oed. Col. p. 191. Eodem aoristi infinitivo sine particula ἄν utitur Noster II, 172. 460.

1344. ἀριθμηθέντες Vatt. C. D. Reg. A. Schol. Paris. ἁρμοθέντες Guelph.

1349. Μυσίδ' ἀνστήσειν vulg. Μυσίδα ἀνστήσειν Regg. quatuor. Μυσίδ' ἀναστήσειν bene correxit Brunckius, quod confirmat Schol. Paris.

1350. Ὕλλα Reg. A.

1351. ῥύσσι' Guelph. — ὄπασαν Guelph. Vind.

1352. ὅρκια πιστώσαντο conjecit Piers. Verisim. p. 205 sine necessitate.

1353. μαστεύσοντες Med. et edd. vett. μαστεύοντες reliqui libri omnes et edd. inde a Steph. — ἀπολήξειν Reg. E. Brunck. Beck.

τοὔνεκεν εἰσέτι νῦν περ Ὕλαν ἐρέουσι Κιανοὶ,
κοῦρον Θειοδάμαντος, ἐΰκτιμένης τε μέλονται
Τρηχῖνος. δὴ γάρ ῥα κατ' αὐτόθι νάσσατο παῖδας,
οὕς οἱ ῥύσια κεῖθεν ἐπιπροέηκαν ἄγεσθαι.
Νηῦν δὲ πανημερίην ἄνεμος φέρε νυκτί τε πάσῃ
λάβρος ἐπιπνείων· ἀτὰρ οὐδ' ἐπὶ τυτθὸν ἄητο
ἠοῦς τελλομένης, οἱ δὲ χθονὸς εἰσανέχουσαν
ἀκτὴν ἐκ κόλποιο μάλ' εὐρεῖαν ἐσιδέσθαι
φρασσάμενοι, κώπῃσιν ἅμ' ἠελίῳ ἐπέκελσαν.

1354. ἀρέουσι Reg. A.
1355. μέλλονται Vrat. Vind.
1356. καταυτόθι Vatt. A. B. D. Beck. male. Transitivam vim aoristi ἐνάσσατο aptis exemplis, Nostri IV, 275. 567. Dionys. Perieg. 776, adstruxit Brunckius.
1358. νῦν Med. Vat. B. Flor. Ald. Paris. Brub. Basil. ναῦν Steph. Hoelzlin. Shaw. νηῦν reliqui codd. omnes. Brunck. Beck. — φέρεν Flor.
1359. λάβρως ἐμπνείων Guelph., quod placuit Hoerstelio.
1360. στελλομένης Vat. B. Flor. Brub. Basil.
1361. ἀκτὴν εὐκόλποιο Vat. B. — εὐρεῖάν γ' ἐσιδέσθαι Steph., unde inutile fulcrum receperunt Brunck. Beck. Non magis necessaria emendatio Hermanni ad Orph. p. 705 λίην εὐρεῖαν ἰδέσθαι. Vulgatam recte tuetur Gerhard. Lectt. p. 124. cf. Spitzner. de vers. her. p. 26.
1362. ἐσέκελσαν Reg. A. — Post hunc versum vulgo legitur versus ἠὼς δ' οὐ μετὰ δηρὸν ἐελδομένοις ἐφαάνθη, qui est ultimus libri sequentis. Eum hic tollendum esse recte vidit Brunckius, nam et propter versum praecedentem et propter initium libri sequentis ferri non potest, omninoque Apollonius talem ejusdem versus repetitionem non admittit.

ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ
ΒΙΒΛΙΟΝ Β.

Ἐνθάδ' ἔσαν σταθμοί τε βοῶν αὖλίς τ' Ἀμύκοιο,
Βεβρύκων βασιλῆος ἀγήνορος, ὅν ποτε Νύμφη
τίκτε, Ποσειδάωνι Γενεθλίῳ εὐνηθεῖσα,
Βιθυνὶς Μελίη, ὑπεροπληέστατον ἀνδρῶν·
ὅστ' ἐπὶ καὶ ξείνοισιν ἀεικέα θεσμὸν ἔθηκεν,
μή τιν' ἀποστείχειν, πρὶν πειρήσασθαι ἑοῖο

1. ἔνθ' Reg. A. Schol. Paris. — αὖλεις Guelph., quod placuit Hoerstelio.

4. Ambigitur a Scholiastis, utrum Nympha illa Bithynica fuerit, nomine Meliae, an vero Nympha ex Meliarum genere (de quo v. Hesiod. Theog. 187. Spanh. ad Callim. hymn. Del. 80) nomine Bithynidis. Tertiam rationem addit Heyn. ad Apollod. I, 9, 20, qui putat significari posse Nympham Meliam Bithynicam, cujus nomen ignoraretur, ita ut et *Βιθυνὶς* et *Μελίη* appellativum sit. Primam rationem sequitur Brunckius, ut *Βιθυνὶς* nomen proprium, *Μελίη* appellativum sit, uno fretus Apollodoro, qui l. c., nostrum manifeste locum respiciens, haec dicit: *Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος*. Sed huic tot repugnant testimonia, ut dubitari non possit, quin apud eum *Μελίας* exciderit, quod alii jam suspicati sunt. Primum ipse noster locus; si enim de Nympha Melia, cui nomen Bithynis, sermo esset, non ita collocari verba poterant ut legimus, sed debebat jungi *Νύμφη Μελίη*, ut apud Apollod. II, 5, 4, ubi de ejusmodi Nympha sermo est, deinde nomen *Βιθυνίς* sejunctum subsequi poterat. Deinde Amyci matrem uno consensu Meliam vocant Hygin. fab. XVII. Valer. Flacc. IV, 118. Serv. ad Virg. Aen. V, 573. Schol. ad Stat. Theb. III, 353. Postremo rem conficit Ovid. Amor. III, 6, 25, ubi, quum Meliam Bithynidem coiisse cum Inacho fluvio dicit, dubitari non potest, quin de eadem loquatur, de qua nostro loco sermo est. Illa vero Melia, ab Inacho amata, minime Nympha Melia erat, sed nomen habebat Meliae, et Oceani filia erat, quod patet ex Apollod. II, 1, 1, ubi iterum errat Heynius. Neque enim ex Meliis Nymphis esse poterat, quum Oceani filia esset, et Meliae nomen ei fuisse docent Schol. ad Eur. Orest. 930. ad Hom. Il. I, 30, ad Lycophr. 177. cf. Muncker. ad Hygin. fab. 143. Ejusdem Meliae, Oceani filiae, ab Apolline amatae, mentionem faciunt Pausan. IX, 10 et Pind. Pyth. XI, 4 ibiq. Schol. Peperit igitur Melia nostra ex Inacho Phoroneum, ex Apolline Tenerum, ex Neptuno Amycum. Bithynidem eam vocari non mirum, quum in Bithynia regnaret etiam Amycus.

5. ὥστ' Vatt. A, C. D. — ἀεικέως Guelph. Hoerstel.

6. ἑεῖο emendavit Brunck., recepit Beck., vid. quae ad I, 1032 monita sunt.

πυγμαχίης· πολέας δὲ περικτιόνων ἐδάϊξεν.
καὶ δὲ τότε προτὶ νῆα κιὼν, χρειώ μιν ἐρέσθαι
ναυτιλίης, οἵ τ' εἶεν, ὑπερβασίῃσιν ἄτισσε·
τοῖον δ' ἐν πάντεσσι παρασχεδὸν ἔκφατο μῦθον.
„Κέκλυθ' ἁλίπλαγκτοι, τάπερ ἴδμεναι ὔμμιν ἔοικεν,
„οὔ τινα θέσμιόν ἐστιν ἀφορμηθέντα νέεσθαι
„ἀνδρῶν ὀθνείων, ὅς κεν Βέβρυξι πελάσσῃ,
„πρὶν χείρεσσιν ἐμῇσιν ἑὰς ἀνὰ χεῖρας ἀεῖραι.
„τῷ καί μοι τὸν ἄριστον ἀποκριδὸν οἶον ὁμίλου
„πυγμαχίῃ στήσασθε καταυτόθι δηρινθῆναι.
„εἰ δ' ἂν ἀπηλεγέοντες ἐμὰς πατέοιτε θέμιστας,
„ἦ κέν τις στυγερῶς κρατερὴ ἐπιέψετ' ἀνάγκη.“
Η ῥα μέγα φρονέων· τοὺς δ' ἄγριος εἰσαΐοντας
εἷλε χόλος· πέρι δ' αὖ Πολυδεύκεα τύψεν ὁμοκλή.
αἶψα δ' ἑῶν ἑτάρων πρόμος ἵστατο φώνησέν τε·
„Ἴσχεο νῦν, μηδ' ἄμμι κακὴν, ὅτις εὔχεαι εἶναι,
„φαῖνε βίην· θεσμοῖς γὰρ ὑπείξομεν, ὡς ἀγορεύεις.
„αὐτὸς ἑκὼν ἤδη τοι ὑπίσχομαι ἀντιάασθαι.“
Ὣς φάτ' ἀπηλεγέως· ὁ δ' ἐσέδρακεν, ὄμμαθ' ἑλίξας,
ὥστε λέων ὑπ' ἄκοντι τετυμμένος, ὄντ' ἐν ὄρεσσιν
ἀνέρες ἀμφιπένονται· ὁ δ' ἰλλόμενός περ ὁμίλῳ

7. *πυγμαχίῃ* male se malle dicit Brunckius, inepte conferens v. 16 et 148, ubi alia omnia sunt verba; *πειρᾶσθαι* cum genitivo et rei et personae construi quodvis lexicon docet. — *περικτυόνων* Flor. Brub. Basil.

8. *καὶ δὴ τότε* Regg. A. B. Vind. et suprascr. in Reg. E., unde Brunck. dedit *καὶ τότε δὴ*, obsequente Beckio. Sed nullam video vulgatae deserendae necessitatem, praesertim quum *δέ* et *δή* tam saepe confundantur; *καὶ δὲ τότε* est *et tum quoque* ut infra II, 191. — *χρειὼ μὲν* Regg. A. C. Vind. ex correctione grammaticorum, *μιν* pro *αὐτοὺς* positum improbantium, quod ex Scholl. liquet.

11. *κέκλυτ'* vulg. Veram lectionem dant Vat. D. Vind. Guelph. Brunck. Beck.

13. *κε* vulg., quod Brunckium correxisse miror.

16. *πυγμαχίης* Reg. A. — *κατ' αὐτόθι* vulg. junctim exhibent Regg. B.C.D.E.Vatt.A.B.C.D.Brunck.Beck.

17. *αὖ* Guelph. Hoerstel.

18. *κρατερῇ ἀνάγκῃ* vulg. male. Nominativum praebent Regg. quinque, Vatt. A. C. D. Vrat. Guelph. Brunck. Beck. *κραταιὴ ἀνάγκη* Reg. A.

22. *ὅστις* Reg. A. Vind. Vrat.

23. *οἷς ἀγορεύεις* emendavit Arnald. Lectt. gr. p. 239, quod libris omnibus invitis recepit Brunck., male; nam v. 149, quem affert, nihil probat. Conjunctionem vero *ὡς* saepe ita usurpari, ut pro relativo pronomine posita videatur, notum est. Non multum differt Hesiod. Op. et D. 688 *φράζεσθαι τάδε πάντα μετὰ φρεσὶν, ὡς ἀγορεύω.* cf. quae ad II, 1051 monebuntur.

24. *ὑπόσχομαι* Reg. E. Flor. Steph. Hoelzlin. Shaw. *ὑπίσχομαι* reliqui codd. omnes, Ald. Brub. Basil. Brunck. Beck.

25. *ἐσέδραμεν* Guelph., quod placuit Hoerstelio.

26. *ὄρεσσι* vulg. *ὄρεσσιν* Reg. E. Vatt. C. D. Vind. Vrat. Flor. Brunck. Beck.

τῶν μὲν ἔτ' οὐκ ἀλέγει, ἐπὶ δ' ὄσσεται οἰόθεν οἶος
ἄνδρα τὸν, ὅς μιν ἔτυψε παροίτατος, οὐδὲ δάμασσεν.
ἔνθ' αὖ Τυνδαρίδης μὲν ἐΰστιπτον θέτο φᾶρος
λεπταλέον, τό ῥά οἱ τὶς ἑὸν ξεινήϊον εἶναι
ὤπασε Λημνιάδων· ὁ δ' ἐρεμνὴν δίπτυχα λώπην
αὐτῇσιν περόνῃσι, καλαύροπά τε τρηχεῖαν
κάββαλε, τὴν φορέεσκεν, ὀριτρεφέος κοτίνοιο.
αὐτίκα δ' ἐγγύθι χῶρον ἑαδότα παπτήναντες
ἶζον ἑοὺς δίχα πάντας ἐνὶ ψαμάθοισιν ἑταίρους,
οὐ δέμας, οὐδὲ φυὴν ἐναλίγκιοι εἰσοράασθαι.
ἀλλ' ὁ μὲν ἢ ὀλοοῖο Τυφωέος, ἠὲ καὶ αὐτῆς
Γαίης εἶναι ἔϊκτο πέλωρ τέκος, οἷα πάροιθεν
χωομένη Διῒ τίκτεν· ὁ δ' οὐρανίῳ ἀτάλαντος
ἀστέρι Τυνδαρίδης, οὗπερ κάλλισται ἔασιν
ἑσπερίην διὰ νύκτα φαεινομένου ἀμαρυγαί.
τοῖος ἔην Διὸς υἱὸς, ἔτι χνοάοντας ἰούλους
ἀντέλλων, ἔτι φαιδρὸς ἐν ὄμμασιν. ἀλλά οἱ ἀλκὴ
καὶ μένος ἠΰτε θηρὸς ἀέξετο· πῆλε δὲ χεῖρας
πειράζων εἴθ' ὡς πρὶν ἐΰτρόχαλοι φορέονται,
μηδ' ἄμυδις καμάτῳ τε καὶ εἰρεσίῃ βαρύθοιεν.
οὐ μὰν αὖτ' Ἄμυκος πειρήσατο· σῖγα δ' ἄπωθεν
ἑστηὼς εἰς αὐτὸν ἔχ' ὄμματα, καί οἱ ὀρέχθει
θυμὸς ἐελδομένῳ στηθέων ἐξ αἷμα κεδάσσαι.

29. *οὐδὲ δάμασσεν* Vrat. Vind., quod pro vulg. *οὐδ' ἐδάμασσεν* recepi. Vid. quae monebuntur ad II, 1072. — *ἐδάμασσε* Flor.

30. *Τυνδαρείδης* Steph.—*μὲν* om. Vrat., suprascriptum a manu sequiore. — *φάρος* Guelph.

31. *λεπτάον* Vatt. A. C. D. Vrat. Vind. *λεπτόμιτον* Regii quinque et Ald., quod non erat cur praeferret Brunck. et Beck., praesertim quum quinque illi libri unius instar habendi sint, ut in praefatione monuimus. *ξυνήϊον* Flor. Brub. Basil.

33. *αὐτῇσι* Regg. D. E. Ald. Hoelzlin. Brunck. Beck. — *καλάβροπά τε* Guelph.

34. *κάβαλε* Vind.

35. *τεκτήναντες* Flor. Steph. Hoelzlin. Shaw.

38. *Τυφωέως* Guelph. Schol. Flor. Hoerstel.

41. *ἔασσιν* Vat. A. Regg. A. C. E. Steph. Hoelzlin. Shaw. — Comparationem illustrat Ruhnk. epist. crit. p. 108.

42. *θεσπεσίην* inepte conjecit Wakefield., placuit tamen Beckio, in quibus refellendis multus est Wernick. ad Tryphiod. p. 169, ubi simul *ἑσπερίην νύκτα* explicatam invenies.

46. *ἐΰτρόχαοι* Guelph. — Imitatus est Quint. Smyrn. IV, 343.

ἄμφω χεῖρας ἑὰς πειρώμενοι, εἴπερ ἔασιν
ὡς ποτ' ἐΰτρόχαλοι μήδ' ἐκ πολέμου βαρύθοιεν.

48. *οὐ μὴν* Regg. A. E. — *πειράσατο* Vat. C.

49. *ὄμματα* Vatt. A. C.

τοῖσι δὲ μεσσηγὺς θεράπων Ἀμύκοιο Λυκωρεὺς
θῆκε πάροιθε ποδῶν δοιοὺς ἑκάτερθεν ἱμάντας
ὠμούς, ἀζαλέους, πέρι δ' οἵ γ' ἔσαν ἐσκληῶτες.
αὐτὰρ ὁ τόν γ' ἐπέεσσιν ὑπερφιάλοισι μετηύδα.
„Τῶνδέ τοι, ὅν κ' ἐθέλησθα, πάλου ἄτερ, ἐγγυαλίξω
„αὐτὸς ἑκών, ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν.
„ἀλλὰ βάλευ περὶ χειρί· δαεὶς δέ κεν ἄλλῳ ἐνίσποις,
„ὅσσον ἐγὼ ῥινούς τε βοῶν πέρι τ' εἰμὶ ταμέσθαι
„ἀζαλέας, ἀνδρῶν τε παρηΐδας αἵματι φύρσαι."
Ὣς ἔφατ'· αὐτὰρ ὅγ' οὔτι παραβλήδην ἐρίδηνεν.
ἦκα δὲ μειδήσας, οἵ οἱ παρὰ ποσσὶν ἔκειντο,
τοὺς ἕλεν ἀπροφάτως· τοῦ δ' ἀντίος ἤλυθε Κάστωρ
ἠδὲ Βιαντιάδης Ταλαὸς μέγας· ὦκα δ' ἱμάντας
ἀμφέδεον, μάλα πολλὰ παρηγορέοντες ἐς ἀλκήν.
τῷ δ' αὖτ' Ἄρητός τε καὶ Ὄρνυτος, οὐδέ τι ᾔδειν
νήπιοι ὕστατα κεῖνα κακῇ δήσαντες ἐν αἴσῃ.
Οἱ δ' ἐπεὶ οὖν ἱμᾶσι διασταδὸν ἠρτύναντο,
αὐτίκ' ἀνασχόμενοι ῥεθέων προπάροιθε βαρείας
χεῖρας, ἐπ' ἀλλήλοισι μένος φέρον ἀντιόωντες.
ἔνθα δὲ Βεβρύκων μὲν ἄναξ, ἅτε κῦμα θαλάσσης

51. *μεσσυγὺς* Vind. — *Λυκορεὺς* Schol. Paris.
53. *κατεσκληότες* Schol. Paris.
55. *τῶνδ' ἔτι* vulg. *τῶν δέ κεν* Guelph. *τὸν δέ τι* suprascripto *τοι* Reg. E. *τῶνδέ τοι* Regg. A. B. C. D. Vat. D. Med. Vind. Vrat. Brunck. Beck.—*ἐθέλοισθα* Guelph.
58. *περί τ'* vulg. *πέρι τ'* Regg. A. E. Vrat. et alii fortasse codd., talia enim non solent diligenter enotari, et sic Brunck. Beck. — *τακέσθαι* Vind., sed vulg. in margine.
59. *θύρσαι* Vatt. C. D.
60. *ἐρίδαινεν* Guelph. Hoerstel.
61. *οἷοι* Guelph. Hoerstel. inepte.
62. *τούς δ' ἕλεν* Reg. E. *τούς γ' ἕλεν* mavult Brunck. sine causa.
63. *Βιαντίδης* Vatt. A. B. C. D. Regg. A. E. Guelph. Vrat. Vind. — Male Spitzner. de vers. her. p. 86 s. praecipit de quantitate vocabuli *ἱμάς*, quod primam semper producere dicit et apud Homerum et apud recentiores, perperam usus Homeri locis Il. XVII, 624, ubi *ἵμασεν* legitur, XXIII, 324, ubi prima brevis est, et hoc nostro loco, ubi item corripitur. Producitur apud Homerum quater Il. VIII, 544. X, 475. XXIII, 363. Od. XXI, 46, reliquis locis brevis est. Apud nostrum prima corripitur II, 52. II, 63, producitur II, 67. IV, 890. Apud Orph. Arg. producitur v. 638, corripitur v. 279. 668. Corripitur apud Tryphiod. 96. 261. Producitur apud Quint. Smyrn. IV, 333. Sed haec sufficiant.
65. *αὖ* vulg. turpi hiatu. *αὖτ'* Vatt. A. C. D. Regg. A. B. C. D. E. Guelph. Vrat. Vind. Brunck. Beck. — *οὐδ' ἔτι* Flor. — Notandum *ᾔδειν* pro tertia pluralis positum, ut *ἠείδειν* infra IV, 1700.
67. *οὖν ἐν ἱμᾶσι* vulg. *ἐν* omittunt Vatt. A. B. C. D. Reg. D. Guelph. Vrat. Vind. Flor. Brub. Basil. Brunck. Beck. Insertum est metri fulcrum a librariis ignorantibus, primam in *ἱμάς* interdum produci. — *ἱμάσσι* Guelph. — *ἠρτύνοντο* Vatt. B. C. D.
69. *πνέον* pro *φέρον* conjicit Wakef. male.
70. *ἐνθάδε* Flor. — *μὲν* deest in Vrat., suprascriptum a m. 2.

τρηχὺ θοῇ ἐπὶ νῆα κορύσσεται, ἡ δ' ὑπὸ τυτθὸν
ἰδρείῃ πυκινοῖο κυβερνητῆρος ἀλύσκει,
ἱεμένου φορέεσθαι ἔσω τοίχοιο κλύδωνος,
ὣς ὅγε Τυνδαρίδην φοβέων ἕπετ', οὐδέ μιν εἴα
δηθύνειν. ὁ δ' ἄρ' αἰὲν ἀνούτατος ἦν διὰ μῆτιν
ἀΐσσοντ' ἀλέεινεν· ἀπηνέα δ' αἶψα νοήσας
πυγμαχίην, ᾗ κάρτος ἀάατος, ᾗ τε χερείων,
τῇ ῥ' ἄμοτον καὶ χερσὶν ἐναντία χεῖρας ἔμιξεν.
ὡς δ' ὅτε νήϊα δοῦρα θοοῖς ἀντίξοα γόμφοις
ἀνέρες ὑληουργοὶ, ἐπιβλήδην ἐλάοντες,
θείνωσι σφύρῃσιν, ἐπ' ἄλλῳ δ' ἄλλος ἄηται
δοῦπος ἄδην· ὣς τοῖσι παρήϊά τ' ἀμφοτέρωθεν
καὶ γένυες κτύπεον· βρυχὴ δ' ὑπετέλλετ' ὀδόντων
ἄσπετος, οὐδ' ἔλληξαν ἐπισταδὸν οὐτάζοντες,
ἔς τε περ οὐλοὸν ἆσθμα καὶ ἀμφοτέρους ἐδάμασσε.
στάντε δὲ βαιὸν ἄπωθεν ἀπωμόρξαντο μετώπων

71. *θοῇ ἐπὶ νηΐ* Regg. quinque, qua auctoritate commotus, ut solet, recepit Brunck., obsequente, ut solet, Beckio. Sed et auctoritatem illam non magnam esse jam saepius vidimus, neque dativus aptior est accusativo, quamquam Noster infra IV, 448 dixit: *δυσμενέων ἐπὶ παισὶ κορύσσεο*. — *ὑποτυτθὸν* Flor.

73. *ἱεμένου* Guelph. — Recte Schol. Paris. animadvertit, *ἱεμένου* non ad *κυβερνητῆρος* referendum esse, sed *ἱεμένου κλύδωνος* esse genitivos absolutos. Sed alius deinde rem turbat, *τοίχοιο κλύδωνος* jungens, quum *τοῖχος* sit paries navis. Sensus est: *fluctu in navis parietes irrumpere cupiente.*

74. *ἕσπετ'* Vrat. Vind. Flor.

75. *δηθύνῃν* Vind.

76. *ἀΐσσων* vulg. sensu inepto. *ἀΐσσοντ'* rectissime emendavit Piers. Verisim. p. 125, quemadmodum infra v. 92 *ὁ δ' ἀΐξαντος ὑπέστη, κρᾶτα παρακλίνας*. Quint. Smyrn. IV, 366 *ὁ δ' ἄρ' ἔμπαλιν ἀΐσσοντος βαιὸν ὑποκλίνας σκαιῇ χερὶ τύψε μέτωπον*. Receperunt emendationem Brunck. Beck. Falsam esse vulgatam vel ex eo intelligi potest, quod Hoerstelium defensorem nacta est.

77. Pro *κάρτος* Scholiastae *θάρσος* legisse videntur; quae enim Schol. Paris. ad v. 84 de *θάρσος* et *θράσος* disputat, quae unde et cur in hunc locum illata sint se ignorare testatur Schaeferus, ea male transposita ad hunc versum pertinere docet Schol. Flor. — *ἀάατον* vulg. *ἄατος* Vrat. Vind. Guelph. *ἀάατος* Med. et Regg. plerique, Brunck. Beck. recte. — *ἦτε* Flor. Ald. Brub. Basil. Paris.

78. *στῇ* Guelph., quod necessarium videtur Hoerstelio. Idem censuerat Slothouwer. in Act. Societ. Traject. T. III p. 165, qui praeterea v. 76 *αἶψα* in *εἶξε* mutavit, sed nullam mutandi causam esse facile quisque intelligit.

81. *θείνωσιν* Flor. — *ἄλλα* pro *ἄλλῳ* Reg. A. Schol. Paris. — De usu verbi *ἄηται* v. Ruhnk. ad hymn. Cer. 275.

84. *ἔληξαν* Flor. Brub. Basil.

85. *οὐλὸν* Vat. C. *οὐλιὸν* a m. 2. — *ἐδάμασε* Flor. Brub. Basil.

86. *ἄποθεν* Vind. — *μετώπῳ* vulg., sed neque dativus neque singularis ferri potest. Genitivum necessarium esse docet Hom. Il. V, 416:

ἡ ῥα καὶ ἀμφοτέρῃσιν ἀπ' ἰχῶ
χειρὸς ὀμόργνυ.

XVIII, 123:

ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
δάκρυ' ὀμορξαμένην.

ἱδρῷ ἅλις, καματηρὸν ἀΰτμενα φυσιόωντε.
ἂψ δ' αὖτις συνόρουσαν ἐναντίοι, ἠΰτε ταύρω
φορβάδος ἀμφὶ βοὸς κεκοτηότε δηριάασθον.
ἔνθα δ' ἔπειτ' Ἄμυκος μὲν ἐπ' ἀκροτάτοισιν ἀερθεὶς
βουτύπος οἷα πόδεσσι, τανύσσατο, καδδὲ βαρεῖαν
χεῖρ' ἐπί οἱ πελέμιξεν· ὁ δ' ἀΐξαντος ὑπέστη,
κρᾶτα παρακλίνας, ὤμῳ δ' ἀνεδέξατο πῆχυν
τυτθόν· ὁ δ' ἄγχ' αὐτοῖο παρὲκ γόνυ γουνὸς ἀμείβων
κόψε μεταΐγδην ὑπὲρ οὔατος, ὀστέα δ' εἴσω
ῥῆξεν· ὁ δ' ἀμφ' ὀδύνῃ γνὺξ ἤριπεν· οἱ δ' ἰάχησαν
ἥρωες Μινύαι· τοῦ δ' ἀθρόος ἔκχυτο θυμός.
Οὐδ' ἄρα Βέβρυκες ἄνδρες ἀφείδησαν βασιλῆος·
ἀλλ' ἄμυδις κορύνας ἀζηχέας ἠδὲ σιγύνους
ἰθὺς ἀνασχόμενοι Πολυδεύκεος ἀντιάασκον.
τοῦ δὲ πάρος κολεῶν εὐήκεα φάσγαν' ἑταῖροι
ἔσταν ἐρυσσάμενοι. πρῶτός γε μὲν ἀνέρα Κάστωρ

Od. XI, 528 οὔτε παρειῶν δάκρυ' ὀμορξάμενον. Pluralem habet Quint. Smyrn. IV, 373:

— τοὶ δ' ἄρα τυτθὸν ἀνέπνευσαν καμάτοιο
μορξάμενοι σπόγγοισι πολυτρήτοισι μέτωπα,

qui partim ex nostro loco partim ex Hom. Il. XVIII, 414 profecit. Itaque minime dubitans rescripsi μετώπων, quod neminem improbaturum puto, praesertim quum notum sit, quam saepe iota subscriptum et ν confundantur, v. Schaef. Melet. crit. p. 109. Vid. var. lectt. ad II, 112. 132. 148. et alibi.

87. ἱδρῷ Vatt. A. C. D. — φυσιόωντες Vat. B. Regg. quinque, quod praetulerunt Brunck. Beck., ob vitatum hiatum, ut inepte dicit Brunckius.

90. μὲν om. Flor.

91. Corrupte Etymol. M. p. 210, 19 βούτυπος οἷα πόδα τανύων.

92. Quinti imitationem jam supra ad v. 76 indicavimus. — ὑπέκδυ suspicatur Matthiae. obss. critt. p. 28, quia ὑπέστη non sit *cessit* sed *excepit*. Sed praecedens genitivus de verbi significatione dubitare non sinit.

94. ἄχ' αὐτοῖο Guelph. cum gl. interl. λύπῃ.

96. ἄμ' ὀδύνῃ libri omnes, et metro et sensu adversante. Verissima est Stephani emendatio ἀμφ' ὀδύνῃ, quam receperunt Brunck. Beck. Excidit Φ ante Ο, quod quam facile fieri possit propter litterarum similitudinem quisque videt.

97. ἀθρόως Vrat. Vind. Flor. Brub. Basil. Schol. Paris.

99. ἠδέτι γύννους Vatt. C. D. — σιγύννους vulg., σιγύνους Regg. B. D. et Etymol. M. p. 712, 17, quod cum Brunck. et Beck. praetuli. v. Brunck. Analect. p. 122. Passov. Lex. gr. s. v. σιγύνης.

102. ἀρυσσάμενοι vulg. ἐρυσάμενοι Regg. A. C. ἐρυσσάμενοι Vat. C. a m. 2. Regg. B. D. E. Guelph. Vrat. Vind. Brunck. Beck. — Pro μὲν ἀνέρα Piers. Veris. p. 205 s. et Brunckius, nomen proprium desiderantes, Μεγάνορα vel Μελάνορα legendum censent; sed vulgatam sanissimam puto, haec enim ipsa est Homerica dicendi ratio, ut Il. XI, 91 ἐν δ' Ἀγαμέμνων Πρῶτος ὄρουσ', ἕλε δ' ἄνδρα. 737 Ἀλλ' ὅτε δὴ Πυλίων καὶ Ἐπείων ἔπλετο νεῖκος, Πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμισσα δὲ μώνυχας ἵππους. XII, 378 Αἴας δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα. XIII, 170 Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα. In eo potius offendendum est, quod non deinde subjicitur viri interfecti nomen,

ἤλασ' ἐπεσσύμενον κεφαλῆς ὕπερ· ἡ δ' ἑκάτερθεν
ἔνθα καὶ ἔνθ' ὤμοισιν ἐπ' ἀμφοτέροισι κεάσθη.
αὐτὸς δ' Ἰτυμονῆα πελώριον, ἠδὲ Μίμαντα,
τὸν μὲν, ὑπὸ στέρνοιο θοῷ ποδὶ λὰξ ἐπορούσας,
πλῆξε, καὶ ἐν κονίῃσι βάλεν· τοῦ δ' ἆσσον ἰόντος
δεξιτερῇ σκαιῆς ὑπὲρ ὀφρύος ἤλασε χειρὶ,
δρύψε δέ οἱ βλέφαρον, γυμνὴ δ' ὑπελείπετ' ὀπωπή.
Ὠρείδης δ' Ἀμύκοιο βίην ὑπέροπλος ὀπάων
οὖτα Βιαντιάδαο κατὰ λαπάρην Ταλαοῖο,
ἀλλά μιν οὐ κατέπεφνεν, ὅσον δ' ἐπὶ δέρματι μοῦνον
νηδυΐων ἄψαυστος ὑπὸ ζώνην θόρε χαλκός.
αὔτως δ' Ἄρητος μενεδήϊον Εὐρύτου υἷα
Ἴφιτον ἀζαλέῃ κορύνῃ στυφέλιξεν ἐλάσσας,
οὔπω κηρὶ κακῇ πεπρωμένον· ἦ τάχ' ἔμελλεν
αὐτὸς δῃώσεσθαι ὑπὸ ξίφεϊ Κλυτίοιο.
καὶ τότ' ἄρ' Ἀγκαῖος Λυκοόργοιο θρασὺς υἱὸς
αἶψα μάλ' ἀντεταγὼν πέλεκυν μέγαν, ἠδὲ κελαινὸν
ἄρκτου προσχόμενος σκαιῇ δέρος, ἔνθορε μέσσῳ
ἐμμεμαὼς Βέβρυξιν· ὁμοῦ δέ οἱ ἐσσεύοντο

id quod omnibus illis locis Homericis factum est. Sed ne id quidem h. l. necessarium videtur, quum non de heroe claroque viro sermo sit, digno, cujus nomen addatur.

103. *ἐπεσσύμενος* vulg. Accusativum praebent Vat. A. C. D. Regg. B. C. D. E. Med. Guelph. Vrat. Vind., quem recte praetulerunt Brunck. Beck.

104. *ἀμφοτέροις ἐκεάσθη* ex conjectura Brunck., male. Vid. ad II, 1072.

107. *βάλε* Regg. A. C. D. E. Brunck. Beck. ut solent.

108. *σκαιῇ* Vatt. A. C. D. Reg. A. Vrat. Vind.

110. *ὠρείτης* habet auctor Etym. M. p. 823, 46, quod explicat *ὁ πολίτης*, sed addit, in nonnullis codicibus legi *Ὠρείδης*.

111. *οὗτα* vulg. Accentum correxit Brunck. — *Βιαντίδαο* Guelph.

112. *νηδύων* Vrat. Vind. — *ὑπὸ ζώνῃ* Regg. B. C. D. E.

115. *ἀζαλέην* Vind.

117. *δηϊώσεσθαι* Vind. Observa futurum medii passiva vi usurpatum, de quo ad Aesch. Choeph. 303 monuimus. — *Κλιτίοιο* Reg. A.

118. *Λυκοέργοιο* Vat. C. a m. 2.

119. *μέλαν τεταγὼν πέλεκυν μέγαν* vulg. sensu inepto. *μέγαν τ. π. μέγαν* Regg. A. C. *μέγαν τ. π. μέλαν* Reg. E. *μάλα τεταγὼν πέλεκυν μέγαν* Reg. D., quod, metro adversante, receperunt Brunck. et Beck., quamquam neque hoc verum putat Brunck. propter multitudinem adverbiorum *τότε, ἄρα, αἶψα, μάλα* (quod nullam vim habere monuit jam Ruhnk. epist. crit. p. 292) ideoque poetam scripsisse putat: *αἶψα μέγαν τεταγὼν πέλεκυν χερὶ*, quod nemini facile probabit. Ruhnken. l. c. emendavit *μάλ' ἀμπεπαλὼν*, probante Herm. ad Orph. p. 705. Sed si quis codicum lectiones inter se comparaverit, dubitare vix poterit, quin ipsam poetae manum restituat emendatio Sanctamandi: *μάλ' ἀντεταγὼν*, cui calculum adjecerunt etiam Gerhard. Lectt. p. 124 et Buttm. Lexilog. I p. 163. Itaque hanc in textu exhibui. — *μελαινὸν* Schol. Paris.

120. *μέσσον* Guelph., quod probat Piers. Veris. p. 206.

121. *ἐμβεβαὼς* Reg. A.

Αἰακίδαι, σὺν δέ σφιν ἀρήϊος ὤρνυτ' Ἰήσων.
ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσιν ἀπείρονα μῆλ' ἐφόβησαν
ἤματι χειμερίῳ πολιοὶ λύκοι, ὁρμηθέντες
λάθρῃ ἐϋῤῥίνων τε κυνῶν αὐτῶν τε νομήων,
μαίονται δ' ὅ τι πρῶτον ἐπαΐξαντες ἕλωσι,
πόλλ' ἐπιπαμφαλόωντες ὁμοῦ· τὰ δὲ πάντοθεν αὔτως
στείνονται πίπτοντα περὶ σφίσιν· ὣς ἄρα τοίγε
λευγαλέως Βέβρυκας ὑπερφιάλους ἐφόβησαν.
ὡς δὲ μελισσάων σμῆνος μέγα μηλοβοτῆρες
ἠὲ μελισσοκόμοι πέτρῃ ἔνι καπνιόωσιν,
αἱ δ'ἤτοι τείως μὲν ἀολλέες ᾧ ἐνὶ σίμβλῳ
βομβηδὸν κλονέονται, ἐπιπρὸ δὲ λιγνυόεντι
καπνῷ τυφόμεναι πέτρης ἑκὰς ἀΐσσουσιν·
ὣς οἵγ' οὐκέτι δὴν μένον ἔμπεδον, ἀλλὰ κέδασθεν
εἴσω Βεβρυκίης Ἀμύκου μόρον ἀγγελέοντες·
νήπιοι, οὐδ' ἐνόησαν ὃ δὴ σφίσιν ἐγγύθεν ἄλλο
πῆμ' ἀΐδηλον ἔην. πέρθοντο γὰρ ἠμὲν ἀλωαὶ,
ἠδ' οἶαι τῆμος δηΐῳ ὑπὸ δουρὶ Λύκοιο
καὶ Μαριανδυνῶν ἀνδρῶν, ἀπεόντος ἄνακτος.
αἰεὶ γὰρ μάρναντο σιδηροφόρου περὶ γαίης.
οἱ δ' ἤδη σταθμούς τε καὶ αὔλια δηϊάασκον·
ἤδη δ' ἄσπετα μῆλα περιτροπάδην ἐτάμοντο
ἥρωες, καὶ δή τις ἔπος μετὰ τοῖσιν ἔειπεν·
„Φράζεσθ' ὅττι κεν ᾗσιν ἀναλκείῃσιν ἔρεξαν,

124. πέλιοι λύκοι var. lect. ap. Etymol. M. p. 680, 21. cf. Ruhnk. epist. crit. p. 293. — ὡρμηθέντες Vrat.

125. ἐϋρίνων Regg. A. C. D. Guelph. Brunck. Beck.

126. μαίνονται Guelph. — ἐπαΐξοντες Regg. A. E. — Hermannus ad Orph. p. 759 offendit in vocula τι ante πρῶτον correpta, ideoque emendat: μαιόμενοι τί πρῶτον, in quo neque interrogativum placet, neque participia duo nulla copula juncta. In illa vero correptione non offendendum esse docet Spitzner. de vers. her. p. 102, recte allato ὅτε πρῶτον III, 1230 et ὅτε πρῶτα IV, 1080.

127. Laudat hunc versum Etymol. M. s. v. παμφαλῶν, nomine poetae non addito.

128. Similiter Quint. Smyrn. VI, 642 πολὺς δ' ἐστείνετο χῶρος Ἀργείων ἰληδὸν ἐπ' ἀλλήλοισι πεσόντων. cf. Wernick. ad Tryphiod. p. 428.

132. δ' ἤτοι Regg. quatuor, quod recepit Brunck. pro vulgato δή τοι, probante Herm. ad hymn. Hom. in Ven. 226; recte. Eadem varietas est infra III, 854. — ὧν Vind.

133. ἐπὶ πρὸ Vatt. A. D.

135. ἀλλ' ἐκέδασθεν ex uno Reg. D. Brunck. Beck. Vid. quae infra ad v. 1072 monebuntur.

140. Μαρυανδυνῶν Guelph.

141. μάρνατο Vind.

145. ἀναλκίῃσιν Vind. Guelph., quod placuit Hoerstelio, cui pessima quaeque placent. Ruhnk. epist. crit. p. 293 emendavit ἀτασθαλίῃσιν, quod recepit Brunck., qui tamen melius etiam ἀπηνείῃσιν vel ἀλαζονίῃσιν reponi posse judicat. Sed pluralis ἔρεξαν nihil mutandum esse do-

„εἴ πως Ἡρακλῆα θεὸς καὶ δεῦρο κόμισσεν.
„ἤτοι μὲν γὰρ ἐγώ, κείνου παρεόντος, ἔολπα
„οὐδ' ἂν πυγμαχίῃ κρινθήμεναι· ἀλλ' ὅτε θεσμοὺς
„ἤλυθεν ἐξερέων, αὐτοῖς ἄφαρ οἷς ἀγόρευεν
„θεσμοῖσιν ῥοπάλῳ μιν ἀγηνορίης λελαθέσθαι.
„ναὶ μὲν ἀκήδεστον γαίῃ ἔνι τόνγε λιπόντες
„πόντον ἐπέπλωμεν· μάλα δ' ἡμέων αὐτὸς ἕκαστος
„εἴσεται οὐλομένην ἄτην, ἀπάνευθεν ἐόντος."
Ὣς ἄρ' ἔφη· τὰ δὲ πάντα Διὸς βουλῇσι τέτυκτο.
καὶ τότε μὲν μένον αὖθι διὰ κνέφας, ἕλκεά τ' ἀνδρῶν
οὐταμένων ἀκέοντο, καὶ ἀθανάτοισι θυηλὰς
ῥέξαντες, μέγα δόρπον ἐφώπλισαν· οὐδέ τιν' ὕπνος
εἷλε παρὰ κρητῆρι καὶ αἰθομένοις ἱεροῖσιν.
ξανθὰ δ' ἐρεψάμενοι δάφνῃ καθύπερθε μέτωπα
ἀγχιάλῳ, τῇ τῇ καὶ τῇ πρυμνήσι' ἀνῆπτο,
Ὀρφείῃ φόρμιγγι συνοίμιον ὕμνον ἄειδον
ἐμμελέως· περὶ δέ σφιν ἰαίνετο νήνεμος ἀκτὴ

cet, non enim de Amyco, qui superbus et arrogans, sed de Bebrycum plebe, quae ignava fuerit, sermo est. Sensus est: quantum in hac pugna Bebryces ignavia sui passuri fuissent, si Hercules adfuisset; sed fortasse etiam nihil passi essent, nam ne ad pugilatum quidem venisset.

146. κόμισσε Guelph.

148. πυγμαχίην Guelph. — κριθήμεναι vulg. κρινθήμεν Vind. Vrat. κρινθήμεναι Reg. D. Med. Guelph. Flor. Brunck. Beck.

150. θεσμοῖσι Reg. E. Vrat. Brunck. Beck. — λελατέσθαι Vind.

151. ἀκηδέστως Brunck. sine libris et lectore non monito. — τὸν δὲ Reg. A. τόνδε Guelph. Hoerstel.

153. εἴσεται *sentiet* (ut solent latini de re ancipite et tristi), cf. Fritzsch. Quaest. Lucian. p. 71 s.

154. τέκτυκτο Vind.

155. τότε δὴ Brunck. sine libris et lectore non monito, etiam cum sensus detrimento.

157. ἐφώπλησαν Vind.

159. μετέωπα Flor.

160. ἀγχιάλῳ, τῇ καὶ τὰ περὶ πρυμνήσι' ἀνῆπτο vulg. Mirari non satis possum, editores hunc versum alto silentio praeterire, quamquam ea, quam in textu exhibent lectio, mera Stephani conjectura esse videtur, eaque tam parum probabilis, ut quid illud τὰ, quid περὶ sibi velit, nemo facile dicere possit. Constans omnium codicum et edd. veterum lectio est ἀγχιάλῳ τῇ καὶ τῇ περὶ πρυμνήσι' ἀνῆπτο, nisi quod in ed. Basil. legitur τῇ καὶ τῇ τὴν πρ., et Schol. Paris. quoque illud τῇ καὶ τῇ agnoscit, explicans ἐκ διαφόρων μερῶν. Hanc quoque librorum lectionem corruptam esse, facile quisque videt; prae ceteris vero illud περὶ ferri nullo modo potest (abesse etiam vidimus in ed. Basil.), quod vix dubium est quin ex initio verbi sequentis ortum et versus explendi causa illatum sit; excidisse enim aliquid metrum docet, idque non difficile mihi videtur restituere. Puto enim poetam scripsisse ἀγχιάλῳ, τῇ τῇ καὶ τῇ πρυμνήσι' ἀνῆπτο, *lauro littorali, ad quam hic et illic retinacula alligata erant.* Omisso priore τῇ, quod quam facile excidere potuerit nemo non videt, reliquae turbae exortae sunt. Neque in duplici τῇ τῇ offendi potest, quum οἳ οἱ et similia saepissime occurrant. — ἀνῆπτον Guelph., quod male probant Piers. et Hoerstel.

161. Laudat Etymol. M. p. 735, 44.

μελπομένοις· κλεῖον δὲ Θεραπναῖον Διὸς υἷα.
Ἦμος ἠέλιος δροσερὰς ἐπέλαμψε κολώνας
ἐκ περάτων ἀνιὼν, ἤγειρε δὲ μηλοβοτῆρας,
δὴ τότε λυσάμενοι νεάτης ἐκ πείσματα δάφνης,
ληΐδα τ' εἰσβήσαντες, ὅσην χρεὼ ἦεν ἄγεσθαι,
πνοιῇ δινήεντ' ἀνὰ Βόσπορον ἰθύνοντο.
ἔνθα μὲν ἠλιβάτῳ ἐναλίγκιον οὔρεϊ κῦμα
ἀμφέρεται προπάροιθεν ἐπαΐσσοντι ἐοικὸς,
αἰὲν ὑπὲρ νεφέων ἠερμένον· οὐδέ κε φαίης
φεύξασθαι κακὸν οἶτον, ἐπεὶ μάλα μεσσόθι νηὸς
λάβρον ἐπικρέμαται, καθάπερ νέφος. ἀλλὰ τό γ' ἔμπης
στόρνυται, εἴ κ' ἐσθλοῖο κυβερνητῆρος ἐπαύρῃ.
τῷ καὶ Τίφυος οἵδε δαημοσύνῃσι νέοντο,
ἀσκηθεῖς μὲν, ἀτὰρ πεφοβημένοι. ἤματι δ' ἄλλῳ
ἀντιπέρην γαίῃ Βιθυνίδι πείσματ' ἀνῆψαν.
Ἔνθα δ' ἐπάκτιον οἶκον Ἀγηνορίδης ἔχε Φινεὺς,
ὃς περὶ δὴ πάντων ὀλοώτατα πήματ' ἀνέτλη,
εἵνεκα μαντοσύνης, τήν οἱ πάρος ἐγγυάλιξε
Λητοΐδης· οὐδ' ὅσσον ὀπίζετο, καὶ Διὸς αὐτοῦ
χρείων ἀτρεκέως ἱερὸν νόον ἀνθρώποισι.
τῷ καί οἱ γῆρας μὲν ἐπὶ δηναιὸν ἴαλλεν,

163. Versum laudat Etymol. M. p. 446, 48.

164. δνοφερᾶς Reg. A. δνοφερὰς tres alii Regg., quod recepit Brunck., non lectionis praestantia sed suorum librorum amore commotus.

166. λυσσάμενοι Flor.

167. χρεώ bisyllabum usurpat Apollonius contra Homeri usum, v. Naek. ad Choeril. p. 161.

170. ἐμφέρεται Regg. quinque, Brunck. Beck., quod minime praestat vulgatae. — ἀΐσσοντι ἐοικὼς Guelph.

171. νεφέλων Guelph.

172. φεύξεσθαι vulg. φεύξασθαι Vatt. A. B. C. D. Regg. A. C. E., quod cum Beckio praetuli. cf. I, 1343.

173. ὑπερκρέμαται Vind. — καθάπερ νέφος inde a Stephano in editionibus legitur, quamquam haec lectio non idonea auctoritate nititur, nam in solis Regg. A. B. D. E. eam invenit Brunckius, contra in Vatt. A. B. C. D. Reg. C. marg. Reg. B. Med. Guelph. Vind. Flor. Ald. Brub. Basil. legitur ὑπὲρ νέφεος, quod cum metro repugnaret, correctio illa in textum irrepsit. Sed veram lectionem praebet Vrat. νέφεος ὕπερ, quam collato v. 171 in textum recipiendam judico. Productionem ultimae in νέφεος satis tuentur, quae attulit Herm. ad Orph. p. 703.

174. ἐπαύροι Vatt. A. C. D. ἐπαύρῃς Reg. A.

177. Βιθυνηΐδι Vatt. A. C. D. Regg. A. E., sed altera forma constanter utitur noster.

178. ἐνθάδ' Brunck. Beck. male.

179. ὅσπερ Reg. A. πέρι Reg. E. Steph. Brunck. Beck. male, vid. I, 65.

180. εἵνεκε Guelph.

181. ὅσσαν cum gl. interlin. θείαν φωνὴν Guelph. probante Hoerstelio. — ὀπίζεται Guelph. Respicit Etymol. M. p. 627, 51.

183. De productione syllabae brevis ante δηναιὸν v. Herm. ad Orph. p. 705. — δηνεὸν Vind.

ἐκ δ' ἕλετ' ὀφθαλμῶν γλυκερὸν φάος· οὐδὲ γάνυσθαι
εἴα ἀπειρεσίοισιν ὀνείασιν, ὅσσα οἱ αἰεὶ
θέσφατα πευθόμενοι περιναιέται οἴκαδ' ἄγειρον.
ἀλλὰ διὰ νεφέων ἄφνω πέλας ἀΐσσουσαι
Ἅρπυιαι στόματος χειρῶν τ' ἄπο γαμφηλῇσι
συνεχέως ἥρπαζον. ἐλείπετο δ' ἄλλοτε φορβῆς
οὐδ' ὅσον, ἄλλοτε τυτθὸν, ἵνα ζώων ἀκάχοιτο.
καὶ δ' ἐπὶ μυδαλέην ὀδμὴν χέον· οὐδέ τις ἔτλη
μὴ καὶ λευκανίηνδε φορεύμενος, ἀλλ' ἀπὸ τηλοῦ
ἑστηώς· τοῖόν οἱ ἀπέπνεε λείψανα δαιτός.
αὐτίκα δ' εἰσαΐων ἐνοπὴν καὶ δοῦπον ὁμίλου,
τούσδ' αὐτοὺς παριόντας ἐπῄσθεν, ὧν οἱ ἰόντων
θέσφατον ἐκ Διὸς ἦεν ἑῆς ἀπόνασθαι ἐδωδῆς.
ὀρθωθεὶς δ' εὐνῆθεν, ἀκήριον ἠΰτ' ὄνειρον,
βάκτρῳ σκηπτόμενος ῥικνοῖς ποσὶν ἦε θύραζε,
τοίχους ἀμφαφόων· τρέμε δ' ἄψεα νισσομένοιο
ἀδρανίῃ γήρᾳ τε· πίνῳ δέ οἱ αὐσταλέος χρὼς
ἐσκλήκει, ῥινοὶ δὲ σὺν ὀστέα μοῦνον ἔεργον.
ἐκ δ' ἐλθὼν μεγάροιο καθέζετο, γοῦνα βαρυνθεὶς,
οὐδοῦ ἐπ' αὐλείοιο· κάρος δέ μιν ἀμφεκάλυψεν
πορφύρεος, γαῖαν δὲ πέριξ ἐδόκησε φέρεσθαι

186. *περινέαιται* Vind. — *ἄγειραν* Reg. A.

187. *δι' ἐκνεφέων* Vrat. Vind., unde *διὲκ νεφέων* Brunck. Beck., reliquis omnibus libris invitis. Productio syllabae in *διὰ νεφέων* est usitata illa; ipsum hoc *διὰ νεφέων* habet Hom. Il. XXII, 309. Quint. Smyrn. XII, 203.

189. *συννεχέως* Steph. Hoelzlin. Shaw. ut I, 1271. Ex codd. solus Vat. C. adsentire videtur. — *ἄλλοθε* Vrat. et hoc et seq. versu.

190. *ἀκάχητο* Regg. A. E.

192. *καὶ μὴ λ.* Reg. E. *ὀδμὴν λ.* Regg. A. C. D. *ὀδμῇ λ.* marg. Reg. B., quod sapientiae librariorum deberi videtur, qui, quum *καὶ* excidisset, *μὴ* in *ὀδμῇ* mutando versum supplere conabantur. Non sapientior fuit Brunckius, qui constructione loci offensus *μὴ καὶ* in *μὴ ὅτι*, et versu seq. *ἑστηὼς* in *μήδ' ἑστεὼς* mutavit. Sanus videri debet locus cuique, nisi qui emendandi pruritu fertur; sensus hic est: *nemo sustinere potuit, ne dicam, ut vel ad ipsum os cibos admoveret, sed ut modo procul staret.* — *λαυκανίηνδε* in Appendice reponi jussit Brunck. et reposuit Beck., sed in hoc et altero adverbio *λευκανίηθεν* illa forma nusquam reperitur.

193. *ἱστηκὼς* Vrat. Brunckii emendatio ad versum praecedentem commemorata est. — *ἀπέπνειε* Guelph.

195. *παρεόντας* emendavit Brunck. sensus causa, ut ait, quod non necessarium esse facile intelligitur. *Ut primum multitudinis advenientis strepitum audivit, eos advenire sensit,* etc. — *ἐπήϊεν* Regg. A. E.

196. *ἦν οἱ ἑῆς* Regg. quinque.

198. *ῥυκνοῖς* Vatt. A. D. Vrat.

200. *πίνῳ τε* vulg. *δὲ*, quod necessarium videtur, assumsi ex Schol. Flor. ad II, 302 et Schol. ad Eur. Orest. 219, qui versum ita laudat: *πίνῳ δέ οἱ αὐαλέος χρὼς Ἐσκλήκει.*

203. *ἐπαυλείοιο* Guelph. *ἐπαυλίοιο* Flor. Brub. Basil. *ἐπ' αὐλείου* Regg. quatuor, Vind.

νειόθεν, ἀβληχρῷ δ' ἐπὶ κώματι κέκλιτ' ἄναυδος.
οἱ δέ μιν ὡς εἴδοντο, περισταδὸν ἠγερέθοντο
καὶ τάφον. αὐτὰρ ὁ τοῖσι μάλα μόλις ἐξ ὑπάτοιο
στήθεος ἀμπνεύσας μετεφώνεε μαντοσύνῃσιν.
„Κλῦτε, Πανελλήνων προφερέστατοι, εἰ ἐτεὸν δὴ
„οἵδ' ὑμεῖς, οὓς δὴ κρυερῇ βασιλῆος ἐφετμῇ
„Ἀργῴης ἐπὶ νηὸς ἄγει μετὰ κῶας Ἰήσων.
„ὑμεῖς ἀτρεκέως. ἔτι μοι νόος οἶδεν ἕκαστα
„ᾗσι θεοπροπίῃσι. χάριν νύ τοι, ὦ ἄνα, Λητοῦς
„υἱὲ, καὶ ἀργαλέοισιν ἀνάπτομαι ἐν καμάτοισιν.
„Ἱκεσίου πρὸς Ζηνὸς, ὅτις ῥίγιστος ἀλιτροῖς
„ἀνδράσι, Φοίβου τ' ἄμφι, καὶ αὐτῆς εἵνεκεν Ἥρης,
„λίσσομαι, οἷς περίαλλα θεῶν μέμβλεσθε κιόντες,
„χραίσμετέ μοι, ῥύσασθε δυσάμμορον ἀνέρα λύμης,
„μηδέ μ' ἀκηδείῃσιν ἀφορμήθητε λιπόντες
„αὔτως. οὐ γὰρ μοῦνον ἐπ' ὀφθαλμοῖσιν Ἐριννὺς
„λὰξ ἐπέβη, καὶ γῆρας ἀμήρυτον ἐς τέλος ἕλκω.
„πρὸς δ' ἔτι πικρότατον κρέμαται κακὸν ἄλλο κακοῖσιν.
„Ἅρπυιαι στόματός μοι ἀφαρπάζουσιν ἐδωδὴν,
„ἔκ ποθεν ἀφράστοιο καταΐσσουσαι ὀλέθρου.
„ἴσχω δ' οὔ τινα μῆτιν ἐπίῤῥοθον. ἀλλά κε ῥεῖα

205. ἀμβληχρῷ Guelph.

206. ἴδοντο Reg. A.

210. κρυεροῖο Guelph., unde κρυεροῦ suspicatur Piers. Veris. p. 206.

211. Hic versus deest in Vatt. A. B. C. D.

214. καμάτοισι Guelph.

217. ἧς πέρι, ἀλλὰ θεῶν μέμβλεσθε Vatt. A. B. C. D. Reg. B. Vrat. Vind. Flor. Brub. Basil. ἧς περίαλλα θ. μ. Guelph. idque ex conjectura reposuerunt Hoelzlin. Shaw. Beck., hic praeterea etiam dativo opus esse a Brunckio monitus, eo auctore ἧς in ᾗ mutavit. Longe alia lectio in aliis libris est: ἠδὲ θεῶν, οἷσι ἐμέμβλησθε Reg. A. ἠ. θ. οἷσι ἐμέμβλεσθε Reg. C. ἠ. θ. οἷσι ἐμβέβλησθε Reg. D. ἠδὲ θεῶν οἷσι μέμβλεσθε Reg. E. marg. Reg. B. ed. Paris. Steph., quam recepit Brunck. Sed haec lectio, in solis Parisinis libris conspicua, dubitari vix potest quin prioris recensionis sit; ad sensum certe manifesto deterior est. Ceterum alicui tamen usui est, docet enim vulgatum illud ἧς in οἷς mutandum esse (quae ex itacismo in codd. saepe confunduntur) et sic in textu scripsi.

219. μὴ δέ κ' Vatt. C. D. μήδ' ἐμ' Brunck., ut solet, neque monito lectore. Versum nulla lectionis diversitate laudat Etymol. M. p. 47, 40.

220. μόνον Vrat. Vind. — Ἐρινὺς Vatt. A. B. Vrat. Vind.

221. ἀμήρυνον var. lect. ap. Schol. Flor. (ἀμήριον Schol. Paris.), quod in ἀνήνυτον mutandum censet Valckenar. ad Ammon. p. 119. — ἄθλιος ἕλκω emendat idem p. 118, quod non necessarium esse recte judicat Brunck., quia voces ἐς τέλος non cum verbo ἕλκω sed cum ἀμήρυτον jungendae sint. Significant *perpetuo*, cf. Dorvill. ad Charit. p. 479.

222. πρὸς δέ τι Vrat. Schol. Paris.

224. ἐκτόθεν Vatt. C. D.

225. ἐπίροθον Brunck. Beck. — ῥᾷον Regg. quinque, Brunck. Beck., sed perspicuum est hoc a librariis profectum esse non intelligentibus illum positivi usum, quo fere pro com-

„αὐτὸς ἑὸν λελάθοιμι νόον, δόρποιο μεμηλώς,
„ἢ κείνας· ὧδ' αἶψα διηέριαι ποτέονται.
„τυτθὸν δ' ἦν ἄρα δήποτ' ἐδητύος ἄμμι λίπωσι,
„πνεῖ τόδε μυδαλέον τε καὶ οὐ τλητὸν μένος ὀδμῆς·
„οὔ κέ τις οὐδὲ μίνυνθα βροτῶν ἄνσχοιτο πελάσσας,
„οὐδ' εἴ οἱ ἀδάμαντος ἐληλαμένον κέαρ εἴη.
„ἀλλά με πικρὴ δῆτα κατίσχει δαιτὸς ἀνάγκη
„μίμνειν, καὶ μίμνοντα κακῇ ἐν γαστέρι θέσθαι.
„τὰς μὲν θέσφατόν ἐστιν ἐρητύσαι Βορέαο
„υἱέας. οὐδ' ὀθνεῖοι ἀλαλκήσουσιν ἐόντες,
„εἰ δὴ ἐγὼν ὁ πρίν ποτ' ἐπικλυτὸς ἀνδράσι Φινεὺς
„ὄλβῳ μαντοσύνῃ τε, πατὴρ δέ μ' ἐγείνατ' Ἀγήνωρ·
„τῶν δὲ κασιγνήτη, ὅτ' ἐνὶ Θρήκεσσιν ἄνασσον,
„Κλειοπάτρη ἕδνοισιν ἐμὸν δόμον ἦκεν ἄκοιτις."
Ἴσκεν Ἀγηνορίδης· ἀδινὸν δ' ἕλε κῆδος ἕκαστον
ἡρώων, πέρι δ' αὖτε δύω υἷας Βορέαο.
δάκρυ δ' ὀμορξαμένω σχεδὸν ἤλυθον, ὧδέ τ' ἔειπεν

parativo positus videtur, v. Taylor. ad Lys. T. V p. 383 Reisk.

226. ἐμὸν vulg. ἑὸν Vat. A. Schol. Flor. et var. lect. apud Schol. Paris., idque ex Schol. recte receperunt Hoelzlin. et Shaw., illud enim facilius quam hoc a librariis proficisci potuisse manifestum est; ita ᾧ est pro ἐμῷ IV, 1015, οὓς pro ἐμοὺς IV, 1036. cf. Gerhard. p. 93 s.

227. δηέριαι Guelph.

230. οὐδέ τις Guelph.

231. ἐληλαμένος Guelph.

232. πικρὴ δῆτά κε δαῖτος ἐπίσχει vulg. absurde. πικρὴ δαίτη καὶ δατὸς ἴσχει Regg. A. B. C. E. in A. δαιτὸς suprascripto. πικρὴ δαίτη καὶ δαιτὸς ἴσχει Reg. D. πικρὴ δῆτα καὶ δατὸς ἴσχει Med. πικρὴ δῆτα καὶ δαιτὸς ἴσχει Vatt. A. B. C. D. et sic Guelph., nisi quod ἴσχει in ἰάει corruptum est. πικρὴ δῆτα καὶ ἴσχει δαιτὸς Vat. C. a m. 2. Vrat. Vind. Hinc Brunckius eam lectionem conjectura assecutus est, quam in textu dedi, quia veram puto; ex hac enim corruptelae illae facillime explicari possunt. Quum enim ΚΑΤΙΣΧΕΙ in ΚΑΙΙΣΧΕΙ corruptum esset, reliquae turbae ex simili sono vocabulorum δῆτα et δαιτὸς atque ex frequentissima confusione vocularum καί et κε natae sunt. Librarii vero verba transponendo et ἴσχει in ἐπίσχει mutando metrum restituere conati sunt.

236. εἰμὶ δ' ἐγὼν emendavit Piers. Veris. p. 206, quod non solum non necessarium est, ut ait Brunck., sed ne ferri quidem potest propter verba praecedentia, quorum rationem sequentia reddunt; εἰ δὴ est *siquidem, quoniam*.

237. δ' ἔμ' ἐγείνατ' Vind., unde recepit Brunck. ut v. 219.

238. κασιγνήτην—Κλειοπάτρην—ἦγον ἄκοιτιν vulg. κασιγνήτη — Κλειοπάτρη — ἦκεν ἄκοιτις Regg. quinque, nisi quod A. Κλεοπάτρη habet, in B. ultimis syllabis trium illorum vocabulorum ν suprascriptum est, in E. κασιγνήτη suprascripto ν et deinde Κλειοπάτρην legitur. In Vatt. A. C. D. Med. Vind. Vrat. accusativi quidem illi, ut vulg., leguntur, sed ἦκεν pro ἦγον. Perspicuum est in libris duas lectiones, alteram vulgatam, alteram quam in textu exhibui, confusas esse, quarum quum utraque per se recta sit, difficilis est optio; sed quum libri omnes praeter Guelph. et Vat. B. in ἦκεν consentiant, hanc lectionem praetuli cum Brunck. et Beck.

Ζήτης, ἀσχαλόωντος ἑλὼν χερὶ χεῖρα γέροντος.
„Ἆ δείλ', οὔ τινα φημὶ σέθεν σμυγερώτερον ἄλλον
„ἔμμεναι ἀνθρώπων. τί νύ τοι τόσα κήδε' ἀνῆπται;
„ἦ ῥα θεοὺς ὀλοῇσι παρήλιτες ἀφραδίῃσι,
„μαντοσύνας δεδαώς· τῷ τοι μέγα μηνιόωσιν.
„ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι
„χραισμεῖν, εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων
„νῶϊν. ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἐνιπαὶ
„ἀθανάτων. οὐδ' ἂν πρὶν ἐρητύσαιμεν ἰούσας
„Ἁρπυίας, μάλα περ λελιημένοι, ἔς τ' ἂν ὀμόσσῃς,
„μὴ μὲν τοῖο ἕκητι θεοῖς ἀπὸ θυμοῦ ἔσεσθαι."
Ὣς φάτο· τοῦ δ' ἰθὺς κενεὰς ὁ γεραιὸς ἀνέσχε
γλήνας ἀμπετάσας, καὶ ἀμείψατο τοῖσδ' ἐπέεσσιν.
„Σίγα· μή μοι ταῦτα νόῳ ἔνι βάλλεο, τέκνον.
„Ἴστω Λητοῦς υἱὸς, ὅ με πρόφρων ἐδίδαξεν
„μαντοσύνας· ἴστω δὲ δυσώνυμος, ἥ μ' ἔλαχεν κὴρ,
„καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαὸν νέφος, οἵ θ' ὑπένερθεν
„δαίμονες, οἳ μηδ' ὧδε θανόντι περ εὐμενέοιεν,
„ὡς οὔ τις θεόθεν χόλος ἔσσεται εἵνεκ' ἀρωγῆς."
Τὼ μὲν ἔπειθ' ὅρκοισιν ἀλαλκέμεναι μενέαινον.
αἶψα δὲ κουρότεροι πεπονήατο δαῖτα γέροντι,
λοίσθιον Ἁρπυίῃσιν ἑλώριον· ἐγγύθι δ' ἄμφω
στῆσαν, ἵνα ξιφέεσσιν ἐπεσσυμένας ἐλάσειαν.

244. *στυγερώτερον* vulg. *σμυγερώτερον* ex emendatione Ruhnk. epist. crit. p. 293 dederunt Brunck. Beck., quod sensu flagitante et ego recepi. Eaedem voces infra IV, 1065 in libris confusae sunt.— *ἄλλων* Vind., sed vulg. margini adscripta.

245. *τόσσα* Vrat. Vind.

246. *ἀτροπίδῃσι* Guelph. *ἀτροπίῃσι* var. lect. in Med. et in utrisque scholiis, quae ad priorem recensionem referenda videtur. Idem vocabulum delevit poeta etiam IV, 1081, ubi *ἀμπλακίῃσιν* ejus loco posuit, sed reliquit IV, 387. 1006.

253. *τοῖό γ' ἕκητι* vulg. Particulam otiosam, quam inserere amant librarii, ejeci auctoritate Schol. Paris. Cf. quae supra ad I, 334 monita sunt.

254. *γέρων* Guelph.

256. *ταῦτ' ἐνιβάλλεο θυμῷ* Reg. A. *ἐνιβάλλεο* etiam Reg. B., quod receperunt Brunck. Beck. Sensus non est: *ne haec in animum meum injicias*, ut illi intellexisse videntur, sed *ne mihi haec animo tuo volvas.*

257. *μοι* Vrat.

258. *ἔλαχε* Flor.

259. *καὶ τότε δ' ὀφθαλμῶν* Guelph. — *ὀλοὸν* var. lect. apud Schol. Flor. — *οἵδ'* Vind. Vrat. — *ὑπένερθε* Regg. D. E. Vind.

260. *μηδ' οἵδε* Vatt. A. B. C. D. Med. Vrat. Flor. Brub. Basil. Hoelzlin. *μηδ' ὧδε* Regg. quinque, Guelph. Vind. Schol. Paris. Steph. et sic recte Brunck. Beck.

261. *ἕπεται* vulg. *ἕψεται* correxit Hoelzlin. probante Piers. Verisim. p. 208. *ἔσσεται* Vatt. A. C. D. Regg. A. B. C. D. E. Med. Guelph. Vrat. Vind. Brunck. Beck. — *οὕνεκ'* Reg. D.

262. *τῷ* Flor. Brub. Basil. —*ἀλαλκέμεν* Flor.

καὶ δὴ τὰ πρώτισθ' ὁ γέρων ἔψαυεν ἐδωδῆς·
αἱ δ' ἄφαρ, ἠΰτ' ἄελλαι ἀδευκέες, ἢ στεροπαὶ ὣς,
ἀπρόφατοι νεφέων ἐξάλμεναι ἐσσεύοντο
κλαγγῇ, μαιμώωσαι ἐδητύος· οἱ δ' ἐσιδόντες
ἥρωες μεσσηγὺς ἀνίαχον· αἱ δ' ἅμ' ἀϋτῇ
πάντα καταβρώξασαι ὑπὲρ πόντοιο φέροντο
τῆλε παρέξ· ὀδμὴ δὲ δυσάσχετος αὖθι λέλειπτο.
τάων δ' αὖ κατόπισθε δύω υἷες Βορέαο
φάσγαν' ἐπισχόμενοι ὀπίσω θέον. ἐν γὰρ ἕηκεν
Ζεὺς μένος ἀκάματόν σφιν· ἀτὰρ Διὸς οὔ κεν ἐπέσθην
νόσφιν, ἐπεὶ Ζεφύροιο παραΐσσεσκον ἀέλλας
αἰὲν, ὅτ' ἐς Φινῆα, καὶ ἐκ Φινῆος ἴοιεν.
ὡς δ' ὅτ' ἐνὶ κνημοῖσι κύνες δεδαημένοι ἄγρης,
ἢ αἶγας κεραοὺς, ἠὲ πρόκας ἰχνεύοντες,
θείωσιν, τυτθὸν δὲ τιταινόμενοι μετόπισθεν
ἄκρῃς ἐν γενύεσσι μάτην ἀράβησαν ὀδόντας·
ὣς Ζήτης Κάλαΐς τε μάλα σχεδὸν ἀΐσσοντες,
τάων ἀκροτάτῃσιν ἐπέχραον ἤλιθα χερσίν.
καί νύ κε δή σφ' ἀέκητι θεῶν διεδηλήσαντο,
πολλὸν ἑκὰς νήσοισιν ἐπὶ Πλωτῇσι κιχόντες,
εἰ μὴ ἄρ' ὠκέα Ἶρις ἴδεν, κατὰ δ' αἰθέρος ἆλτο
οὐρανόθεν, καὶ τοῖα παραιφαμένη κατέρυκεν.
„Οὐ θέμις, ὦ υἱεῖς Βορέω, ξιφέεσσιν ἐλάσσαι

266. δῆτα πρώτισθ' Vatt. A. C. D. Reg. A. Vrat. Guelph.

268. καὶ πρόφατοι Guelph., quod placuit Hoerstelio.

269. χλαγγῇ Vrat. — κλαγγῇ μαιμώωσαι ὑπὲρ πόντοιο φέροντο Vatt. A. B. C. D. omissis intermediis. Librarii oculus a μαιμώωσαι ad similem terminationem καταβρώξασαι aberraverat.

270. ἅμα δ' Reg. A.

271. ποντίοιο Vind.

274. φάσγανε πισχόμενοι Vind.

275. ἀκάμαντον Flor. — οὐκ ἂν ἐπέσθην vulg. οὐκ ἐν ἐπέσθην Med. οὐκ ἐνεπέσθην Vatt. A. C. D. Vrat. Vind. Guelph. οὔ κεν ἐπέσθην Regg. C. D. E., quod jubente librorum auctoritate recte receperunt Brunck. Beck.

276. ἐπεὶ καὶ Ζεφύροιο Vrat. Vind. — παρήσεσκον Reg. A.

277. ὅτε σφιν νῆα Guelph.

278. κρημνοῖσι Vrat. a m. 1.

280. θείωσι Regg. A. D. E. Guelph. Brunck. Beck.

281. ἄκροις Guelph. Vrat. Vind. — ὀδόντες Reg. A.

283. ἀκροτάτοισιν Flor. ἀκροτάτῃσι Vrat.

285. νήσοισι Vrat. — Πλωτοῖσι Reg. A.

288. υἷες Brunck. Beck. sine libris et lectore non monito, tamen fortasse recte, hic enim unicus est Apollonii locus, quo forma υἱεῖς legitur, quum semper υἷες dicere soleat. — Βορέου vulg. Βορέαο Regg. quinque. Βορέω Vatt. A. C. D. Med. Guelph. Vrat. Vind., quod recte praetulerunt Brunck. Beck. Hanc genitivi formam noster habet II, 308. IV, 1484, alteram nusquam.

„Ἁρπυίας, μεγάλοιο Διὸς κύνας· ὅρκια δ' αὐτὴ
„δώσω ἐγὼν, ὥς οὔ οἱ ἔτι χρίμψουσιν ἰοῦσαι."
Ὣς φαμένη λοιβὴν Στυγὸς ὤμοσεν, ἥτε θεοῖσιν
ῥιγίστη πάντεσσιν, ὀπιδνοτάτη τε τέτυκται,
μὴ μὲν Ἀγηνορίδαο δόμοις ἔτι τάσδε πελάσσαι
εἰσαῦτις Φινῆος, ἐπεὶ καὶ μόρσιμον ἦεν.
οἱ δ' ὅρκῳ εἴξαντες ὑπέστρεφον ἂψ ἐπὶ νῆα
σεύεσθαι. Στροφάδας δὲ μετακλείουσ' ἄνθρωποι
νήσους τοῖο ἕκητι, πάρος Πλωτὰς καλέοντες.
Ἅρπυιαί τ' Ἶρίς τε διέτμαγεν. αἱ μὲν ἔδυσαν
κευθμῶνα Κρήτης Μινωΐδος· ἡ δ' ἀνόρουσεν
Οὔλυμπόνδε, θοῇσι μεταχρονίῃ πτερύγεσσιν.
Τόφρα δ' ἀριστῆες πινόεν περὶ δέρμα γέροντος
πάντῃ φοιβήσαντες, ἐπικριδὸν ἱρεύσαντο
μῆλα, τά τ' ἐξ Ἀμύκοιο λεηλασίης ἐκόμισσαν.
αὐτὰρ ἐπεὶ μέγα δόρπον ἐνὶ μεγάροισιν ἔθεντο,

289. *Jovis canes* hinc sumsisse Hygin. fab. XIX et Servium ad Virg. Aen. III, 209 docet Ruhnk. epist. crit. p. 177, ubi multa de hoc usu vocabuli *κυών* collecta sunt, quibus add. Aesch. Choeph. 1050.

291. *ὤμοσσεν* Vind.

292. *ὀπιθοτάτη* Reg. A. *ὀπνιδοτάτη* Vrat. Vind. Flor. Brub. Basil.

294. *ἐπεί κεν μόρσιμον εἴη* Regg. quatuor, ubi *καί* in *κεν* corruptum (v. I, 663) etiam verbo labem adspersit.

295. *αὖ* Reg. A.

296. *σέβεσθαι* Vatt. A. B. C. D. *σώεσθαι* Etymol. M. p. 742, 6, quod auctore Ruhnkenio epist. crit. p. 294 recepit Beck., sed quamquam eadem verba etiam infra III, 307 in libris confusa reperiuntur, tamen hic contra librorum consensum nihil novare volui, praesertim quum et sequens verbum in Etymol. corruptum sit in *στροφάδην*.

297. *τοῖό γ' ἕκητι* vulg. Particulam ut v. 253 ejeci.

298. *Εἶρις* Guelph. — *διέτμαγον* vulg. contra sensum, hoc enim significaret: *disciderunt* ut Hom. Od. VII, 276. Apoll. Rhod. III, 343, *discedendi* significatione semper aoristus passivi ponitur, ut Hom. Il. I, 531. VII, 302. XII, 461. XVI, 354. Od. XIII, 439. Apollon. Rh. III, 343. Quare emendavi *διέτμαγεν*, quod saepius a librariis in *διέτμαγον* mutatum est, fortasse quia illud pro singulari habebant, ut Hom. Od. XIII, 439. Apollon. III, 1147. Nonn. Dionys. VII, 8, quibus locis item *διέτμαγεν* legendum est. — *ἔδυσσαν* vulg. *ἔδυσαν* Vatt. A. C. D. Regg. quatuor, Med. Guelph. Vind. Vrat. Brunck. Beck.

300. *μεταχθονίῃ* Regg. quinque, (Reg. A. margini vulgata adscripta) Brunck. Beck. Perpetua est in Apollonii libris confusio vocabulorum *μεταχρόνιος* et *μεταχθόνιος*, posteriorem formam ubique praetulit Brunckius, male. Alteram formam certis veterum testimoniis stabilitam (v. Ruhnk. epist. crit. p. 294) plerisque Apollonii locis plurimi et optimi libri exhibent. Hic quidem ipse Hesiodi locus, Theog. 269, qui Nostro obversatus fuisse videtur, eam formam praebet, quam ex plurimis libris in textum recepi. Infra v. 587 eadem in omnibus libris legitur, itemque III, 1151. IV, 952. 1568.

301. *πέρι* Vatt. A. B. C. D.

302. *ἱερεύσαντο* Vind. et Vrat. a m. 2.

303. *τά* deest in Guelph. — *ἐκόμισαν* Flor. Brub. Basil.

δαίνυνθ' ἑζόμενοι· σὺν δὲ σφίσι δαίνυτο Φινεὺς
ἁρπαλέως, οἷόν τ' ἐν ὀνείρασι θυμὸν ἰαίνων.
ἐνθάδ', ἐπεὶ δόρποιο κορέσσαντ' ἠδὲ ποτῆτος,
παννύχιοι Βορέω μένον υἷέας ἐγρήσσοντες.
αὐτὸς δ' ἐν μέσσοισι παρ' ἐσχάρῃ ἧστο γεραιὸς,
πείρατα ναυτιλίης ἐνέπων, ἄνυσίν τε κελεύθου.
„Κλῦτέ νυν. οὐ μὲν πάντα πέλει θέμις ὔμμι δαῆναι
„ἀτρεκές· ὅσσα δ' ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσω.
„ἀασάμην καὶ πρόσθε, Διὸς νόον ἀφραδίῃσιν
„χρείων ἑξείης τε καὶ ἐς τέλος. ὧδε γὰρ αὐτὸς
„βούλεται ἀνθρώποις ἐπιδευέα θέσφατα φαίνειν
„μαντοσύνης, ἵνα καί τι θεῶν χατέωσι νόοιο.
„Πέτρας μὲν πάμπρωτον ἀφορμηθέντες ἐμεῖο
„Κυανέας ὄψεσθε δύω ἁλὸς ἐν ξυνοχῇσιν.
„τάων οὔ τινα φημὶ διαμπερὲς ἐξαλέασθαι,
„οὐ γάρ τε ῥίζῃσιν ἐρήρειντα νεάτῃσιν·
„ἀλλὰ θαμὰ ξυνίασιν ἐναντίαι ἀλλήλῃσιν
„εἰς ἕν, ὕπερθε δὲ πολλὸν ἁλὸς κορθύνεται ὕδωρ
„βρασσόμενον· στρηνὲς δὲ περὶ στυφελὴ βρέμει ἀκτή.
„τῷ νῦν ἡμετέρῃσι παραιφασίῃσι πίθεσθε,
„εἰ ἐτεὸν πυκινῷ τε νόῳ, μακάρων τ' ἀλέγοντες
„πείρετε· μηδ' αὔτως αὐτάγρετον οἶτον ὄλησθε
„ἀφραδέως, ἢ θύνετ' ἐπισπόμενοι νεότητι.
„οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσασθε,
„νηὸς ἄπο προμεθέντες ἐφιέμεν. ἢν δὲ δι' αὐτῶν

308. *Βορεάω* Vrat. a m. 1.
309. *ἐσχάτῃ* Guelph.
311. *νῦν* Vrat.
312. *ἀτρεκέως* vulg. contra metrum; bene correxit Brunck. vid. I, 883.
316. *χατέουσι* Med. Guelph. (cum gl. *χρήζωσι*) Flor. Brub. Basil., quod placuit Hoerstelio.
317. *ἐμοῖο* Regg. C. D. Vrat.
320. *ῥίζῃσι* Vrat. — *ἐνήρεινται* Regg. quinque, quod male receperunt Brunck. Beck. — *νεάτῃσι* Flor. Brub. Basil.
322. *κορθύεται* vulg. contra metrum. *κορτύεται* Vrat. Correxit Brunck.
323. *πρηνὲς* Schol. Paris., ubi vid. Schaefer. — *στυφελῇ β. ἀκτῇ* Med. Flor. Brub. Basil.
324. *ἡμετέρῃς* Guelph. — *πείθεσθε* Vrat. *πίθεσθαι* Med., quem merum errorem esse docet accentus.
326. *αὐτάρετον* Vind. — In Vrat. post *ὄλησθε* comma positum est, non post *ἀφραδέως*, ubi etiam in antiquis edd. deest. — *ὄλοισθε* Reg. D.
327. *ἰθύνετ'* vulg. deficiente conjunctione. *ἢ ἰθύνετ'* Reg. E. *ἢ θύνετ'* Regg. A. B. C. D. Brunck. Beck. recte. In Schol. Flor. legitur: *τὸ δὲ ἰθύνειν τὸ ὁρμᾶν σημαίνει· οἱ δὲ ἰθύνειν γράφοντες ἁμαρτάνουσιν*, quod quum manifesto corruptum esset, Piers. Veris. p. 167 s. et hic *ἰθύειν*, et in ipso versu *ἰθύετ'* scribendum censuit. Sed *τὸ δὲ θύνειν* scribendum esse jam et ex textu nostro et ex Schol. Paris. patet. — *ἐπισπόμενον* Vatt. C. D.
328. *πειρήσασθαι* Med.
329. *ἀποπρὸ μεθέντες* vulg. *ἀπὸ*

„πετράων πόντονδε σόη πτερύγεσσι δίηται,
„μηκέτι δὴν μηδ' αὐτοὶ ἐρητύεσθε κελεύθου.
„ἀλλ' εὖ καρτύναντες ἑαῖς ἐνὶ χερσὶν ἐρετμὰ,
„τέμνεθ' ἁλὸς στεινωπόν· ἐπεὶ φάος οὔ νύ τι τόσσον
„ἔσσετ' ἐν εὐχωλῇσιν, ὅσον τ' ἐνὶ κάρτεϊ χειρῶν.
„τῷ καὶ τἄλλα μεθέντες, ὀνήϊστον πονέεσθε
„θαρσαλέως· πρὶν δ' οὔ τι θεοὺς λίσσεσθαι ἐρύκω.
„εἰ δέ κεν ἀντικρὺ πταμένη μεσσηγὺς ὄληται,
„ἄψοῤῥοι στέλλεσθε· ἐπεὶ πολὺ βέλτερον εἶξαι
„ἀθανάτοις. οὐ γάρ κε κακὸν μόρον ἐξαλέασθε
„πετράων, οὐδ' εἴ κε σιδηρείη πέλει Ἀργώ.
„ὦ μέλεοι, μὴ τλῆτε παρὲξ ἐμὰ θέσφατα βῆναι,
„εἴ καί με τρὶς τόσσον ὀΐεσθ' Οὐρανίδῃσιν,

προμηθέντες Vatt. A. C. D. ἄπο προμεθέντες Regg. A. B. C. D. E. Guelph. Vrat. Vind. Brunck. Beck.

331. ἐρητύοισθε Reg. D.

333. τέμνεσθ' Vrat. ex correctione, Vind. Guelph. Flor.

335. τ' ἄλλα vulg. τ' ἆλλα Vat. A. τάλλα Vat. D. Correxit Brunck. — πονέεσθαι Med.

338. Hiatus est in vulgata lectione, quem quamquam et interpunctio aliquatenus excusat et terminatio verbi εσθε, post quam saepius admittitur (cf. Herm. ad Orph. p. 734), tamen non prorsus improbaverim lectionem στέλλεσθαι, quam praebent Flor. Brub. Basil. Infinitivus penderet a verbo κελεύω vel simili, quod Graecorum more ex praecedente ἐρύκω supplendum foret, quemadmodum Soph. Oed. R. 242 ex ἀπαυδῶ, cf. Hemsterh. ad Lucian. T. I p. 492. Wyttenb. Bibl. crit. III, 3 p. 110. Dorvill. ad Charit. p. 441. Herm. ad Soph. Oed. R. 817. Sed tum etiam ἀψόῤῥους legendum foret. Minus etiam probanda videtur sententia Gerhardi p. 191, qui, si quid mutandum sit, scribendum judicat στέλλεσθ'· ἐπειή.

339. ἐξαλέασθαι vulg. ἐξαλέασθε Regg. A. C. E. Vatt. A. C. D. Guelph. Vrat. ἐξαλέοισθε Reg. D., quod receperunt Brunck. Beck., male; non enim ex libro recipi debebat forma, quae et a vulgata lectione tantum recedit et et per se admodum dubia est, nam neque ἀλέοισθε neque ἐξαλέοισθε apud quemquam poetarum me legere memini, quamquam ἐξαλέοιο habet Noster I, 490. Optime se haberet vulgata ἐξαλέασθαι, si versu praecedente στέλλεσθαι verum esset, penderet enim infinitivus a verbo φημί, ex praecedentibus supplendo, atque hoc infinitivo solo utitur Hesiodus, et apud Nostrum saepe recurrit, ut apud Homerum ἀλέασθαι. Interim recepi multorum librorum lectionem ἐξαλέασθε, quamquam non diffiteor magis me probaturum ἐξαλέαισθε, si in quo libro legeretur.

340. Indicativus πέλει, in quo libri omnes consentiunt, ferri vix potest, quare πέλοι Steph. ex conjectura, ut videtur, quod receperunt Brunck. Beck., sed malim πέλῃ, quod facilius etiam in πέλει corrumpi poterat, secundum Hom. Il. VIII, 478. XXIII, 346. XIV, 140. cf. Herm. de praeceptis quibusd. Attic. p. 18. Thiersch. gr. gr. p. 629. Nescio an futuri sint etiam, qui πέλεν proponant, quod et ipsum habebit quo se tueatur. Interim librorum lectionem retinui.

342. εἴ κέν vulg. εἴ κέ Vatt. A. C. D. Regg. A. B. C. D. E. Med. Guelph. Vind., unde perspicuum est, verum esse, quod sensus flagitat, εἴ καί. Hoc ex conjectura reposuit Brunck., et id ipsum exhibet cod. Vrat. Vid. quae ad I, 663 de confusione harum vocularum monita sunt. — τόσον Vind.

„ὅσσον ἀνάρσιός εἰμι, καὶ εἰ πλεῖον στυγέεσθαι,
„μὴ τλῆτ' οἰωνοῖο πάρεξ ἔτι νηῒ περῆσαι.
„καὶ τὰ μὲν ὥς κε πέλῃ, τὼς ἔσσεται. ἢν δὲ φύγητε
„σύνδρομα πετράων ἀσκηθέες ἔνδοθι Πόντου,
„αὐτίκα Βιθυνῶν ἐπὶ δεξιὰ γαῖαν ἔχοντες
„πλώετε, ῥηγμῖνας πεφυλαγμένοι, εἰσόκεν αὖτε
„Ῥήβαν ὠκυρόην ποταμὸν, ἄκρην τε Μέλαιναν
„γνάμψαντες, νήσου Θυνηΐδος ὅρμον ἵκησθε.
„κεῖθεν δ' οὐ μάλα πουλὺ διὲξ ἁλὸς ἀντιπέραιαν
„γῆν Μαριανδυνῶν ἐπικέλσετε νοστήσαντες.
„ἔνθα μὲν εἰς Ἀΐδαο καταιβάτις ἐστὶ κέλευθος,
„ἄκρη τε προβλὴς Ἀχερουσιὰς ὑψόθι τείνει,
„δινήεις τ' Ἀχέρων αὐτὴν διὰ νειόθι τέμνων
„ἄκρην, ἐκ μεγάλης προχοὰς ἵησι φάραγγος.
„ἀγχίμολον δ' ἐπὶ τῇ πολέας παρανεῖσθε κολωνοὺς
„Παφλαγόνων, τοῖσιν Ἐνετήϊος ἐμβασίλευσεν
„πρῶτα Πέλοψ, τοῦ καί περ ἀφ' αἵματος εὐχετόωνται.

344. *τλῆτ* suprascr. *ε* Vrat. — *ἐπὶ νηῒ* legendum judicat Gerhard. p. 76, quae prorsus inutilis est conjectura. Sensus est: *ne audeatis amplius posthac, ut adhuc fecistis, sine columba navigare.*

348. *ῥιγμῖνας* Vind. *ῥηγμῖνα* Guelph. probante Hoerstelio.

349. *ἀκτὴν* vulg. *ἄκρην* ex conjectura Brunck. Beck., quod necessarium sane videtur propter v. 651 et verbum *γνάμψαντες*, quod de littore non facile dici poterat, et confirmatur a Strabone, qui XIV p. 954 promontorium *Μέλαιναν* vocatum fuisse testatur, assentiente Arrhiano in Periplo Ponti Eux. Sed admodum antiquum hoc vitium videtur, nam et apud Orph. Arg. 716 libri omnes habent *Μέλαιναν ἀκτὴν*, et Valer. Flacc. IV, 697 scripsit *nigrantia littora*, et Scholiastes uterque *ἀκτὴν* legit. Eadem vocabula confusa sunt mox 354. 366 et infra 806.

350. *βιθυνηΐδος* Vatt. A. C. D. et Vrat. a m. 1. — *ἵκεσθε* Vrat.

351. *διὲξ ἁλὸς ἀλλ' ἀντιπέραιαν* Reg. E. *διὲξ ἁλὸς ἀλλὰ περαίαν* Regg. A. C.

352. *Μαρυανδυνῶν* Guelph.

353. *Ἀΐδην* Vind. et Vrat. ex rasura.

354. Hic quoque libri omnes *ἀκτὴ* praebent, aeque ac infra v. 806, sed utroque loco Scholiastes uterque *ἄκραν Ἀχερουσιάδα* commemorat, eamque ipse poeta ita vocat v. 728. 750 et 844, ut non dubitandum sit de veritate emendationis, quam protulit Piers. Verisim. p. 16, et receperunt Brunck. Beck.

355. *διανειόθι* Flor. Brub. Basil.

356. *ἄκρης ἐκ μεγάλης* vulg., quemadmodum scribere librarios necesse fuit, quum supra *ἀκτὴ* legeretur. *ἄκρην* a m. 1. habet Reg. E., idque recte reposuit Brunck. — *φάλαγγος* Vat. C.

357. *παρανίσθε* Guelph.

358. *τοῖσίν τ' Ἐνετήϊος* ex ed. Ald. vulg., quod et in Vat. B. legi videtur. *τοῖσιν Μενεδήϊος* Vatt. A. C. D. Regg. A. C. D. E. Med. Guelph. Vrat. Vind. var. lect. in Schol. Paris., quae correctori metrico aeque debetur ac vulgata lectio. *τοῖσιν Ἐνετήϊος* Reg. B. marg. Guelph. et Vind. Flor., quod recte receperunt Brunck. Beck. *τοῖσίν θ' Ἑνετήϊος* voluit Herm. ad Orph. p. 705 metri causa, sed metrum recte se habere docet Gerhard. p. 124. — *ἐμβασίλευε* Brunck. Beck., quia sic in Regg. quinque legitur, male.

„ἔστι δέ τις ἄκρη Ἑλίκης κατεναντίον ἄρκτου,
„πάντοθεν ἠλίβατος, καί μιν καλέουσι Κάραμβιν,
„τῆς καὶ ὕπερ Βορέαο περισχίζονται ἄελλαι·
„ὧδε μάλ' ἂμ πέλαγος τετραμμένη αἰθέρι κύρει.
„τήνδε περιγνάμψαντι πολὺς παρακέκλιται ἤδη
„αἰγιαλός· πολέος δ' ἐπὶ πείρασιν αἰγιαλοῖο
„ἄκρῃ ἐπὶ προβλῆτι ῥοαὶ Ἅλυος ποταμοῖο
„δεινὸν ἐρεύγονται· μετὰ τὸν δ' ἀγχίῤῥοος Ἶρις
„μειότερος λευκῇσιν ἑλίσσεται εἰς ἅλα δίναις.
„κεῖθεν δὲ προτέρωσε μέγας καὶ ὑπείροχος ἀγκὼν
„ἐξανέχει γαίης· ἐπὶ δὲ στόμα Θερμώδοντος
„κόλπῳ ἐν εὐδιόωντι Θεμισκύρειον ὑπ' ἄκρην
„μύρεται, εὐρείης διαειμένος ἠπείροιο.
„ἔνθα δὲ Δοίαντος πεδίον, σχεδόθεν δὲ πόληες
„τρισσαὶ Ἀμαζονίδων. μετὰ δὲ σμυγερώτατοι ἀνδρῶν
„τρηχείην Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν

360. De voce τις producta v. Herm. ad Orph. p. 704. — Ἑλίκης ἄκρη scripsit vocabulis transpositis Brunckius, quia alteram structuram non admittebant teretes ejus aures. Sed nescio an plurimos haec potius verborum collocatio offensura sit; ego certe, si ita in libris legeretur, mutare non dubitarem. — Ἑλίκρης Vind. — κατ' ἐναντίον vulgo, quod recte junctim scripserunt Brunckius, Beckius, et sic in Vrat. legitur.

361. κάραβιν Vrat. κόραβιν Vind.

362. τῆς κεν vulg. τῆς καὶ, quod sensus postulat, Vatt. A. C. D. Regg. A. B. D. E. Med. Vrat. Vind. Brunck. Beck. — Βορέω Guelph. — σχίζονται Guelph.

363. ἀμπέλαγος vulg., quod correxi. — κυρεῖ Reg. E. κεῖται Vat. B.

364. παραγνάμψαντι Regg. A. E. περιγνάψαντι Reg. C. Vind.

366. ἀκτῇ vulg., in quo mirum est h. l. neminem offendisse, quum supra bis in ἄκρη mutatum viderimus, quamquam hic non minus necessaria est ea mutatio. Nam ἐπὶ πείρασιν αἰγιαλοῖο *in fine littoris* non est *littus* sed *promontorium*; praeterea supra etiam v. 354 non erat ἀκτὴ sed ἄκρη προβλής; postremo conferatur Dionys. Perieg. v. 784, qui ex nostro loco profecit:

Ἶρις δ' ἑξείης καθαρὸν ῥόον εἰς ἅλα βάλλει.
τῷ δ' ἐπὶ μορμύρουσι ῥοαὶ Ἅλυος ποταμοῖο,
ἑλκόμεναι βορέηνδε Καραμβίδος ἐγγύθεν ἄκρης.

et Orph. Arg. v. 738:

— Καραμβίην δ' ἵκετ' ἄκρην,
ᾗ ἔπι Θερμώδων χέεται Ἅλυός τε ῥέεθρον,
πολλὸν ἐπ' αἰγιαλὸν δίνας ἁλιμυρέας ἕλκων.

Itaque hic quoque ἄκρῃ restitui.

367. τόνδ' vulg., quod sensus causa correxi. — ἀγχίροος Brunck. Beck.

370. ἐπεὶ Vrat. ex correctione.

371. ἐν deest in ed. Hölzlin. errore typ. et inde in ed. Shaw. — θεμισκύριον Reg. A. Vrat. et Schol. Flor. ad II, 963. — ἐπ' ἄκρην vulg. ὑπ' ἄκρην Schol., unde recepit Hoelzlin., quem assentiente Etymol. M. p. 445, 27 secutus sum; ἐπὶ ex praecedente ἐπὶ natum est, sed propter ipsum illud ferri non potest.

372. διακείμενος Vatt. A. D. Vrat.

373. ἐνθάδε Brunck. Beck.

374. μετά τε Vatt. A. B. C. D. Med. Guelph. Vrat. Flor. Brub. Basil.

375. Dionys. Perieg. 768:

τοῖς δ' ἔπι καὶ Χάλυβες στυφελὴν καὶ ἀπήνεα γαῖαν

„ἐργατῖναι· τοὶ δ' ἀμφὶ σιδήρεα ἔργα μέλονται.
„ἄγχι δὲ ναιετάουσι πολύῤῥηνες Τιβαρηνοὶ
„Ζηνὸς Ἐΰξείνοιο Γενηταίην ὑπὲρ ἄκρην.
„τῇ δ' ἔπι Μοσσύνοικοι ὁμούριοι ὑλήεσσαν
„ἑξείης ἤπειρον, ὑπωρείας τε νέμονται,
„δουρατέοις πύργοισιν ἐν οἰκία τεκτήναντες.
„τοὺς παραμειβόμενοι λισσῇ ἐπικέλσετε νήσῳ,
„μήτι παντοίῃ μέγ' ἀναιδέας ἐξελάσαντες
„οἰωνούς, οἳ δῆθεν ἀπειρέσιοι ἐφέπουσιν
„νῆσον ἐρημαίην. τῇ μέν τ' ἔνι νηὸν Ἄρηος
„λαΐνεον ποίησαν Ἀμαζονίδων βασίλειαι
„Ὀτρηρή τε καὶ Ἀντιόπη, ὁπότε στρατόωντο.
„ἔνθα γὰρ ὔμμιν ὄνειαρ ἀδευκέος ἐξ ἁλὸς εἶσιν
„ἄῤῥητον· τῷ καί τε φίλα φρονέων ἀγορεύω

ναίουσιν, μογεροῦ δεδαηκότες ἔργα σιδήρου. — ἔχοντες Guelph.

376. ναιετάουσιν Vind. — πολύρηνες Brunck. Beck. πολύῤῥηνες Τιβαρηνοὶ etiam apud Dionys. Perieg. 767.

379. τοῖς δ' ἔπι Regg. A. C. E., quod receperunt Brunck. Beck. Nullam video necessitatem, quum τῇ apte possit ad praecedentem ἄκρην referri.

380. ὑπώρειάν Regg. A. B. E., quod receperunt Brunck. Beck., et hic nulla necessitate cogente, quod vel Hoerstelius intellexit, apte conferens Il. XX, 218.

381. δουρατίοις Vrat. — ἐνοίκια Reg. A.—Post hunc versum in codd. et editionibus ante Brunckium omnibus leguntur hi duo versus:

κάλλινα, καὶ πύργους εὐπηγέας, οὓς καλέουσι
μόσσυνας, καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.

qui non propter id modo suspecti sunt, quod absurde scripsisset poeta δουρατέοις ἐν πύργοις πύργους εὐπηγέας τεκτήναντες (huic enim incommodo subveniret Ruhnkenii Ep. crit. p. 295 emendatio, πύργους in θριγγοὺς mutantis), sed etiam quod ineptum foret, Phinei vaticinio ejusmodi etymologiam immiscuisset poeta, et quod versus postremus iisdem verbis infra post v. 1016 recurrit, cujusmodi repetitionibus prorsus abstinuit Apollonius. His causis commotus Brunckius hos versus h. l. ejecit, eosdem post v. 1016 transposuit, assentiente Ruhnkenio et Beckio. Hoc quo jure fecerit, infra suo loco videbimus; illud profecto recte fecit, prorsus enim ferri non possunt hi versus, sed non ex loco inferiore eos immigrasse puto (ibi enim nunquam eos lectos esse neque nunc legi debere infra videbimus), sed cum Gerhardo p. 33 mihi persuasum est, hos duos versus in priori recensione versui 381 successisse, (qui tum et ipse aliis verbis compositus fuerit necesse est), deinde vero a poeta sublatos esse iisdem de causis, quibus Brunckius eos delevit, et a librario in margine adnotatos in textum irrepsisse. Alia quoque explicandi via patet, neque ea improbabilis. Ad vocabula δουρατέοις πύργοισιν adscripserat aliquis οὓς καλοῦσι μοσσύνας (quae ipsa verba in Schol. Paris. leguntur) et testimonii causa addiderat versum eum, quem infra legerat; mox alius hexametrum, cujus exitum praebebant verba οὓς καλέουσι, de suo satis inepte explevit, quae res exemplis non caret.

387. ὁποτεστρατόωντο Reg. E. ὁπότ' ἐστρατόωντο invitis libris et sine causa Brunck. Beck.

389. τῷ κέν τε vulg. τῷ κέν τοι Reg. A. τῷ κέν τι Regg. C. E. τῷ καί τι Reg. D. τῷ καί τε ex emen-

„ἰσχέμεν. ἀλλὰ τίη με πάλιν χρειὼ ἀλιτέσθαι,
„μαντοσύνῃ τὰ ἕκαστα διηνεκὲς ἐξενέποντα;
„νήσου δὲ προτέρωσε καὶ ἠπείροιο περαίης
„φέρβονται Φίλυρες· Φιλύρων δ' ἐφύπερθεν ἔασι
„Μάκρωνες· μετὰ δ' αὖ περιώσια φῦλα Βεχείρων.
„ἑξείης δὲ Σάπειρες ἐπὶ σφίσι ναιετάουσιν·
„Βύζηρες δ' ἐπὶ τοῖσιν ὁμώλακες, ὧν ὕπερ ἤδη
„αὐτοὶ Κόλχοι ἔχονται ἀρήϊοι. ἀλλ' ἐνὶ νηΐ
„πείρεθ', ἕως μυχάτῃ κεν ἐνιχρίμψητε θαλάσσῃ.
„ἔνθα δ' ἐπ' ἠπείροιο Κυταιΐδος, ἠδ' Ἀμαραντῶν
„τηλόθεν ἐξ ὀρέων, πεδίοιό τε Κιρκαίοιο
„Φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.
„κείνου νῆ' ἐλάοντες ἐπὶ προχοὰς ποταμοῖο
„πύργους εἰσόψεσθε Κυταιέος Αἰήταο,
„ἄλσος τε σκιόειν Ἄρεος· τόθι κῶας ἐπ' ἄκρης
„πεπτάμενον φηγοῖο δράκων, τέρας αἰνὸν ἰδέσθαι,
„ἀμφὶς ὀπιπτεύει δεδοκημένος· οὐδέ οἱ ἦμαρ,
„οὐ κνέφας, ἥδυμος ὕπνος ἀναιδέα δάμναται ὄσσε."
Ὣς ἄρ' ἔφη· τοὺς δ' εἶθαρ ἕλεν δέος εἰσαΐοντας.
δὴν δ' ἔσαν ἀμφασίῃ βεβολημένοι· ὀψὲ δ' ἔειπεν
ἥρως Αἴσονος υἱὸς ἀμηχανέων κακότητι.
„Ὦ γέρον, ἤδη μέν τε διΐκεο πείρατ' ἀέθλων

datione Brunck. Beck. recte; v. I, 663.

391. *διηνεκέως ἐνέποντα* vulg. *διηνεκέως ἐξενέποντα* Vatt. A. D. Regg. quatuor, Med. Guelph. Vrat. Vind., unde Brunck. recte dedit *διηνεκὲς ἐξενέποντα*. De confusione terminationum $\overline{ες}$ et $\overline{εως}$ v. ad I, 883.

392. *νήσῳ* Flor.

393. *δ' ἐξύπερθεν* codd. et edd. antiquae omnes, nisi quod *δ' ἐξύπερ* in Reg. A. *δὲ ὕπερθεν* in ed. Paris. legitur. *δ' ἐφύπερθεν* ex emendatione Hoelzlin. Brunck. Beck., quod et ego recepi, quamquam in illo librorum consensu aliud quid latere videtur. — *ἔασσι* Guelph.

394. *φύλλα* Guelph.

395. *Σάφθειρες* suprascripto *π* Guelph.

399. *Κυταΐδος* vulg. *Κυταιΐδος* Reg. D., quod recte receperunt Brunck. Beck., eanden enim formam libri praebent infra 1268 et IV, 511.

401. *δεινήεις* Med.

403. Hunc versum laudat Steph. Byz. s. v. *Κυταία*.

404. *σκιόεν* Hoelzlin. Shaw. Beck. invitis libris omnibus; cf. Herm. ad Orph. p. 705. — *Ἄρεως* Vrat. Vind. Guelph.

405. *δεινὸν* Reg. A.

407. *νήδυμος* Vrat. Vind. *ἥδιμος* Med. Flor. Brub. Basil. — *ἀναιδέε* Vat. B. Regg. A. D. E., quod quo jure praetulerint Brunck. et Beck. nescio Imitatus est Orph. Arg. 935

φρουραῖς τ' ἀκμήτοις ἐπιμαίεται ἄμμορος ὕπνου,
γλαυκοῖς ἀμφ' ὄσσοισιν ἀναιδέα κανθὸν ἑλίσσων.

409. *ἀφασίῃ* Vrat. Vind. Scholl. — *βεβλημένοι* Schol. Paris. — *ἔειπε* Vrat.

411. *γέρων* Vrat. — *διήκεο* vulg. *δυΐκεο* Reg. C. *διΐκετο* Reg. A. *διΐκεο* Regg. D. E., quod recte receperunt Brunck. Beck. Illo verbo neque Ho-

„ναυτιλίης, καὶ τέκμαρ, ὅτῳ στυγερὰς διὰ πέτρας
„πειθόμενοι Πόντονδε περήσομεν· εἰ δὲ καὶ αὖτις
„τάσδ' ἡμῖν προφυγοῦσιν ἐς Ἑλλάδα νόστος ὀπίσσω
„ἔσσεται, ἀσπαστῶς κε παρὰ σέο καὶ τὸ δαείην.
„πῶς ἔρδω, πῶς αὖτε τόσην ἁλὸς εἶμι κέλευθον,
„νῆϊς ἐὼν ἑτάροις ἅμα νήϊσιν; Αἶα δὲ Κολχὶς
„Πόντου καὶ γαίης ἐπικέκλιται ἐσχατιῇσιν."
  Ὣς φάτο· τὸν δ' ὁ γεραιὸς ἀμειβόμενος προσέειπεν.
„Ὦ τέκος, εὖτ' ἂν πρῶτα φύγῃς ὀλοὰς διὰ πέτρας,
„θάρσει· ἐπεὶ δαίμων ἕτερον πλόον ἡγεμονεύσει
„ἐξ Αἴης· μετὰ δ' Αἶαν ἅλις πομπῆες ἔσονται.
„ἀλλά, φίλοι, φράζεσθε θεᾶς δολόεσσαν ἀρωγὴν
„Κύπριδος. ἐκ γὰρ τῆς κλυτὰ πείρατα κεῖται ἀέθλων.
„καὶ δέ με μηκέτι τῶνδε περαιτέρω ἐξερέεσθε."
  Ὣς φάτ' Ἀγηνορίδης· ἐπὶ δὲ σχεδὸν υἷε δοιὼ
Θρηϊκίου Βορέαο κατ' αἰθέρος ἀΐξαντε
οὐδῷ ἐπὶ κραιπνοὺς ἔβαλον πόδας· οἱ δ' ἀνόρουσαν
ἐξ ἑδέων ἥρωες, ὅπως παρεόντας ἴδοντο.
Ζήτης δ' ἱεμένοισιν, ἔτ' ἄσπετον ἐκ καμάτοιο
ἆσθμ' ἀναφυσιόων, μετεφώνεεν, ὅσσον ἄπωθεν
ἤλασαν, ἠδ' ὡς Ἶρις ἐρύκακε τάσδε δαΐξαι,
ὅρκιά τ' εὐμενέουσα θεὰ πόρεν, αἱ δ' ὑπέδυσαν
δείματι Δικταίης περιώσιον ἄντρον ἐρίπνης.

merus neque noster usquam usi sunt, hoc Homerus Il. XIX, 186. IX, 61.

413. εἰ δέ κεν Vulg. ubi καὶ, saepissime in κὲν corruptum (v. I, 663) recte reposuit Brunck. Vulgata defendi posset locis Homeri Od. XV, 523. XVI, 260. XVIII, 264, nisi et his locis εἰ καὶ probabilior lectio esset.

414. ὑμῖν Guelph.

415. οὐ σπαστῶς Guelph. — κεν Vrat. Flor. Steph. — παρασσέο Reg. A. Productionem, qua offensus Herm. ad Orph. p. 706 aut κεν πὰρ σέο aut κε παραὶ σέο legendum putaverat, recte tuetur Gerhard. p. 123. — σεῖο Vind. Vrat.

417. ἑτέροις Vatt. C. D. — αἶψα Reg. A.

421. ἡγεμονεύει Reg. A.

423. θεοῦ Guelph. Hoerstel. θεὰ Flor.

424. ἐν γὰρ τῇ Schol. Flor. ad III, 946, quod suadente Ruhnkenio Ep. crit. p. 296 recepit Beck., sed altera constructio ob id ipsum praestantior est, quod rarior.

425. δ' ἐμὲ Brunck. lectore non monito, ut semper, ex iis quae ad Eur. Phoen. 852 disputavit. — παροιτέρω vulg. περοιτέρω Regg. A. C. περαιτέρω Regg. D. E. et codd. apud Steph. Thes. L. Gr. Indic. col. 1612, hinc Brunck Beck.

426. δυὼ vulg. δοιὼ codd. omnes praeter Vat. B. et Guelph., Steph. Brunck. Beck.

427. ἀΐξαντες ex Regg. quinque Brunck. Beck. male.

432. τάς γε Brunck. sine libris et lectore non monito, secutus tamen est Beck.

434. ἐριπῶν Guelph. — Δικταίης ἄντρον ἐρίπνης hinc sumsit Nonnus Dionys. VIII, 178. XIII, 244. XLVI, 14.

γηθόσυνοι δ' ἤπειτα δόμοις ἔνι πάντες ἑταῖροι
αὐτός τ' ἀγγελίῃ Φινεὺς πέλεν. ὦκα δὲ τόν γε
Αἰσονίδης περιπολλὸν ἐϋφρονέων προσέειπεν.
„Ἦ ἄρα δή τις ἔην, Φινεῦ, θεὸς, ὃς σέθεν ἄτης
„κήδετο λευγαλέης, καὶ δ' ἡμέας αὖθι πέλασσεν
„τηλόθεν, ὄφρα τοι υἷες ἀμύνειαν Βορέαο·
„εἰ δὲ καὶ ὀφθαλμοῖσι φόως πόροι, ἦτ' ἂν ὀΐω
„γηθήσειν, ὅσον εἴπερ ὑπότροπος οἴκαδ' ἱκοίμην.“
Ὣς ἔφατ'· αὐτὰρ ὁ τόνγε κατηφήσας προσέειπεν·
„Αἰσονίδη, τὸ μὲν οὐ παλινάγρετον, οὐδέ τι μῆχος
„ἔστ' ὀπίσω· κενεαὶ γὰρ ὑποσμύχονται ὀπωπαί.
„ἀντὶ δὲ τοῦ θάνατόν μοι ἄφαρ θεὸς ἐγγυαλίξαι,
„καί τε θανὼν πάσῃσι μετέσσομαι ἀγλαΐῃσιν.“
Ὣς τώ γ' ἀλλήλοισι παραβλήδην ἀγόρευον.
αὐτίκα δ' οὐ μετὰ δηρὸν ἀμειβομένων ἐφαάνθη
Ἠριγενής· τὸν δ' ἀμφὶ περικτίται ἠγερέθοντο
ἀνέρες, οἳ καὶ πρόσθεν ἐπ' ἤματι κεῖσε θάμιζον
αἰὲν, ὁμῶς φορέοντες ἑῆς ἀπὸ μοῖραν ἐδωδῆς.
τοῖς ὁ γέρων πάντεσσιν, ὅτις καὶ ἀφαυρὸς ἵκοιτο,
ἔχραεν ἐνδυκέως, πολέων δ' ἀπὸ πήματ' ἔλυσεν
μαντοσύνῃ· τῷ καί μιν ἐποιχόμενοι κομέεσκον.
σὺν τοῖσιν δ' ἵκανε Παραίβιος, ὅς ῥά οἱ ἦεν
φίλτατος· ἀσπάσιος δὲ δόμοις ἔνι τούς γ' ἐνόησεν.
πρὶν γὰρ δή νύ ποτ' αὐτὸς ἀριστήων στόλον ἀνδρῶν

435. *ἤπειτα* quamquam falsum est, tamen ita ipse scripsisse Apollonius videtur ex male intellecto usu Homerico, cf. Gerhard. p. 95.

436. *τόνδε* Reg. A.

437. *πέρι πολλὸν* Guelph. Hoerstel. — *μετέειπεν* Guelph.

438. *Φινεῦς* Reg. A.

440. *ἀμύνοιεν* Vrat. Vind.

441. *πάρει* Guelph. Hoerstel.

442. *γηθήσεις* Guelph. Hoerstel.

445. *κεναὶ* Med. a m. 1.

446. *θεὸς* omittunt Vatt. A. D.

447. *μετέσομαι* Med. a m. 1.

448. *τοί* Reg. A.

449. *ἐελδομένων* Regg. A. E. *ἐελδομένοις* Reg. C. ex oscitantia librariorum, qui ultimum libri primi et secundi versum legerant.

450. Vocem *περικτίται* ex loco nostro commemorat Etymol. M. p. 664, 11.

454. *ἔχρα* Guelph. — *ἐνδικέως* Vatt. C. D.

455. *κέν μιν* vulg. *κέ μιν* Regg. D. E. *καί μιν*, quod sensus flagitat, Vatt. A. C. D. Med. Guelph. Vrat. Brunck. Beck.

456. *τοῖσι* Vatt. A. B. Regg. quatuor, Vind. Vrat. Flor. Ald. Paris. Brub. Basil. Brunck. Beck. Reliqui libri *τοῖσιν* habent, etiam Med., quod Brunckii causa adjicio.

457. *ἀσπασίως* Vat. C ed. Paris. Steph. *ἀσπάσιν τε* Guelph.

458. *δὴν ὑπό τ'* vulg, quod quomodo ferre potuerint editores nescio, nam neque *ὑπὸ* potest cum verbo *μυθήσατο* tam longe distante bene jungi, neque *ὑπεμυθήσατο* sensui aptum foret, etiamsi usus ejus aliis ex-

Ἑλλάδος ἐξανιόντα μετὰ πτόλιν Αἰήταο
πείσματ᾽ ἀνάψασθαι μυθήσατο Θυνίδι γαίῃ,
οἵτε οἱ Ἁρπυίας Διόθεν σχήσουσιν ἰούσας.
τοὺς μὲν ἔπειτ᾽ ἐπέεσσιν ἀρεσσάμενος πυκινοῖσιν
πέμφ᾽ ὁ γέρων· οἶον δὲ Παραίβιον αὐτόθι μίμνειν
κέκλετ᾽ ἀριστήεσσι σὺν ἀνδράσιν· αἶψα δὲ τόν γε
σφωϊτέρων ὀΐων ὅτις ἔξοχος εἰς ἓ κομίσσαι
ἧκεν ἐποτρύνας. τοῦ δ᾽ ἐκ μεγάροιο κιόντος,
μειλιχίως ἐρέτῃσιν ὁμηγερέεσσι μετηύδα.
„Ὦ φίλοι, οὐκ ἄρα πάντες ὑπέρβιοι ἄνδρες ἔασιν,
„οὐδ᾽ εὐεργεσίης ἀμνήμονες. ὡς καὶ ὅδ᾽ ἀνὴρ
„τοῖος ἐὼν δεῦρ᾽ ἦλθεν, ἑὸν μόρον ὄφρα δαείη·
„εὖτε γὰρ οὖν ὡς πλεῖστα κάμοι καὶ πλεῖστα μογήσοι,
„δὴ τότε μιν περιπολλὸν ἐπασσυτέρη βιότοιο
„χρησμοσύνη τρύχεσκεν· ἐπ᾽ ἤματι δ᾽ ἦμαρ ὀρώρει
„κύντερον, οὐδέ τις ἦεν ἀνάπνευσις μογέοντι.
„ἀλλ᾽ ὅ γε πατρὸς ἑοῖο κακὴν τίνεσκεν ἀμοιβὴν
„ἀμπλακίης. ὁ γὰρ οἶος ἐν οὔρεσι δένδρεα τέμνων
„δή ποθ᾽ Ἁμαδρυάδος Νύμφης ἀθέριξε λιτάων,

emplis confirmari posset (nam ex hoc uno loco in lexica illatum est, jamjam exsulaturum), neque postremo illud τε quid sibi velit quisquam dixerit. Nihilo minus solus offendit Gerhard. p. 76, idemque felici conjectura veram lectionem assecutus est. Nam quod, non mutatis sed alio modo junctis litteris, proposuit: δή νύ ποτ᾽ αὐτὸς, id his ipsis verbis in cod. Vrat. scriptum inveni, neque igitur in textum recipere dubitavi. Apte Gerhard. confert Hom. Il. XIX, 95 καὶ γὰρ δή νύ ποτε Ζῆν᾽ ἄσατο. In margg. Vrat. et Vind. δὴν οἱ ποτ᾽ legitur.

460. ἂν ἅψασθαι Reg. C., unde dederunt Brunck. Beck., sed vid. quae ad I, 1343 monita sunt. Praeterea semper hoc composito, nunquam simplici ἅπτομαι, de retinaculis utitur et Noster et Homerus et reliqui, credo, omnes.

461. οἳ τότε οἱ Reg. A. — οἰόθεν pro Διόθεν Reg. A. cum gl. μόνως.

464. ἀριστήεσσιν Med.

465. ὅστις Reg. A. — κομίσαι Flor. Brub. Basil.

467. ἔτησιν Vat. B. — ὁμηγυρέεσσι Reg. A. — προσηύδα suprascr. μετ Guelph.

468. ἔασσιν Guelph.

470. ὧδ᾽ ἦλθεν Vatt. codd. et edd. antiquae. δεῦρ᾽ ἦλθεν reliqui novem codd., quod cum Brunck. Beck. recepi.

471. κάμοι κ. π. μογήσῃ vulg. κάμοι κ. π. μογήσει Med. a m. 1. et Reg. D. κάμῃ κ. π. μογήσῃ Vrat. Vind. Sensus utroque loco optativum postulat, quem habent Regg. A. B. C. E. ed. Paris. Steph. Brunck. Beck.

473. τρώχεσκεν Guelph.

474. οὐδέ τι vulg. οὐδέτι Vind. οὐδ᾽ ἔτι Reg. A. οὐδέ τὶς Reg. D. Steph. et quae secutae sunt editiones. — ἀνάπνεσσις Vat. A. ἀνάπλεσσις Vatt. C. D.

475. Hunc versum et qui sequuntur quinque laudat Tzetz. ad Lycophr. v. 480, eundem cum duobus proximis Etymol. M. p. 75, 25, ubi τάμνων pro τέμνων legitur.

477. ποτ᾽ Flor. Brub. Basil.

„η μιν ὀδυρομένη ἀδινῷ μειλίσσετο μύθῳ,
„μὴ ταμέειν πρέμνον δρυὸς ἥλικος, ᾗ ἔπι πουλὺν
„αἰῶνα τρίβεσκε διηνεκές· αὐτὰρ ὁ τήνγε
„ἀφραδέως ἔτμηξεν, ἀγηνορίῃ νεότητος.
„τῷ δ' ἄρα νηκερδῆ Νύμφη πόρεν οἶτον ὀπίσσω
„αὐτῷ καὶ τεκέεσσιν. ἔγωγε μὲν, εὖτ' ἀφίκανεν,
„ἀμπλακίην ἔγνων· βωμὸν δ' ἐκέλευσα καμόντα
„Θυνιάδος Νύμφης, λωφήϊα ῥέξαι ἐπ' αὐτῷ
„ἱερὰ, πατρῴην αἰτεύμενον αἶσαν ἀλύξαι.
„ἔνθ' ἐπεὶ ἔκφυγε κῆρα θεήλατον, οὔποτ' ἐμεῖο
„ἐκλάθετ', οὐδ' ἀθέρισσε· μόλις δ' ἀέκοντα θύραζε
„πέμπω, ἐπεὶ μέμονέν γε παρέμμεναι ἀσχαλόωντι.“
　Ὣς φάτ' Ἀγηνορίδης· ὁ δ' ἐπισχεδὸν αὐτίκα δοιὼ
ἤλυθ' ἄγων ποίμνηθεν ὄϊς. ἀνὰ δ' ἵστατ' Ἰήσων,
ἂν δὲ Βορήϊοι υἷες, ἐφημοσύνῃσι γέροντος.
ὦκα δὲ κεκλόμενοι μαντήϊον Ἀπόλλωνα
ῥέζον ἐπ' ἐσχαρόφιν, νέον ἤματος ἀνομένοιο.
κουρότεροι δ' ἑτάρων μενοεικέα δαῖτ' ἀλέγυνον.
ἔνθ' εὖ δαισάμενοι, τοὶ μὲν παρὰ πείσμασι νηὸς,
τοὶ δ' αὐτοῦ κατὰ δώματ' ἀολλέες εὐνάζοντο.
ἦρι δ' ἐτήσιαι αὖραι ἐπέχραον, αἵτ' ἀνὰ πᾶσαν
γαῖαν ὁμῶς τοιῇδε Διὸς πνείουσιν ἀνωγῇ.
　Κυρήνη πέφαταί τις ἕλος πάρα Πηνειοῖο
μῆλα νέμειν προτέροισι παρ' ἀνδράσιν· εὔαδε γάρ οἱ
παρθενίη καὶ λέκτρον ἀκήρατον. αὐτὰρ Ἀπόλλων
τήν γ' ἀνερειψάμενος ποταμῷ ἔπι ποιμαίνουσαν,

478. *ἀδεινῷ* Vind.
479. *διὸς* pro *δρυὸς* Reg. A. — *ἔτι* Guelph.
481. *ἀγηνορίην* Vind.
483. *ἐγὼ μὲν* Guelph.
484. *ἀπλακίην* Med. a m. 1.
486. *εὐτεύμενον* Vatt. C. D.
487. *ἐμοῖο* Reg. D.
488. *ἀθέριξε* Reg. D. Guelph. Brunck. Beck. sed in tanto librorum consensu alteram formam delere nolui, quamquam ea alibi non utitur Apollonius. Duorum illorum librorum lectio fluxit ex v. 477.
492. *ἀν* sine accentu male Hoelzlin. et Shaw.
494. *ἀνυμένοιο* Vat. B. Guelph.
495. *κουρότερον* Med.
496. *πείσματα* Regg. A. E., quod dici potuisse non erat quod multis exemplis adstrueret Brunckius.
498. *ἐτήσιοι* vulg. ut v. 525. Veram lectionem hic unus Reg. D. cum Flor., ibi plures libri dant, unde restituit utroque loco Brunck.
499. *τ' ηοῖδε* Reg. A. — *Διὸς* omissum in Vrat. suprascripsit manus sequior. — *ἀρωγῇ* vulg. sensu casso. *ἀνωγῇ* Vatt. A. B. C. D., quod conjectura assecutus erat Matthiae Obss. critt. p. 28 et recepit Beck. Eadem vocabula supra I, 1134, infra v. 556 confusa sunt.
503. *ἔτι* Guelph.

τηλόθεν Αἱμονίης, Χθονίῃ παρακάτθετο Νύμφαις,
αἳ Λιβύην ἐνέμοντο παραὶ Μυρτώσιον αἶπος.
ἔνθα δ' Ἀρισταῖον Φοίβῳ τέκεν, ὃν καλέουσιν
Ἀγρέα καὶ Νόμιον πολυλήϊοι Αἱμονιῆες,
τὴν μὲν γὰρ φιλότητι θεὸς ποιήσατο Νύμφην
αὐτοῦ μακραίωνα καὶ ἀγρότιν· υἷα δ' ἔνεικεν
νηπίαχον Χείρωνος ὑπ' ἄντροισιν κομέεσθαι.
τῷ καὶ ἀεξηθέντι θεαὶ γάμον ἐμνήστευσαν
Μοῦσαι, ἀκεστορίην τε θεοπροπίας τ' ἐδίδαξαν·
καί μιν ἑῶν μήλων θέσαν ἤρανον, ὅσσ' ἐνέμοντο
ἂμ πεδίον Φθίης Ἀθαμάντιον, ἀμφί τ' ἐρυμνὴν
Ὄθρυν, καὶ ποταμοῦ ἱερὸν ῥόον Ἀπιδανοῖο.
ἦμος δ' οὐρανόθεν Μινωΐδας ἔφλεγε νήσους
Σείριος, οὐδ' ἐπὶ δηρὸν ἔην ἄκος ἐνναέτησιν,
τῆμος τόν γ' ἐκάλεσσαν, ἐφημοσύνῃς Ἑκάτοιο,
λοιμοῦ ἀλεξητῆρα. λίπεν δ' ὅ γε πατρὸς ἐφετμῇ
Φθίην, ἐν δὲ Κέῳ κατενάσσατο, λαὸν ἀγείρας
Παῤῥάσιον, τοίπερ τε Λυκάονός εἰσι γενέθλης·
καὶ βωμὸν ποίησε μέγαν Διὸς Ἰκμαίοιο,
ἱερά τ' εὖ ἔῤῥεξεν ἐν οὔρεσιν ἀστέρι κείνῳ
Σειρίῳ, αὐτῷ τε Κρονίδῃ Διΐ, τοῖο δ' ἕκητι
γαῖαν ἐπιψύχουσιν ἐτήσιαι ἐκ Διὸς αὖραι
ἤματα τεσσαράκοντα· Κέῳ δ' ἔτι νῦν ἱερῆες
ἀντολέων προπάροιθε Κυνὸς ῥέζουσι θυηλάς.
Καὶ τὰ μὲν ὣς ὑδέονται· ἀριστῆες δὲ κατ' αὖθι
μίμνον ἐρυκόμενοι· ξεινήϊα δ' ἄσπετα Θυνοὶ
πᾶν ἦμαρ Φινῆϊ χαριζόμενοι προΐαλλον.

504. χθονίαις ex uno Reg. D. Brunckius male. — παρακάθετο Med. a m. 1. — Νύμφῃς Reg. E.
505. Μυρτώϊον Guelph.
506. ἔνθ' Ἀρισταῖον Reg. A.
507. πολυλήϊον Regg. A. E. Guelph.
509. μακραίων Guelph.
510. ἄντροισι Vatt. A. B. D. Regg. A. D. E. Med. Vind. Vrat. Brunck. Beck.
511. ἐξηθέντι Med. a m. 1.
512. ἀκεστορίην θεοπροπίαν Guelph. — ἐδίδαξεν Med.
513. κοίρανον legisse videtur Schol. Paris. Hunc versum cum sequente laudat Etymol. M. p. 24, 10.
516. Μινωϊάδας Reg. A.
519. ἀλεξιτῆρα Vrat. Vind.
521. Παράσιον Guelph. Schol. Paris.
525. ἐπιψύχουσι Vrat. — ἐτήσιοι vulg. ἐτήσιαι Vatt. A. B. D. Reg. B. Med. Guelph. Vrat. Vind. Flor. Brub. Basil. Brunck. Beck.
528. καταῦθι Regg. D. E.
529. θυννοὶ Reg. A.
530. παντῆμαρ Steph. Hoelzlin. Shaw., quod in Vatt. A. C. legi videtur. πανδῆμαρ Vat. B. Regg. quidam, Vrat. Flor. πᾶν δ' ἦμαρ Vat. D. Med. (ap. Dorvill. Obss. IV p. 19). Regg. quidam, Vind. Brub. Basil.

ἐκ δὲ τόθεν μακάρεσσι δυώδεκα δωμήσαντες
βωμὸν ἁλὸς ῥηγμῖνι πέρην, καὶ ἐφ' ἱερὰ θέντες,
νῆα θοὴν εἴσβαινον ἐρεσσέμεν, οὐδὲ πελείης
τρήρωνος λήθοντο μετὰ σφίσιν· ἀλλ' ἄρα τήνγε
δείματι πεπτηυῖαν ἑῇ φέρε χειρὶ μεμαρπὼς
Εὔφημος, γαίης δ' ἄπο διπλόα πείσματ' ἔλυσαν.
Οὐδ' ἄρ' Ἀθηναίην προτέρω λάθον ὁρμηθέντες.
αὐτίκα δ' ἐσσυμένως νεφέλης ἐπιβᾶσα πόδεσσι
κούφης, ἥ κε φέροι μιν ἄφαρ, βριαρήν περ ἐοῦσαν,
σεύατ' ἴμεν πόντονδε, φίλα φρονέουσ' ἐρέτῃσιν.
ὡς δ' ὅτε τις πάτρηθεν ἀλώμενος, οἷά τε πολλὰ
πλαζόμεθ' ἄνθρωποι τετληότες, οὐδέ τις αἶα
τηλουρὸς, πᾶσαι δὲ κατόψιοι εἰσὶ κέλευθοι,
σφωϊτέρους δ' ἐνόησε δόμους, ἄμυδις δὲ κέλευθος
ὑγρή τε, τραφερή τ' ἰνδάλλεται, ἄλλοτε δ' ἄλλῃ
ὀξέα πορφύρων ἐπιμαίεται ὀφθαλμοῖσιν·
ὣς ἄρα καρπαλίμως κούρη Διὸς ἀΐξασα

(quae lectio sit in Med. et Guelph. nescio) sed παντῆμαρ et πανδῆμαρ sunt voces nihili, πᾶν δ' ἦμαρ sensus non fert, πανῆμαρ nec sensus nec metrum. Itaque ex emendatione Dorvillii in Obss. Misc. IV p. 19 πᾶν ἦμαρ recepi cum Brunck. et Beck.

531. τόθι Regg. A. E.

532. In vocabulo πέρην offendit Brunck., qui illud aut πέλας significare, aut in πέλας vel πάρος mutandum putat. Sed doctissime monuit Buttmannus Lexilog. II p. 31 sqq., illud adverbium solenni significatione: *ex adverso*, hic adhibitum esse, aram enim illam duodecim Deorum in littore Asiatico exstructam fuisse, ubi nomine Ἱερὸν a multis scriptoribus commemoratur; praeterea non opus fuisse, ut πέρην πλεύσαντες adjiceret poeta, in quo omisso maxime offenderat Brunckius, quia et per se intelligeretur ex vocabulo πέρην, et in tanta Bospori angustia non magna navigatione opus fuisset.

534. τρήρονος Flor.

535. δήματι vulg. δείματι Med. a m. 2., Regg. quinque, Vind. var. lectio in Scholl., quam sensu jubente cum Brunck. et Beck. recepi.

536. ἀπὸ vulg., quod cum Flor. Brub. Basil. correxi. — πίσματ Med. — ἔλυσσαν Med. a m. 1.

539. φέρει Vrat.

541. Comparationem ex Homer. Il. XV, 80 haustam esse docent jam Scholl.

542. πλαζόμεθα τετληότες Scholl. positum dicunt pro πλαζόμενοι τέτλαμεν, ad quod schema illustrandum Schaeferus conferri jubet Schol. Ven. ad Hom. Il. XVI, 162. Koen. ad Gregor. Cor. p. 87 et Heindorf. ad Plat. Gorg. p. 124 sq. Sed idem ad Eur. Or. 1165 ita potius interpretari vult, ut sit: πλάζεσθαι τέτλαμεν. Sed quidni proprio sensu verba illa accipiamus? πλαζόμεθα τετληότες est πλαζόμεθα, τετληότες τὸ πλάζεσθαι, quemadmodum ipso illo Euripidis loco ἦρξ' ἀξιωθεὶς minime positum est pro ἄρχειν ἠξιώθη, ut vult Schaeferus, sed significat, id quod unice potest, ἦρξεν, ἀξιωθεὶς ἄρχειν.

544. Nisi forte delendum est δ', quod non puto, notanda est orationis quaedam ἀνακολουθία, nam ὡς ὅτε cum participio juncta sunt.

545. ἄλλη Flor.

θῆκεν ἐπ' ἀξείνοιο πόδας Θυνηΐδος ἀκτῆς.
Οἱ δ' ὅτε δὴ σκολιοῖο πόρου στεινωπὸν ἵκοντο
τρηχείῃς σπιλάδεσσιν ἐεργμένον ἀμφοτέρωθεν,
δινήεις δ' ὑπένερθεν ἀνακλύζεσκεν ἰοῦσαν
νῆα ῥόος, πολλὸν δὲ φόβῳ προτέρωσε νέοντο,
ἤδη δὲ σφίσι δοῦπος ἀρασσομένων πετράων
νωλεμὲς οὔατ' ἔβαλλε, βόων δ' ἁλιμυρέες ἀκταί,
δὴ τότ' ἔπειθ' ὁ μὲν ὦρτο πελειάδα χειρὶ μεμαρπὼς
Εὔφημος πρῴρης ἐπιβήμεναι· οἱ δ' ὑπ' ἀνωγῇ
Τίφυος Ἁγνιάδαο θελήμονα ποιήσαντο
εἰρεσίην, ἵν' ἔπειτα διὲκ πέτρας ἐλάσειαν,
κάρτεϊ ᾧ πίσυνοι. τὰς δ' αὐτίκα λοίσθιον ἄλλων
οἰγομένας ἀγκῶνα περιγνάμψαντες ἴδοντο.
σὺν δέ σφιν χύτο θυμός· ὁ δ' ἀΐξαι πτερύγεσσιν
Εὔφημος προέηκε πελειάδα· τοὶ δ' ἅμα πάντες
ἤειραν κεφαλὰς ἐσορώμενοι· ἡ δὲ δι' αὐτῶν
ἔπτατο· ταὶ δ' ἄμυδις πάλιν ἀντίαι ἀλλήλῃσιν
ἄμφω ὁμοῦ ξυνιοῦσαι ἐπέκτυπον. ὦρτο δὲ πολλὴ
ἅλμη ἀναβρασθεῖσα, νέφος ὥς· αὖε δὲ πόντος
σμερδαλέον· πάντῃ δὲ περὶ μέγας ἔβρεμεν αἰθήρ.
κοῖλαι δὲ σπήλυγγες ὑπὸ σπιλάδας τρηχείας
κλυζούσης ἁλὸς ἔνδον ἐβόμβεον· ὑψόθι δ' ὄχθης
λευκὴ καχλάζοντος ἀνέπτυε κύματος ἄχνη.
νῆα δ' ἔπειτα πέριξ εἴλει ῥόος. ἄκρα δ' ἔκοψαν

548. εὐξείνοιο Reg. A. Notum est ᾱ et εῦ interdum in libris confundi, v. Montefalcon. Palaeogr. Gr. p. 343. Bast. Comment. palaeogr. p. 706 s. Wernsd. ad Himer. Eclog. V, 18. Vid. infra v. 721. III, 1195. — Θυννηΐδος Reg. A.
549. ὅτι Vrat. — πόρον Guelph.
550. ἐργμένον Schol. Paris. ἐεργμένοι Vat. B.
551. ἀνεκλύζεσκεν Vrat. Schol. Paris., quomodo fortasse etiam in textu scribendum putat Schaefer., sed librorum consensus docet augmentum aeque abesse debere ac I, 1074.
552. πολλῷ var. lect. in marg. Vrat.
556. ὑπ' ἀρωγῇ vulg. ὑπαρωγῇ Flor. Brub. Basil. ὑπ' ἀνωγῇ Vatt. A. C. D Med. ex correctione, Vind. Vrat. Brunck. Beck., quod reponendum esse viderat jam Piers. Veris. p. 208. vid. supra v. 499.
559. κάρτι Med.
566. αὖ Med. a m. 1.
570. λευκὴ suprascripto π Reg. E. λεπτὴ Regg. A. et duo alii. — καγχλάζοντος vulg. καχλάζοντος Vatt. A. C. D. Regg. quinque, Vrat. Vind. Guelph. Brunck. Beck. — Vocabula ἀνέπτυε κύματος absorpsit lacuna in Vatt. A. C. D. — ἄχνην Reg. E. Flor. Brub. Basil. Obversabatur fortasse librariis locus Homeri Il. IV, 426 ἀποπτύει δ' ἁλὸς ἄχνην, sed Noster ἀνέπτυε intransitiva vi adhibuit ut infra IV, 925, qui loci ita se invicem tuentur, ut injuria eos suspectos habeat Graef. ad Meleag. p. 142.
571. εἴλει vulg., quod correxit Brunck. ἴλλει Regg. A. C. E.

οὐραῖα πτερὰ ταί γε πελειάδος· ἡ δ' ἀπόρουσεν
ἀσκηθής. ἐρέται δὲ μέγ' ἴαχον· ἔβραχε δ' αὐτὸς
Τῖφυς ἐρεσσέμεναι κρατερῶς. οἴγοντο γὰρ αὖθις
ἄνδιχα. τοὺς δ' ἐλάοντας ἔχεν τρόμος, ὄφρα μιν αὖτις
πλημμυρὶς παλίνορσος ἀνερχομένη κατένεικεν
εἴσω πετράων. τότε δ' αἰνότατον δέος εἷλεν
πάντας· ὑπὲρ κεφαλῆς γὰρ ἀμήχανος ἦεν ὄλεθρος.
ἤδη δ' ἔνθα καὶ ἔνθα διὰ πλατὺς εἴδετο Πόντος,
καὶ σφίσιν ἀπροφάτως ἀνέδυ μέγα κῦμα πάροιθεν
κυρτὸν, ἀποτμῆγι σκοπιῇ ἴσον· οἱ δ' ἐσιδόντες
ἤμυσαν λοξοῖσι καρήασιν. εἴσατο γάρ ῥα
νηὸς ὑπὲρ πάσης κατεπάλμενον ἀμφικαλύψειν.
ἀλλά μιν ἔφθη Τῖφυς ὑπ' εἰρεσίῃ βαρύθουσαν
ἀγχαλάσας· τὸ δὲ πολλὸν ὑπὸ τρόπιν ἐξεκυλίσθη,
ἐκ δ' αὐτὴν πρύμνηθεν ἀνείρυσε τηλόθι νῆα
πετράων· ὑψοῦ δὲ μεταχρονίη πεφόρητο.
Εὔφημος δ' ἀνὰ πάντας ἰὼν βοάασκεν ἑταίρους
ἐμβαλέειν κώπῃσιν ὅσον σθένος· οἱ δ' ἀλαλητῷ
κόπτον ὕδωρ. ὅσσον δ' ἂν ὑπείκαθε νηῦς ἐρέτῃσιν,

574. αὖτις Brunck. sine libris.
575. ἕλε φόβος Guelph. ἔχε τρόμος Regg. quatuor, Brunck. Beck. — αὐτω Reg. C., unde Brunck. αὐτῶν dedit, ne αὖτις tam brevi spatio recurreret. Sed illud αὐτῶν quam non commode cum πετράων jungi possit quisque videt, in ejusmodi repetitione vero non offendendum esse, jam supra saepius monitum est. Neque omnino est ejusdem vocabuli repetitio, quum versu praecedente ex librorum auctoritate αὖθις legendum sit.
577. ἕλε Guelph.
580. σφιν Vat. D. Med. Vrat. Flor. Brub. Basil.
581. ἀποτμῆσι Guelph. ἀποτμάγι Schol. Paris. Ad hoc exemplum ἰθυτμῆτας apud Nonn. Dionys. II, 457 fere in ἰθυτμῆγας mutandum videtur in tam facili litterarum *T* et *Γ* confusione. Rectius enim haec adjectiva a poetico τμήγω quam a τέμνω ducuntur.
582. λοξῇσι Med. Flor. Brub. Basil.
583. De participio κατεπάλμενος v. Wernick. ad Tryphiod. p. 386 s.
585. ὑπὲρ Guelph. Hoerstel.
587. Hic libri omnes μεταχρονίη praebent, Brunckius vero μεταχθονίη dedit, obsequente Beckio. vid. supra v. 300.
588. βάασκεν Vind.
590. ὅσον Vrat. — δ' ἀνυπείκαθε Reg. A. Guelph. δὲ παρείκαθε Reg. D., quod assentiente Beckio ex hoc uno libro recepit Brunck., quia particula ἂν hic locum non habeat. Sed omnino sensum loci non ceperunt, quum enim Beckius vertit: *quantum vero cedebat navis remigibus, bis tantum aequor resiluit*, id quomodo fieri possit prorsus non video. Neque melior altera explicatio in Schol. Flor. ὅσον δὲ ἄλλη ναῦς τῇ εἰρησίᾳ πειθομένη ὑπεῖξεν ἂν, δὶς τόσον ἡ Ἀργώ; ita enim neque ἂψ ἀπόρουσεν dici poterat, et subjectum mutatum addito pronomine indicari debebat. Unice vera est altera explicatio, quam uterque Schol. exhibet, ex qua hic est sensus: *quantum quovis remorum impulsu provehebatur Argo, bis tantum retro vehebatur, fluctuum vi rejecta.* Hoc sensu vides etiam particulam ἂν opti-

δὶς τόσον ἂψ ἀπόρουσεν· ἐπεγνάμπτοντο δὲ κῶπαι,
ἠΰτε καμπύλα τόξα, βιαζομένων ἡρώων.
ἔνθεν δ' αὐτίκ' ἔπειτα κατηρεφὲς ἔσσυτο κῦμα.
ἡ δ' ἄφαρ, ὥστε κύλινδρος, ἐπέτρεχε κύματι λάβρῳ
προπροκαταΐγδην κοίλης ἁλός. ἐν δ' ἄρα μέσσαις
Πληγάσι δινήεις εἶχεν ῥόος· αἱ δ' ἑκάτερθεν
σειόμεναι βρόμεον· πεπέδητο δὲ νήϊα δοῦρα.
καὶ τότ' Ἀθηναίη στιβαρῆς ἀντέσπασε πέτρης
σκαιῇ, δεξιτερῇ δὲ διαμπερὲς ὦσε φέρεσθαι.
ἡ δ' ἰκέλη πτερόεντι μετήορος ἔσσυτ' ὀϊστῷ.
ἔμπης δ' ἀφλάστοιο παρέθρισαν ἄκρα κόρυμβα
νωλεμὲς ἐμπλήξασαι ἐναντίαι. αὐτὰρ Ἀθήνη
Οὔλυμπόνδ' ἀνόρουσεν, ὅτ' ἀσκηθεῖς ὑπάλυξαν.
πέτραι δ' εἰς ἕνα χῶρον ἐπισχεδὸν ἀλλήλῃσιν
νωλεμὲς ἐῤῥίζωθεν, ὃ δὴ καὶ μόρσιμον ἦεν
ἐκ μακάρων, εὖτ' ἄν τις ἰδὼν διὰ νηΐ περήσῃ.

me se habere, quae cum indicativo imperfecti juncta significat id, quod iterata actione fieri solet, de quo usu ipse Brunckius disputavit ad Soph. Philoct. 290. cf. Matthiae Misc. phil. II, 1 p. 47. Schaefer. ad Julian. p. XVIII. Reisig. Conjectan. p. 145 s.

591. *τόσσον* Vind. — *ἐπεγνάπτοντο* Vrat., sed *μ* suprascr.

594. *λαύρῳ* vulg. *λάβρῳ* Vatt. A. C. D. Regg. A. B. C. D. E. Guelph. Vrat. Vind. Brunck. Beck. Vocabula illa sexcenties in codd. confunduntur. Vid. exempli causa Aesch. Pers. 110. Prom. 327.

595. *πρὸ προκαταΐγδην* Vat. B. — Quid sit *κοίλη ἅλς*, explicat Wernick. ad Tryphiod. p. 222.

596. *εἶχε* Brunck. Beck. — *δὲ κάτερθεν* Vind.

600. *ἔσσυτο ἱστῷ* Med. Apte Brunckius comparat Virg. Aen. V, 241. X, 246. Ex Graecis etiam Oppian. Hal. I, 565 *καὶ ἔσσυτο θᾶσσον ὀϊστοῦ.* Tryphiod. 333 *ἐπέδραμε θᾶσσον ὀϊστοῦ.* Orph. Arg. 558 *ἶσον ὀϊστῷ — ἐσσυμένη.*

601. *ἀσφάλτοιο* Guelph. — Valer. Flacc. IV, 691 *Saxa sed extremis tamen increpuere corymbis.*

602. *νωμελὲς* Reg. A. et var. lect. in marg. E.

605. *νωλεμενὲς* Vind., unde Brunck. *ἐμμενὲς* reposuit, neque repetitionem vocabuli *νωλεμὲς* duobus versibus interjectis ferri posse ratus, neque significationem hujus adverbii hic locum habere judicans. Sed de repetitionibus ejusmodi supra sermo fuit; significatio vero huic loco aptissima est; nam *βιαίως*, quod putat Brunck., nunquam significat, neque hic neque supra v. 602, ubi Scholl. male sic interpretantur, explicatione fortasse ex Homerico quodam loco male intellecto ut Od. XI, 413 ducta. Significat vero petras in perpetuum firmiter constitisse, ita ut nunquam eum locum relinquerent, quo starent, qua vi apud Homerum semper occurrere notum est. Eodem sensu apud Nostrum legitur III, 147. 346. IV, 352. 505. 1374. Confirmat hanc explicationem Orpheus, qui hunc locum imitatus est, Argon. 713

βυσσόθεν ἐῤῥιζοῦντο καὶ ἔμπεδον αἰὲν ἔμιμνον.
οὕτω γὰρ Μοῖραι τάδ' ἐπεκλώσαντο βαρεῖαι.

Mox *μόρσιμον εἶεν ἦεν* Reg. E.

606. *ἰὼν* Vat. B., quod conjecerat Wakefield., male; *ἰδὼν* est *vivens* ut saepe. — *περάσῃ* vulg. *περάσσῃ* Regg. A. B. D., quod metri causa

οἱ δέ που ὀκρυόεντος ἀνέπνεον ἄρτι φόβοιο,
ἠέρα παπταίνοντες ὁμοῦ, πέλαγός τε θαλάσσης
τῆλ' ἀναπεπταμένον. δὴ γὰρ φάσαν ἐξ Ἀΐδαο
σώεσθαι· Τῖφυς δὲ παροίτατος ἤρχετο μύθων.
„Ἔλπομαι αὐτῇ νηῒ τόγ' ἔμπεδον ἐξαλέασθαι
„ἡμέας· οὐδέ τις ἄλλος ἐπαίτιος, ὅσσον Ἀθήνη,
„ἥ οἱ ἐνέπνευσεν θεῖον μένος, εὖτέ μιν Ἄργος
„γόμφοισιν συνάρασσε· θέμις δ' οὐκ ἔστιν ἁλῶναι.
„Αἰσονίδη, τύνη δὲ τεοῦ βασιλῆος ἐφετμὴν,
„εὖτε διὲκ πέτρας φυγέειν θεὸς ἧμιν ὄπασσεν,
„μηκέτι δείδιθι τοῖον· ἐπεὶ μετόπισθεν ἀέθλους
„εὐπαλέας τελέεσθαι Ἀγηνορίδης φάτο Φινεύς."
Ἦ ῥ' ἅμα καὶ προτέρωσε παραὶ Βιθυνίδα γαῖαν
νῆα διὲκ πέλαγος σεῦεν μέσον. αὐτὰρ ὁ τόνγε
μειλιχίοις ἐπέεσσι παραβλήδην προσέειπεν.
„Τῖφυ, τί δή μοι ταῦτα παρηγορέεις ἀχέοντι;
„ἤμβροτον, ἀασάμην τε κακὴν καὶ ἀμήχανον ἄτην.
„χρῆν γὰρ ἐφιεμένοιο καταντικρὺ Πελίαο
„αὐτίκ' ἀνήνασθαι τόνδε στόλον, εἰ καὶ ἔμελλον
„νηλειῶς μελεϊστὶ κεδαιόμενος θανέεσθαι·

recepit Brunck., humani aliquid passus, quum ᾱ longum esse ignoraret; erravit tamen cum eo Beckius. Imo περήσῃ scribendum est, quod ex constanti et reliquorum poetarum epicorum et Apollonii consuetudine reponere non dubitavi, et reponi jusserat jam Herm. ad Hymn. Homer. in Merc. 133. Librarios interdum Atticas formas male substituisse constat.

607. ὀκριόεντος Guelph., quod miror Brunckium non ex conjectura dedisse.

613. ἐνέπνευσε Regg. A. D. Vind. Vrat. (sed in hoc ν suprascr.) Brunck. Beck.

614. γόμφοισι vulg., quod correxi. — συνάρσσσε suprascr. ᾱ Guelph.

616. δι' ἐκ vulg. hic et v. 620, quod correxi.

617. τοῖο Vatt. A. C. D.

619. προτέρωσεν Guelph.

620. σεῦε Regg. A. E. Brunck. Beck.

622. τί μοί τοι ταῦτα vulg., quod in solo Vat. B. legitur, in reliquis libris omnibus τοι abest; etiam ταῦτα abest in Vat. D. et Med., in hoc tamen suprascr. Sed τί ἤ μοι ταῦτα Guelph. τί μοι δὴ ταῦτα Regg. B. C. τί δή μοι δὴ ταῦτα Regg. A. E. τί δή μοι ταῦτα Reg. D., quod quin recte receperit Brunck. dubitari non potest.

624. χρῇ Flor. Brub. Basil. — ἐφ' ἱεμένοιο Flor. — De ultima in καταντικρὺ producta v. Herm. ad Orph. p. 706. Ipsum hoc καταντικρὺ bis apud Homerum legitur, Od. X, 559. XI, 64. utroque loco ultima longa. — πελείαο Med. Vrat. τελείαο Vind.

625. δὲ καὶ Guelph. — ἔμελλε Reg. A.

626. μελεϊστῇ Vind. — κε δαιόμενος vulg. inepte. καὶ δαιόμενος Vrat. κεδαιόμενος, quod conjectura assecutus erat Arnald. Lect. Gr. p. 144, praebent Vatt. B. D. Regg. A. D. E. Guelph. et Etymol. M. p. 603, 28. Receperunt Brunck. Beck.

„νῦν δὲ περισσὸν δεῖμα καὶ ἀτλήτους μελεδῶνας
„ἄγκειμαι, στυγέων μὲν ἁλὸς κρυόεντα κέλευθα
„νηῒ διαπλώειν, στυγέων δ', ὅτ' ἐπ' ἠπείροιο
„βαίνωμεν. πάντη γὰρ ἀνάρσιοι ἄνδρες ἔασιν.
„αἰεὶ δὲ στονόεσσαν ἐπ' ἤματι νύκτα φυλάσσω,
„ἐξότε τὸ πρώτιστον ἐμὴν χάριν ἠγερέθεσθε.
„φραζόμενος τὰ ἕκαστα· σὺ δ' εὐμαρέως ἀγορεύεις,
„οἶον ἑῆς ψυχῆς ἀλέγων ὕπερ· αὐτὰρ ἔγωγε
„εἷο μὲν οὐδ' ἠβαιὸν ἀτύζομαι· ἀμφὶ δὲ τοῖο
„καὶ τοῦ ὁμῶς, καὶ σεῖο, καὶ ἄλλων δείδι' ἑταίρων,
„εἰ μὴ ἐς Ἑλλάδα γαῖαν ἀπήμονας ἄμμε κομίσσω.“
Ὣς φάτ' ἀριστήων πειρώμενος· οἱ δ' ὁμάδησαν
θαρσαλέοις ἐπέεσσιν. ὁ δὲ φρένας ἔνδον ἰάνθη
κεκλομένων, καί ῥ' αὖτις ἐπιῤῥήδην μετέειπεν.
„Ὦ φίλοι, ὑμετέρῃ ἀρετῇ ἔνι θάρσος ἀέξω.
„τοὔνεκα νῦν, οὐδ' εἴ κε διὲξ Ἀΐδαο βερέθρων
„στελλοίμην, ἔτι τάρβος ἀνάψομαι, εὖτε πέλεσθε
„ἔμπεδοι ἀργαλέοις ἐνὶ δείμασιν. ἀλλ' ὅτε πέτρας

628. *ἔγκειμαι* vulg. *ἄγκειμαι* Med. Regg. quatuor, Vrat. Vind. Flor. (eadem est varietas apud Pind. Olymp. X, 8 ed. Boeckh.), quod receperunt Brunck. Beck., sed quid sit illud *ἄγκειμαι* cum accusativo junctum neuter dixit. Brunckius vertit: *ingentem metum et intolerabiles curas impositas sustineo*, sed ubi *ἄγκειμαι* ita constructum et hoc sensu usurpatum invenerit, vel quomodo omnino hoc significare possit, neque ipse dixit neque ego scio. Mihi quidem non dubium videtur, quin hoc verbum, quod omnes tanquam sanissimum silentio transierunt, foede corruptum sit, sed quae vera sit lectio neque ego scio, neque quisquam facile dixerit. Num forte Apollonius perfecto *ἄγχημαι* ab *ἄγχομαι*, alibi quod sciam non occurrente, usus est? illud enim et ad sensum aptissimum foret et facillime in *ἄγκειμαι* abire potuisset. Interim *ἄγκειμαι* retinui, in quo verae lectionis vestigia latere videntur. — *στυγέω* et hic et versu sequente Regg. A. E. — *κρυόετα* Vind.

630. *βαίνομεν* Guelph. Hoerstel. et Steph. ex errore typ. — *ἔασσιν* Guelph.

632. *τοπρώτιστον* vulg., disjunctum in duo vocabula habent Guelph. Vrat. Flor. Brub. Basil. Beck. — *ἠγερέεσθε* Vrat. Vind. *ἠγερέθεσθαι* Med. a m. 1.

633. *φραζόμενοι* Regg. quatuor, Med. Vrat. Vind. Ald. male. In errorem inductus est librarius a praecedente plurali *ἠγερέθεσθε*.

634. *ἑῆς* est *tuae* ut versu seq. *εἷο* *mei*. v. Gerhard. p. 93.

636. *ὁμοῦ* Flor. Brub. Basil. Male ante hoc vocabulum interpunxerunt Brunck. et Beck. — *δείδιχ'* Guelph.

637. *ὔμμε* ex conjectura dedit Brunck. sine causa. Sensus est: sollicitus sum, an salvi redituri simus, verum non mea sed vestra causa. — *κομίσω* Vrat. Vind.

640. *ἐπιρήδην* Brunck. Beck.

442. *εἴ κ' ἐξ* Vatt. A. C. D. — *δι' Ἀΐδαο* Hoelzlin. operarum vitio, quod transiit in ed. Shaw.

643. Thierschium, qui *πέλησθε* reponi voluit, satis refutavit Herm. ad Vig. p. 927 s.

„Πληγάδας ἐξέπλωμεν, ὀΐομαι οὐκ ἔτ' ὀπίσσω
„ἔσσεσθαι τοιόνδ' ἕτερον φόβον, εἰ ἐτεόν γε
„φραδμοσύνῃ Φινῆος ἐπισπόμενοι νεόμεσθα."
Ὣς φάτο, καὶ τοίων μὲν ἐλώφεον αὐτίκα μύθων,
εἰρεσίῃ δ' ἀλίαστον ἔχον πόνον· αἶψα δὲ τοίγε
Ῥήβαν ὠκυρόην ποταμὸν, σκόπελόν τε Κολώνης,
ἄκρην δ' οὐ μετὰ δηθὰ παρεξενέοντο Μέλαιναν,
τῇ δ' ἄρ' ἔπι προχοὰς Φυλληΐδας, ἔνθα πάροιθεν
Διψακὸς υἷ' Ἀθάμαντος ἑοῖς ὑπέδεκτο δόμοισιν,
ὁππόθ' ἅμα κριῷ φεῦγεν πόλιν Ὀρχομενοῖο·
τίκτε δέ μιν Νύμφη λειμωνιάς· οὐδέ οἱ ὕβρις
ἥνδανεν, ἀλλ' ἐθελημὸς ἐφ' ὕδασι πατρὸς ἑοῖο
μητέρι συνναίεσκεν, ἐπάκτια πώεα φέρβων.
τοῦ μέν θ' ἱερὸν αἶψα, καὶ εὐρείας ποταμοῖο
ἠϊόνας, πεδίον τε, βαθυῤῥείοντά τε Κάλπην
δερκόμενοι παράμειβον, ὁμῶς δ' ἐπὶ ἤματι νύκτα
νήνεμον ἀκαμάτῃσιν ἐπεῤῥώοντ' ἐλάτῃσιν.
οἷον δὲ πλαδόωσαν ἐπισχίζοντες ἄρουραν
ἐργατίναι μογέουσι βόες, πέρι δ' ἄσπετος ἱδρὼς
εἴβεται ἐκ λαγόνων τε καὶ αὐχένος· ὄμματα δέ σφιν
λοξὰ παραστρωφῶνται ὑπὸ ζυγοῦ· αὐτὰρ ἀϋτμὴ

645. *οὐκέτ'* Brunck. contra libros et cum sensus detrimento.

646. *ἔσεσθαι* Vrat.

647. *νεόμεθα* Vind.

651. *πάρεξ ἐνέοντο* vulg. junctim exhibent Vatt. A. D. Regg. A. D. E. Vrat. Brunck. Beck. ut infra v. 941 et 1243.

652. Male Brunckius ex Plinio et Strabone, qui flumen *Ψίλλιν* commemorant, hic *Ψιλληΐδας* scribendum suspicatur. Sunt illi fluvii duo probe distinguendi. Steph. Byz. s. v. *Φυλλίς: ἔστι καὶ ποταμὸς Βιθυνίας Φυλλὶς, οὗ Φυλληῒς τὸ θηλυκὸν*, nostrum locum manifesto respiciens. Idem s. v. *Ψίλιον: ἔστι καὶ ἄλλος Ψίλις ποταμὸς τῆς Βιθυνίας, ἐκρέων εἰς τὸν Εὔξεινον Πόντον.*

653. *δόμοισι* Guelph.

654. *ὁππότ'* Flor. — *φεῦγε πόλιν* Vatt. A. B. C. D. Med. Reg. B. Vrat. Vind., quod recepit Beck. et recepisset profecto etiam Brunck. ut solet, nisi Regg. A. E. praebuissent *φεῦγε πτόλιν*, quod praetulit. Scilicet tantum *suis* codicibus tribuit, ut recederet a consuetudine, quam in reliquis constanter servavit. Unice vera est vulgata.

656. *ἐθελαμὸς* Guelph. et versu s. *συναίεσκεν.*

659. *βαθυρείοντα* Brunck. Beck. — *Κάλπιν* vulg. errore frequentissimo, nam *Κάλπην* vocatum fuisse docent Plinius, Strabo et Steph. Byz. a Brunckio excitati et sic nomen scriptum exhibent Vrat. Vind., unde correxerunt Brunck. Beck.

660. Hiatu, qui est in vocabulis *ἐπὶ ἤματι*, offensus Herm. ad Orph. p. 732 corrigendum judicat *ὁμῶς δέ τ' ἐπ' ἤματι*, quod vix cuiquam placere potest. Eundem hiatum Apollonius infra v. 945 admisit, si lectio vera est, et *ἐνὶ ἤματι* III, 327. IV, 1479 et 1502, in quo Nostrum imitatus est Maximus v. 171.

662. Versum laudat Etymol. M. p. 674, 24.

664. *δέ σφι* vulg. *δέ σφιν* Vatt. A. C. D. Reg. B. Med. Vrat. Vind.

αὐαλέη στομάτων ἄμοτον βρέμει· οἱ δ' ἐνὶ γαίῃ
χηλὰς σκηρίπτοντε πανημέριοι πονέονται·
τοῖς ἴκελοι ἥρωες ὑπὲξ ἁλὸς εἷλκον ἐρετμά.
Ἦμος δ' οὔτ' ἄρ πω φάος ἄμβροτον, οὔτ' ἔτι λίην
ὀρφναίη πέλεται, λεπτὸν δ' ἐπιδέδρομε νυκτὶ
φέγγος, ὅτ' ἀμφιλύκην μιν ἀνεγρόμενοι καλέουσιν,
τῆμος ἐρημαίης νήσου λιμέν' εἰσελάσαντες
Θυνιάδος, καμάτῳ πολυπήμονι βαῖνον ἔραζε.
τοῖσι δὲ Λητοῦς υἱὸς, ἀνερχόμενος Λυκίηθεν
τῆλ' ἐπ' ἀπείρονα δῆμον Ὑπερβορέων ἀνθρώπων,
ἐξεφάνη· χρύσεοι δὲ παρειάων ἑκάτερθεν
πλοχμοὶ βοτρυόεντες ἐπεῤῥώοντο κιόντι·
λαιῇ δ' ἀργύρεον νώμα βιὸν, ἀμφὶ δὲ νώτοις
ἰοδόκη τετάνυστο κατωμαδόν· ἡ δ' ὑπὸ ποσσὶν
σείετο νῆσος ὅλη, κλύζεν δ' ἐπὶ κύματα χέρσῳ.
τοὺς δ' ἕλε θάμβος ἰδόντας ἀμήχανον· οὐδέ τις ἔτλη
ἀντίον αὐγάσσασθαι ἐς ὄμματα καλὰ θεοῖο.
στὰν δὲ κάτω νεύσαντες ἐπὶ χθονός· αὐτὰρ ὁ τηλοῦ
βῆ ῥ' ἴμεναι πόντονδε δι' ἠέρος· ὀψὲ δὲ τοῖον
Ὀρφεὺς ἔκφατο μῦθον, ἀριστήεσσι πιφαύσκων.

667. σκηρίπτοντες Reg. A. et Vrat. a m. 2.

669. οὔτε τι Brunck. contra libros et lectore non monito, obsequente tamen Beckio, male; οὔτ' ἔτι opponitur praecedenti οὔτε πω.

672. εἰσελάσσαντες Guelph. εἰσελθόντες Reg. A.

673. Θυνίδος Med. Vrat. Flor. Brub. Basil. — πομπήμονι vulg. πολυπήμονι Vatt. A. C. D. Regg. A. B. C. D. E. Guelph. Brunck. Beck., quemadmodum legendum esse viderat jam Steph. in Thes. L. Gr. T. III col. 198. Quam saepe litterae μ et λν in codd. confundantur notum est, v. Pors. Add. ad Eur. Hecub. p. 98. Bast. Comment. palaeogr. p. 724.

674. Λιβύηθεν Regg. quinque, quorum auctoritas ita imposuit Brunckio, ut in textum reciperet, quod mero librariorum errori deberi perspicuum est; Brunckius imposuit Beckio. Quasi non ex Homero scivissent Lyciam praecipuam Apollinis sedem esse. Ut uno loco defungar, apud Pind. Olymp. VIII, 47 pariter Apollo ex Lycia ad Hyperboreos se confert. v. Schol. ad illum locum.

677. βοτριόωντες Guelph. — De imitatione Homerica monet Ruhnk. ad hymn. Bacch. 4. Ex nostro πλοχμοὺς βοτρυόεντας hausit Nonn. Dionys. XXXIV, 308. — κοέντι Med.

679. τετάννυστο Vind.

680. κλύζε Guelph.

682. αὐγάσασθαι vulg. ἀγάσασθαι Med. αὐγάσσασθαι Regg. B. C. Brunck. Beck.

683. νεύοντες legendum esse suspicatur Brunck., ad quam suspicionem firmandam afferre potuisset Nonn. Dionys. XXXVII, 565 ἀκλινέες νεύοντες ἐπὶ χθονός. Sed nulla mutandi causa; si exempla desideras, unum instar omnium adscribo Hom. Il. XVII, 437

ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες,
οὔδει ἐνισκίμψαντε καρήατα.

685. πιφαύσκον Vind.

„Εἰ δ', ἄγε δή, νῆσον μὲν Ἑωΐου Ἀπόλλωνος
„τήνδ' ἱερὴν κλείωμεν, ἐπεὶ πάντεσσι φαάνθη
„ἠῷος μετιών, τὰ δὲ ῥέξομεν οἷα πάρεστι,
„βωμὸν ἀναστήσαντες ἐπάκτιον· εἰ δ' ἂν ὀπίσσω
„γαῖαν ἐς Αἱμονίην ἀσκηθέα νόστον ὀπάσσῃ,
„δὴ τότε οἱ κεραῶν ἐπὶ μηρία θήσομεν αἰγῶν.
„νῦν δ' αὔτως κνίσσῃ λοιβῇσί τε μειλίξασθαι
„κέκλομαι. ἀλλ' ἵληθι ἄναξ, ἵληθι φαανθείς."
Ὣς ἄρ' ἔφη· καὶ τοὶ μὲν ἄφαρ βωμὸν τετύκοντο
χερμάσιν· οἱ δ' ἀνὰ νῆσον ἐδίνεον, ἐξερέοντες
εἴ κέ τιν' ἢ κεμάδων, ἢ ἀγροτέρων ἐσίδοιεν
αἰγῶν, οἷά τε πολλὰ βαθείῃ βόσκεται ὕλῃ.
τοῖσι δὲ Λητοΐδης ἄγρην πόρεν· ἐκ δέ νυ πάντων
εὐαγέως ἱερῷ ἀνὰ διπλόα μηρία βωμῷ
καῖον, ἐπικλείοντες Ἑωΐον Ἀπόλλωνα.
ἀμφὶ δὲ δαιομένοις εὐρὺν χορὸν ἐστήσαντο,
καλὸν Ἰηπαιήον', Ἰηπαιήονα Φοῖβον
μελπόμενοι· σὺν δέ σφιν ἐῢς πάϊς Οἰάγροιο
Βιστονίῃ φόρμιγγι λιγείης ἦρχεν ἀοιδῆς·
ὥς ποτε πετραίῃ ὑπὸ δειράδι Παρνησσοῖο
Δελφίνην τόξοισι πελώριον ἐξενάριξεν,

686. δή omittit Schol. Paris., νῦν ejus loco habent Vatt. A. C. D. τοι δή Guelph., in quo deinde μὲν omittitur, quod probat Piers. Veris. p. 208. Sed vulgata sana videtur. — Ἑῴου vulg., quod quamquam ferri potest (v. Gerhard. p. 158) tamen malui Ἑωΐου reponere, et propter v. 700, et quia versus sic lenius decurrit.

690. ὀπάσσαι Regg. C. E.

691. τό τέ Flor. — ἐπιμηρία Flor. ἐπὶ μυρία Vat. B. a m. pr. — θύσομεν vulg. θήσομεν Vatt. A. B. C. D. Reg. D. Med. Vrat. Flor. Brub. Basil., quod recte receperunt Brunck. Beck.

692. αὖτε Vatt. A. D., qui etiam τε omittunt. — κνίσσῃ in fine versus habent Vatt. A. D. Guelph. Vind. Vrat. Med., et in hoc quidem κνίσῃ ut in Flor.

694. καί τοι Vind. — μὲν deest in Flor.

695. ἐνδίνεον Vind. ἐνδίνευον Schol. Paris.

696. εἰ καί τιν' Flor., jam correctum in Brub.

697. βαθύῃ Flor.

698. ἐκ δ' ἄρα Regg. quinque, quod recepit Brunck. ut solet.

699. ἱεροῦ Reg. A.

700. Posteriorem versus partem laudat Etymol. M. p. 352, 12.

702. Post Ἰηπαιήον' in Med. est lacuna, in qua scriptura abrasa.

704. Βιστωνίῃ Schol. Paris. — Codices Tzetzae, qui hunc versum laudat ad Lycophr. 417, habent καλῆς ἐξῆρχεν vel ἐξῆδεν ἀοιδῆς.

705. πετραίης ὑπὸ δειράσι ex uno Reg. D. receperunt Brunck. Beck. male. Singularem habet etiam Tzetzes loco mox laudando, et loco simili Hom. H. Apoll. 281. — Παρνησσοῖο vulg. Παρνασσοῖο Vatt. A. B. D. Veram scripturam dedit Brunck., et sic Tzetzes ad Lycophr. 208 et Eudoc. p. 107.

706. Δελφύνην vulg. Δελφίνην Vatt. A. C. D. Regg. A. B. C. D. E., unde recepi cum Brunck. Beck.,

κοῦρος ἐὼν ἔτι γυμνὸς, ἔτι πλοκάμοισι γεγηθώς.
ἱλήκοις· αἰεί τοι, ἄναξ, ἄτμητοι ἔθειραι,
αἰὲν ἀδήλητοι· τῶς γὰρ θέμις. οἰόθι δ' αὐτὴ
Λητὼ Κοιογένεια φίλαις ἐν χερσὶν ἀφάσσει.
πολλὰ δὲ Κωρύκιαι Νύμφαι, Πλείστοιο θύγατρες,
θαρσύνεσκον ἔπεσσιν, Ἰήϊε κεκληγυῖαι·
ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο Φοίβῳ.
  Αὐτὰρ ἐπειδὴ τόνγε χορείῃ μέλψαν ἀοιδῇ,
λοιβαῖς εὐαγέεσσιν ἐπώμοσαν, ἦ μὲν ἀρήξειν
ἀλλήλοις εἰς αἰὲν ὁμοφροσύνῃσι νόοιο,
ἁπτόμενοι θυέων· καί τ' εἰσέτι νῦν γε τέτυκται
κεῖσ' Ὁμονοίης ἱρὸν ἐΰφρονος, ὅ ῥ' ἐκάμοντο
αὐτοὶ, κυδίστην τότε δαίμονα πορσαίνοντες.
  Ἦμος δὲ τρίτατον φάος ἤλυθε, δὴ τότ' ἔπειτα
ἀκραεῖ Ζεφύρῳ νῆσον λίπον αἰπήεσσαν.
ἔνθεν δ' ἀντιπέρην ποταμοῦ στόμα Σαγγαρίοιο,
καὶ Μαριανδυνῶν ἀνδρῶν ἐριθηλέα γαῖαν,
ἠδὲ Λύκοιο ῥέεθρα καὶ Ἀνθεμοεισίδα λίμνην

quamquam per *υ* scribitur et apud Schol. utrumque et apud Dionys. Perieg. 442 et apud Apollodor. I, 3, 6 et vulgo apud Tzetz. Sed eum *Δελφίνην* legisse liquet, quum Delphinii Apollinis nomen inde derivet, et meliores ejus libri *Δελφῖνα* habent, ut et apud Eudociam legitur. — *ἐξανέριξεν* Med. a m. 1.

707. *ὧν* Med. Vrat. Vind.

708. Hinc profecit Tibull. II, 5, 121. *Adnue, sic tibi sint intonsi, Phoebe, capilli.*

709. *ἠώθι δ' αὐτὴν* Vatt. A. C. D.

710. *ἐνὶ χερσὶν* ex uno Reg. receperunt Brunck. Beck., probante Gerhardo p. 97, qui apud Apollonium ubique *ἐνὶ* rescribi jubet, nescio quo jure, quum alteram formam tam multis locis librorum auctoritas tueatur. Idem *ἐν χερσὶν* recurrit III, 1264, ubi iterum unus ille liber *ἐνὶ* praebet; *ἐν νηΐ* omnium librorum auctoritate retinui I, 1111. *ἐν γαστέρι* II, 233. *κόλπῳ ἐν εὐδιόωντι* II, 371, ubi ne potest quidem *ἐνὶ* scribi, *ἐν ὄμμασιν* III, 93. *ἐν πᾶσι* III, 443. *ἐν νυκτὶ* III, 799. *ἐν κόχλῳ* III, 859.

711. *δὲ* deest in Guelph. — *Κωρύκειαι* Vrat. Vind. — *Πλειστοῖο* a quibusdam scribi docent Scholl.

712. *ἐπέεσσιν* Vrat. Vind.

713. *ἐφοίμνιον* Med. a m. 1.

714. *μέλψαν καὶ ἀοιδῇ* Reg. A.

715. *ἀλλήλοισιν ἐσαιὲν* ex conjectura dedit Brunck., quod concinnius sit vulgato. Non video majorem concinnitatem; neque *εἰσαιὲν* ex Vrat. cum Beckio scribendum judicavi.

717. *καί ῥ' εἰσέτι* ex Regg. quinque Brunck. Beck., quod cur praeferendum sit non video.

718. *ἱερὸν* vulg., quod metro jubente correxit Brunck. Eadem menda in duobus libris invenitur IV, 1691. — *ἔφρονος* Med. *ἔμφρονος* Guelph. — *ὅῤῥ'* vulg. correxit Brunck.

719. *αὐτοῦ* marg. Vind. — *προσαίνοντες* Vat. B. *πορσύνοντες* Regg. D. E. *κικλήσκοντες* var. lect. apud Schol. Flor., fortasse ex priore recensione.

720. *ἤλυθεν* Vrat.

721. *ἀκρεῖ* Vind. *ἀκραῇ* Vat. B. Regg. A. E. *εὐκραεῖ* Guelph. ex confusione frequentissima. Vulgatam tuetur etiam Etymol. M. p. 52, 5.

723. *Μαρυανδυνῶν* Guelph.

724. Respicit Steph. Byz. s. v. *Ἀνθεμοῦς*.

δερκόμενοι παράμειβον· ὑπὸ πνοιῇ δὲ κάλωες
ὅπλα τε νήϊα πάντα τινάσσετο νισσομένοισιν.
ἠῶθεν δ' ἀνέμοιο διὰ κνέφας εὐνηθέντος,
ἀσπασίως ἄκρης Ἀχερουσίδος ὅρμον ἵκοντο.
ἡ μέν τε κρημνοῖσιν ἀνίσχεται ἠλιβάτοισιν,
εἰς ἅλα δερκομένη Βιθυνίδα· τῇ δ' ὕπο πέτραι
λισσάδες ἐῤῥίζωνται ἁλίβροχοι· ἀμφὶ δὲ τῇσιν
κῦμα κυλινδόμενον μεγάλα βρέμει· αὐτὰρ ὕπερθεν
ἀμφιλαφεῖς πλατάνιστοι ἐπ' ἀκροτάτῃ πεφύασιν.
ἐκ δ' αὐτῆς εἴσω κατακέκλιται ἤπειρόνδε
κοίλη ὕπαιθα νάπη, ἵνα τε σπέος ἔστ' Ἀΐδαο
ὕλῃ καὶ πέτρῃσιν ἐπηρεφὲς, ἔνθεν ἀϋτμὴ
πηγυλὶς, ὀκρυόεντος ἀναπνείουσα μυχοῖο
συνεχὲς, ἀργινόεσσαν ἀεὶ περιτέτροφε πάχνην,
ἥτε μεσημβριόωντος ἰαίνεται ἠελίοιο.
σιγὴ δ' οὔ ποτε τήν γε κατὰ βλοσυρὴν ἔχει ἄκρην,
ἀλλ' ἅμυδις πόντοιό θ' ὑποστένει ἠχήεντος,
φύλλων τε πνοιῇσι τινασσομένων μυχίῃσιν.
ἔνθα δὲ καὶ προχοαὶ ποταμοῦ Ἀχέροντος ἔασιν,
ὅστε διὲξ ἄκρης ἀνερεύγεται εἰς ἅλα βάλλων
ἠῴην· κοίλη δὲ φάραγξ κατάγει μιν ἄνωθεν.
τὸν μὲν ἐν ὀψιγόνοισι Σοωναύτην ὀνόμηναν,
Νισαῖοι Μεγαρῆες, ὅτε νάσσεσθαι ἔμελλον

725. κάλωαι Guelph. κάλωας Med. Loquitur de hoc loco Etymol. M. p. 74, 8.

729. ἠλιβάτοισι Guelph.

730. κεκλιμένη Regg. A. C. marg. B., quod non recipere debebat Brunck., est enim deterior lectio, aut ex glossemate nata aut ex priore recensione. — ὑπὸ Flor. — πέτραν Vatt. A. D.

731. τοῖσι Guelph. τῇσιν Med.

733. πεφύασσι Guelph.

735. κοίλην et νάπην Guelph.

737. πυλιγίς Guelph. πήλυγις Etymol. M. p. 670, 39. — ὀκριόεντος Vatt. A. B. D. Reg. B. Med. Guelph. Vrat. Vind., quod et ipsum hoc loco ferri potest.

738. συννεχὲς vulg. συνεχὲς Vatt. A. B. D. Regg. D. E. Med. a m. 1. Guelph. Flor. Brub. Basil. Brunck. Beck. Vide ad I, 1271.

739. μεσημβριόεντος Vrat. Vind.

740. τήνδε Vatt. A. C. D. Regg. B. C. E. τὴν δὲ Reg. A. — καταβλοσυρὴν Vat. B. Flor. Brub. Basil.

741. θ' omittit Vat. B. propter praecedens O.

742. μυχίῃσι vulg. μυχίοισιν Regg. A. E. μυχίῃσιν Vatt. A. C. D. Reg. B. Med. Guelph. Vrat. Vind. Brunck. Beck. πυκινῇσιν conjecit Wakef. sine causa.

743. ἐνθάδε Brunck. Beck. sine libris, male.

745. ἠοίην vulg. ἠῴην Vatt. B. C. Regg. quinque et edd. inde a Stephano. — φάρυγξ Guelph.

747. Νεισαῖοι vulg. Νισσαῖοι Regg. B. D. Vrat. Vind. Νισαῖοι Regg. A. C. E. Guelph. Brunck. Beck. Errores illi frequentissimi. — νάσεσθαι Med. a m. 1. ὅτ' ἐννάσσεσθαι — γῇ suspicatur Spitzner.

γῆν Μαριανδυνῶν. δὴ γάρ σφέας ἐξεσάωσεν
αὐτῇσιν νήεσσι, κακῇ χρίμψαντας ἀέλλῃ.
τῇ ῥ' οἵγ' αὐτίκα νηῒ διὲξ Ἀχερουσίδος ἄκρης
εἴσωποὶ, ἀνέμοιο νέον λήγοντος, ἔκελσαν.
Οὐδ' ἄρα δηθὰ Λύκον, κείνης πρόμον ἠπείροιο,
καὶ Μαριανδυνοὺς λάθον ἀνέρας ὁρμηθέντες
αὐθένται Ἀμύκοιο κατὰ κλέος, ὃ πρὶν ἄκουον·
ἀλλὰ καὶ ἀρθμὸν ἔθεντο μετὰ σφίσι τοῖο ἕκητι.
αὐτὸν δ' ὥστε θεὸν Πολυδεύκεα δεξιόωντο
πάντοθεν ἀγρόμενοι· ἐπειὴ μάλα τοί γ' ἐπὶ δηρὸν
ἀντιβίην Βέβρυξιν ὑπερφιάλοις πολέμιζον.
καὶ δὴ πασσυδίῃ μεγάρων ἔντοσθε Λύκοιο
κεῖν' ἦμαρ φιλότητι, μετὰ πτολίεθρον ἰόντες,
δαίτην ἀμφίεπον τέρποντό τε θυμὸν ἔπεσσιν.
Αἰσονίδης μέν οἱ γενεὴν καὶ οὔνομ' ἑκάστου
σφωϊτέρων μυθεῖθ' ἑτάρων, Πελίαό τ' ἐφετμὰς,
ἠδ' ὡς Λημνιάδεσσιν ἐπεξεινοῦντο γυναιξὶν,
ὅσσα τε Κύζικον ἀμφὶ Δολιονίην ἐτέλεσσαν·
Μυσίδα δ' ὡς ἀφίκοντο Κίον θ', ὅθι κάλλιπον ἥρω
Ἡρακλέην ἀέκοντι νόῳ, Γλαύκοιό τε βάξιν
πέφραδε, καὶ Βέβρυκας ὅπως Ἄμυκόν τ' ἐδάϊξαν·
καὶ Φινῆος ἔειπε θεοπροπίας τε δύην τε,
ἠδ' ὡς Κυανέας πέτρας φύγον, ὥς τ' ἀβόλησαν
Λητοΐδῃ κατὰ νῆσον. ὁ δ' ἑξείης ἐνέποντος
θέλγετ' ἀκουῇ θυμόν· ἄχος δ' ἕλεν Ἡρακλῆϊ
λειπομένῳ, καὶ τοῖον ἔπος πάντεσσι μετηύδα.
„Ὦ φίλοι, οἵου φωτὸς ἀποπλαγχθέντες ἀρωγῆς

de vers. her. p. 39, sed nulla mutatione opus est, quum illa productio usitatissima sit.

749. *αὐτῇσι* Regg. A. D. E. Med. a m. 1. et ex more Brunck. Beck. — *κρίμψαντας* Med.

751. *λήξαντος* Vat. B.

753. *Μαριανδήνους* Vat. C. *Μαριανδινοὺς* Vind. — *ὁρμισθέντες* conjicit Segaar. in Act. Traject. I p. 75 probante Beckio, sed sine causa; *ὁρμηθέντες* est *advecti*.

755. *ἀριθμὸν* Reg. A. — *τοῖό γ' ἕκητι* ex uno Reg. D. Brunck. Beck. Vide ad I, 334. — Priorem versus partem laudat Etymol. M. p. 141, 30.

757. *ἐπεὶ οἱ μάλα τόγ'* Reg. A.

759. *πανσυδίῃ* Guelph. Hoerstel.

760. *πολίεθρον* Guelph. Hoerstel.

761. *δαίτῃ* Reg. A. — *ἔπεσσι* Guelph.

762. De particula *καί* in thesi producta vid. quae ad I, 20 monita sunt; cf. Herm. ad Orph. p. 728. Spitzner. de vers. her. p. 108. 110.

763. *μυθεῖτ'* Vrat. Flor.

766. *Μυσίδα τ' ὡς* Flor. *Μυσίδα δ' ὡς* Brunck. Beck. lectore non monito.

769. *θεοπροπίαν* Guelph. Hoerstel.

774. *ἀποπλαχθέντες* Vrat.

„πεῖρετ' ἐς Αἰήτην τόσσον πλόον. εὖ γὰρ ἐγώ μιν
„Δασκύλου ἐν μεγάροισι καταυτόθι πατρὸς ἐμοῖο
„οἶδ' ἐσιδών, ὅτε δεῦρο δι' Ἀσίδος ἠπείροιο
„πεζὸς ἔβη, ζωστῆρα φιλοπτολέμοιο κομίζων
„Ἱππολύτης· ἐμὲ δ' εὗρε νέον χνοάοντα ἰούλους.
„ἔνθα δ' ἐπὶ Πριόλαο κασιγνήτοιο θανόντος
„ἡμετέρου Μυσοῖσιν ὑπ' ἀνδράσι, ὅντινα λαὸς
„οἰκτίστοις ἐλέγοισιν ὀδύρεται ἐξέτι κείνου,
„ἀθλεύων Τιτίην ἀπεκαίνυτο πυγμαχέοντα
„καρτερόν, ὃς πάντεσσι μετέπρεπεν ἠϊθέοισιν
„εἶδός τ' ἠδὲ βίην· χαμάδις δέ οἱ ἤλασ' ὀδόντας.
„αὐτὰρ ὁμοῦ Μυσοῖσιν ἐμῷ ὑπὸ πατρὶ δάμασσεν
„καὶ Φρύγας, οἳ ναίουσιν ὁμώλακας ἡμὶν ἀρούρας,
„φῦλά τε Βιθυνῶν αὐτῇ κτεατίσσατο γαίῃ,
„ἔστ' ἐπὶ Ῥηβαίου προχοὰς σκόπελόν τε Κολώνης·
„Παφλαγόνες τ' ἐπὶ τοῖς Πελοπήϊοι εἴκαθον αὔτως,

775. αὐτὰρ ἐγώ μιν Regg. quatuor.

776. κατ' αὐτόθι vulg., quod h. l. ferri nequit. Junctim exhibent Vatt. A. B. C. D. Regg. A. B. D. E. Med. Guelph. Vrat. Flor. Brub. Basil. Brunck. Beck. — ἐμεῖο vulg. ἑοῖο Med. a m. 1. ἐμοῖο Regg. A. B. C. D., Reg. E. et Med. a m. 2. Brunck. Beck., quod necessarium est.

779. χνοάοντας ἰούλους vulg., quod sensus non fert et ex II, 43 natum puto. χνοάοντα ἰούλους Vatt. C. D. Reg. A. et E. ex rasura; sic dedit Steph. et receperunt Brunck. Beck. Sed ita existit hiatus, quem ferendum non ratus Herm. ad Orph. p. 733 correxit χνοάοντος ἰούλου, probante Spitznero de vers. her. p. 152. Sed admodum displicent illi genitivi, nam quem locum confert Spitznerus, Epigr. Adesp. DCXCV v. 1. 2. (Antholog. T. IV p. 260) Πρωθήβην ἔτι κοῦρον, ἔτι χνοάοντος ἰούλου Δευόμενον, ejus longe alia est ratio, quum sequatur participium δευόμενον. Contra multi loci afferri possunt, quibus χνοάων cum accusativo ἴουλον vel ἰούλους jungitur; sic Oppian. Cyneg. IV, 347 ἔτι χνοάοντες ἰούλους. Gregor. Nazianz. XI p. 83. ἔτι χνοάοντες ἴουλον. Recte igitur librorum lectionem tuetur Gerhard. Lectt. p. 67, qui etiam p. 189 exempla hiatus ab Apollonio in quinto pede admissi collegit. Quum enim constet Homerum etiam in quinta sede hiatum admisisse (v. Spitzner. p. 146 s.) quidni idem sibi permiserit Apollonius, etiamsi non eadem verba cum hiatu apud Homerum legantur? Earundem certe vocalium ᾱ et ῑ concursus eodem loco reperitur Hom. Od. XXIV, 430 ἀλλ' ἄγετε, πρὶν τοῦτον ἢ ἐς Πύλον ὦκα ἱκέσθαι. Etymol. M. p. 813, 11 hunc versum laudans habet χνοάοντα παρείας, quorum prius nostram lectionem confirmat, alterum ex memoriae lapsu natum videtur.

780. ἐνθάδ' Brunck. Beck. invitis libris male, ut supra v. 743.

782. ἐξ ἔτι vulg. Conjunctim scriptum exhibent recte Vatt. A. C. D. Regg. A. B. D. E. Vrat. Brunck. Beck.

783. Τιτύην Regg. A. C. D. E.

784. πάντεσσιν Guelph. εἰϊθέοισιν Vrat.

787. Μυγδόνας pro καὶ Φρύγας a quibusdam scribi, tradit uterque Schol., quod priori recensioni tribuendum est.

790. Παφλαγόνες δ' Brunck. Beck. ex uno Reg. D. male.

„ὅσσους Βιλλαίοιο μέλαν περιάγνυται ὕδωρ.
„ἀλλά με νῦν Βέβρυκες ὑπερβασίῃ τ' Ἀμύκοιο
„τηλόθι ναιετάοντος ἐνόσφισαν Ἡρακλῆος,
„δὴν ἀποτεμνόμενοι γαίης ἅλις, ὄφρ' ἐβάλοντο
„οὖρα βαθυῤῥείοντος ὑφ' εἱαμεναῖς Ὑπίοιο.
„ἔμπης δ' ἐξ ὑμέων ἔδοσαν τίσιν· οὐδέ ἑ φημὶ
„ἤματι τῷδ' ἀέκητι θεῶν ἐπελάσσαι ἄρηα
„Τυνδαρίδην Βέβρυξιν, ὅτ' ἀνέρα κεῖνον ἔπεφνε.
„τῷ νῦν ἥντιν' ἐγὼ τῖσαι χάριν ἄρκιος εἰμὶ,
„τίσω προφρονέως. ἡ γὰρ θέμις ἠπεδανοῖσιν
„ἀνδράσιν, εὖτ' ἄρξωσιν ἀρείονες ἄλλοι ὀφέλλειν.
„ξυνῇ μὲν πάντεσσιν ὁμόστολον ὔμμιν ἕπεσθαι
„Δάσκυλον ὀτρυνέω, ἐμὸν υἱέα· τοῖο δ' ἰόντος
„ἦτ' ἂν ἐΰξείνοισι διὲξ ἁλὸς ἀντιάοιτε
„ἀνδράσιν, ὄφρ' αὐτοῖο ποτὶ στόμα Θερμώδοντος.
„νόσφι δὲ Τυνδαρίδαις Ἀχερουσίδος ὑψόθεν ἄκρης

792. ἀλλ' ἐμὲ Brunck. ut solet, sine libris. — μεν pro με Vind.

794. γαίας et ἐβάλλοντο Guelph.

795. βαῤῥείοντος Med. βαθυρείοντος Brunck. Beck. — ὑαμεναῖς Schol. Paris. — παρ' εἱαμεναῖς Ὑπίοιο habet Etymol. M. p. 93, 2.

796. ἔδωσαν Guelph. — Vulgo: οὐδέ σε φημὶ et v. 798 Τυνδαρίδη, — ἔπεφνες, ut sit apostrophe ad Pollucem, sed inepta illa; qua si uti voluisset, multo aptior locus fuisset v. 806, ubi quum non allocutus sit Pollucem, et hic eum non potuit alloqui. Neque illa est librorum lectio, sed solius Vat. B. et editionum veterum. Pro σε reliqui codd. omnes habent ἑ, in Reg. C. prorsus omissum est; pro Τυνδαρίδη item omnes habent Τυνδαρίδην; solum ἔπεφνες legitur in Vatt. A. B. C. D. Med. Vrat. Vind. Reg. C. (de Guelph. non constat), sed Regg. A. B. D. E. habent ἔπεφνεν. Hinc Brunck. eam lectionem restituit, quam in textu exhibui, nisi quod ἑ ex conjectura in γε mutavit probante Beckio. Sed ne illa quidem mutatione opus esse videtur; negligentius locutus est Apollonius, quum ex abundanti adderet pronomen, deinde vero, ut sententia magis perspicua esset, ipsum nomen subjiceret. Cf. IV. 1086.

797. τῷ Flor. — ἀέκοντι Reg. A. — ἐμπελάσσαι Med. Reg. A. Vind. ἐμπελάσαι Vrat. Guelph.

799. τῷ νῦν Brunck. lectore non monito, et legitur sic quidem in Guelph., si fides habenda Hoerstelio, sed neque tam praestans est haec lectio, ut reliquorum omnium librorum lectioni, quae et ipsa sensui aptissima est, anteponenda sit, et tam facile ex errore frequentissimo potuit nasci, ut non dubitaverim cum Beckio vulgatam lectionem revocare. — ἄρτιος Schol. Paris.

800. ἦ vulg. ἧ Vat. C. Brub. Basil. ἡ Vrat. Flor. et alii fortasse libri, quod Brunckius lectore non monito sed sensu flagitante in textu dedit. Delevi accentum.

803. υἷα Med. Vrat. Vind.

804. ἐξ ἁλὸς Vind. διαμπερὲς marg. Reg. B., quod male tantilla auctoritate commoti receperunt Brunck. Beck., nam quod hic dicit, Brunckium eam lectionem ex Etymol. recepisse, falsum est.

805. θερμόδοντες Vind.

806. Τυνδαρίδας Vind. — ἀκτῆς vulg. ἄκρης, quod praebent Scholl., reponendum esse vidit Piers. Veris. p. 16, reposuerunt Brunck. Beck. Vid. ad II, 349. 354.

„εἴσομαι ἱερὸν αἰπύ· τὸ μὲν μάλα τηλόθι πάντες
„ναυτίλοι ἂμ πέλαγος θηεύμενοι ἱλάξονται·
„καί κέ σφιν μετέπειτα πρὸ ἄστεος οἷα θεοῖσιν
„πίονας εὐαρότοιο γύας πεδίοιο ταμοίμην."
Ὣς τότε μὲν δαῖτ' ἄμφι πανήμεροι ἑψιόωντο·
ἠρί γε μὴν ἐπὶ νῆα κατήϊσαν ἐγκονέοντες·
καὶ δ' αὐτὸς σὺν τοῖσι Λύκος κίε, μυρί' ὀπάσσας
δῶρα φέρειν· ἅμα δ' υἷα δόμων ἔκπεμπε νέεσθαι.
Ἔνθα δ' Ἀβαντιάδην πεπρωμένη ἤλασε μοῖρα
Ἴδμονα, μαντοσύνῃσι κεκασμένον· ἀλλά μιν οὔ τι
μαντοσύναι ἐσάωσαν, ἐπεὶ χρεὼ ἦγε δαμῆναι·
κεῖτο γὰρ εἰαμενῇ δονακώδεος ἐν ποταμοῖο
ψυχόμενος λαγόνας τε καὶ ἄσπετον ἰλύϊ νηδὺν
κάπριος ἀργιόδων, ὀλοὸν τέρας, ὅν ῥα καὶ αὐταὶ
Νύμφαι ἑλειονόμοι ὑπεδείδισαν· οὐδέ τις ἀνδρῶν
ἠείδει· οἶος δὲ κατὰ πλατὺ βόσκετο τῖφος.
αὐτὰρ ὅ γ' ἰλυόεντος ἀνὰ θρωσμοὺς ποταμοῖο
νίσσετ' Ἀβαντιάδης· ὁ δ' ἄρ' ἔκ ποθεν ἀφράστοιο
ὑψι μάλ' ἐκ δονάκων ἀνεπάλμενος ἤλασε μηρὸν
αἴγδην, μέσσας δὲ σὺν ὀστέῳ ἶνας ἔκερσεν.
ὀξὺ δ' ὅ γε κλάγξας οὔδει πέσεν· οἱ δὲ τυπέντος
ἀθρόοι ἀντιάχησαν. ὀρέξατο δ' αἶψ' ὀλοοῖο
Πηλεὺς αἰγανέην φυγάδ' εἰς ἕλος ὁρμηθέντος
καπρίου· ἔσσυτο δ' αὖτις ἐναντίος· ἀλλά μιν Ἴδας
οὔτασε, βεβρυχὼς δὲ θοῷ περικάππεσε δουρί.

807. Hic versus deest in Vatt. A. D. Regg. A. B. C. D. Med. Vrat. Vind.

808. *ναυτίλλοι* Flor. Brub. Basil.

809. *σφι* Vrat. Vind. Brunck. Beck. — *θεοῖσιν* Med.

810. *γυίας* Vrat. Vind.

811. *ἀμφηπαννήμεροι* et a m. 2 *ἀμφήμεροι* Med. — *ἐπονέοντο* pro *ἑψιόωντο* Vat. B. — Posterius hemistichium laudat Etymol. M. p. 406, 14.

813. *ὀπάσας* Vrat. Vind. Flor. Brub. Basil.

814. *ἐνθάδ'* Brunck. Beck. ut saepius. — *ἥρπασε* conjecit Wakef., quod refellere non operae pretium est.

819. *λαγόνα* Vrat. Vind.

820. *ὀλεὸν* Vatt. A. C.

823. *θρωσμοὺς πεδίοιο* scripsit Steph. Thesaur. L. gr. T. I p. 1576, errore incertum an conjectura; recepit tamen Brunckius. Sed nihil mutandum est; *ποταμός* latiore sensu de palude etiam dictum est, quam fluvius efficiebat, itaque *θρωσμοὶ πεδίοιο*, quos *ἀναβολάς* recte interpretantur Scholl., sunt editiora illius paludis loca. Id docent etiam ipsa poetae verba, in palude enim jacebat aper et prope ad eum accessit Idmon.

824. *νείσετ'* vulg. *νείσσετ'* Vind. *νίσσετ'* Regg. quinque, Vrat. Brunck. Beck.

826. *μέσσαι* Med. *μάσας* Etymol. M. p. 41, 29.

827. *ἐγκλάγξας* Guelph. Hoerstel. — *τυπέντες* Vatt. A. C. D. Med. Ald.

831. *βεβρυχεὸς* Guelph. — Try-

καὶ τὸν μὲν χαμάδις λίπον αὐτόθι πεπτηῶτα
τὸν δ' ἕταροι ἐπὶ νῆα φέρον ψυχοῤῥαγέοντα,
ἀχνύμενοι, χείρεσσι δ' ἑῶν ἐνικάτθαν' ἑταίρων.
Ἔνθα δὲ ναυτιλίης μὲν ἐρητύοντο μέλεσθαι,
ἀμφὶ δὲ κηδείῃ νέκυος μένον ἀσχαλόωντες.
ἤματα δὲ τρία πάντα γόων· ἑτέρῳ δέ μιν ἤδη
τάρχυον μεγαλωστί· συνεκτερέϊζε δὲ λαὸς
αὐτῷ ὁμοῦ βασιλῆϊ Λύκῳ· παρὰ δ' ἄσπετα μῆλα,
ἣ θέμις οἰχομένοισι, ταφήϊα λαιμοτόμησαν.
καὶ δή τοι κέχυται τοῦδ' ἀνέρος ἐν χθονὶ κείνῃ
τύμβος· σῆμα δ' ἔπεστι καὶ ὀψιγόνοισιν ἰδέσθαι
νηΐου ἐκ κοτίνοιο φάλαγξ· θαλέθει δέ τε φύλλοις
ἄκρης τυτθὸν ἔνερθ' Ἀχερουσίδος. εἰ δέ με καὶ τὸ
χρειὼ ἀπηλεγέως Μουσέων ὕπο γηρύσασθαι,
τόνδε πολισσοῦχον διεπέφραδε Βοιωτοῖσιν
Νισαίοισί τε Φοῖβος ἐπιῤῥήδην ἱλάεσθαι,
ἀμφὶ δὲ τήν γε φάλαγγα παλαιγενέος κοτίνοιο
ἄστυ βαλεῖν· οἱ δ' ἀντὶ θεουδέος Αἰολίδαο
Ἴδμονος εἰσέτι νῦν Ἀγαμήστορα κυδαίνουσιν,
Τίς γὰρ δὴ θάνεν ἄλλος; ἐπεὶ καὶ ἔτ' αὖτις ἔχευαν

phiod. v. 576 δνοφερῇ περικάππεσεν αἰχμῇ.

832. τοὶ μεν Guelph. Hoerstel.

833. ψυχοραγέοντα Brunck. Beck.

834. ἔνι κάτθαν' vulg. ἐνικάτθαν' ex Regg. A. B. E. Brunck. Beck. recte, quamquam causa non perspecta; praepositio enim substantivo postposita non debet caesura ab eo disjungi, neque medio in versu praepositio a verbo divelli. Sic neque supra v. 831 recte scriberetur θοῷ πέρι κάππεσε, neque apud Musaeum v. 271 ἐμοῖς ἔνι κάτθεο κόλποις, ubi vid. Wernick. Cf. idem ad Tryphiod. v. 424. Gerhard. Lectt. p. 130 sqq.

835. ἐνθάδε Brunck. Beck. sine libris ut saepe.

836. κηδείην Regg. A. B. C. E. facili errore ex iota subscripto.

838. συνεκτερέϊξε ex Vrat. Vind. dederunt Brunck. Beck., quod cur eis praestare visum sit praecedente imperfecto τάρχυον, non video. Merus est librariorum error, qui recurrit infra v. 857.

839. πάρα Flor. Brub. Basil.

840. λαιοτόμησαν Reg. A. Guelph.

841. καὶ δ' ἤτοι legi jubet Herm. ad h. H. in Ven. 226, sed particulis καὶ δέ hic non est locus, neque καὶ δ' ἤτοι usquam juncta legere memini, et δή τοι non recte ab eo ubique expelli videbimus ad III, 958.

842. βῆμα Vat. C. — δ' ἔνεπι Guelph., errore frequentissimo pro ἔνεστι, sed Hoerstelii sagacitas inde δ' ἐπι (sic) exsculpsit.

843. φάλαγγι θαλέει Guelph., quod placuit Hoerstelio.

844. τυθὸν Med. a m. 1. — δ' ἐμὲ Brunck. ut solet.

847. Νεισαίοισι vulg. Νισσαίοισι Steph. Νισαίοισι Brunck. Beck. ut supra v. 747. — ἐπιρήδην Brunck. Beck.

848. τήνδε Schol. Flor.

851. ἐσαῦτις Brunck. ex conjectura, sine causa; ἔτ' αὖτις est *etiam iterum.*

ἥρωες τότε τύμβον ἀποφθιμένου ἑτάροιο.
δοιὰ γὰρ οὖν κείνων ἔτι σήματα φαίνεται ἀνδρῶν.
Ἁγνιάδην Τῖφυν θανέειν φάτις· οὐδέ οἱ ἦεν
μοῖρ᾿ ἔτι ναυτίλλεσθαι ἑκαστέρω. ἀλλά νυ καὶ τὸν
αὖθι μινυνθαδίη πάτρης ἑκὰς εὔνασε νοῦσος,
εἰσότ᾿ Ἀβαντιάδαο νέκυν κτερέϊξεν ὅμιλος.
ἄτλητον δ᾿ ὀλοῷ ἐπὶ πήματι κῆδος ἕλοντο.
δὴ γὰρ ἐπεὶ καὶ τόνδε παρασχεδὸν ἐκτερέϊξαν
αὐτοῦ, ἀμηχανίῃσιν ἁλὸς προπάροιθε πεσόντες,
ἐντυπὰς εὐκήλως εἰλυμένοι, οὔτε τι σίτου
μνώοντ᾿ οὔτε ποτοῖο· κατήμυσαν δ᾿ ἀχέεσσι
θυμὸν, ἐπεὶ μάλα πολλὸν ἀπ᾿ ἐλπίδος ἔπλετο νόστος.
καί νύ κ᾿ ἔτι προτέρω τετιημένοι ἰσχανόωντο,
εἰ μὴ ἄρ᾿ Ἀγκαίῳ περιώσιον ἔμβαλεν Ἥρη
θάρσος, ὃν Ἰμβρασίοισι παρ᾿ ὕδασιν Ἀστυπάλαια
τίκτε Ποσειδάωνι· περιπρὸ γὰρ εὖ ἐκέκαστο
ἰθύνειν, Πηλῆα δ᾿ ἐπεσσύμενος προσέειπεν.
„Αἰακίδη, πῶς καλὸν ἀφειδήσαντας ἀέθλων
„γαίῃ ἐν ἀλλοδαπῇ δὴν ἔμμεναι; οὐ μὲν ἄρηος
„ἴδριν ἐόντα με τόσσον ἄγει μετὰ κῶας Ἰήσων
„Παρθενίης ἀπάνευθεν, ὅσον τ᾿ ἐπιΐστορα νηῶν.
„τῷ μή τοι τυτθόν γε δέος περὶ νηΐ πελέσθω.
„ὣς δὲ καὶ ἄλλοι δεῦρο δαήμονες ἄνδρες ἔασιν,
„τῶν ὅτινα πρύμνης ἐπιβήσομεν, οὔτις ἰάψει

853. ἐκείνων Med. Vrat. Vind.
855. ἑκατέρω Guelph. — Versus deest in Vat. B.
856. ἔννασε Med. a m. 1.
857. εἰς ὅτ᾿ Vatt. A. B. D. Vrat. εἰσοκ᾿ Regg. A. B. C. D. Guelph. Schol. Paris., sed A. vulgatam in margine habet. — Ἀβαντιάδεω Regg. quatuor et ἐκτερέϊξεν Reg. B., unde hanc lectionem effinxit Brunckius, a Beckio receptam: Ἀβαντιάδεω νέκυν ἐκτερέϊξεν, quae quomodo teretibus auribus, quas aliis locis jactat, magis quam vulgata placere potuerit, nescio. — κτερέϊξεν Guelph. Vrat. Vind.
861. εἰλημένοι vulg. εἰλημμένοι Reg. E. εἰλυμένοι Vatt. A. C. D. Regg. A. B. C. D. Med. (cod. ap. Dorvill. ad Char. p. 607) Guelph. Vrat. Vind. Brunck. Beck. Confusio frequens, v. Dorvill. l. c. — οὔτ᾿ ἔτι Vrat.
862. κατά τ᾿ ἤμυσαν Flor. κατ᾿ ἤμυσαν Brub. Basil. κατήμυξαν conjecit Lennep. ad. Coluth. p. 149, de activa verbi vi dubitans, quem refellit Wernick. ad Tryph. p. 54 s.
864. κέ τι vulg. κ᾿ ἔτι Vatt. A. C. D. Regg. A. D. E. Guelph. Brunck. Beck.
867. περὶ πρὸ Vat. A. Schol. Paris.
868. ἐπ᾿ ἐσσύμενος Vind.
869. Αἰακήδη Vind.
871. ὄντα Guelph.
873. μή τι Vat. B. Regg. B. C. D. E.
874. ὦλλοι vulg., quod sensus non fert. ἄλλοι Reg. D. Brunck. Beck. — ἔασιν Med. Vrat. ἔασσι Guelph.
875. τῶν τίνα Guelph. τῶν ὅντινα Vrat. Vind.

„ναυτιλίην. ἀλλ' ὦκα, παραιφάμενος τάδε πάντα,
„θαρσαλέως ὀρόθυνον ἐπιμνήσασθαι ἀέθλου.“
Ὣς φάτο· τοῖο δὲ θυμὸς ὀρέξατο γηθοσύνῃσιν,
αὐτίκα δ' οὐ μετὰ δηρὸν ἐνὶ μέσσοις ἀγόρευσεν·
„Δαιμόνιοι, τί νυ πένθος ἐτώσιον ἴσχομεν αὔτως;
[„οἳ μὲν γάρ ποθι τοῦτον, ὃν ἔλλαχον, οἶτον ὄλοντο·]
„ἡμῖν μὲν γὰρ ἔασι κυβερνητῆρες ὁμίλῳ,
„καὶ πολέες. τῷ μή τι διατριβώμεθα πείρης·
„ἀλλ' ἔγρεσθ' εἰς ἔργον, ἀποῤῥίψαντες ἀνίας.“
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἀμηχανέων προσέειπεν·
„Αἰακίδη, πῆ δ' οἵδε κυβερνητῆρες ἔασιν;
„οὓς μὲν γὰρ τοπάροιθε δαήμονας εὐχόμεθ' εἶναι,
„οἱ δὲ κατηφήσαντες ἐμεῦ πλέον ἀσχαλόωσι.
„τῷ καὶ ὁμοῦ φθιμένοισι κακὴν προτιόσσομαι ἄτην,
„εἰ δὴ μήτ' ὀλοοῖο μετὰ πτόλιν Αἰήταο
„ἔσσεται, ἠὲ καὶ αὖτις ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
„πετράων ἔκτοσθε, κατ' αὐτόθι δ' ἄμμε καλύψει
„ἀκλειῶς κακὸς οἶτος ἐτώσια γηράσκοντας.“
Ὣς ἔφατ'· Ἀγκαῖος δὲ μάλ' ἐσσυμένως ὑπέδεκτο

877. *ὀρόθυνεν* Med. — *ἀέθλων* Guelph. Hoerstel.

878. *τοῖσι δὲ* Guelph. Hoerstel. — *ἐρέξατο* Vat. D. *ὀρέξετο* Vat. A. Med. *ἀέξετο* Guelph. Hoerstel.

879. *ἀγόρευεν* Vrat. Vind.

880. *αὐτοῦ* Regg. A. C. *αὔτως* Brunck. Hom. Il. VI, 55 *τίη δὲ σὺ κήδεαι αὔτως ἀνδρῶν;* XXI, 106 *τίη ὀλοφύρεαι αὔτως;*

881. *ἔλαχον* Guelph.

882. *ἡμῖν δ' ἄλλοι ἔασι* ex conjectura dedit Brunck., obsequente Beckio. Sed verius judicavit Gerhard. p. 34, v. 881 ex priore recensione superesse, in qua v. 882 aut ita ut Brunckius conjecit, aut aliter legebatur, in posteriore vero recensione v. 881 a poeta deletum, et v. 882 ita scriptum esse, ut in libris nunc legitur. Et recte id fecit poeta, nam v. 881 prorsus ab hoc loco alienus est. De morte illorum jam non lugebant Argonautae, sed de eo anxii erant, quod navis gubernator perierat. Itaque de hoc solo eos consolari debebat Peleus, et hoc quoque solum respicit Iason respondens v. 886 sqq. His causis commotus v. 881 uncis inclusi, v. 882 librorum lectionem revocavi.

884. *ἀπορίψαντες* Reg. C. Brunckius et Beck.

886. *τῇ* Vind. *ποῖ* Reg. D. *ποῦ* Reg. B. Perpetua est harum particularum confusio, neque tam exigua auctoritate *ποῦ* scribere debebant Brunck. Beck., quum satis constet, *πῇ* de loco usurpari, ut sit *ubi?* cf. Hom. Il. XIII, 307, quem locum instar omnium laudo. — *οἵγε* Reg. D., quae auctoritas suffecit Brunckio et Beckio, ut vulgatum *οἵδε* ejicerent, quod sensui aptissimum est: *ubi sunt hi, quos dixisti, gubernatores?* v. Wolf. ad Lept. p. 272.

887. *τοπάροιθεν* Flor. *τὸ πάροιθεν* Vrat.

888. *οἵδε* vulg. *οἱ δὲ* Vrat., quod necessario recipiendum duxi, et vel sine libro dedissem, cf. Hom. Il. IX, 508. X, 490. XI, 409. — *πλόον* Guelph. Hoerstel.

890. *εἰ δὲ* Guelph.

νῆα θοὴν ἄξειν· δὴ γὰρ θεοῦ ἐτράπεθ' ὁρμῇ.
τὸν δὲ μέτ' Ἐργῖνος, καὶ Ναύπλιος, Εὔφημός τε
ὤρνυντ', ἰθύνειν λελιημένοι. ἀλλ' ἄρα τούς γε
ἔσχεθον· Ἀγκαίῳ δὲ πολεῖς ἤνησαν ἑταίρων.
Ἠῷοι δ' ἤπειτα δυωδεκάτῳ ἐπέβαινον
ἤματι· δὴ γάρ σφιν Ζεφύρου μέγας οὖρος ἄητο.
καρπαλίμως δ' Ἀχέροντα διεξεπέρησαν ἐρετμοῖς,
ἐκ δ' ἔχεαν πίσυνοι ἀνέμῳ λίνα, πουλὺ δ' ἐπιπρὸ
λαιφέων πεπταμένων τέμνον πλόον εὐδιόωντες.
ὦκα δὲ Καλλιχόροιο παρὰ προχοὰς ποταμοῖο
ἤλυθον, ἔνθ' ἐνέπουσι Διὸς Νυσήϊον υἷα,
Ἰνδῶν ἡνίκα φῦλα λιπὼν κατενάσσατο Θήβας,
ὀργιάσαι στῆσαί τε χοροὺς ἄντροιο πάροιθεν,
ᾧ ἐν ἀμειδήτους ἁγίας εὐνάζετο νύκτας,
ἐξ οὗ Καλλίχορον ποταμὸν περιναιετάοντες
ἠδὲ καὶ Αὔλιον ἄντρον ἐπωνυμίην καλέουσιν.

895. ἐτράπετ' Brub. Basil. Hoelzlin. Shaw. μετετράπετο habet Schol. Paris. et Schol. Flor. quoque explicat μετέπεσε καὶ μετετράπη. Num legerunt: μετὰ γὰρ θεοῦ ἐτράπεθ' ὁρμῇ?

897. ὄρνυντ' vulg. ὤρνυντ' Reg. D. Guelph. Vrat. Vind., quod recepi, quia ubique cum augmento apud Nostrum legitur, ὤρνυντο I, 349. 1104. II, 122. Tantum III, 439 vulgo ὄρνυντο legitur. sed ibi quoque libri ὤρνυντο praebent. Cf. Spitzner. de vers. her. p. 246.

898. ἤνυσαν Vat. A.

900. σφι Regg. A. C. D. E. Brunckius et Beck. — Ζέφυρος ex Regg. A. C. E. dederunt Brunck. Beck. male. Sic IV, 768. Ζεφύρου γε μὲν οὖρος ἀήτω.

902. πολὺ Vrat. Vind. Flor. — ἐπὶ πρὸ Vat. A.

903. λαίφεσι πεπταμένοις ex conjectura dedit Brunck., quia ita Noster locutus est IV, 299. 1229. 1623. Oppian. Hal. I, 222, sed inde non sequitur, non potuisse etiam genitivos poni. Recte igitur vulgatam revocavit Beckius.

904. Καλλιχόριοι Guelph.

906. ἰνίκα Vind. — κατεμάσσατο Med. Ald.

908. ἀγρίας Reg. A. — εὐάζετο var. lect. in marg. Vrat. ηὐλίζετο Etymol. M. p. 82, 28, quod recipi jubent vir doctus in Observ. Miscell. Vol. II p. 120 et Ruhnk. ep. crit. p. 297 s., recepit Beckius. Et revera necessarium videtur, huc enim spectat origo nominis Αὔλιον ἄντρον v. 910, quod, nisi αὐλίζεσθαι praecedit, non habere videtur, unde derivetur; quemadmodum idem Etymol. p. 170, 40 laudans v. 910 haec habet: Αὔλιον ἄντρον, παρὰ τὸ ἐν αὐτῷ αὐλισθῆναι τὸν Διόνυσον. Sed vulgatae lectioni patrocinari videtur Stephan. Byz. s. v. Αὐλή, qui haec dicit: Αὔλιον ἄντρον, παρὰ τὸ ἐκεῖ χορεύειν et deinde v. 907 laudat. Hic igitur profecto non legit ηὐλίζετο. Et si antri nomen communem cum fluvio originem habet, derivandum erit παρὰ τοὺς αὐλοὺς, ad quorum modos saltabatur, quique tam necessario cum saltatione conjuncti erant, ut eos diserte commemorare non opus esset. Ita vulgata lectio vindicari poterit, tum altera lectio Grammatici acumini tribuenda erit, qui Αὔλιον a verbo αὐλίζεσθαι derivari oportere putabat.

910. Αὐλίον vulg. Accentum in antepenultima collocant Vrat., Etymol. et Steph. ll. cc. Brunck. Beck.

Ἔνθεν δὲ Σθενέλου τάφον ἔδρακον Ἀκτορίδαο,
ὅς ῥά τ' Ἀμαζονίδων πολυθαρσέος ἐκ πολέμοιο
ἂψ ἀνιὼν, δὴ γὰρ συνανήλυθεν Ἡρακλῆϊ,
βλήμενος ἰῷ κεῖθεν ἐπ' ἀγχιάλου θάνεν ἀκτῆς.
οὐ μέν θην προτέρω ἔτ' ἐμέτρεον. ἧκε γὰρ αὐτὴ
Φερσεφόνη ψυχὴν πολυδάκρυον Ἀκτορίδαο
λισσομένην τυτθόν περ ὁμήθεας ἄνδρας ἰδέσθαι.
τύμβου δὲ στεφάνης ἐπιβὰς σκοπιάζετο νῆα,
τοῖος ἐὼν, οἷος πόλεμόνδ' ἴεν· ἀμφὶ δὲ καλὴ
τετράφαλος φοίνικι λόφῳ ἐπελάμπετο πήληξ.
καί ῥ' ὁ μὲν αὖτις ἔδυνε μέλαν ζόφον· οἱ δ' ἐσιδόντες
θάμβησαν· τοὺς δ' ὦρσε θεοπροπέων ἐπικέλσαι
Ἀμπυκίδης Μόψος, λοιβῇσί τε μειλίξασθαι.
οἱ δ' ἀνὰ μὲν κραιπνῶς λαῖφος σπάσαν, ἐκ δὲ βαλόντες
πείσματ' ἐν αἰγιαλῷ Σθενέλου τάφον ἀμφεπένοντο,
χύτλα τέ οἱ χεύοντο, καὶ ἥγνισαν ἔντομα μήλων.
ἄνδιχα δ' αὖ χύτλων νηοσσόῳ Ἀπόλλωνι
βωμὸν δειμάμενοι μῆλ' ἔφλεγον· ἂν δὲ καὶ Ὀρφεὺς
θῆκε λύρην· ἐκ τοῦ δὲ Λύρη πέλει οὔνομα χώρῳ.
Αὐτίκα δ' οἵ γ' ἀνέμοιο κατασπέρχοντος ἔβησαν
νῆ' ἔπι· καδδ' ἄρα λαῖφος ἐρυσσάμενοι τανύοντο
ἐς πόδας ἀμφοτέρους· ἡ δ' ἐς πέλαγος πεφόρητο
ἐντενὲς, ἠΰτε τίς τε δι' ἠέρος ὑψόθι κίρκος
ταρσὸν ἐφεὶς πνοιῇ φέρεται ταχὺς, οὐδὲ τινάσσει

914. *θάμεν* Med.

915. *ἀνεμέτρεον* Schol. uterque, unde receperunt Steph. Hoelzlinus Shaw., sed codd. et edd. veteres omnes habent *ἔτ' ἐμέτρεον*, quod cum Brunck. et Beck. revocavi.

921. *μέγαν* vulg. *μέλαν* Vatt. A. C. D. Regg. quatuor, Med. Guelph. Vrat. Vind., quod recte praetulerunt Brunck. Beck. Nigrum colorem omnibus rebus inferis tribui notissimum. — *οἵ τ'* Reg. A.

922. *θεοπρεπέων* Reg. A.

925. *πίσματ'* Med. — *ἀμφεπέμοντο* Flor.

926. *χεύαντο* Brunck. sine codd. propter sequens *ἥγνισαν*, quasi non vidisset, et *ἀμφεπένοντο* praecedere. *ἥγισαν* conjecit Rutgers. var. lect. p. 10, quo non opus est; *ἁγνίζειν* est *sacrificare, comburere*, v. Musgr. ad Soph. Antig. 196, quem neque noster locus fugit, et Jacobs. ad Anthol. Pal. p. 815.

928. *μῆρ' ἔφλεγον* conjectura dedit Brunck., quia Diis superis non integrae victimae, sed partes tantum earum comburebantur. Sed quamquam ita etiam in Vat. C. legitur, non tamen cum Beckio recepi, nam quum dicit *μῆλ' ἔφλεγον*, non hoc dicit poeta, integras oves combustas esse, sed per se intelligitur, de iis partibus sermonem esse, quae comburi solebant; eodem modo loquitur I, 302 s. et II, 1172. Praeterea *μῆρα* ut rarius apud Homerum, ita apud Apollonium nunquam legitur.

929. *ἐκ δὲ τοῦ* Steph. operarum errore. — *ὄνομα* Vrat. Vind.

934. *φέρεται πνοιῇ* Reg. A. — *φόρεται* Vind.

ῥιπὴν, εὐκήλοισιν ἐνευδιόων πτερύγεσσιν.
καὶ δὴ Παρθενίοιο ῥοὰς ἁλιμυρήεντος,
πρηΰτάτου ποταμοῦ, παρεμέτρεον, ᾧ ἔνι κούρη
Λητωΐς, ἄγρηθεν ὅτ' οὐρανὸν εἰσαναβαίνει,
ὃν δέμας ἱμερτοῖσιν ἀναψύχει ὑδάτεσσιν.
νυκτί τ' ἔπειτ' ἄλληκτον ἐπιπροτέρωσε θέοντες,
Σήσαμον αἰπεινούς τε παρεξενέοντ' Ἐρυθίνους,
Κρωβίαλον, Κρῶμναν τε, καὶ ὑλήεντα Κύτωρον.
ἔνθεν δ' αὖτε Κάραμβιν ἅμ' ἠελίοιο βολῇσιν
γνάμψαντες, παρὰ πουλὺν ἔπειτ' ἤλαυνον ἐρετμοῖς
αἰγιαλὸν, πρόπαν ἦμαρ ὁμῶς, καὶ ἐπ' ἤματι νύκτα.
Αὐτίκα δ' Ἀσσυρίης ἐπέβαν χθονὸς, ἔνθα Σινώπην,
θυγατέρ' Ἀσωποῖο, καθίσσατο, καί οἱ ὄπασσε
παρθενίην Ζεὺς αὐτὸς ὑποσχεσίῃσι δολωθείς.
δὴ γὰρ ὁ μὲν φιλότητος ἐέλδετο· νεῦσε δ' ὅγ' αὐτῇ
δωσέμεναι, ὅ κεν ᾗσι μετὰ φρεσὶν ἰθύσειεν.
ἡ δέ ἑ παρθενίην ᾐτήσατο κερδοσύνῃσιν.
ὣς δὲ καὶ Ἀπόλλωνα παρήπαφεν, εὐνηθῆναι

935. *εὐκήλησιν* Brunckius nescio quid agens ex uno Reg. D. recepit, et cum eo Beckius, unde in lexica immigravit error, Apollonium feminino *εὐκήλη* uti. Nihil falsius; Apollonius ubique *εὔκηλος* communi genere habet III, 769. IV, 61. 1249, et illa unius libri lectio ex irequentissima terminationum *οισι* et *ῃσι* confusione nata est, de qua vid. ad I, 128. Itaque deleatur in lexicis. — *πτερύγεσιν* Med. *πτερύγεσσι* Vrat.

938. *εἰσαναβαίνῃ* Reg. B. Med. Guelph. Vrat. Vind. *εἰσαναβαίνοι* Reg. E. et suprascr. in Reg. A. Sed indicativus recte se habet ut I, 1100, ubi eadem est varietas.

939. *ἀναψύχει ἱμερτοῖσιν* Vrat. Vind. — *ὑδάτοισι* Guelph.

940. *ἄληκτον* Vat. B. Reg. E. Flor. Brub. Basil. — *ἐπὶ προτέρωσε* Vrat. Brunck. Beck.

941. *παρεξερέοντ'* Reg. A.

942. *Κρωβύαλον* Vat. C. — Hunc versum laudant Steph. Byz. s. v. *Κρωβίαλος*, Eustath. ad Il. p. 274 ed. Bas. et Etymol. M. p. 541, 36.

943. *ἐνθάδε αὖτε* male et sine codd. Steph. Hoelzlin. Shaw. *ἔνθα δ' αὖτε* Med. a m. 1. et edd. vett. *ἐνθάδ' αὖτε* Vatt. A. B. C. D. Regg. A. B. *ἔνθ' αὖτε* Reg. E. *ἔνθεν διαῦλε* Vind. *ἔνθεν δ' αὖτε* Med. a m. 2. Reg. D. Guelph. Vrat., quod recte receperunt Brunck. Beck. — *Κάραβιν* Vind. et Vrat. a m. 1.

944. *πολὺν* Vind.

945. *ὁμῶς καὶ ἐπ' ἤματι* Vat. B Guelph. et edd. usque ad Brunck. *ὁμῶς ἐπ' ἤματι* Vatt. A. C. D. Med. Vrat. Vind. *ὁμῶς ἐπὶ ἤματι* Regg. quinque, unde Brunckius ex conjectura dedit *ὁμῶς τ' ἐπὶ ἤματι*, quod recepit Beck., sed improbant Herm. ad Orph. p. 733 et Gerhard. p. 189, ille propter hiatum, quem ferri posse vidimus supra ad II, 660, hic quia nulla librorum auctoritate nititur. Uterque vulgatam probat, quam et ego in textu exhibui, ut a conjectura abstinerem, sed quum illud *καί* a tot libris absit, ita potius legendum puto: *πρόπαν ἦμαρ ὁμῶς, ἐπί τ' ἤματι νύκτα*. Facile *T* post *I* excidere potuit, hinc reliquae turbae ortae sunt. — Post *ὁμῶς* comma non ponere debebam, sed posui, ne *ὁμῶς* cum sequentibus male jungatur, ut vulgo fit commate ante *ὁμῶς* posito.

ἱέμενον, ποταμόν τ' ἐπὶ τοῖς Ἅλυν· οὐδὲ μὲν ἀνδρῶν
τήν γέ τις ἱμερτῇσιν ἐν ἀγκοίνῃσι δάμασσεν.
ἔνθα δὲ Τρικκαίοιο ἀγαυοῦ Δηϊμάχοιο
υἷες, Δηϊλέων τε καὶ Αὐτόλυκος Φλόγιός τε,
τῆμόσδ' Ἡρακλῆος ἀποπλαγχθέντες, ἔναιον·
οἵ ῥα τόθ', ὡς ἐνόησαν ἀριστήων στόλον ἀνδρῶν,
σφᾶς αὐτοὺς νημερτὲς ἐπέφραδον ἀντιάσαντες·
οὐδ' ἔτι μιμνάζειν θέλον ἔμπεδον, ἀλλ' ἐνὶ νηῒ
Ἀργέσταο παρᾶσσον ἐπιπνείοντος ἔβησαν.
τοῖσι δ' ὁμοῦ μετέπειτα θοῇ πεφορημένοι αὔρῃ
λεῖπον Ἅλυν ποταμὸν, λεῖπον δ' ἀγχίῤῥοον Ἶριν,
ἠδὲ καὶ Ἀσσυρίης πρόχυσιν χθονός· ἤματι δ' αὐτῷ

954. ἱμερτοῖσιν Vatt. A. D. Regg. A. D. E. — ἐν omittit Guelph. Brub. Basil. — ἀγκύνῃσι Flor. Brub. Basil.

955. Τρικαίοιο Vat. B. Τρικμαίοιο Vat. D. Τριηκαίοιο Vrat.

956. Φλογίος vulg. Accentum in antepenultima ponunt Vrat. (et alii fortasse codd.) Brunck. Beck.

957. τῆμος, ὅθ' Ἡρακλῆος ἀποπλαχθέντες, ἔναιον vulg. sine nexu, quem restituere conatus est Brunck. admodum violenta conjectura ἀπεπλάχθησαν reponens. Melius Beckius, codicum Regiorum vestigiis insistens, quorum A. et marg. B. habent ἀποπλάγχθεν παρέναιον, D. ἀποπλαχθέντες παρέναιον, rescripsit: ἀπέπλαγχθεν, παρέναιον. Sed neque hoc verum videtur; primum enim debetur codicibus Regg., quibus in ejusmodi rebus minima fides habenda, quoniam saepe conjecturis ad versus sanandos interpolati inveniuntur (cf. Gerhard. p. 49), deinde παραναίω ab epicorum usu prorsus sejunctum est, et si in usu esset, tamen παρά h. l. plane otiosum foret; postremo displicet constructio ὅτε ἀπεπλάγχθησαν, cujus loco necessario poeta participio uti debebat et aliis locis usus est, ut I, 316. 1325. Itaque in ὅθ' potius, quod supervacaneum est, vitium quaerendum est, et unice vera videtur emendatio Gerhardi, qui p. 49 τῆμος ὅθ' in τῆμόσδ' mutavit, quod sensui ita satisfacit, ut in textum receperim.

958. τότ' Flor.

959. σφᾶς displicet Spitznero de vers. her. p. 190, quia et Apollonius et reliqui hujus generis poetae semper σφέας dicunt; sed perspicuum est, σφᾶς dici debuisse, quia initio versus collocatum est. Est sane hic unicus Apollonii versus a σφᾶς incipiens, neque apud Homerum unquam hoc vocabulum versus initio ponitur.

960. οὐδέ τι Vrat. — θέλον quum sit forma non Homerica, Hermann. ad Hymn. Apollon. 48 ἄδεν scribi voluit, sed vulgatam recte tuetur Gerhard. p 90 s.

961. παρ' ἆσσον vulg. et Etymol. M. p. 136, 26, ubi hic versus laudatur. Conjunctim habent Regg. A. D. E. Brunck. Beck.

963. λίπον δ' Med. Vrat. Vind. — ἀγχίροον Reg. C. Brunck. Beck. — Etymol. M. 475, 43 auctoris nomine non addito haec verba laudat; ποταμὸν ἀγχίῤῥοον Ἶριν, ubi reliqua per errorem excidisse perspicuum est.

964. Schol. Flor. ad hunc versum, πρόχυσιν Ἀσσυρίας explicans, haec habet: ὡς καὶ ἐν τοῖς ἐπάνω·

λεῖπον Ἅλυν ποταμὸν, λεῖπον δ' ἁλιμυρέα χῶραν,
Ἀσσυρίης ἀνέχουσαν ἀπὸ χθονός.

Eadem fere Schol. Paris., qui posterius hemistichium omittit. Sed in superioribus haec non leguntur. Manifestum est, haec ad nostrum locum pertinere et ad priorem recensionem referenda esse, Scholiastas vero falso de loco superiore cogitasse. Ceterum versum, ut nunc legitur, ante

γνάμψαν Ἀμαζονίδων ἕκαθεν λιμενήοχον ἄκρην.
Ἔνθα ποτὲ προμολοῦσαν Ἀρητιάδα Μελανίππην
ἥρως Ἡρακλέης ἐλοχήσατο, καί οἱ ἄποινα
Ἱππολύτη ζωστῆρα παναίολον ἐγγυάλιξεν
ἀμφὶ κασιγνήτης· ὁ δ᾽ ἀπήμονα πέμψεν ὀπίσσω.
τῆς οἵ γ᾽ ἐν κόλπῳ, προχοαῖς ἔπι Θερμώδοντος,
κέλσαν, ἐπεὶ καὶ πόντος ὀρίνετο νισσομένοισιν.
τῷ δ᾽ οὔτις ποταμῶν ἐναλίγκιος, οὐδὲ ῥέεθρα
τόσσ᾽ ἐπὶ γαῖαν ἵησι παρὲξ ἕθεν ἄνδιχα βάλλων.
τετράκις εἰς ἑκατὸν δεύοιτό κεν, εἴ τις ἕκαστα
πεμπάζοι· μία δ᾽ οἴη ἐτήτυμος ἔπλετο πηγή.
ἡ μέν τ᾽ ἐξ ὀρέων κατανίσσεται ἠπειρόνδε
ὑψηλῶν, ἅ τε φασὶν Ἀμαζόνια κλείεσθαι.
ἔνθεν δ᾽ αἰπυτέρην ἐπικίδναται ἔνδοθι γαῖαν
ἀντικρύ· τῷ καί οἱ ἐπίστροφοι εἰσὶ κέλευθοι·
αἰεὶ δ᾽ ἄλλυδις ἄλλη, ὅπῃ κύρσειε μάλιστα
ἠπείρου χθαμαλῆς, εἱλίσσεται· ἡ μὲν ἄπωθεν,
ἡ δὲ πέλας· πολέες δὲ πόροι νώνυμνοι ἔασιν,
ὅππῃ ὑπεξαφύονται· ὁ δ᾽ ἀμφαδὸν ἄμμιγα παύροις
Πόντον ἐς Ἄξεινον κυρτὴν ὑπερεύγεται ἄχνην.

oculos habuit Dionys. Perieg. 772 *τοὺς δὲ μετ᾽ Ἀσσυρίης πρόχυσις χθονὸς ἐκτετάνυσται.*

965. *λιμενήοχων* suprascr. o Guelph. *λιμενίοχον* Schol. Paris. Hunc cum quatuor proximis versibus laudat Tzetz. ad Lycophr. 1327.

966. *προμιλοῦσαν* Guelph.

969. *ἀμφικασιγνήτης* Vatt. C. D. — *πέμπεν* Reg. A.

971. *νισομένοισιν* Med.

972. *ἐναλίγγιος* Guelph.

973. *ἄλαδε* pro *ἄνδιχα* Vat. B.

974. *πετράκις* Vind.

975. *πεμπάζει* Reg. A.

976. *κατανείσεται* vulg. ut semper. *κατανίσσεται* Regg. quatuor, Guelph. Vrat. Vind. Brunck. Beck.

977. *Ἀμαζόνεια* Reg. A.

978. *γαῖαν ἔνδοθι* Vrat.

980. *ἄλλῃ* Brunck. errore typothetae ut videtur.

981. *εἱλήσσεται* Flor. Brub. Basil.

982. *πέρας* Regg. tres. — *νώνυμοι* Vat. B. Regg. quinque. — *ἔασσιν* Guelph.

983. *ὅπῃ* Med. a m. 1. — *ὑπεξαφέωνται* Regg. A. E. — *ἀπαύρας* Guelph. Hoerstel.

984. *πόντου* Flor. — *εὔξεινον* Guelph. — *κυρτὴν ἀπερεύγεται ἄκρην* vulg. *ὑπερεύγεται* Vatt. A. C. D. Regg. quinque, Med. Guelph. Vrat. Vind., quod confirmatum Schol. Flor. explicatione recte receperunt Brunck. Beck. Sed ita nondum sanatus est locus, et maxime probo Ruhnkenii conjecturam, Ep. crit. p. 236 *ἄκρην* in *ἄχνην* mutantis, in quam et Wakefield. incidit. Nam primum quomodo accusativus *ἄκρην* ab *ὑπερεύγεσθαι* pendere possit non video, nam IV, 631 est *ἐπερεύγεται*; deinde quod sit illud Ponti promontorium, sub quod Thermodon se effundit, nemo facile dixerit; postea qui *ἄκραν* vocaverit *κυρτήν*, scio neminem, de fluctibus illud adjectivum et Homerus saepe usurpavit, et Noster II, 581. Denique rem conficit collatus a Ruhnkenio Dionysius Perieg., diligentissimus Nostri imitator, qui

καί νύ κε δηθύνοντες Ἀμαζονίδεσσιν ἔμιξαν
ὑσμίνην, καὶ δ' οὔ κεν ἀναιμωτί γ' ἐρίδηναν,
(οὐ γὰρ Ἀμαζονίδες μάλ' ἐπητέες, οὐδὲ θέμιστας
τίουσαι πεδίον Δοιάντιον ἀμφενέμοντο·
ἀλλ' ὕβρις στονόεσσα καὶ Ἄρεος ἔργα μεμήλει·
δὴ γὰρ καὶ γενεὴν ἔσαν Ἄρεος Ἁρμονίης τε
Νύμφης, ἥ τ' Ἄρηϊ φιλοπτολέμους τέκε κούρας,
ἄλσεος Ἀκμονίοιο κατὰ πτύχας εὐνηθεῖσα·)
εἰ μὴ ἄρ' ἐκ Διόθεν πνοιαὶ πάλιν Ἀργέσταο
ἤλυθον· οἱ δ' ἀνέμῳ περιηγέα κάλλιπον ἄκρην
ἔνθα Θεμισκύρειαι Ἀμαζόνες ὡπλίζοντο.

cum v. 300 et 981 *ἐρεύγεται* et *ἀπερεύγεται ἄχνην* dixit, tum v. 693 *Εὐξείνου ποτὶ χεῦμα ϑοὴν ἀπερεύγεται ἄχνην*, qui versus quin ex nostro fluxerit dubitari vix potest. Praeterea tam similis est litterarum ductus in vocabulis *ἄκρη* et *ἄχνη*, ut confundi facillime potuerint. Sed *ἀπερεύγεται*, quod voluit Ruhnk., et Wakefieldii *ἐπερεύγεται* meliorum librorum lectioni cedere debuit.

987. *ἐπήτιες* Reg. D.

989. *Ἄρεως* Vrat. — *μεμήλει* pro vulg. *μέμηλε* reposuit Brunck. propter temporum rationem, sequente Beckio, idque sane propter *ἀμφενέμοντο* et *ἔσαν* necessarium videtur, et facilis erat corruptio: *ι* transiit, ut saepe, in *ν* finale (*μέμηλεν* habent Med. Vrat.), quod deinde omissum est.

992. *ἄλσος* Flor. — *Ἀλκμονίοιο* Regg. A. E., quod receperunt Brunckius et Beckius, quamquam praeter exiguam hanc unius libri auctoritatem (nam A. et E. unius instar habendi sunt) nihil istam lectionem commendat, nisi quod Scholl. ad v. 373 Doeantis fratrem Alcmona vocant. Sed facilius credas hoc Scholiastarum loco *ΑΛ* in *Α* mutandum esse, quam nostro loco errorem in tot libros irrepsisse, quibus accedit praeterea Steph. Byz. s. v. *Ἀκμονία*, qui ex nostro loco *Ἀκμόνιον ἄλσος* laudat.

993. *ἄρ' ἐκ* omittunt Vatt. A. C. D. Vrat. Vind. *ἄρ'* deest in Regg. quinque, quos secuti sunt Brunck. et Beck. Sed *εἰ μὴ ἄρα* adeo frequentatum est et Homero et Nostro, ut in vulgata persistam. — *Ἀργεστάοιο* Med.

994. *ἡ δ'* Vrat. *ἐκ δ'* marg. Vind. — *ἀκτήν* ex conjectura dedit Brunckius, obsequente Beckio, sed ea huic loco non apta est; *ἄκρην* est necessarium, quum de promontorio Themiscyreo sermo sit, in quo versatos esse Argonautas docet v. 965. 970, ad quos hic respicitur. Quod vero propter adjectivum *περιηγής* ea mutatione opus esse dicit Brunckius, miror eum, qui supra v. 984 *κυρτὴν ἄκρην* tulerat, hic *περιηγέα* admittere nolle. Imo propter hoc adjectivum *ἄκρην* necessarium est, nam quod Apollonius de rebus prorsus rotundis adhibet, ut III, 138 de annulis, 1032 de scrobe, 1365 de saxo, IV, 950 de pila, quo tandem modo id de littore dici potest? Quod vero confert I, 559 *οἱ δ' ὅτε δὴ λιμένος περιηγέα κάλλιπον ἀκτήν*, ibi quoque *ἄκρην* scribendum videtur, quod saepius in *ἀκτήν* corruptum vidimus supra, haud vero contra. Praeterea etiam *λιμένος ἄκρη* aptius est quam *ἀκτή*, ut v. 965 *λιμενήοχον ἄκρην*.

995. *Θεμισκύριαι* vulg. metro claudicante, cui mederi voluerunt librarii in Regg. B. D. E. *γέ* post hanc vocem inserendo. *Θεμιρκύσειαί γε* Regg. A. C. *Θεμισκύρειαι* sine illo *γέ* Vrat. Vind. Brunck. Beck., quam formam habet etiam Schol. Paris. ad v. 999 et Etymol. M. p. 445, 30 hunc versum laudans, et conjectura invenerat Taylor. Lectt. Lys. c. IV p. 687. — *ὁπλίζοντο* Flor.

οὐ γὰρ ὁμηγερέες μίαν ἂμ πόλιν, ἀλλ' ἀνὰ γαῖαν
κεκριμέναι κατὰ φῦλα διάτριχα ναιετάασκον·
νόσφι μὲν αἵδ' αὐταὶ, τῇσιν τότε κοιρανέεσκεν
Ἱππολύτη, νόσφιν δὲ Λυκάστιαι ἀμφενέμοντο,
νόσφι δ' ἀκοντοβόλοι Χαδήσιαι. ἤματι δ' ἄλλῳ
νυκτί τ' ἐπιπλομένῃ Χαλύβων παρὰ γαῖαν ἵκοντο.
Τοῖσι μὲν οὔτε βοῶν ἄροτος μέλει, οὔτε τις ἄλλη
φυταλιὴ καρποῖο μελίφρονος· οὐδὲ μὲν οἵ γε
ποίμνας ἑρσήεντι νομῷ ἔνι ποιμαίνουσιν.
ἀλλὰ σιδηροφόρον στυφελὴν χθόνα γατομέοντες,
ὦνον ἀμείβονται βιοτήσιον, οὐδέ ποτέ σφιν
ἠὼς ἀντέλλει καμάτων ἄτερ, ἀλλὰ κελαινῇ
λιγνύϊ καὶ καπνῷ κάματον βαρὺν ὀτλεύουσιν.
Τοὺς δὲ μετ' αὐτίκ' ἔπειτα Γενηταίου Διὸς ἄκρην
γνάμψαντες, σώοντο παρὲξ Τιβαρηνίδα γαῖαν.
ἔνθ' ἐπεὶ ἄρ κε τέκωνται ὑπ' ἀνδράσι τέκνα γυναῖκες,
αὐτοὶ μὲν στενάχουσιν ἐνὶ λεχέεσσι πεσόντες,
κράατα δησάμενοι· ταὶ δ' εὖ κομέουσιν ἐδωδῇ
ἀνέρας, ἠδὲ λοετρὰ λεχώϊα τοῖσι πένονται.
Ἱερὸν αὖτ' ἐπὶ τοῖσιν ὄρος καὶ γαῖαν ἄμειβον,

997. *διὰ τρίχα* Brunck. Beck. ut *διακεκριμέναι* jungatur, pessime. Vid. etiam Ruhnk. ad Hymn. Cer. 86. — *ναιετάεσκον* vulg. Rectam formam habent Vatt. A. D. Regg. C. D. Guelph. Vrat. Error ex simili versus sequentis exitu videtur.

998. *ἥ δ' αὖτε* Vatt. A. C. D. *αἵδ' αὖτε* Med. (a prima manu, *αὖαι* a secunda) Flor. Brub. Basil. — *τῇσι* Regg. C. E. Brunck. Beck.

999. *νόσφι* Vatt. A. B. D. Regg. A. C. E. Vrat. Brunck. Beck.

1000. *χαλήσιαι* Ald. Brub. Basil. Hoelzlin. *χαλδήσιαι* Guelph. *χαδήσιαι* reliqui codd. omnes, Flor., Schol. uterque, Brunck. Beck., quod confirmat etiam Plin. Hist. nat. VI, 3 a Brunckio allatus. Hinc emendandi sunt Scholl. Paris. et Flor. ad II, 373, quorum ille *Χαλκοβία*, hic *Χαλυβία* habet, utrumque palaeographicis rationibus explicatu facile, et Steph. Byz., qui s. v. *Χαδισία* hunc versum laudat mutilatum.

1002. *μέλλει* Vrat.

1003. *φοιταλιὴ* Med. Flor. Brub. Basil. In codd. Regg. teste Brunckio vocabulum *παροξύνεται*, quos secutus est Beckius, male. v. Arcad. de Accent. p. 99.

1004. *ἀερσήεντι* Vrat. Vind. marg. Reg. A. — *ποιμένουσι* Vind.

1006. Dionys. Perieg. 1106 *τῆς ἀποτεμνόμενοι βιοτήσιον ὦνον ἔχουσιν.*

1007. *ἀνατέλλει* Flor. — *ὕπερ* pro *ἄτερ* Reg. A.

1008. *λιχνύϊ* Med. *λιγνύῃ* Flor.

1009. *τούσδε* Brunck. Beck. sine libris male.

1013. *κράα* Med. a m. 1. — *εὐκομέουσιν* vulg. Divisim habent codd. omnes (praeter Vat. B. et Med.) ed. Paris. Steph. Brunck. Beck.

1014. *πέλονται* Reg. A.

1015. *Ἱερὸν δ' αὖτ'* vulg. contra metrum. *Ἱερὸν δ' αὖ* Regg. A. B. *δ'* omittit Reg. D., quem recte secuti sunt Brunck. Beck., natum est ex sequente A, ut saepissime, e. c. I, 211. Supra etiam I, 179 solum *αὖτε* sine particula *δέ* transitui inserviens

ἧ ἔνι Μοσσύνοικοι ἀν' οὔρεα ναιετάουσιν
μόσσυνας· καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
ἀλλοίη δὲ δίκη, καὶ θέσμια τοῖσι τέτυκται.
ὅσσα μὲν ἀμφαδίην ῥέζειν θέμις, ἢ ἐνὶ δήμῳ,
ἢ ἀγορῇ, τάδε πάντα δόμοις ἔνι μηχανόωνται·
ὅσσα δ' ἐνὶ μεγάροις πεπονήμεθα, κεῖνα θύραζε
ἀψεγέως μέσσῃσιν ἐνὶ ῥέζουσιν ἀγυιαῖς.
οὐδ' εὐνῆς αἰδὼς ἐπιδήμιος, ἀλλὰ, σύες ὣς
φορβάδες, οὐδ' ἠβαιὸν ἀτυζόμενοι παρεόντας,
μίσγονται χαμάδις ξυνῇ φιλότητι γυναικῶν.
αὐτὰρ ἐν ὑψίστῳ βασιλεὺς μόσσυνι θαάσσων
ἰθείας πολέεσσι δίκας λαοῖσι δικάζει,
σχέτλιος. ἢν γάρ πού τι θεμιστεύων ἀλίτηται,
λιμῷ μιν κεῖν' ἦμαρ ἐνικλείσαντες ἔχουσι.
Τοὺς παρανισσόμενοι, καὶ δὴ σχεδὸν ἀντιπέρηθεν
νήσου Ἀρητιάδος, τέμνον πλόον εἰρεσίῃσιν
ἠμάτιοι· λιαρὴ γὰρ ὑπὸ κνέφας ἔλλιπεν αὔρη.

vidimus, ut *αὖ* I, 118. 211. — *τοῖσι κε γαῖαν* omisso *ὄρος* Guelph.

1016. *Μοσσύνικοι* Flor. — *ναιετάουσιν* Vrat. — Post hunc versum Brunckius, quem sequitur Beck., inseruit eum, quem supra post v. 381 ejecerat, quod ferri fortasse posset, si aut absque mutatione inseri posset, aut sensus eum flagitaret. Sed et mutari debuit, ut loco accommodaretur; ita enim eum h. l. scripsit Brunck.:

δουρατέους πύργους εὐπηγέας, οὓς καλέουσι

et sensus causa abesse optime potest; nam quod Brunckius dicit, poetam peregrino vocabulo *μόσσυνας* uti non potuisse, nisi antea quid significaret explicasset, ineptum est. Eodem modo eo utitur Dionys. Perieg. 766 et mox noster v. 1027. Itaque exulare jussimus versum Brunckianum.

1017. Hic versus deest in Vrat., sed margini a manu sequiore adscriptus est. Non aegre ferrem, si abesset.

1019. *ἀμφαδίῃ* Vatt. A. C. D. Regg. quatuor, Med. Vrat. Vind., quod receperunt Brunck. Beck. Sed quum error tam pronus esset ex confusione iota subscripti et litterae *ν*, de qua jam saepius sermo fuit, non recipienda erat forma inaudita, quae apud alium scriptorem nullum legitur, nisi apud Nostrum III, 97 ex conjectura Brunckiana, et apud Etymol. M. 88, 36, ubi ex eodem errore nata videtur, praesertim quum statim laudet Nostri IV, 344, ubi *ἀμφαδίην* legitur. Hac enim forma, quae apud Homerum aliosque semper legitur, et Noster utitur I, 475. III, 97. 982. IV, 344.

1021. *μεγάροισι* Guelph.

1027. *θειείας* Guelph.

1028. *τι* omittunt Vrat. Vind. Flor. Brub. Basil. *τε* ejus loco habet Guelph.

1029. *μὲν* Vind., sed *μιν* in margine.

1030. *παραμειβόμενοι* vulg., sed legitur hoc tantummodo in Vat. B. marg. Reg. B. et fortasse in Guelph., et ex ed. Flor. in reliquas edd. transiit. *παρανεισσόμενοι* habent Vrat. Vind. *παρανισσόμενοι* Vatt. A. C. D. Regg. quinque, Med., quod recte recepit Beck. Miror Brunckium hic aliquando, ubi debebat, libris suis non obsecutum esse.

1031. *Ἀρτιάδος* Guelph.

1032. *διερὴ* Vatt. A. C. D. Vrat.

ἤδη καί τιν' ὕπερθεν Ἀρήϊον ἀΐσσοντα
ἐνναέτην νήσοιο δι' ἠέρος ὄρνιν ἴδοντο,
ὅς ῥα τιναξάμενος πτέρυγας κατὰ νῆα θέουσαν
ἧκ' ἐπί οἱ πτερὸν ὀξύ· τὸ δ' ἐν λαιῷ πέσεν ὤμῳ
δίου Ὀϊλῆος· μεθέηκε δὲ χερσὶν ἐρετμὸν
βλήμενος· οἱ δὲ τάφον πτερόεν βέλος εἰσορόωντες,
καὶ τὸ μὲν ἐξείρυσσε παρεδριόων Ἐριβώτης,
ἕλκος δὲ ξυνέδησεν ἀπὸ σφετέρου κολεοῖο
λυσάμενος τελαμῶνα κατήορον· ἐκ δὲ φαάνθη
ἄλλος ἐπὶ προτέρῳ πεποτημένος· ἀλλά μιν ἥρως
Εὐρυτίδης Κλύτιος, (πρὸ γὰρ ἀγκύλα τείνατο τόξα,
ἧκε δ' ἐπ' οἰωνὸν ταχινὸν βέλος,) αὐτὰρ ἔπειτα
πλῆξεν· δινηθεὶς δὲ θοῆς πέσεν ἀγχόθι νηός.

Vind. λιερῇ marg. Vind. hinc perspicua erroris origo.

1039. ἐξείρυσε vulg. Duplex σ, quod flagitat metrum, habent Vatt. A. D. Reg. B. Vrat. Vind. Brunck. Beck. — Ἐρυβώτης vulg. Ἐριβώτης Reg. A. et fortasse reliqui Regg. codd., tacite enim Brunckius, et cum eo Beckius, eam formam reposuit, quam I, 71. 73 legerat, ubi eadem varietas observata est.

1041. λυσσάμενος Vind. — δ' ἐφαάνθη Brunck. sine libris nec monito lectore. Vid. ad II, 1072.

1042. Editores quum verba πρὸ γὰρ ἀγκύλα τείνατο τόξα parenthesi inclusa putarent, offensi sunt pronomine μιν, quod cum sequente constructione non coire videbatur, quare Brunckius ἀλλὰ μὲν ex conjectura reposuit, et v. 1044 ἧκεν ἐπ' οἰωνόν scripsit, quod praebent Regg. quatuor. Secutus est Beckius. Sed quamquam haec emendatio Brunckio indubitata videtur, tamen neque ἀλλὰ μὲν ferri potest, neque illi librorum Regg. lectioni magna auctoritas est, neque omnino mutandi causam esse mox videbimus. Offensus est etiam Gerhardus p. 76 s., maxime vocabulis πρὸ γὰρ ἀγκύλα τείνατο τόξα, quae ei non solum otiosa sed etiam inepta videntur, ideoque locum sic emendandum putat:

ἀλλ' ὁ μὲν ἥρως
Εὐρυτίδης Κλύτιος πρόπαρ ἀγκύλα τείνατο τόξα,
ἧκε δ' ἐπ' οἰωνὸν ταχινὸν βέλος.

Sed μιν non ad βέλος referendum est, quod putat Gerhardus, sed ad avem, et verba illa desinunt otiosa esse, si cum sequentibus communi parenthesi includuntur, ut feci. Id enim dicere vult poeta, Clytium prius tetendisse arcum sagittamque emisisse, quam pennam demittere posset avis. Ad verum proxime accessit Matthiae obss. critt. p. 28, qui recte vidit jungenda esse verba ἀλλά μιν ἥρως ἔπληξε, sed offensus particula αὐτὰρ emendavit αὐτίκ' ἔπειτα, quae et ipsa inutilis est mutatio. Est enim hoc usitatissimum anacoluthon, ex quo αὐτὰρ infertur, quamquam praecessit ἀλλά, post parenthesin facillime excusandum, quemadmodum apud quosvis scriptores δέ post parenthesin inferri adeo notum est, ut exemplis afferendis supersedere possim. Parentheseos signa, quamquam melius abessent, posui, quo magis perspicua sit constructio.

1043. καμπύλα Flor.

1044. ἧκεν ἐπ' Regg. quatuor. Brunck. Beck. — ταχυνὸν Vrat. Vind. Flor. Brub. Basil.

1045. δυνηθεὶς Flor. Brub. Basil. — θοῆς deest in Vrat. Vind. — ἐγγύθι Regg. quinque, quos secuti sunt Brunck. Beck. ut solent.

τοῖσιν δ' Ἀμφιδάμας μυθήσατο, παῖς Ἀλεοῖο.
„Νῆσος μὲν πέλας ἡμὶν Ἀρητιὰς, ἴστε καὶ αὐτοὶ
„τούσδ' ὄρνιθας ἰδόντες. ἐγὼ δ' οὐκ ἔλπομαι ἰοὺς
„τόσσον ἐπαρκέσσειν εἰς ἔκβασιν. ἀλλά τιν' ἄλλην
„μῆτιν πορσύνωμεν ἐπίῤῥοθον, εἴ κ' ἐπικέλσαι
„μέλλετε, Φινῆος μεμνημένοι, ὡς ἐπέτελλεν.
„οὐδὲ γὰρ Ἡρακλέης, ὁπότ' ἤλυθεν Ἀρκαδίηνδε,
„πλωΐδας ὄρνιθας Στυμφαλίδας ἔσθενε λίμνης
„ὤσασθαι τόξοισι, τὸ μέν τ' ἐγὼ αὐτὸς ὄπωπα.
„ἀλλ' ὅγε χαλκείην πλατάγην ἐνὶ χερσὶ τινάσσων

1046. τοῖσι Flor. Brub. Basil.
1047. ἡμῖν Flor. Brub. Basil.
1048. τοὺς Vrat. Vind.
1049. ἐπαρκέσειν Vrat. Vind. Flor.

1050. ἐπίρροθον Brunck. Beck.—εἴ γ' ex emendatione Brunck. Beck. ne εἴ κε cum indicativo constructum sit; sed μέλλετε versus causa pro μέλλητε positum est, cf. Thiersch. Gr. gr. p. 262.

1051 οἷ' ἐπέτελλεν suspicatur Brunck. sine causa. Conjunctionis ὡς ita usurpatae exempla suppeditant Herm. ad hymn. Hom. Cer. 172. 296. 416. Mitscherl. ad hymn. Cer. 137. Schaef. ad Soph. Oed. Col. 1124. Lobeck. ad Phryn. p. 427. Sic apud Nostrum I, 348 ἐπὶ δ' ἤνεον, ὡς ἐκέλευεν Ἡρακλέης. II, 23 θεσμοῖς γὰρ ὑπείξομεν, ὡς ἀγορεύεις.

1052. Ἀρκαδίην γε Vatt. C. D. Vrat. Vind., sed in hujus margine vulg.

1053. πλωάδας ex Grammaticorum testimoniis restitui jussit Ernest. ad Homer. Epigr. IX, cui obtemperarunt Brunck. et Beck. Sic sane legit etiam Etymol. M. p. 731, 40 versum nostrum laudans, sed ita ad unum omnes consentiunt libri, ut non tantum Grammaticorum testimonio tribuendum putem, cui repugnant etiam Scholl., quorum uterque formam πλωΐδας tenet, et Seleucum atque Charonem (Χάρης Schol. Paris.) testes excitant, a quibus idem nomen adhibitum sit, fortasse quia non ignorabant, ab aliis eas πλωάδας vocatas esse. — Στυμφαλλίδας Med. a m. 2, (nam a prima Στυφαλλίδας habet) Στυμφαλίδος Regii tres et Vind., unde Brunck. (et Beck.) Στυμφηλίδος dedit, duplici errore commisso. Quamquam enim Στυμφαλίς a quibusdam lacus vocatur, ut ab Apollod. II, 5, 6. Diod. Sic. IV, 13 et Schol. Flor. ad hunc versum, aliter tamen audit testibus gravioribus, Στυμφηλίη Herod. VI, 76. Στυμφαλία Strab. VIII p. 567. Steph. Byz. s. v. Στύμφαλος, Στυμφήλη Schol. Paris., et ad aves potius quam ad lacum h. l. referendum esse adjectivum docet sensus, docet meliorum librorum lectio, docent Scholl. et Etymol. M. s. v. Quod vero ionicam formam proprio Marte reposuit, pessime fecit; quamquam enim Στύμφηλος apud Homerum legitur Il. II, 608 et apud Pausan. V, 10. VI, 8, Στυμφηλίη apud Herodotum, Στυμφηλίς tamen nullo usquam loco cujuscunque scriptoris legitur, ideoque omnium minime sine libris scribi debebat.

1055. πλαταγὴν vulg. πλατάγην Vatt. A. C. D. Regg. quidam, Med. Vrat., quod cum Beckio recepi. Schol. Paris. haec habet: ὁ μὲν οὖν Ἡρωδιανὸς τὴν πλαταγὴν ὀξύνεσθαι φησὶν ἐν τῇ καθόλου· βέλτιον δὲ ἴσως, τὴν μὲν πλαταγὴν, τὸν ἦχον, ὀξύνειν, τὴν δὲ πλατάγην, τὸ κρόταλον, παροξύνειν. Arcad. de Accent. p. 105 καὶ τὸ πατάγη δέ τινες βαρύνουσιν, ubi πλατάγη legendum videtur. Itaque meliores libros secutus sum. De Guelph. et Vind. non constat. Cum vulgata consentit tamen Etymol. M. p. 674, 37, ubi hic versus laudatur.

„δούπει ἐπὶ σκοπιῆς περιμήκεος· αἳ δὲ φέβοντο
„τηλοῦ, ἀτυξηλῷ ὑπὸ δείματι κεκληγυῖαι.
„τῷ καὶ νῦν τοίην τιν' ἐπιφραζώμεθα μῆτιν·
„αὐτὸς δ' ἂν τοπάροιθεν ἐπιφρασθεὶς ἐνέποιμι.
„ἀνθέμενοι κεφαλῇσιν ἀερσιλόφους τρυφαλείας,
„ἡμίσεες μὲν ἐρέσσετ' ἀμοιβαδὶς, ἡμίσεες δὲ
„δούρασί τε ξυστοῖσι καὶ ἀσπίσιν ἄρσετε νῆα.
„αὐτὰρ πασσυδίῃ περιώσιον ὄρνυτ' ἀϋτὴν
„ἀθρόοι, ὄφρα κολῳὸν ἀηθείῃ φοβέωνται
„νεύοντάς τε λόφους καὶ ἐπήορα δούραθ' ὕπερθεν.
„εἰ δέ κεν αὐτὴν νῆσον ἱκώμεθα, δὴ τότ' ἔπειτα
„σὺν κελάδῳ σακέεσσι πελώριον ὄρσετε δοῦπον.“
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἐπίῤῥοθος ἥνδανε μῆτις.
ἀμφὶ δὲ χαλκείας κόρυθας κεφαλῇσιν ἔθεντο,
δεινὸν λαμπομένας, ἐπὶ δὲ λόφοι ἐσσείοντο
φοινίκεοι. καὶ τοὶ μὲν ἀμοιβήδην ἐλάασκον·
τοὶ δ' αὖτ' ἐγχείῃσι καὶ ἀσπίσι νῆ' ἐκάλυψαν.

1056. *δούρει* Brub. Basil. — *δ' ἐφέβοντο* Vatt. A. C. D. Regg. quatuor, Vrat. Brunck. Beck. Vid. ad II, 1072.

1059. *αὐτὸς δ' αὐτὸ πάροιθεν* Reg. A.

1060. *ἐνθέμενοι* Regg. A. C. — *ἀερσιλόφος* Vind.

1061. *ἐρέσετ'* Med. a m. 1.

1062. *ἄρσατε* Regg. A. C. E., quod tam exigua auctoritate receperunt Brunck. Beck. male, hic etiam pejus, quod mox v. 1067 iisdem libris repugnantibus *ὄρσετε* dedit. Utroque loco meliores et plures libri futurum praebent, quod pro imperativo saepe poni notissimum est; neque transitus hic ab imperativo ad futurum admodum rarus est, cf. Soph. Antig. 84, ubi libri etiam variant, Virg. Aen. V, 308 sq. Hor. Od. II, 10, 22 s. cf. Bentl. ad Hor. Sat. I, 3, 74. In libris vero deterioribus imperativum repositum esse quis miretur? — *φράξατε* Reg. D. Quomodo a glossatoribus profectus sit imperativus perspici potest ex Guelph., ubi in textu est *ἄρσετε* cum glossa *σκεπάσατε*.

1063. *πανσυδίῃ* vulg. *πασσυδίῃ* Vatt. A. C. D. Med. Regg. quinque, Vrat. Vind. Vid. ad I, 323.

1064. *φοβέονται* Vrat. Vind.

1066. *ἱκοίμεθα* Reg. D., quod receperunt Brunck. Beck. pessime. Optativum hic ne ferri quidem posse, quisque videt, et mirandum est, Brunckium conjunctivum hinc expulisse, quum tam saepe *εἴ κε* cum conjunctivo apud Nostrum legisset ut I, 695 *εἴ κεν ἐπιτρέψητε*, *si commiseritis*. I, 1319 *εἴ κ' ἔτι παύρους ἐξανύσῃ*. II, 174 *εἴ κ' ἐσθλοῖο κυβερνητῆρος ἐπαύρῃ*. II, 337 *εἴ κεν ὄληται*. II, 690 *εἰ δ' ἂν ὀπάσσῃ*. III, 909 *εἴ κεν ὀπάσσῃ*. III, 1005 *εἴ κε σαώσῃς*.

1067. *ὄρσατε* vulg. *ὄρσετε* Vatt. A. C. D. Med. (ubi *ὤρσετε* a m. 1.) Vrat. Vind., quod iisdem de causis recepi ut *ἄρσετε* v. 1062.

1068. *ἐπίροθος* Brunck. Beck.

1069. *χαλκέας* Guelph.

1071. Laudat Etymol. M. p. 85, 43.

1072. *νῆ' ἐκάλυψαν* vulg. *νῆα κάλυψαν* Guelph., quod verum puto. In hac enim versus regione Apollonius augmentum abjicere quam apostrophum admittere maluit, id quod et versus causa recte fieri perspicuum est, et ab eo factum esse ex multitudine locorum colligi potest. Nam omnes libri consentiunt in *δεῦρο κάλεσσα* I, 666. *ἐρευθήεσσα τέτυκτο*

ὡς δ' ὅτε τις κεράμῳ κατερέψεται ἑρκίον ἀνὴρ,
δώματος ἀγλαΐην τε καὶ ὑετοῦ ἔμμεναι ἄλκαρ,
ἄλλῳ δ' ἔμπεδον ἄλλος ὁμῶς ἐπαμοιβὸς ἄρηρεν·
ὣς οἵ γ' ἀσπίσι νῆα συναρτύναντες ἔρεψαν.
οἵη δὲ κλαγγὴ δηΐου πέλει ἐξ ὁμάδοιο
ἀνδρῶν κινυμένων, ὁπότε ξυνίωσι φάλαγγες,
τοίη ἄρ' ὑψόθι νηὸς ἐς ἠέρα κίδνατ' ἀϋτή.
οὐδέ τιν' οἰωνῶν ἔτ' ἐσέδρακον, ἀλλ' ὅτε νήσῳ
χρίμψαντες σακέεσσιν ἐπέκτυπον, αὐτίκ' ἄρ' οἵ γε
μυρίοι ἔνθα καὶ ἔνθα πεφυζότες ἠερέθοντο.
ὡς δ' ὁπότε Κρονίδης πυκινὴν ἐφέηκε χάλαζαν
ἐκ νεφέων ἀνά τ' ἄστυ καὶ οἰκία, τοὶ δ' ὑπὸ τοῖσιν
ἐνναέται κόναβον τεγέων ὕπερ εἰσαΐοντες
ἧνται ἀκὴν, ἐπεὶ οὔ σφε κατέλλαβε χείματος ὥρη
ἀπροφάτως, ἀλλὰ πρὶν ἐκαρτύναντο μέλαθρα·
ὣς πυκινὰ πτερὰ τοῖσιν ἐφίεσαν ἀΐσσοντες
ὕψι μάλ' ἂμ πέλαγος περάτης εἰς οὔρεα γαίης.
Τίς γὰρ δὴ Φινῆος ἔην νόος, ἐνθάδε κέλσαι
ἀνδρῶν ἡρώων θεῖον στόλον; ἢ καὶ ἔπειτα
ποῖον ὄνειαρ ἔμελλεν ἐελδομένοισιν ἱκέσθαι;
Υἱῆες Φρίξοιο μετὰ πτόλιν Ὀρχομενοῖο
ἐξ Αἴης ἐνέοντο παρ' Αἰήταο Κυταίου,

I, 727. *ἀμφοτέροισι κεάσθη* II, 104. *δεῦρο κόμισσεν* II, 146. *βουλῇσι τέτυκτο* II, 154. *ἐκ δὲ φαάνθη* II, 1041. *δαῖτα πάσαντο* II, 1177. *πάντα φαάνθη* III, 1361. *δαῖτα κάλεσσα* IV, 807. *ἥδε κεάσθη* IV, 1267. Plurimi et optimi libri exhibent *ἀλλὰ κέδασθεν* II, 135. *ἐελδομένοισι φαάνθη* II, 1285. *δὲ τέτυκτο* IV, 255. *ἔργα τελέσσας* IV, 742. *ἔργα κάμεσθε* IV, 1321. *τῆσδε φαάνθης* IV, 1597. Hoc tanto locorum numero commotus non dubitavi etiam ex paucioribus libris restituere *οὐδὲ δάμασσεν* II, 29. *αἱ δὲ φέβοντο* II, 1056. *ἄμμε σάωσεν* III, 323. *οὐδὲ δύναντο* III, 1249. *δὲ λάθεσθε* IV, 1051. *οὐδὲ μάτησαν* IV, 1395. *οἱ δὲ πέλασσαν* IV, 1407. et ex conjectura reponere *κῦμα κέδασσεν* II, 1189. *πάντα τέτυκτο* I, 234. *πάντα κέδασσαν* II, 1126. *ἔργα τέτυκτο* IV, 213.

1073. Comparationem ex Homero Il. XVI, 212 ductam monet Brunck. — *καταρέψεται* Vind. Flor. Brub. Basil.

1075. *ἐπαμοιβὸν* Reg. A. *ἐπαμοιβὴς* Guelph. *ἐπαμοιρὸς* Shaw.

1076. *συναρτήσαντες* Regg. quatuor.

1077. *δίου* Vind. — *τέλει* Guelph.

1079. *κίνδνατ'* Shaw. — Tryphiod. v. 211 *κηρύκων ἐπεκίδνατο λαὸν ἀϋτή*.

1080. *οὐδέ τε* Guelph.

1082. *πεφυγότες* Vat. B.

1085. *ὑπερεισαΐοντες* Flor. Brub. Basil.

1086. *σφι* vulg., quod ferri non potest, cum accusativus necessarius sit, quare *σφε* ex Regg. A. C. D. E. cum Brunck. et Beck. recepi. — *κατέλαβε* Vrat. Vind.

1087. *μέλαθρον* vulg. *μέλαθρα* Vatt. A. B. C. D. Regg. A. B. C. D. E. Brunck. Beck.

1089. *οὔατα γαίης* Guelph.

1094. *ἐνέποντο* Vatt. A. B. C. D.

Κολχίδα νῆ' ἐπιβάντες, ἵν' ἄσπετον ὄλβον ἄρωνται
πατρός· ὁ γὰρ θνήσκων ἐπετείλατο τήνδε κέλευθον.
καὶ δὴ ἔσαν νήσοιο μάλα σχεδὸν ἤματι κείνῳ.
Ζεὺς δ' ἀνέμου Βορέαο μένος κίνησεν ἀῆναι,
ὕδατι σημαίνων διερὴν ὁδὸν Ἀρκτούροιο·
αὐτὰρ ὅγ' ἠμάτιος μὲν ἐν οὔρεσι φύλλ' ἐτίνασσεν
τυτθὸν ἐπ' ἀκροτάτοισιν ἀήσυρος ἀκρεμόνεσσιν·
νυκτὶ δ' ἔβη πόντονδε πελώριος, ὦρσε δὲ κῦμα
κεκληγὼς πνοιῇσι· κελαινὴ δ' οὐρανὸν ἀχλὺς
ἄμπεχεν, οὐδέ πῃ ἄστρα διαυγέα φαίνετ' ἰδέσθαι
ἐκ νεφέων, σκοτόεις δὲ περὶ ζόφος ἠρήρειστο.
οἱ δ' ἄρα μυδαλέοι, στυγερὸν τρομέοντες ὄλεθρον,
υἱῆες Φρίξοιο φέρονθ' ὑπὸ κύμασιν αὔτως.
ἱστία δ' ἐξήρπαξ' ἀνέμου μένος, ἠδὲ καὶ αὔτως
νῆα διάνδιχ' ἔαξε τινασσομένην ῥοθίοισιν.
ἔνθα δ' ὑπ' ἐννεσίῃσι θεῶν πίσυρές περ ἐόντες
δούρατος ὠρέξαντο πελωρίου, οἷά τε πολλὰ
ῥαισθείσης κεκέδαστο θόοις συναρηρότα γόμφοις.
καὶ τοὺς μὲν νῆσόνδε παρὲξ ὀλίγον θανάτοιο
κύματα καὶ ῥιπαὶ ἀνέμου φέρον ἀσχαλόωντας.

Med. Vrat. Vind. Satis mira tot librorum discrepantia, quae vix pro mero errore haberi potest, sed quid lateat nescio.

1095. *ἄροιντο* ex emendatione Brunck. Beck., quia conjunctivus, quae tunc erat de his rebus opinio, eis soloecus videbatur. Vid. ad I, 17.

1096. *θνήσκον* Vind. — *ἐπετήλατο* Flor. Brub. Basil.

1099. *ὕδασι* Vrat.

1100. *ἠμάτις* Med. a m. 1.

1101. *ἀείσυρος* Vat. B. cf. Ruhnk. ep. crit. p. 171. 299.

1103. *οὐρανόθεν* Reg. A.

1105. *ζόφον* Reg. A. — *ηρήρειτο* Vatt. A. C. D. Med. Vrat. Vind., quam formam alibi me legere non memini.

1107. *κύματι* Vrat. — *αὔτως* Brunck. sine libris ut supra v. 880.

1108. *ὑπεξήρπαξεν* Guelph. — *οὕτως* Vat. C. *αὐτὴν* ex conjectura Brunck. Beck., quod sensus quidem causa non est necessarium; sive enim *καὶ αὔτως* vertas *etiam pari modo*, sive jungas *καὶ αὔτως τινασσομένην*, quae *vel sic jam* (i. e. ante vela direpta) quassabatur, utrumque et vocabulorum illorum usui et loci sensui accommodatum est. Neque in eo offendendum esse, quod *αὔτως* versu praecedente jam legitur, ejusmodi enim repetitiones jam saepius invenimus, simillimum vero est II, 574 sq. At dixerit fortasse quispiam, illo ipso loco fretus, non posse utrumque versum in *αὔτως* exire, sed quemadmodum ibi altero versu *αὖθις*, altero *αὖτις* legatur, ita h. l. priore versu *αὔτως* scribendum esse, ne prorsus eaedem voces in fine versuum sint; neque is me acriter repugnantem haberet. Hoc vero fortissimo argumento aliquis uti possit contra eos, qui ubique *αὔτως* scribendum esse putant ut Buttmann. Lexilog. I p. 34 sqq. Sed rem in ambiguo relinquo.

1110. *ὑπαινεσίῃσι* vulg. *ὑπεννεσίῃσι* Med. Regg. B. E. *ὑπ' ἐννεσίῃσι* Vatt. B. C. D. Regg. A. C. D. Guelph. Vrat. Vind. Brunck. Beck. recte.

1111. *ὀρέξαντο* Vrat. Vind.

αὐτίκα δ' ἐῤῥάγη ὄμβρος ἀθέσφατος, ὗε δὲ πόντον
καὶ νῆσον καὶ πᾶσαν ὅσην κατεναντία νήσου
χώρην Μοσσύνοικοι ὑπέρβιοι ἀμφενέμοντο.
τοὺς δ' ἄμυδις κρατερῷ σὺν δούρατι κύματος ὁρμὴ
υἱῆας Φρίξοιο μετ' ἠϊόνας βάλε νήσου
νύχθ' ὑπὸ λυγαίην· τὸ δὲ μυρίον ἐκ Διὸς ὕδωρ
λῆξεν ἅμ' ἠελίῳ· τάχα δ' ἐγγύθεν ἀντεβόλησαν
ἀλλήλοις, Ἄργος δὲ παροίτατος ἔκφατο μῦθον.
„Ἀντόμεθα πρὸς Ζηνὸς Ἐποψίου, οἵτινές ἐστὲ
„ἀνδρῶν, εὐμενέειν τε καὶ ἀρκέσσαι χατέουσι.
„πόντῳ γὰρ τρηχεῖαι ἐπιβρίσασαι ἄελλαι
„νηὸς ἀεικελίης διὰ δούρατα πάντα κέδασσαν,
„ᾗ ἔνι τειρόμενοι ἄμ' ἐπὶ χρέος ἐμβεβαῶτες.
„τοὔνεκα νῦν ὑμέας γουναζόμεθ', αἴ κε πίθησθε,

1115. *υἷε* Med. Ald.

1116. Post hunc versum vulgo hic legitur: *νῆσόν τ' ἤπειρόν τε περαίης ἀγχόθι νήσου.* Sed legitur is in solo Vat. B. (de Guelph. non constat) et in Med. a manu recentiori margini additus est, transiit vero ex Flor. in reliquas editiones. Verum a reliquis codd. omnibus abest, etiam a cod. Cardinalis Zeladae, quem hic ut perpaucis aliis locis commemorat Flangini. Recte igitur eum ejecerunt Brunck. Beck. Acute observavit Hemsterhusius, hunc versum in priori editione lectum esse, cui deinde poeta eos, quos nunc legimus v. 1116. 7, suffecerit, assentientibus Ruhnkenio ep. crit. p. 278 et Gerhard. Lectt. p. 34.

1117. *Μοσσύνικοι* Flor. — *καὶ ὑπέρβιοι* Reg. A. Vind.

1121. *ἀντεβόλησεν* Med. a m. 1.

1125. *πόλι τε γὰρ τρηχεῖαι* Guelph.

1126. *δοῦρα* Guelph. — *ἐκέδασαν* Flor. Brub. Basil. *πάντ' ἐκέδασσαν* vulg., quod correxi ad v. 1072.

1127. Hic versus, quem et libri omnes habent et Scholl. agnoscunt, sensum turbat, quia verbo finito caret, nam quod Scholl. dicunt, participium *ἐμβεβαῶτες* pro verbo finito positum esse, quo spectat etiam glossa *ἐμβεβήκαμεν* in Reg. A., id linguae graecae consuetudo non admittit. Triplici modo vitium explicari potest, nam aut versus ipse corruptus est, aut excidit alius post eum versus, aut immigravit ex priore recensione et delendus est. Haec fuit sententia Brunckii, qui versum ejecit, probantibus Beckio, Ruhnkenio ep. crit. p. 278, Gerhardo p. 34. Sed his adsentire non possum; primum enim vocabula praecedentia *νηὸς ἀεικελίης* flagitare aliquid videntur, quod in sequentibus ad ea referatur; deinde etiamsi hunc versum e priore editione servatum putamus, ne ibi quidem solus poterat ita legi, debebat versus aliquis sequi qui verbum finitum haberet, qualem finxit etiam Gerhardus: *πόντον ἐπέπλωμεν πατρὸς κρυερῆσιν ἐρετμαῖς.* Quod cum ita sit, intelligi non potest, quomodo factum sit, ut alter tantum horum versuum in libros nostros immigraverit, alter exciderit. Accedit, quod non in quibusdam modo libris versus ille comparet, ut is de quo ad v. 1116 sermo fuit, sed in omnibus legitur. Itaque hunc versum jure tenendum judico, et aut mendam aliquam in ipso latere, aut versum sequentem librariorum culpa omissum puto.

1128. *ἡμέας* Med. — *πίθοικε* Reg. A., sed *πίθοισθε* in marg. *πίθοισθε* etiam Regg. C. E., quod receperunt Brunck. Beck. male. Vid. ad I, 623. *αἴ κε πίθηαι* Hom. Il. I, 207. XXI,

„δοῦναι ὅσον θ' εἴλυμα περὶ χροὸς ἠδὲ κομίσσαι
„ἀνέρας οἰκτείραντας ὁμήλικας ἐν κακότητι.
„ἀλλ' ἱκέτας ξείνους Διὸς εἵνεκεν αἰδέσσασθε
„Ξεινίου, Ἱκεσίου τε· Διὸς δ' ἄμφω ἱκέται τε
„καὶ ξεῖνοι· ὁ δέ που καὶ ἐπόψιος ἄμμι τέτυκται."
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως ἐρέεινεν,
μαντοσύνας Φινῆος ὀϊσσάμενος τελέεσθαι·
„Ταῦτα μὲν αὐτίκα πάντα παρέξομεν εὐμενέοντες.
„ἀλλ' ἄγε μοι κατάλεξον ἐτήτυμον, ὥς ποθι γαίης
„ναίετε, καὶ χρέος οἷον ὑπεὶρ ἅλα νεῖσθαι ἀνώγει,
„αὐτῶν θ' ὑμείων ὄνομα κλυτὸν ἠδὲ γενέθλην."
Τὸν δ' Ἄργος προσέειπεν ἀμηχανέων κακότητι·
„Αἰολίδην Φρίξον τιν' ἀφ' Ἑλλάδος Αἶαν ἱκέσθαι
„ἀτρεκέως δοκέω που ἀκούετε καὶ πάρος αὐτοί,
„Φρίξον, ὅτις πτολίεθρον ἀνήλυθεν Αἰήταο
„κριοῦ ἐπεμβεβαὼς, τόν ῥα χρύσειον ἔθηκεν
„Ἑρμείας· κῶας δὲ καὶ εἰσέτι νῦν κεν ἴδοισθε.
„τὸν μὲν ἔπειτ' ἔῤῥεξεν ἑῆς ὑποθημοσύνῃσιν
„Φυξίῳ ἐκ πάντων Κρονίδῃ Διΐ. καί μιν ἔδεκτο
„Αἰήτης μεγάρῳ κούρην τέ οἱ ἐγγυάλιξεν
„Χαλκιόπην ἀνάεδνον ἐϋφροσύνῃσι νόοιο.
„τῶν ἐξ ἀμφοτέρων εἰμὲν γένος. ἀλλ' ὁ μὲν ἤδη

293. XXIII, 82. Od. I, 279. αἴ κε πίθηται Il. I, 420. XI, 791.

1130. εἴλημα Steph.

1131. αἰδήσασθε Vrat. Vind.

1134. ἐπιφραδέως προσέειπεν Vat. B.

1135. ὀϊσάμενος Vrat. Vind.

1137. ὡς πόθι Regg. A. B. E. ἔκποθι Reg. D. ὁππόθι ex emendatione Brunck., quod contra librorum consensum recipere nolui, quamquam fateor, me mirum illud ὥς ποθι alibi non legisse.

1138. ὑπὲρ Vat. B.

1144. ἐπεμεβαὼς Vrat.

1145. Ἑρμείης et hic et IV, 121 Brunck. libris invitis, sed obsequente Beckio. Fortasse formam epicam se restituere ratus est, ignorans, Ἑρμείας apud Homerum ubique legi, formam vero Ἑρμείης neque Homero in usu fuisse, neque alii cuiquam epicorum, cf. Schaefer. ad Hesiod. Op. 68. — ἴδησθε Vatt. A. B. C. D. Regg. A. C. D. Med. Guelph. Vind. Flor. Brub. Basil. Optativus, quem reliqui codd. et editiones inde a Parisina exhibent, unice verus est. — Post hunc versum vulgo legitur is, qui est infra v. 1270, recte h. l. a Brunckio ejectus. Nam neque hujus loci sensus postulat, ut locus indicetur, ubi vellus videri possit, quod putat Beck., neque Apollonii est, versus eosdem Homerica ratione repetere, quod supra jam monitum est. Praeterea h. l. Scholl. hunc versum silentio transeunt, infra eum commemorat Schol. Flor. Itaque certissimum videtur, eum a librario quodam explicationis causa margini adscriptum deinde in textum irrepsisse, quod idem factum vidimus in fine libri primi et II, 381, videbimus infra IV, 348.

1146. ὑποθημοσύνῃσιν Med.

„γηραιὸς ϑάνε Φρίξος ἐν Αἰήταο δόμοισιν·
„ἡμεῖς δ' αὐτίκα πατρὸς ἐφετμάων ἀλέγοντες
„νεύμεϑ' ἐς Ὀρχομενὸν κτεάνων Ἀϑάμαντος ἕκητι.
„εἰ δὲ καὶ οὔνομα δῆϑεν ἐπιϑύεις δεδαῆσϑαι,
„τῷδε Κυτίσσωρος πέλει οὔνομα, τῷ δέ τε Φρόντις·
„τῷ δὲ Μέλας· ἐμὲ δ' αὐτὸν ἐπικλείοιτέ κεν Ἄργον."
Ὣς φάτ'· ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο
καὶ σφέας ἀμφίεπον περιϑαμβέες. αὐτὰρ Ἰήσων
ἐξαῦτις κατὰ μοῖραν ἀμείψατο τοῖσδ' ἐπέεσσιν.
„Ἦ ἄρα δὴ γνωτοὶ πατρώϊοι ἄμμιν ἐόντες
„λίσσεσϑ' εὐμενέοντας ἐπαρκέσσαι κακότητα.
„Κρηϑεὺς γάρ ῥ' Ἀϑάμας τε κασίγνητοι γεγάασιν.
„Κρηϑῆος δ' υἱωνὸς ἐγὼ σὺν τοῖσίδ' ἑταίροις
„Ἑλλάδος ἐξ αὐτῆς νέομ' ἐς πόλιν Αἰήταο.
„ἀλλὰ τὰ μὲν καὶ ἐσαῦτις ἐνίψομεν ἀλλήλοισιν·
„νῦν δ' ἕσσασϑε πάροιϑεν· ὑπ' ἐννεσίῃσι δ' ὀΐω
„ἀϑανάτων ἐς χεῖρας ἐμὰς χατέοντας ἱκέσϑαι."
Ἦ ῥα, καὶ ἐκ νηὸς δῶκε σφίσιν εἵματα δῦναι.
πασσυδίῃ δ' ἤπειτα κίον μετὰ νηὸν Ἄρηος,
μῆλ' ἱερευσόμενοι· περὶ δ' ἐσχάρῃ ἐστήσαντο

1153. *κτεάτων* ex Regg. quatuor Brunck. Beck., quod non solum non praestat, sed ne ferri quidem potest. Genitivo *κτεάτων* nemo unquam usus est.

1155. *τῷ μὲν Κύτωρος* Regg. A. C. E. (sic eum nominant etiam Strabo XII, 544. Apollodor. I, 9, 1. Schol. Paris. ad II, 1123.) *τῷ μὲν Κτίσωρος* Reg. D. *τῷδε Κτίσωρος* (sic nomen scriptum est in uno cod. Herod. VII, 197). *τῷδε Κιτύσωρος* Guelph. *Κυτίσωρος* vulg. sed duplex *σσ* postulat metrum, et sic nomen scribitur apud Herodotum l. l. (ubi Valkenaer. nostrum locum jam vidit emendandum esse), in Vrat. et Vind., unde receperunt Brunck. Beck. — *τῷδέ τε* vulg., quod ferri non posse recte vidit Brunck. male refragante Beckio, sed non recte scripsit ille *τῷδε δὲ*, quum distractis tantum vocibus scribendum esset *τῷ δέ τε*, quod in textu dedi.

1156. *ἔργον* Med.

1157. *κεχάρηντο* Vatt. A. C. D. Vrat. *κεχάροιντο* Vind.—Hunc versum auctor Etymol. M. p. 735, 12 memoria lapsus sub Homeri nomine laudat, quum eundem p. 357, 29 recte ad Apollonium retulisset.

1159. *ἐξαῦϑις* Vrat.

1160. *ἰόντες* Vatt. A. C. D. Regg. D. E. Med. Vrat. Vind. perperam.

1162. *ῥ'* deest in Vrat. Vind. — *κασσίγνητοι* Vrat. — *γεγάασσι* Guelph.

1163. *υἱωνοὶ* Vind. — *τοῖσι δ'* Flor. Brub. Basil. — *ἑτέροις* Med.

1165. *ἐσαῦϑις* Vrat. Vind. — *ἐνέψομεν* Regg. A. E. Vrat. Vind. et suprascr. in Reg. B. Formam inauditam tam exigua auctoritate commoti receperunt Brunck. Beck. — *ἀλληλοῖϊν* Reg. D.

1166. *ἕσασϑε* Vrat. — *ἐννεσίῃσιν ὀΐω* Vatt. A. C. D. Med. Vrat. Vind.

1167. *χατέοντες* Med. *χατέουσιν* Vatt. A. C. D. et Vrat. Vind., sed in his duobus vulgata margini adscripta.

1168. *σφιν* Vatt. A. B. Vrat. Vind. Flor. Brub. Basil.

1169. *πανσυδίῃ* Guelph. *πανσυδίη* Flor.

1170. *ἱερευσάμενοι* vulg. *ἱερευ-*

ἑσσυμένως, ἥτ' ἐκτὸς ἀνηρεφέος πέλε νηοῦ
στιάων· εἴσω δὲ μέλας λίθος ἠρήρειστο
ἱερός, ᾧ ποτε πᾶσαι Ἀμαζόνες εὐχετόωντο.
οὐδέ σφιν θέμις ἦεν, ὅτ' ἀντιπέρηθεν ἵκοιντο,
μήλων τ' ἠδὲ βοῶν τῇδ' ἐσχάρῃ ἱερὰ καίειν·
ἀλλ' ἵππους δαίτρευον, ἐπηετανὸν κομέουσαι.
αὐτὰρ ἐπεὶ ῥέξαντες ἐπαρτέα δαῖτα πάσαντο,
δὴ τότ' ἄρ' Αἰσονίδης μετεφώνεεν, ἦρχέ τε μύθων.
„Ζεὺς αὐτὸς τὰ ἕκαστ' ἐπιδέρκεται· οὐδέ μιν ἄνδρες
„λήθομεν ἔμπεδον οἵ τε θεουδέες οὐδὲ δίκαιοι.
„ὡς μὲν γὰρ πατέρ' ὑμὶν ὑπεξείρυτο φόνοιο
„μητρυιῆς καὶ νόσφιν ἀπειρέσιον πόρεν ὄλβον·
„ὣς δὲ καὶ ὑμέας αὖτις ἀπήμονας ἐξεσάωσεν
„χείματος οὐλομένοιο. πάρεστι δὲ τῆσδ' ἐπὶ νηὸς

σόμενοι Regg. A. B. C. D. et suprascr. in E. Steph. Brunck. Beck. — *ἐσχάρην* Flor.

1171. *ἀνηρεφέως* Vind.

1172. *μέγας* ex emendatione Hoelzlini Brunck. Beck. Potest ita scripsisse poeta, sed non debet, nec quidquam impedit, quominus revera niger fuerit ille lapis; magnum eum fuisse non oportet diserte additum esse. — *εἰρήρειστο* Reg. A.

1174. *σφι* Vrat. — *ἵκοντο* Vatt. C. D. Regg. quinque, Med. et ut videtur Guelph., quod receperunt Brunck. Beck., sed optativum sensus flagitat, nam *ὅτε* est *quoties*.

1175. *μήλων ἠὲ βοῶν* ex conjectura Brunck., sine causa.

1177. *δαῖτ' ἐπάσαντο* ex conj. Brunck. Beck. male, vid. ad II, 1072.

1179. *Ζεὺς αἰτεῖ* Med. Guelph. Vrat. et, quod eodem redit, *Ζεὺς ἐτεῖ* Vind. *Ζοὺς ἔτι* Vatt. A. C. D., satis mira discrepantia, cujus apud priores editores ne mentio quidem. Num forte legendum: *Ζεὺς αἰεὶ?* quod sensui satis accommodatum foret; sed unde vulg. *αὐτός?* alterutra lectio priori recensioni tribuenda videtur. — *ἕκαστα* Vatt. A. C. D. Med., Vrat. ex corr.

1180. *οἵ τε θεουδέες οἵ τ' ἀλιτηροὶ* emendavit Matthiae in libro: *Neues Magaz. für Schullehrer* III, 2 p. 27 et Miscell. philol. II, 1 p. 9, et particula *οὐδέ* offensus, et oppositionem aliquam desiderans. Sed sensus hic est: *probi viri Jovem non latent, et si quando in res adversas inciderunt, tamen ab eo servantur.* Itaque improborum hic nulla mentio esse debet. Sed in *οὐδέ* offendit etiam Brunck., qui in *ἠδέ* mutavit, obsequente Beckio. Neque hoc opus; constructio haec est: *οἵ τε θεουδέες ἐσμὲν, οὐ λήθομεν Δία, οὐδὲ δίκαιοι λήθουσι.* Particulas vero *τέ — δέ, οὔτε — οὐδὲ* sibi respondere docuerunt Schaefer. ad Dionys. de comp. p. 36. 192 s. 299. Stallb. ad Plat. Phileb. p. 56. Reisig. Conjectan. p. 213 s. et ad Soph. Oed. Col. p. 303. Simile est Homericum Od. XXI, 310 *πῖνέ τε μήδ' ἐρίδαινε.* Noster infra IV, 1076 *Αἰήτης δ' οὔτ' ἄρ ναίει σχεδὸν, οὐδέ τι ἴδμεν Αἰήτην.* III, 678 *ὄφελλέ με μήτε τοκήων Δῶμα τόδ' εἰσοράαν, μηδὲ πτόλιν.* I, 1190 *οὔτε τι πολλοῖς Ἀχθομένην ὄζοις, οὐδὲ μέγα τηλεθόωσαν.*

1181. Hic versus omissus est in Med. et Vrat., sed utrobique a manu recentiore in margine adscriptus. — *ὑμῶν* Med. *ὑμῖν* Reg. A. Ald. *ὑμὶν* Vatt. A. B. C. D. Regg. B. C. D. et E. a m. 1, quod vulgato *ὑμόν* recte praetulit Brunck. Beck.

1182. *ἀπερείσιον* Guelph.

1183. *ἡμέας* Reg. A.

„ἔνθα καὶ ἔνθα νέεσθαι, ὅπῃ φίλον, εἴτε μετ' Αἶαν,
„εἴτε μετ' ἀφνειὴν θείου πόλιν Ὀρχομενοῖο.
„τὴν γὰρ Ἀθηναίη τεχνήσατο, καὶ τάμε χαλκῷ
„δούρατα Πηλιάδος κορυφῆς πάρα· σὺν δέ οἱ Ἄργος
„τεῦξεν. ἀτὰρ κείνην γε κακὸν διὰ κῦμα κέδασσεν,
„πρὶν καὶ πετράων σχεδὸν ἐλθεῖν, αἵτ' ἐνὶ πόντῳ
„στεινωπῷ συνίασι πανήμεροι ἀλλήλῃσιν.
„ἀλλ' ἄγεθ', ὧδε καὶ αὐτοὶ ἐς Ἑλλάδα μαιομένοισιν
„κῶας ἄγειν χρύσειον ἐπίρροθοι ἄμμι πέλεσθε
„καὶ πλόου ἡγεμονῆες, ἐπεὶ Φρίξοιο θυηλὰς
„στέλλομαι ἀμπλήσων Ζηνὸς χόλον Αἰολίδῃσιν."
Ἴσκε παρηγορέων· οἱ δ' ἔστυγον εἰσαΐοντες.
οὐ γὰρ ἔφαν τεύξεσθαι ἐνηέος Αἰήταο
κῶας ἄγειν κριοῖο μεμαότας, ὧδε δ' ἔειπεν
Ἄργος, ἀτεμβόμενος τοῖον στόλον ἀμφιπένεσθαι.
„Ὦ φίλοι, ἡμέτερον μὲν ὅσον σθένος, οὔποτ' ἀρωγῆς
„σχήσεται, οὐδ' ἠβαιόν, ὅτε χρειώ τις ἵκηται.

1185. *ναίεσθαι* Med.

1186. *μετὰ Φθίην* vulg., quod corruptum esse quisque videt, de Phthia enim hic sermo esse non potest, et mira sunt, quae ad hanc lectionem explicandam comminiscuntur Scholl. *μετὰ Φθείην* Med., unde facile erat locum corrigere, non minus quam ex III, 1073, maxime vero ex IV, 348, ubi ipse hic versus male repetitur, sed servata verae lectionis parte *μετ' ἀφνειοῦ*. Hinc jam Facius Ep. crit. p. 12 versum emendavit, sed negligenter is loco inspecto *κατ' ἀφνειόν* scribi jussit. Veram lectionem, quam in textu exhibui, invenit Brunck., probavit etiam C. O. Müller. Orchomen. p. 261.

1188. *Πηληιάδος* Guelph. — *πέρι* vulg. *πάρα* Vat. B. Regg. quinque, Vind. et Vrat. a m. 1, quod recte praetulit Brunck.

1189. *ἐκέδασεν* Med. a m. 1. *ἐκέδασε* Flor. Brub. Basil. *ἐκέδασσεν* Med. Vrat. *κῦμα κέδασσεν* ex conjectura dedi pro vulg. *κῦμ' ἐκέδασσεν*. Vid. ad II, 1072.

1190. *ἐλθέμεν* corrigi vult Brunck. ad III, 767 sine causa.

1191. *πανημέριοι* Vrat. Vind.

1193. *ἐπίρροθοι* Brunck. Beck. — *ἄμι* Med.

1194. *Φρίξου* Guelph. Male Brunckius hunc genitivum ab omissa praepositione *ὑπέρ* pendere dicit, sensum ceteroquin recte explicans.

1196. *τεύξασθαι* Regg. A. C. E. et per aoristum *ἐντυχεῖν* explicat Schol. Paris.

1198. *κριοῦ* Reg. A. — *μεμαότες* Med. a m. 1. *μεμαώτας* Vind. *μεμαῶτας* Reg. A. Vrat. *ὧδέ τ'* Reg. D. Vrat., quod non recipere debebant Brunck. Beck.

1200. *ἀρωγῆ* Vatt. A. C. D. Vind. et Vrat., ubi iota subscr. a manu recentiore additum est. *ἀρωγῇ* Regg. A. E. Med. *ἀρώγὴ* Reg. B., quod receperunt Brunck. et Beck. male. Si nominativus verus esset, *σχήσεται* passivam vim habere deberet, quam nunquam habet, et si haberet, hujus loci sensui aptum non foret. Unice verus est genitivus, *ἡμέτερον σθένος οὔποτ' ἀρωγῆς σχήσεται*, ut infra III, 1268 *καὶ τότ' ἔπειτ' οὐ δηρὸν ἔτι σχήσεσθαι ἀέθλων μέλλον* et, quod plane nostro loco respondet, IV, 1056 *οὐδὲ σχήσεσθαι ἀρωγῆς ἔννεπον* et *σχήσεσθαι μαχῆς, Ἄρηος* Hom. Il. IX, 655. XIII, 630. 747. XVII, 503 al.

1201. *σχίσεται* Guelph.

„ἀλλ' αἰνῶς ὀλοῇσιν ἀπηνείῃσιν ἄρηρεν
„Αἰήτης· τῷ καὶ περιδείδια ναυτίλλεσθαι.
„στεῦται δ' Ἠελίου γόνος ἔμμεναι· ἀμφὶ δὲ Κόλχων
„ἔθνεα ναιετάουσιν ἀπείρονα· καὶ δέ κεν Ἄρει
„σμερδαλέην ἐνοπὴν μέγα τε σθένος ἰσοφαρίζοι.
„οὐ μὰν, οὐδ' ἀπάνευθεν ἑλεῖν δέρος Αἰήταο
„ῥηΐδιον, τοῖός μιν ὄφις περί τ' ἀμφί τ' ἔρυται
„ἀθάνατος καὶ ἄϋπνος, ὃν αὐτὴ Γαῖ' ἀνέφυσεν
„Καυκάσου ἐν κνημοῖσι, Τυφαονίη ὅθι πέτρη,
„ἔνθα Τυφάονα φασὶ Διὸς Κρονίδαο κεραυνῷ
„βλήμενον, ὁππότε οἱ στιβαρὰς ἐπορέξατο χεῖρας,
„θερμὸν ἀπὸ κρατὸς στάξαι φόνον· ἵκετο δ' αὔτως
„οὔρεα καὶ πεδίον Νυσήϊον, ἔνθ' ἔτι νῦν περ
„κεῖται ὑποβρύχιος Σερβωνίδος ὕδασι λίμνης."
Ὣς ἄρ' ἔφη· πολέεσσι δ' ἐπὶ χλόος εἷλε παρειὰς
αὐτίκα, τοῖον ἄεθλον ὅτ' ἔκλυον. αἶψα δὲ Πηλεὺς
θαρσαλέως ἐπέεσσιν ἀμείψατο, φώνησέν τε·
„Μὴ δ' οὕτως, ἠθεῖε, λίην δειδίσσεο θυμῷ.
„οὔτε γὰρ ὧδ' ἀλκὴν ἐπιδευόμεθ', ὥστε χερείους
„ἔμμεναι Αἰήταο σὺν ἔντεσι πειρηθῆναι.
„ἀλλὰ καὶ ἡμέας οἴω ἐπισταμένους πολέμοιο
„κεῖσε μολεῖν, μακάρων σχεδὸν αἵματος ἐκγεγαῶτας.
„τῷ, εἰ μὴ φιλότητι δέρος χρύσειον ὀπάσσει,
„οὔ οἱ χραισμήσειν ἐπιέλπομαι ἔθνεα Κόλχων."
Ὣς οἵγ' ἀλλήλοισιν ἀμοιβαδὸν ἠγορόωντο,

1203. *πέρι δείδια* vulg. Conjunctim recte scribunt Regg. A. B. E. Brunck. Beck.

1206. *ἐνιπὴν* Reg. C. et A. a m. 1. Eorundem vocabulorum confusorum exempla habet Wernick. ad Tryph. p. 48. — *ἰσοφαρίζει* Regg. A. C. E.

1207. *μὴν* Guelph. — *δέρας* Flor.

1208. *τοῖος μὲν* Reg. E.

1209. *ἀνέφυσε* Vrat.

1210. *Τυφωείη* Reg. D. *Τυφωνείη* Regg. A. B. C. E., quod receperunt Brunck. Beck., pessime. *Τυφαονία* vocatur rupes etiam ab utroque Schol. et Etymol. M. s. v. *Τυφώς*.

1212. *στυβαρὰς* Flor. Brub. Basil.

1214. *Νυσσήϊον* vulg. *Νυσήϊον* Vatt. A. B. C. D. Vrat. Vind. Flor. Brub. Basil. Brunck. Beck. *Νησήϊον* Guelph.

1215. *Στερβωνίδος* Med. Ald.

1219. *Μηδ'* Brunck. male. Notum est *δέ* ita usurpatum. — *δειδίσεο* Med. — *μύθῳ* Med. a m. 1. Vrat. Vind. var. lect. ap. Schol. Flor. ex confusione frequentissima natum.

1220. De *οὔτε γὰρ*, ne forte *οὔτι γὰρ* scribi malis, v. Schaef. ad Dionys. de comp. p. 409 s.

1222. *ἡμᾶς* Guelph. — *οἴομ'* vulg., quod epicorum usu exclusum est, *ὀΐω* Vind. *οἴω* Vatt. A. B. C. D. Med. Guelph. Vrat. Flor. Brub. Basil., quod recte revocavit Beck.

1224. *μήτι* Reg. A. — *ὀπάσει* Flor. Brub. Basil. *ὀπάσσοι* Regg. quinque, quod male receperunt Brunck. Beck.

μέσφ' αὖτις δόρποιο κορεσσάμενοι κατέδαρθεν.
ἦρι δ' ἀνεγρομένοισιν ἐΰκραὴς ἄεν οὖρος·
ἱστία δ' ἤειραν, τὰ δ' ὑπαὶ ῥιπῆς ἀνέμοιο
τείνετο· ῥίμφα δὲ νῆσον ἀποπροέλειπον Ἄρηος.
Νυκτὶ δ' ἐπιπλομένῃ Φιλυρηΐδα νῆσον ἄμειβον·
ἔνθα μὲν Οὐρανίδης Φιλύρῃ Κρόνος, εὖτ' ἐν Ὀλύμπῳ
Τιτήνων ἤνασσεν, ὁ δὲ Κρηταῖον ὑπ' ἄντρον
Ζεὺς ἔτι Κουρήτεσσι μετετρέφετ' Ἰδαίοισιν,
Ῥείην ἐξαπαφὼν παρελέξατο· τοὺς δ' ἐνὶ λέκτροις
τέτμε θεὰ μεσσηγύς· ὁ δ' ἐξ εὐνῆς ἀνορούσας
ἔσσυτο χαιτήεντι φυὴν ἐναλίγκιος ἵππῳ·
ἡ δ' αἰδοῖ χῶρόν τε καὶ ἤθεα κεῖνα λιποῦσα
Ὠκεανὶς Φιλύρη εἰς οὔρεα μακρὰ Πελασγῶν
ἦλθ', ἵνα δὴ Χείρωνα πελώριον ἄλλα μὲν ἵππῳ,
ἄλλα θεῷ, ἀτάλαντον ἀμοιβαίῃ τέκεν εὐνῇ.
Κεῖθεν δ' αὖ Μάκρωνας ἀπειρεσίην τε Βεχείρων
γαῖαν ὑπερφιάλους τε παρεξενέοντο Σάπειρας
Βύζηράς τ' ἐπὶ τοῖσιν· ἐπιπρὸ γὰρ αἰὲν ἔτεμνον
ἐσσυμένως λιαροῖο φορεύμενοι ἐξ ἀνέμοιο.
καὶ δὴ νισσομένοισι μυχὸς διεφαίνετο Πόντου.

1227. κατέδραθεν Guelph.

1229. ὑπὸ ῥιπῆς ex conjectura Brunck. Beck., quae est dictio Homero frequentissima v. Passov. ad Dionys. Perieg. 674. Sed admodum dubitandum est, an ὑπαί, ἀπαί et similia, ubi ante litteras liquidas apud epicos posteriores leguntur, semper librariis tribuenda sint, quum permultis locis omnium vel multorum librorum consensu legantur. Ita ipsum hoc ὑπαὶ ῥιπῆς habet Callim. Hymn. Del. 25. Dionys. Perieg. 674. 962. Quint. Smyrn. III, 225. cf. Heyn. ad Hom. Vol. IV p. 202 s. Spitzner. vers. her. p. 52 sq. Itaque et nostro loco, quamquam certum est Apollonium ὑπὸ ῥιπῆς dicere potuisse et similia multa dixisse, tamen contra librorum consensum nihil novare volui. Eodem modo ὑπαὶ λίγα omnium librorum consensu legitur IV, 1159. ὑπαὶ λαγόνων IV, 1613. ὑπαὶ λιβάδεσσι IV, 1735.

1230. ἀποπροέλιπον Reg. A. ἀπόπρο ἔλειπον Vatt. A. C. D.

1231. ἐπιπλομένης Med. ἐπιπλομένοι Guelph. Hoerstel., quamquam accentus errorem arguit.— Φιλυρίδα Schol. Flor.

1233. τρηταῖον Vatt. C. D.

1234. ἐπὶ Reg. A.

1235. ἐξαπάφων vulg. Accentum correxi.

1237. ἐναλίγκοιος Vind.

1240. ἔνθ' pro ἦλθ' Vatt. A. B. D. Regg. A. B. C. (in B. ἦλθ' suprascr.) Med. Guelph. Flor. Brub. Basil. In Reg. D. hic versus cum duobus praecedentibus omissus est.— Χειρῶνα Vatt. A. B. D.

1241. ἄλλα θεῷ δ' Reg. D. ἄλλα δὲ θεῷ Regg. A. C. E. Guelph., quod librariorum prudentiae debetur. De omisso δέ omnia sunt pervulgata.

1242. δὲ Μάκρωνας Vrat. Vind.

1243. πάρεξ ἐνέοντο vulg. Conjunctim scriptum est in Vatt. A. C. D. Regg. A. D. E. Guelph. Vrat. Brunck. Beck. ut v. 651 et 941.

1244. Βίζυρας Reg. A. — ἐπὶ πρὸ Vat. A.

1246. νησομένοισι Flor. νισομένοισι Brub. Basil.

καὶ δὴ Καυκασίων ὀρέων ἀνέτελλον ἐρίπναι
ἠλίβατοι, τόθι γυῖα περὶ στυφελοῖσι πάγοισιν
ἰλλόμενος χαλκέῃσιν ἀλυκτοπέδῃσι Προμηθεὺς
αἰετὸν ἥπατι φέρβε παλιμπετὲς ἀΐσσοντα.
τὸν μὲν ἐπ' ἀκροτάτης ἴδον ἕσπερον ὀξέϊ ῥοίζῳ
νηὸς ὑπερπτάμενον νεφέων σχεδόν· ἀλλὰ καὶ ἔμπης
λαίφεα πάντ' ἐτίναξε παραιθύξας πτερύγεσσιν.
οὐ γὰρ ὅγ' αἰθερίοιο φυὴν ἔχεν οἰωνοῖο,
ἶσα δ' ἐΰξέστοις ὠκύπτερα πάλλεν ἐρετμοῖς.
δηρὸν δ' οὐ μετέπειτα πολύστονον ἄϊον αὐδὴν
ἧπαρ ἀνελκομένοιο Προμηθέος· ἔκτυπε δ' αἰθὴρ
οἰμωγῇ, μέσφ' αὖτις ἐπ' οὔρεος ἀΐσσοντα
αἰετὸν ὠμηστὴν αὐτὴν ὁδὸν εἰσενόησαν.
ἐννύχιοι δ' Ἄργοιο δαημοσύνῃσιν ἵκοντο
Φᾶσίν τ' εὐρυρέοντα, καὶ ἔσχατα πείρατα πόντου.
Αὐτίκα δ' ἱστία μὲν καὶ ἐπίκριον ἔνδοθι κοίλης
ἱστοδόκης στείλαντες ἐκόσμεον· ἐν δὲ καὶ αὐτὸν
ἱστὸν ἄφαρ χαλάσαντο παρακλιδόν· ὦκα δ' ἐρετμοῖς
εἰσέλασαν ποταμοῖο μέγαν ῥόον· αὐτὰρ ὁ πάντῃ
καχλάζων ὑπόεικεν. ἔχον δ' ἐπ' ἀριστερὰ χειρῶν
Καύκασον αἰπήεντα Κυταΐδα τε πτόλιν Αἴης,
ἔνθεν δ' αὖ πεδίον τὸ Ἀρήϊον ἱερά τ' ἄλση
τοῖο θεοῦ, τόθι κῶας ὄφις εἴρυτο δοκεύων,
πεπτάμενον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσιν.
αὐτὸς δ' Αἰσονίδης χρυσέῳ ποταμόνδε κυπέλλῳ
οἴνου ἀκηρασίοιο μελισταγέας χέε λοιβὰς
Γαίῃ τ' ἐνναέταις τε θεοῖς ψυχαῖς τε καμόντων

1249. *χαλκείῃσιν* vulg. contra metrum; correxit Hoelzlinus. — *ἀληκτοπέδῃσι* Reg. A. Schol. Paris.
1251. *ἀκροτάτοις* Reg. A.
1255. *ἐΰξέστας* Guelph., sed *οι* suprascr. a manu recentiore. — *πάλεν* Vrat. Vind. Flor. Brub. Basil. *πέλεν* Reg. A.
1256. *δὲ μετέπειτα* legisse videtur Schol. Paris.— *δ'* omittit Vrat.— *πολύστον* Vind., sed *ον* suprascr. a m. 2.
1259. *ὠμιστὴν* Vatt. A. C. D. Reg. A. Med.
1260. *ἀλημοσύνῃσιν* vulg. sine sensu. Certissimam emendationem Arnaldi, Lectt. gr. p. 240, *δαημοσύνῃσιν*, quam confirmat Scholl. interpretatio *τῇ ἐμπειρίᾳ*, cum Brunck. Beck. recepi. Error natus est ex similitudine litterarum *ΔΑ* et *ΑΛ*.
1261. *εὐρόεντα* Reg. A.
1262. *καὶ* omittit Guelph.
1263. *ἂν δὲ καὶ* suspicatur Beck. male.
1266. *καγχλάζων* vulg. *καχλάζων* Vatt. A. C. D. Regg. quatuor, Vrat. Vind. Brunck. Beck. — *ἔχων ἐπ'* Regg. quatuor, Guelph. — *ἀριστερᾷ* Flor. *ἀρίστερα* Brub. Basil.
1269. *ἵδρυτο* Guelph.
1270. Versus deest in Reg. E., fortasse quia librarius eum supra jam legerat.
1272. *ἀκρασίοιο* Vrat. Vind. Flor.

ἡρώων· γουνοῦτο δ' ἀπήμονας εἶναι ἀρωγοὺς
εὐμενέως καὶ νηὸς ἐναίσιμα πείσματα δέχθαι.
αὐτίκα δ' Ἀγκαῖος τοῖον μετὰ μῦθον ἔειπεν·
„Κολχίδα μὲν δὴ γαῖαν ἱκάνομεν ἠδὲ ῥέεθρα
„Φάσιδος· ὥρη δ' ἡμὶν ἐνὶ σφίσι μητιάασθαι,
„εἴτ' οὖν μειλιχίῃ πειρησόμεθ' Αἰήταο,
„εἴτε καὶ ἀλλοίη τις ἐπήβολος ἔσσεται ὁρμή."
Ὣς ἔφατ'· Ἄργου δ' αὖτε παρηγορίῃσιν Ἰήσων
ὑψόθι νῆ' ἐκέλευσεν ἐπ' εὐναίῃσιν ἐρύσσαι,
δάσκιον εἰσελάσαντας ἕλος· τὸ δ' ἐπισχεδὸν ἦεν
νισσομένων, ἔνθ' οἵγε διὰ κνέφας ηὐλίζοντο.
ἠὼς δ' οὐ μετὰ δηρὸν ἐελδομένοισι φαάνθη.

1277. δὴ omittit Guelph.
1278. *μητίσασθαι* Guelph. *μιτιάασθαι* Flor.
1281. *Ἄργου δὲ*, omisso *αὖτε* Guelph.—*παρηγορέῃσιν* vulg., quod in solo Vat. B. legitur et ex ed. Flor. in edd. irrepsit; codd. reliqui omnes et Steph. Brunck. Beck. habent *παρηγορίῃσιν*.
1282. *ἐρύσαι* vulg. *ἐρύσσαι* Vatt. A. C. D. Reg. B. Med. Guelph. Vrat. Vind. Brunck. Beck.
1283. *εἰσελάσαντες* Med. a m. 1. Flor.
1284. *νεισσομένων* Guelph. *νισομένων* Med.
1285. Versus deest in Med. — *ἐελδομένοις ἐφαάνθη* Reg. B. Vrat. Vind., quod non recipere debebant Brunck. Beck. Vid. ad II, 1072.

ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ
ΒΙΒΛΙΟΝ Γ.

Εἰ δ' ἄγε νῦν, Ἐρατὼ, παρά θ' ἵστασο, καί μοι ἔνισπε
ἔνθεν ὅπως ἐς Ἰωλκὸν ἀνήγαγε κῶας Ἰήσων
Μηδείης ὑπ' ἔρωτι. σὺ γὰρ καὶ Κύπριδος αἶσαν
ἔμμορες, ἀδμῆτας δὲ τεοῖς μελεδήμασι θέλγεις
παρθενικάς· τῷ καί οἱ ἐπήρατον οὔνομ' ἀνῆπται.
  Ὣς οἱ μὲν πυκινοῖσιν ἀνωΐστως δονάκεσσιν
μίμνον ἀριστῆες λελοχημένοι· αἱ δ' ἐνόησαν
Ἥρη Ἀθηναίη τε, Διὸς δ' αὐτοῖο καὶ ἄλλων
ἀθανάτων ἀπονόσφι θεῶν θάλαμόνδε κιοῦσαι
βούλευον· πείραζε δ' Ἀθηναίην πάρος Ἥρη.
  „Αὐτὴ νῦν προτέρη, θύγατερ Διὸς, ἄρχεο βουλῆς.
„τί χρέος; ἠὲ δόλον τίνα μήσεαι, ᾧ κεν ἑλόντες
„χρύσεον Αἰήταο μεθ' Ἑλλάδα κῶας ἄγοιντο;
„ἦ καὶ τόν γ' ἐπέεσσι παραιφάμενοι πεπίθοιεν
„μειλιχίοις; ἦ γὰρ ὅγ' ὑπερφίαλος πέλει αἰνῶς.

1. πάρα Flor. Brub. Basil. — Hoc versu usus est Athenaeus XIII p. 555. B.

3. Vocabulis ὑπ' ἔρωτι in Guelph. suprascriptum est ὑπὲρ οὔτι.

4. ἄμμορες Guelph.

5. καὶ σοὶ Vat. B. a m. 2. καί τοι Vat. C. Regg. A. C. D. E. marg. Vind. Flor. Steph. Brunck. Beck. In reliquis codd. et edd. est vulgata lectio καί οἱ, quam revocavi, quum alteram illam ex interpretatione natam esse perspicuum sit. Nam οἱ significat *tibi*, ut supra I, 893 ἑοί, ubi item libri nonnulli τοι praebent. cf. Gerhard. p. 93. Haec vero lectio praeferenda est, quia non facile potuit a librariis proficisci. Ad sensum Brunckius apte contulit Ovid. de A. A. II, 15:

Nunc mihi si quando, puer et Cytherea favete,
nunc Erato; nam tu nomen amoris habes.

qui versus ex nostro fluxisse videtur.

6. πυκινοῖσι Med. a m. 1.

9. ἀπὸ νόσφι Vatt. A. D. Flor. Brub. Basil.

12. ἠ δέλον Med. a m. 1.

15. ἦ μὲν γὰρ ὑπερφίαλος vulg., sed hoc in solo Vat. B. et Flor. legitur. εἰ γὰρ ὁ μὲν Guelph. ἦ γὰρ ὁ μὲν Vatt. A. C. D. Med. Vrat.

„ἔμπης δ' οὔ τινα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν."
Ὣς φάτο· τὴν δὲ παρᾶσσον Ἀθηναίη προσέειπεν·
„Καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετὰ φρεσὶν ὁρμαίνουσαν,
„Ἥρη, ἀπηλεγέως ἐξείρεαι. ἀλλά τοι οὔπω
„φράσσασθαι νοέω τοῦτον δόλον, ὅστις ὀνήσει
„θυμὸν ἀριστήων· πολέας δ' ἐπεδοίασα βουλάς."
Ἦ καὶ ἐπ' οὔδεος αἴγε ποδῶν πάρος ὄμματ' ἔπηξαν
ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν· αὐτίκα δ' Ἥρη
τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον.
„Δεῦρ' ἴομεν μετὰ Κύπριν· ἐπιπλόμεναι δέ μιν ἄμφω
„παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν, αἴ κε πίθηται
„κούρην Αἰήτεω πολυφάρμακον οἷσι βέλεσσι
„θέλξαι ὀϊστεύσας ἐπ' Ἰήσονι. τόν δ' ἂν ὀΐω
„κείνης ἐννεσίῃσιν ἐς Ἑλλάδα κῶας ἀνάξειν."
Ὣς ἄρ' ἔφη· πυκινὴ δὲ συνεύαδε μῆτις Ἀθήνῃ,
καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν·
„Ἥρη, νήϊδα μέν με πατὴρ τέκε τοῖο βολάων,

Vind. ἦ γὰρ ὅδ' Regg. A. C. D. E. ἦ γὰρ ὅγ' Reg. B., quod vix dubitandum est quin verum sit, commendatum Homerico: ἦ γὰρ ὅγ' ὀλοῇσι φρεσὶ θύει Il. I, 342. Reliqua ex correctione metro caventium nata sunt. Eadem est sententia Gerhardi p. 124 s.

16. ἀποτροπᾶσθαι Flor.

17. παρ' ἆσσον vulg. Junctim habent Vatt. A. C. D. Regg. A. B. E. Guelph. Vind. Vrat. Schol. uterque, Brunck. Beck. ut II, 961. — προσέειπεν Med. Vrat.

18. Hic versus deest in Vatt. A. C. D.

20. φράσασθαι Vrat. Vind. — τοῦτον τὸν δόλον Reg. A.

21. πολλὰς Regg. quinque, quod receperunt Brunck. Beck., quia πολέας de masculino tantum adhibeatur. Sed unius codicis auctoritatem (nam unius instar illos quinque habendos esse jam saepe monitum est) reliquis omnibus invitis sequi nolui, praesertim cum intelligi nullo modo possit, quid commoverit librarios, ut πολέας illud, quod soloecismi speciem prae se fert, scriberent, si usitatissimum illud πολλάς invenissent. Itaque putandi sunt hoc sibi indulsisse poetae recentiores (nam in Homero nihil ejusmodi reperitur), ut πολέες feminino genere adhiberent, ut Homerus singularem πολύς. Duo ejus usus exempla praebet Callimachus, H. in Dian. 42 et in Del. 28, quae corrigere tentavit Brunckius. Praeterea apud Nostrum IV, 333 libri omnes fere habent πολέων, ad femininum νήσους referendum, similiterque in Epigr. adesp. CCCXLVII πολέων εὐεργεσιάων.

26. ὀτρύνωμεν Vrat. Vind. — πίθοιτο corrigi jubet Brunck., male. Vid. ad I, 623.

27. κούρη Guelph. — Αἰήταο Vatt. A. B. D. Regg. A. B. E. Med. a m. 1. Flor. Ald. Brub. Basil. Αἰήτου Guelph. ed. Paris. Steph. Αἰήτεω Med. a m. 2. Vat. C. Vrat. Vind. (de Regg. C. D. non constat) Hoelzlin. Brunck. Beck. — ἑοῖσι Vatt. A. D.

29. αἰνεσίῃσιν vulg. ἐνεσίῃσιν Reg. B. Guelph. ἐννεσίῃσιν Vatt. A. D. Med. Regg. A. C. D. E. Vrat. Vind. Brunck. Beck.

31. ἐξ αὖτις Vatt. B. D.

32. ἔτεκε Flor. — τοῖο omittunt Vat. B. Flor — βουλάων Vat. B. Flor. τοίων βουλέων Reg. A. marg.

„οὐδέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
„εἰ δέ σοι αὐτῇ μῦθος ἐφανδάνει, ἦ τ' ἂν ἔγωγε
„ἐσποίμην· σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα.
Ἦ καὶ ἀναΐξασαι ἐπὶ μέγα δῶμα νέοντο
Κύπριδος, ὅ ῥά τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις,
ὁππότε μιν τὰ πρῶτα παραὶ Διὸς ἦγεν ἄκοιτιν.
ἕρκεα δ' εἰσελθοῦσαι ὑπ' αἰθούσῃ θαλάμοιο
ἔσταν, ἵν' ἐντύνεσκε θεὰ λέχος Ἡφαίστοιο.
ἀλλ' ὁ μὲν ἐς χαλκεῶνα καὶ ἄκμονας ἦρι βεβήκει
νήσοιο πλαγκτῆς εὐρὺν μυχὸν, ᾧ ἔνι πάντα
δαίδαλα χάλκευεν ῥιπῇ πυρός· ἡ δ' ἄρα μούνη
ἧστο δόμῳ δινωτὸν ἀνὰ θρόνον ἄντα θυράων.
λευκοῖσιν δ' ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις
κόσμει χρυσείῃ διὰ κερκίδι, μέλλε δὲ μακροὺς
πλέξασθαι πλοκάμους· τὰς δὲ προπάροιθεν ἰδοῦσα
ἔσχεθεν, εἴσω τέ σφ' ἐκάλει, καὶ ἀπὸ θρόνου ὦρτο,
εἷσέ τ' ἐνὶ κλισμοῖσιν· ἀτὰρ μετέπειτα καὶ αὐτὴ
ἵζανεν, ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν.
„Ἠθεῖαι, τίς δεῦρο νόος χρειώ τε κομίζει
„δηναιὰς αὔτως; τί δ' ἱκάνετον, οὔ τι πάρος γε
„λίην φοιτίζουσαι, ἐπεὶ περίεστε θεάων;"

B. *τοῖο βουλέων* Reg. D. *τοίων βουλάων* Reg. E.

34. *εἰ δ' αὐτῇ σοὶ* corrigi voluit vir doctus in Ephemerid. Ienens. 1808 N. XIV p. 188, ne versus a dactylo cum spondeo ordiatur, quod vitasse putat poetas epicos. Sed ejusmodi versus satis multi non solum apud Apollonium (ut paullo ante II, 1277 *Κολχίδα μὲν δὴ*) sed etiam apud Homerum et reliquos epicos omnes leguntur; cf. Spitzner. de vers. her. p. 9.

36. *ἐπὶ πὰρ μέγα* Regg. quatuor ex correctione metrica, nam iidem habent *ἀναΐξασαι*.

37. *ὅῤῥα* vulg. *ὅ ῥα* Reg. E. Brunck. Beck. — *δεῖμε* Guelph.

38. *ταπρῶτα* vulg. *τὰ πρῶτα* Guelph. Beck. — *παρὰ Διὸς* Hoelzlin. errore typ. et Shaw.

41. *εἰς* Brunck. Beck., quod legitur in solis Vrat. Vind.

42. *πλαγκτὴν* Flor. *πλωτὴν* Schol. Flor. — *μοιχὸν* Reg. A. — *ᾗ ἔνι* Regg. tres.

43. *χάλκευε* Vatt. C. D. Regg. A. D. E. Brunck. Beck. ut solent.

44. *ἵστο* Guelph.

45. *λευκοῖσι* Vatt. A. B. C. D. Reg. E. Flor. Brub. Basil. Brunck. Beck. (qui et hic et v. 43 falso dicit, suam lectionem in Vrat. reperiri.)

46. *κόσμη* Vind. — *διακερκίδι* Vatt. A. C. D.

47. *πάροιθεν* Guelph.

48. *τ' ἐψ' ἐκάλει* Vat. D. *τάσδ' ἐκάλει* Regg. quinque.

49. *ἧσέ τ'* Flor. *εἰσέτ'* Steph. errore typothetae. — *κλεισμοῖσιν* Med. Flor.

51. *αἱμιλίοισιν* Flor.

53. *δηνέας* Vrat. — *δηναίας* Schol. Paris. Vid. de accentu Wernick. ad Tryph. p. 420. — *τό δ' ἱκάνετον* Med. Flor. Brub. Basil. — Fluxisse haec ex Hom. Il. XVIII, 386 monent Scholl.

54. *πέρι ἐστὲ* Vrat.

Τὴν δ' Ἥρη τοίοισιν ἀμειβομένη προσέειπεν·
„Κερτομέεις· νῶϊν δὲ κέαρ συνορίνεται ἄτῃ.
„ἤδη γὰρ ποταμῷ ἐνὶ Φάσιδι νῆα κατίσχει
„Αἰσονίδης ἠδ' ἄλλοι ὅσοι μετὰ κῶας ἕπονται.
„τῶν ἤτοι πάντων μὲν, ἐπεὶ πέλας ἔργον ὄρωρεν,
„δείδιμεν ἐκπάγλως, περὶ δ' Αἰσονίδαο μάλιστα.
„τὸν μὲν ἐγὼν, εἴ καί περ ἐς Ἄϊδα ναυτίλληται
„λυσόμενος χαλκέων Ἰξίονα νειόθι δεσμῶν,
„ῥύσομαι, ὅσσον ἐμοῖσιν ἐνὶ σθένος ἔπλετο γυίοις,
„ὄφρα μὴ ἐγγελάσῃ Πελίης κακὸν οἶτον ἀλύξας,
„ὅς μ' ὑπερηνορέῃ θυέων ἀγέραστον ἔθηκεν.
„καὶ δ' ἄλλως ἔτι καὶ πρὶν ἐμοὶ μέγα φίλατ' Ἰήσων,
„ἐξότ' ἐπὶ προχοῇσιν ἅλις πλήθοντος Ἀναύρου
„ἀνδρῶν εὐνομίης πειρωμένη ἀντεβόλησεν
„θήρης ἐξανιών· νιφετῷ δ' ἐπαλύνετο πάντα
„οὔρεα καὶ σκοπιαὶ περιμήκεες, οἱ δὲ κατ' αὐτῶν
„χείμαρροι καναχηδὰ κυλινδόμενοι φορέοντο.
„γρηῒ δὲ μ' εἰσαμένην ὀλοφύρατο, καί μ' ἀναείρας
„αὐτὸς ἑοῖς ὤμοισι διὲκ προαλὲς φέρεν ὕδωρ.
„τῷ νύ μοι ἄλληκτον περιτίεται· οὐδέ κε λώβην
„τίσειεν Πελίης, εἰ μή σύ γε νόστον ὀπάσσεις."

55. *προσέειπε* Guelph., quod restituere obliti sunt Brunck. et Beck.

58. *οἵθ' ἄλλοι* Guelph. *οἵδ' ἄλλοι* Reg. D., unde Brunck. ex conjectura dedit *οἵ τ' ἄλλοι* receptum a Beckio. Sed nulla est causa a vulgata discedendi, vid. ad I, 910. — *ὅσσοι* Guelph.

59. *μέλας* Vat. D. a m. 1. *μέγαν* a secunda.

61. *εἴ κέν περ* ex emendatione Brunck. Beck., quia de conjunctivo dubitabant, male. Epicos *εἰ* cum conjunctivo jungere notissimum est, cf. ad I, 905. Thiersch. Gr. p. 625. Hom. Od. XVI, 98 *καὶ εἰ μέγα νεῖκος ὄρηται*, qui locus cum nostro eo magis convenit, quod hic *εἰ καὶ* ita positum est, ut potius *καὶ εἰ* exspectaveris, ut Soph. Oed. R. 306.

64. *ἐγγελάσσῃ* Guelph.

65. *ὑπερονορέῃ* Vrat.

67. *προχόῃσι* Med. a m. 1.

68. *ἀντεβόλησα* Guelph.

69. *θήρῃ* Reg. A. — *δὲ παλύνετο* Vrat. Vind. fortasse recte.

70. *ἡ δὲ* Guelph. — *αὐτὰς* Reg. A.

72. *εἰσαμένη* Guelph. — *ὀλοφύρετο* Reg. A.

73. *αὐτοῖς* Reg. D. — *διεκπροαλὲς* vulg. inepte. *δι' ἐκπροαλὶς* Reg. A. *δι' ἐκ προαλὲς* Reg. D., quod conjectura invenit Arnald. Lectt. gr. p. 241 et receperunt Brunck. Beck. male; quis enim *ἐκ* ita positum ferat? *διὲκ προαλὸς* Guelph. *διὲκ προαλὲς* Vrat., quod unice verum est.

74. *νῦν μοι* Reg. A. Vind. *νῦν μ'* Vrat. — *ἄληκτον* Vatt. A. B. D. Reg. D. Flor. Brub. Basil.

75. *τίσειε* Flor. — *ὀπάσσῃς* vulg., quod ferri vix potest. *ὀπάσσοις* Reg. D., quod non melius est, sed receptum a Brunck. et Beck. *ὀπάσσεις* Guelph., quod unice verum est et facile in vulg. corrumpi potuit, nihil enim saepius quam terminationes *ῃς* et *εις* confunduntur. Eadem constructio est Aristoph. Eccles. 162 *οὐκ ἂν προβαίην τὸν πόδα τὸν ἕτερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσε-*

Ὣς ηὔδα· Κύπριν δ' ἐνεοστασίη λάβε μύθων.
ἅζετο δ' ἀντομένην Ἥρην ἔθεν εἰσορόωσα,
καί μιν ἔπειτ' ἀγανοῖσι προσέννεπεν ἥ γ' ἐπέεσσιν·
„Πότνα θεὰ μή τοι τι κακώτερον ἄλλο πέλοιτο
„Κύπριδος, εἰ δὴ σεῖο λιλαιομένης ἀθερίζω
„ἢ ἔπος, ἠέ τι ἔργον, ὅ κεν χέρες αἵγε κάμοιεν
„ἠπεδαναί· καὶ μή τις ἀμοιβαίη χάρις ἔστω."
Ὣς ἔφαθ'· Ἥρη δ' αὖτις ἐπιφραδέως ἀγόρευσεν·
„Οὔ τι βίης χατέουσαι ἱκάνομεν, οὐδέ τι χειρῶν.
„ἀλλ' αὔτως ἀκέουσα τεῷ ἐπικέκλεο παιδὶ,
„παρθένον Αἰήτεω θέλξαι πόθῳ Αἰσονίδαο.
„εἰ γάρ οἱ κείνη συμφράσσεται εὐμενέουσα,
„ῥηϊδίως μιν ἑλόντα δέρος χρύσειον ὀΐω
„νοστήσειν ἐς Ἰωλκὸν, ἐπεὶ δολόεσσα τέτυκται."
Ὣς ἄρ' ἔφη· Κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν·
„Ἥρη, Ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα,
„ἢ ἐμοί. ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι
„τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν· αὐτὰρ ἐμεῖο
„οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.
„καὶ δή οἱ μενέηνα περισχομένη κακότητι.
„αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀϊστοὺς
„ἀμφαδίην. τοῖον γὰρ ἐπηπείλησε χαλεφθεὶς,

ται, ubi Brunckius ipse locum geminum affert Eur. Hippolyt. 474 ἦτ' ἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἂν, Εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.

76. δὲ νεοστασίη vulg. Correxit sagacitas Ruhnkenii ep. crit. p. 299, cujus emendationem receperunt etiam Brunck. Beck. Sed quod idem θυμὸν pro μύθων legi vult, id necessarium non esse ipse vidit; habet tamen θυμύθων Reg. E. ex errore frequentissimo.

77. ἔνθεν Guelph. unde Hoerstel. ἔνθ' ineptissime.

79. μήτι τοι Vat. D. Vrat. Vind. Med. a m. 1 et in Vat. D. ποτε ante τοι a m. 2 additum. μήτ' ἄν τι malle se dicit Brunck. inepte. Male etiam vertit Beck.: *nihil profecto pejus aliud fuerit Venere.* Sed non μήτοι ut vulgo, sed μή τοι scribendum est; sensus est: *ne quid tibi pejus sit Venere, si etc.* — κακὸν Vat. D.

81. ἢ ἔργον Reg. A. ἢ ἑτέργον Med. ἠέτ' ἔργον Vind. ἢ ἔτ' ἔργον Vrat. χεῖρες Guelph. Vrat. Flor.

82. ἠδεπαναὶ Vat. D. et ἠδαπαναὶ a m. 2. — μῆτις Reg. A. — χαρίσαιτο Reg. A.

83. ἀγόρευεν Vrat. Vind.

84. χατέουσα Guelph.

87. γὰρ καὶ οἱ Vat. B.

91. μάλιστα ut h. l. usurpatum est Eur. Iph. Aul. 1603 ταύτην μάλιστα τῆς κόρης ἀσπάζεται, ubi Musgrav. nostro loco usus est; cf. Wessel. ad Herod. p. 517. Schweigh. ad Athen. T. VII p. 12 sq.

94. ἐριδμαίων Vatt. A. D.

95. μενέηνε Guelph.

96. αὐτοῖσι Regg. tres, Vrat. Vind. Brunck. Beck.

97. ἀμφαδίη libris invitis Brunck. Beck. Vid. ad II, 1020. — ἐπηπείλησα Guelph.

„εἰ μὴ τηλόθι χεῖρας, ἕως ἔτι θυμὸν ἐρύκει,
„ἕξω ἐμάς, μετέπειτά γ' ἀτεμβοίμην ἑοὶ αὐτῇ.“
Ὣς φάτο· μείδησαν δὲ θεαὶ, καὶ ἐσέδρακον ἄντην
ἀλλήλαις. ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν·
„Ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει· οὐδέ τί με χρὴ
„μυθεῖσθαι πάντεσσιν· ἅλις εἰδυῖα καὶ αὐτή.
„νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσιν,
„πειρήσω, καί μιν μειλίξομαι, οὐδ' ἀπιθήσει.“
Ὣς φάτο· τὴν δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρὸς,
ἦκα δὲ μειδιόωσα παραβλήδην προσέειπεν·
„Οὕτω νῦν, Κυθέρεια, τόδε χρέος, ὡς ἀγορεύεις,
„ἕρξον ἄφαρ· καὶ μή τι χαλέπτεο, μηδ' ἐρίδαινε
„χωομένη σῷ παιδί· μεταλλήξει γὰρ ὀπίσσω.“
Ἦ ῥα καὶ ἔλλιπε θῶκον· ἐφωμάρτησε δ' Ἀθήνη.
ἐκ δ' ἴσαν ἄμφω ταί γε παλίσσυτοι. ἡ δὲ καὶ αὐτὴ
βῆ ῥ' ἴμεν Οὐλύμποιο κατὰ πτύχας, εἴ μιν ἐφεύροι.
εὗρε δὲ τόν γ' ἀπάνευθε Διὸς θαλερῇ ἐν ἀλωῇ,
οὐκ οἶον, μετὰ καὶ Γανυμήδεα, τόν ῥα ποτὲ Ζεὺς
οὐρανῷ ἐγκατένασσεν ἐφέστιον ἀθανάτοισιν,
κάλλεος ἱμερθείς. ἀμφ' ἀστραγάλοισι δὲ τώ γε
χρυσείοις, ἅτε κοῦροι ὁμήθεες, ἑψιόωντο.
καί ῥ' ὁ μὲν ἤδη πάμπαν ἐνίπλεον ᾧ ὑπὸ μαζῷ
μάργος Ἔρως λαιῆς ὑποΐσχανε χειρὸς ἀγοστὸν,

98. μῦθον Med. a m. 2.

100. ἐσέδραμον Reg. A. et suprascr. in Reg. E.

101. μετέειπεν Brunck. ex conjectura, mutationis causa non addita, quam non intelligo.

102. πέλει γέλως Vrat. Vind.

103. δ' post ἅλις tacite inseruit Brunck. et recepit Beck. sine causa. Ultimae in ἅλις ante vocalem productae exempla habet Spitzner. de vers. her. p. 51.

105. πειράσω Vat. D.

109. ἐρίδηνε vulg. perperam. ἐρίδηνον Regg. quinque soloece, quod receperunt tamen Brunck. Beck. Perspicuum est, vulgatam propter pronunciandi similitudinem pro ἐρίδαινε scriptam esse, ut infra v. 513 πάπτηνε vulgo pro πάπταινε legitur, idque ex conjectura restituissem, etiamsi non Guelph. ipsum illud ἐρίδαινε perspicue exhiberet.

110. μεταλήξει Vat. B. Reg. E. Brunck. Beck. ut solent.

112. ἠδὲ καὶ αὐτὴ Vatt. C. D. Regg. quatuor, Vrat. prorsus inepte et contra epicorum morem; receperunt tamen Brunck. et Beck. Eadem corruptio est I, 1145.

115. μετὰ δὲ Γανυμήδεα Reg. A.

118. κούροιο Vind.

119. ἐνίπλειον Guelph. Vrat. ἐνίπλεων Vind. — ᾧ ἐπὶ μαζῷ pessime Brunck. Beck. ex uno Reg. D., libro pessimo; causam futilem affert Brunck., quia eadem praepositio in verbo ὑποΐσχανε recurrat; quasi non vulgata potius hoc commendetur!

120. ὑπὸ ἴσχανε Vat. B. — ἀγοστῷ vulgo sine sensu, quare Hemsterh. ad Lucian. T. I p. 211 versu praecedente emendaverat κόλπον ἐνίπλεον, sed succurrunt libri, ἀγοστῶν Vind. ἀγοστὸν Vat. B. Regg.

ὀρθὸς ἐφεστηώς· γλυκερὸν δέ οἱ ἀμφὶ παρειὰς
χροιῇ θάλλεν ἔρευθος. ὁ δ' ἐγγύθεν ὀκλαδὸν ἧστο
σῖγα κατηφιόων· δοιὼ δ' ἔχεν, ἄλλον ἔθ' αὔτως
ἄλλῳ ἐπιπροϊεὶς, κεχόλωτο δὲ καγχαλόωντι.
καὶ μὴν τούς γε παρᾶσσον ἐπὶ προτέροισιν ὀλέσσας
βῆ κενεαῖς σὺν χερσὶν ἀμήχανος, οὐδ' ἐνόησεν
Κύπριν ἐπιπλομένην. ἡ δ' ἀντίη ἵστατο παιδὸς
καί μιν ἄφαρ γναθμοῖο κατασχομένη προσέειπεν.
„Τίπτ' ἐπιμειδιάᾳς, ἄφατον κακόν; ἠέ μιν αὔτως
„ἤπαφες οὐδὲ δίκῃ περιέπλεο νῆϊν ἐόντα;
„εἰ δ' ἄγε μοι πρόφρων τέλεσον χρέος, ὅ ττι κεν εἴπω·
„καί κέν τοι ὀπάσσαιμι Διὸς περικαλλὲς ἄθυρμα,
„κεῖνο, τό οἱ ποίησε φίλη τροφὸς Ἀδρήστεια
„ἄντρῳ ἐν Ἰδαίῳ ἔτι νήπια κουρίζοντι,
„σφαῖραν ἐΰτρόχαλον, τῆς οὐ σύ γε μείλιον ἄλλο
„χειρῶν Ἡφαίστοιο κατακτεατίσσῃ ἄρειον.
„χρύσεα μέν οἱ κύκλα τετεύχαται· ἀμφὶ δ' ἑκάστῳ
„διπλόαι ἀψῖδες περιηγέες εἱλίσσονται·
„κρυπταὶ δὲ ῥαφαί εἰσιν· ἕλιξ δ' ἐπιδέδρομε πάσαις
„κυανέη. ἀτὰρ εἴ μιν ἑαῖς ἐνὶ χερσὶ βάλοιο,
„ἀστὴρ ὣς φλεγέθοντα δι' ἠέρος ὁλκὸν ἵησιν.
„τήν τοι ἐγὼν ὀπάσω· σὺ δὲ παρθένον Αἰήταο
„θέλξον ὀϊστεύσας ἐπ' Ἰήσονι· μηδέ τις ἔστω
„ἀμβολίη. δὴ γάρ κεν ἀφαυροτέρη χάρις εἴη."
Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι.
μείλια δ' ἔκβαλε πάντα, καὶ ἀμφοτέρῃσι χιτῶνος
νωλεμὲς ἔνθα καὶ ἔνθα θεᾶς ἔχεν ἀμφιμεμαρπώς.
λίσσετο δ' αἶψα πορεῖν αὐτοσχεδόν· ἡ δ' ἀγανοῖσιν

quinque (in B. suprascr. vulg.), quod recte receperunt Brunck. Beck.
121. ὀρθῶς Med. a m. 1.
122. χροιῆς Regg. tres, Vind. — θάλεν Reg. A.
123. ἔτ' αὔτως Vat. B. Flor. Brub. Basil. ἔτ' αὔτως Vat. A. Guelph.
124. ἄλλον Med. a m. 1 et Vrat. suprascr. ω. ἄλλων Vind.
126. ἐνόησα Guelph. ἐνόησεν Med. Vrat.
129. ἐπιμειδιάεις Regg. tres. ἐπιμειδειδιάας Guelph. — αὔτως Brunck.
132. περικαλὲς Vind.
136. κατακτεατίσῃ Flor. Brub. Basil.
137. χρυσᾶ Reg. A. — τέτυκται Guelph. — ἕκαστα Reg. A.
141. ὅς pro ὣς Guelph.
142. ὀπάσσω Vrat.
144. ἀμφιβολίη Guelph.
147. ἔχετ' ex conjectura Brunck. Beck., quae non est necessaria. Constructio haec est: τῆς θεᾶς ἀμφιμεμαρπὼς (cujus cum genitivo constructi exempla habet Jacobs. ad Anth. Pal. p. 168), εἶχεν αὐτὴν τοῦ χιτῶνος.

ἀντομένη μύθοισιν ἐπειρύσσασα παρειὰς
κύσσε ποτισχομένη, καὶ ἀμείβετο μειδιόωσα.
„Ἴστω νῦν τόδε σεῖο φίλον κάρη ἠδ' ἐμὸν αὐτῆς,
„ἦ μέν τοι δῶρόν γε παρέξομαι οὐδ' ἀπατήσω,
„εἴ κεν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο."
Φῆ· ὁ δ' ἄρ' ἀστραγάλους συναμήσατο, καδδὲ φαεινῷ
μητρὸς ἑῆς εὖ πάντας ἀριθμήσας βάλε κόλπῳ.
αὐτίκα δ' ἰοδόκην χρυσέῃ περικάτθετο μίτρῃ
πρέμνῳ κεκλιμένην· ἀνὰ δ' ἀγκύλον εἵλετο τόξον.
βῆ δὲ διὲκ μεγάροιο Διὸς πάγκαρπον ἀλωήν.
αὐτὰρ ἔπειτα πύλας ἐξήλυθεν Οὐλύμποιο
αἰθερίας· ἔνθεν δὲ καταιβάτις ἐστὶ κέλευθος
οὐρανίη· δοιὼ δὲ πόλοι ἀνέχουσι κάρηνα
οὐρέων ἠλιβάτων, κορυφαὶ χθονὸς, ἧχί τ' ἀερθεὶς
ἠέλιος πρώτῃσιν ἐρεύθεται ἀκτίνεσσιν.
νειόθι δ' ἄλλοτε γαῖα φερέσβιος, ἄστεά τ' ἀνδρῶν
φαίνετο καὶ ποταμῶν ἱεροὶ ῥόοι, ἄλλοτε δ' αὖτε
ἄκριες, ἀμφὶ δὲ πόντος ἀν' αἰθέρα πολλὸν ἰόντι.

149. *ἐπειρύσασα* vulg., quod metri causa correxit Brunck.

150. *κῦσε* vulg. *κύσσε* Vatt. A. B. C. D. Reg. B. Vrat. Vind. Brunck. Beck.

151. *σεῖον* Med. — *ἐμοῦ* Regg. A. E.

152. *σοι* Brunck. ex Regg. quatuor, perperam.

153. *ἐνισκίμψεις* Guelph. Hoerstel.

156. *χρυσῇ* vulg. *χρυσέην* Reg. D. *χρυσέῃ* Vatt. A. C. D. Regg. A. B. E. Vrat., quod recte praetulerunt Brunck. Beck. — *μήτρι* Vind.

158. *δι' ἐκ* vulg. male. Praeterea mirandum, poetam *διὲκ μεγάροιο* dicere, quum supra v. 116 Cupidinem non in domo sed in campo versantem fecerit. Quo ita offensus est Gerhard. p. 78, ut *μεγάλοιο* legi velit, sed et otiosum est hoc epitheton, neque video, quomodo tunc *διέκ* construendum sit. Poeta sibi non constitisse putandus est; usus est enim Homerica dictione *διὲκ μεγάροιο*, oblitus ei repugnare ea, quae supra dixerat.

160. *αἰθερινάς* Regg. quinque. — *καταιβάτης* Med. a m. 1.

163. *ἐρεύγεται* vulg. sine sensu. *ἐρεύθεται* Guelph. Reg. D., quod ex conjectura reponi jusserant Steph. et Arnald. Lectt. gr. p. 76, et receperunt Brunck. Beck. — *ἀκτίνεσσιν* Med. Vrat.

164. *ἄλλοθι* vulg. errore nato ex voce praecedente, *ἄλλοτε* Regg. quinque, Brunck. Beck.

165. *ἱεραὶ ῥοαί* fortasse legendum esse judicat Spitzner. de vers. her. p. 76, qui recte observat in epicis constanter *ὁ ῥόος* et *αἱ ῥοαί* dici, a qua norma Apollonius quoque nunquam nisi hoc loco recedit. Sed ipsi adjicit, formam inusitatam fortasse inde aliquid excusationis habere, *quod quasi circumloquendo fluvii ipsi hisce exprimuntur.*

166. *ἐν αἰθέρι* vulg. *ἀν' αἰθέρι* Vatt. A. B. D. Regg. B. D. Med. Guelph. Vrat. Vind. Schol. Paris. *ἀν' αἰθέρα* Regg. A. E., quod unice verum esse maxime sequens *πολλὸν* docet, et receperunt Brunck. Beck.

Ἥρωες δ' ἀπάνευθεν ἑῆς ἐπὶ σέλμασι νηὸς
ἐν ποταμῷ καθ' ἕλος λελοχημένοι ἠγορόωντο.
αὐτὸς δ' Αἰσονίδης μετεφώνεεν· οἱ δ' ὑπάκουον
ἠρέμας ᾗ ἐνὶ χώρῃ ἐπισχερὼ ἑδριόωντες.
„Ὦ φίλοι, ἤτοι ἐγὼ μὲν ὅ μοι ἐπιανδάνει αὐτῷ
„ἐξερέω· τοῦ δ' ὔμμι τέλος κρηῆναι ἔοικεν.
„ξυνὴ γὰρ χρειώ, ξυνοὶ δέ τις μῦθοι ἔασιν
„πᾶσιν ὁμῶς· ὁ δὲ σῖγα νόον βουλήν τ' ἀπερύκων
„ἴστω καὶ νόστου τόνδε στόλον οἶος ἀπούρας.
„ὤλλοι μὲν κατὰ νῆα σὺν ἔντεσι μίμνεθ' ἕκηλοι·
„αὐτὰρ ἐγὼν ἐς δώματ' ἐλεύσομαι Αἰήταο,
„υἷας ἑλὼν Φρίξοιο, δύω δ' ἐπὶ τοῖσιν ἑταίρους.
„πειρήσω δ' ἐπέεσσι παροίτερον ἀντιβολήσας,
„εἴ κ' ἐθέλοι φιλότητι δέρος χρύσειον ὀπάσσαι,
„ἦε καὶ οὔ, πίσυνος δὲ βίῃ μετιόντας ἀτίσσει.
„ὧδε γὰρ ἐξ αὐτοῖο πάρος κακότητα δαέντες
„φρασσόμεθ', εἴτ' Ἄρηϊ συνοισόμεθ', εἴτε τις ἄλλη
„μῆτις ἐπίῤῥοθος ἔσται ἐεργομένοισιν ἀϋτῆς.
„μηδ' αὔτως ἀλκῇ, πρὶν ἔπεσσί γε πειρηθῆναι,
„τόνδ' ἀπαμείρωμεν σφέτερον κτέρας. ἀλλὰ πάροιθεν
„λωΐτερον μύθῳ μιν ἀρέσσασθαι μετιόντας.
„πολλάκι τοι ῥέα μῦθος, ὅ κεν μόλις ἐξανύσειεν
„ἠνορέη, τόδ' ἔρεξε κατὰ χρέος, ᾗπερ ἐῴκει
„πρηΰνας. ὁ δὲ καί ποτ' ἀμύμονα Φρίξον ἔδεκτο

167. *ἑοῖς* Reg. D. Guelph. *ἑῆς* Reg. E.

168. *ἕλλος* Guelph.

170. *ἠρέμα* vulg. *ἠρέμας* Med. a m. 1. Reg. B. Vrat. Vind. Flor. Brunck. Beck.

173. *ἔασσι* Guelph.

176. *ἄλλοι* Reg. A.

180. *εἴ κε θέλει* Guelph.

181. *πίσυνός γε* Regg. A. E. — *ἀτίσει* Vrat. Vind. Flor. Brub. Basil.

184. *ἐπίροθος* Brunck. Beck. ex more. — *ἐελδομένοισιν* Flor.

185. *ἔπεσι* Vrat. *ἔπεσε* Vind. — *πειρηθεῖναι* Flor. Brub. Basil.

186. *ἀπομείρωμεν* Vrat. Vind. *ἀπαμείρομεν* Guelph.

187. *ἀρέσασθαι* Vrat. Vind. Flor.

188. *μόγις* vulg. *μόλις* Guelph. Vrat. Vind. et cod. Laur. ap. Dorvill. ad Char. p. 409, quod recepi, quia ubique hac forma utitur Apollonius, vid. ad I, 1233.

189. *ἤπερ* Vrat.

190. *ὅδε* vulg. male. *ὁ δὲ* Regg. A. C. D. Vrat. et alii fortasse libri, quod necessarium est. Sed praeterea tres illi Regg. et marg. Reg. B. hanc lectionem exhibent:

ὁ δὲ καί ποτ' ἀμύμονα Φρίξον ἔπεισε,
μητρυιῆς φεύγοντα δόλον πατρός τε θυηλάς,
δέχθαι· ἐπεὶ πάντη —

qua ineptius et languidius vix quidquam fingi potest; nam *ὁ δὲ* ad *μῦθον* referendum, accusativum ab *ἔπεισε* pendentem omissum, *Φρίξον* cum *δέχθαι* jungendum esse, id vix sano cuiquam credibile videri potest,

„μητρυιῆς φεύγοντα δόλον πατρός τε θυηλὰς·
„πάντες ἐπεὶ πάντη καὶ ὅτις μάλα κύντατος ἀνδρῶν
„Ξεινίου αἰδεῖται Ζηνὸς θέμιν ἠδ' ἀλεγίζει.“
Ὣς φάτ'· ἐπήνησαν δὲ νέοι ἔπος Αἰσονίδαο
πασσυδίῃ, οὐδ' ἔσκε παρὲξ ὅτις ἄλλο κελεύοι.
καὶ τότ' ἄρ' υἷηας Φρίξου, Τελαμῶνά θ' ἕπεσθαι
ὦρσε καὶ Αὐγείην· αὐτὸς δ' ἕλεν Ἑρμείαο
σκῆπτρον· ἄφαρ δ' ἄρα νηὸς ὑπὲρ δόνακάς τε καὶ ὕδωρ
χέρσονδ' ἐξαπέβησαν ἐπὶ θρωσμοῦ πεδίοιο.
Κιρκαῖον τόδε που κικλήσκεται· ἔνθα δὲ πολλαὶ
ἑξείης πρόμαλοί τε καὶ ἰτέαι ἐκπεφύασιν,
τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται
δέσμιοι. εἰσέτι νῦν γὰρ ἄγος Κόλχοισιν ὄρωρεν
ἀνέρας οἰχομένους πυρὶ καιέμεν· οὐδ' ἐνὶ γαίῃ
ἔστι θέμις στείλαντας ὕπερθ' ἐπὶ σῆμα χέεσθαι,
ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις
δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος. ἠέρι δ' ἴσην
καὶ χθὼν ἔμμορεν αἶσαν, ἐπεὶ χθονὶ ταρχύουσιν
θηλυτέρας· ἡ γάρ τε δίκη θεσμοῖο τέτυκται.

ut mirandum sane sit, eam lectionem a Brunckio et Beckio in textum receptam esse. Ne de duplici quidem recensione cogitandum est, sed mera est illa librariorum interpolatio, quibus in sequentibus *πάντες* cum singulari verbi displicebat, cujusmodi corruptionibus referti sunt codices Regii. In illo vero nihil est quod displiceat, v. Matthiae Gr. gr. p. 419. Itaque revocavi sanissimam lectionem vulgatam.

192. *πάντῃ* vulg. *πάντη* Vrat. et alii, ut videtur, libri. — *κύντερος* Vatt. C. D.

194. *ἐπήνεσσαν* vulg. *ἐπήνυσαν* Vatt. A. D. *ἐπήνεσαν* Vat. B. *ἐπήνησαν* Regg. B. D. Vrat. Vind. Guelph. Brunck. Beck. Sic infra v. 555 in omnibus libris legitur, praeter unum, qui *ἐπήνεσσαν* habet.

195. *πανσυδίῃ* Guelph. *πασσυδίην* ex conjectura Brunck. Beck. ad vitandum hiatum, qui nullus est. — *ὅ τις* var. lect. in marg. Vrat. non male. *ὅπις* Guelph. cum gl. *ἐπιστροφή*. — *κεκεύοι* Brub.

196. *υἷας* Reg. A.

198. *ἀνὰ νηὸς* vulg. male. *ἄρα νηὸς* Regg. A. C. D. E. et B. a m. 1. Brunck. Beck.

199. *ἀπεξέβησαν* Reg. A.

200. *τὸ δέ* Flor. Brub. Basil.

201. *πρόμαδοι* vulg., quod nihil est. *πρόμαλοι* facili conjectura reposuit Brunck., quam confirmat Etymol. M. p. 689, 35: *προμολή, ἔστιν ἡ προαυλία καὶ προέξοδος ἀπὸ τοῦ προμολεῖν καὶ προαυλίζεσθαι· παρὰ Ἀπολλωνίῳ. καὶ πρόμαλοι, εἶδος ἀγρίας δρυός.* — *πεφύκασι* Reg. A. *ἐμπεφύασι* Reg. D. *ἐκπεφύασσι* Guelph.

202. *ἀκρεμόνων* pro *ἀκροτάτων* proponit vir doctus in Ephem. Jenens. 1814 p. 269, quod non improbabile est.

206. *κατειλύσαντες* Guelph. Flor. Hoerstel.

208. *ἐπὶ* vulg. male. *ἐπεὶ* Regg. quinque, Guelph. Brunck. Beck. Confusio illarum vocum est frequentissima.

209. *γάρ κε* vulg., quod perspicue falsum est, neque illud *κε* exprimunt Scholl. Quod in textu dedi, est ex

Τοῖσι δὲ νισσομένοις Ἥρη φίλα μητιόωσα
ἠέρα πουλὺν ἐφῆκε δι' ἄστεος, ὄφρα λάθοιεν
Κόλχων μυρίον ἔθνος ἐς Αἰήταο κιόντες·
ὦκα δ' ὅτ' ἐκ πεδίοιο πόλιν καὶ δώμαθ' ἵκοντο
Αἰήτεω, τότε δ' αὖτις ἀπεσκέδασεν νέφος Ἥρη.
ἔσταν δ' ἐν προμολῇσι τεθηπότες ἕρκε' ἄνακτος
εὐρείας τε πύλας καὶ κίονας, οἳ περὶ τοίχους
ἑξείης ἄνεχον· θριγκὸς δ' ἐφύπερθε δόμοιο
λαΐνεος χαλκέῃσιν ἐπὶ γλυφίδεσσιν ἀρήρει.
εὔκηλοι δ' ὑπὲρ οὐδὸν ἔπειτ' ἔβαν. ἄγχι δὲ τοῖο
ἡμερίδες χλοεροῖσι καταστεφέες πετάλοισιν
ὑψοῦ ἀειρόμεναι μέγ' ἐθήλεον. αἱ δ' ὑπὸ τῇσιν
ἀέναοι κρῆναι πίσυρες ῥέον, ἃς ἐλάχηνεν
Ἥφαιστος. καί ῥ' ἡ μὲν ἀναβλύεσκε γάλακτι,
ἡ δ' οἴνῳ, τριτάτη δὲ θυώδεϊ νᾶεν ἀλοιφῇ·
ἡ δ' ἄρ' ὕδωρ προρέεσκε, τὸ μέν ποθι δυομένῃσιν
θέρμετο Πληϊάδεσσιν, ἀμοιβηδὶς δ' ἀνιούσαις

emendatione Brunckii. — *τέτυκτο* Guelph.

210. *νεισομένοις* vulg. *νισσομένοισι* Reg. E. *νισσομένοις* Regg. A. B. D. Vrat. Vind. Brunck. Beck.

211. *ἠέρεα* Guelph.

213. *ὦκα δ' ἔκ τε πεδίοιο* Guelph.

214. *ἀπεσκέδασε* Vat. B. Vrat. Flor. Ald. Brub. Basil., quod male receperunt Brunck. Beck. Hinc sumsisse videtur Tryphiod. v. 37 *ἀπεσκέδασεν νέφος ἀνδρῶν.*

215. *ἄρκε'* Vatt. C. D.

217. *ἄνεσχον* Guelph. — *θριγγὸς* vulg. *τριγγὸς* Med. a m. 2. *θριγκὸς* Vrat. Vind., quod cum Brunck. et Beck. recepi.

218. *χαλκέαισιν* vulg. *χαλκείαις* Vatt. A. B. D. Guelph. Vrat. Flor. Brub. Basil. Schol. Flor. *χαλκέῃσιν* Regg. quatuor, Brunck. Beck. — *ἐπιγλυφίδεσσιν* Vatt. D.

220. *χλοεροῖσιν* Flor. — *κατηρεφέες* Vat. B. — *πετάλοισι* Guelph.

222. *ἀένναοι* Guelph.

224. *δὲ* omittunt Vatt. A. B. C. D.

225. *προρέεσκε* Vat. A. Vrat. Vind. et ut videtur Guelph. Ald. Brub. Basil. et reliquae deinceps edd. omnes, recte, sed valde variant libri: *πρόρεσκε* Vatt. B. C. D. *προέεσκε* Med. Regg. A. B. C. Flor. *προχέεσκε* Reg. E. *προέηκε* Reg. D. Librarios recte monet Brunckius activa verbi vi turbatos esse. — *ποτιδυομένῃσιν* Reg. A. *ποτὶ δυομένῃσι* Regg. C. D. E., quod recepit Brunck., sed nulla est in vulg. *ποθι* offensio, imo *ποτί* minus aptum foret. Praeterea Brunckius monet metri causa *δυνομένῃσι* scribendum esse, in textu tamen nihil mutavit, sed Beckius eum secutus dedit *ποτὶ δυνομένῃσι.* Neque hac mutatione opus est; primam participii *δυόμενος* interdum produci exemplis probavit Jacobs. ad Anth. Pal. p. 354; apud Nostrum praeter hunc locum ita occurrit I, 925. Orph. Lith. 503. Etiam *δύετο* prima longa usurpat Apollonius I, 581. III, 1191. IV, 1524.

226. *Πληϊάδεσσιν ἐθέρμετ'* legi mavult Herm. ad Orph. p. 759, ut et suaviores sint numeri et correptio ante *πλ* vitetur, quamquam eam a nomine proprio excusari ipse fatetur. Neque omnino in ea offendendum esse docet exemplorum multitudo apud Spitzner. de vers. her. p. 101 sqq. maxime p. 104, ubi hic etiam locus tangitur.

κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης.
τοῖ' ἄρ' ἐνὶ μεγάροισι Κυταιέος Αἰήταο
τεχνήεις Ἥφαιστος ἐμήσατο θέσκελα ἔργα.
καί οἱ χαλκόποδας ταύρους κάμε, χάλκεα δὲ σφέων
ἦν στόματ', ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκον·
πρὸς δὲ καὶ αὐτόγυον στιβαροῦ ἀδάμαντος ἄροτρον
ἤλασεν, Ἠελίῳ τίνων χάριν, ὅς ῥά μιν ἵπποις
δέξατο, Φλεγραίῃ κεκμηότα δηϊοτῆτι.
ἔνθα δὲ καὶ μέσσαυλος ἐλήλατο· τῇ δ' ἔπι πολλαὶ
δικλίδες εὐπηγεῖς θάλαμοί τ' ἔσαν ἔνθα καὶ ἔνθα·
δαιδαλέη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο.
λέχρις δ' αἰπύτεροι δόμοι ἕστασαν ἀμφοτέρωθεν.
τῶν ἤτοι ἄλλον μὲν, ὅτις καὶ ὑπείροχος ἦεν,
κρείων Αἰήτης σὺν ἑῇ ναίεσκε δάμαρτι·
ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάϊς Αἰήταο,
τὸν μὲν Καυκασίη Νύμφη τέκεν Ἀστερόδεια,
πρίν περ κουριδίην θέσθαι Εἰδυῖαν ἄκοιτιν,
Τηθύος Ὠκεανοῦ τε πανοπλοτάτην γεγαυῖαν.
καί μιν Κόλχων υἷες ἐπωνυμίην Φαέθοντα
ἔκλεον, οὕνεκα πᾶσι μετέπρεπεν ἠϊθέοισιν.
τοὺς δ' ἔχον ἀμφίπολοί τε καὶ Αἰήταο θύγατρες
ἄμφω, Χαλκιόπη Μήδειά τε. τὴν μὲν ἄρ' οἵ γε

227. κρυστάλῳ Vrat. Vind.
228. Αἰήτεω Med. a m. 2.
232. ἄρατρον Vrat.
234. κεκμηκότα vulg., qua forma uti epici non solent. κεκμηότα Vatt. A. C. D. Regg. A. B. C. D. E. Guelph. Vrat. Vind. Brunck. Beck. Occurrit illa forma etiam IV, 1459, ubi meliores libri item alteram praebent.
235. ἐνθάδε Brunck. Beck. ut solent, male. — μέσαυλος Vrat. Vind.
237. δαιδαλαίη Vrat. Vind. — αἴθουσσα Med.
238. λαιχρὶς Reg. A.
239. ἄλλων Vatt. A. C. D. Guelph. ἄλλῳ marg. Reg. A. Reg. E. Vrat., quod receperunt Brunck. Beck. sine causa, nam quod deinde ἄλλῳ sequitur, id nihil probat. Notum est ναίειν et cum accusativo et cum dativo jungi.
241. ἄλλον Guelph. — ναῖε Guelph.
243. Ἰδυῖαν vulg., quemadmodum eam vocat Hesiod. Theog. 352. 959. Sed id hoc loco metro repugnat; melius igitur Εἰδυῖαν Guelph. Regg. B. D. E. et A. a m. 2. Schol. Paris. Brunck. Beck., ut nomen exhibent codices Apollodori I, 9, 23 et Tzetz. ad Lycophr. 174. 1025. Poetis utraque nominis forma pro metri necessitate uti licebat.
248. ἡ μὲν ἄρ' ἤει Ἐκ θαλάμου θαλαμόνδε κασιγνήτην μετιοῦσα vulg. intolerabili ante ἡ hiatu, quo tamen minime offensi sunt Brunck. et Beck. Sed haec minime est omnium librorum lectio, imo paucissimorum et pessimorum. Meliores libri eam lectionem commendant, quam in textu exhibui, nam τῇ μὲν ἄρ' οἵγε habent Med. Guelph. Reg. B. τὴν μὲν ἄρ' οἵγε Vatt. A. C. D. Vrat. Vind. Flor. Ald. Brub. Basil. et mox μετιοῦσαν Vatt. A. C. Med. Vrat. Vind. Flor. Ald. Brub. Basil. Non

ἐκ θαλάμου θάλαμόνδε κασιγνήτην μετιοῦσαν
("Ηρη γάρ μιν ἔρυκε δόμῳ· πρὶν δ' οὔ τι θάμιζεν
ἐν μεγάροις, Ἑκάτης δὲ πανήμερος ἀμφεπονεῖτο
νηὸν, ἐπεί ῥα θεῆς αὐτὴ πέλεν ἀρήτειρα.)
καὶ σφέας ὡς ἴδεν ἆσσον, ἀνίαχεν· ὀξὺ δ' ἄκουσεν
Χαλκιόπη· δμωαὶ δὲ ποδῶν προπάροιθε βαλοῦσαι
νήματα καὶ κλωστῆρας ἀολλέες ἔκτοθι πᾶσαι
ἔδραμον. ἡ δ' ἅμα τοῖσιν ἑοὺς υἷας ἰδοῦσα
ὑψοῦ χάρματι χεῖρας ἀνέσχεθεν· ὣς δὲ καὶ αὐτοὶ

potuit haec tanta varietas Brunckium latere, sed ita eam explicavit, ut eam superesse ex priore editione putaret, in qua deinde versus unus additus fuisset, quo verbum ἴδον, ἐνόησαν aut simile contineretur. Hiatum primus animadvertit Herm. ad Orph. p. 733, qui propterea eam, quam in textu dedi, lectionem veram putat, sed ita, ut verba "Ηρη γάρ μιν ἔρυκε δόμῳ tanquam sententiarum nexum turbantia e priore recensione servata esse, eoque errore ea verba excidisse putet, quae in posteriore h. l. legi debuerint, quibus verbum contineretur, quod deesse videtur. Sed verba illa "Ηρη etc. non modo nexum non turbare sed prorsus necessaria esse et primo adspectu quisque videt, et Gerhard. Lectt. p. 79 fusius docuit. Itaque hic aliam hiatus removendi viam ingressus locum sic emendavit: βῆ μὲν ἄρ' ἤγε Ἐκ θαλάμου θαλαμόνδε κασιγνήτην μετιοῦσα. Sed sic etiam neglecta est meliorum librorum lectio, quam supra attuli; ea vero non solum hiatu vitato sese commendat, sed etiam pronomine οἵγε, ad Iasonem ejusque comites referendo, quod omnino necessarium est; id enim nisi praecedit, ea quae inde a v. 253 sequuntur, omni nexu carent et σφέας non habet, quo referatur. Premitur vero ea lectio, quam in textu exhibui, hoc uno incommodo, quod verbum εἶδον vel simile aliquod desideratur. Itaque dicere quispiam possit, versum unum ante v. 250 excidisse; sed parenthesis, quae ab hoc versu incipit, arcte cohaerere debet cum v. 249, explicat enim, quomodo factum sit, ut Medea tum in domo circumerraverit, quod alias facere non soleret; nihil igitur inter hos versus intercedere potest. Ergo non prius quam post longam parenthesin verbum adjici poterat; ibi vero, ut post parenthesin fieri solet, mutata est constructio, nam sequitur quidem verbum videndi ἴδεν, non vero ad οἵγε, ut debebat relatum, sed ad Medeam. Est igitur negligentia quaedam poetae, qua non perspecta librarii locum ita mutarunt, ut vulgo legitur. Sensus hic est: *eam vero Iason ejusque comites ex thalamo in thalamum ad sororem euntem (Juno enim tum eam domi detinebat quum prius non multum in aedibus versaretur sed per totum diem in Hecatae, cujus sacerdos erat, templo operaretur) viderunt; quos, ut conspexit* etc.

249. θάλαμόν γε Vatt. A. C. Vrat. Vind. — κασιγνήτης Reg. A., quod correctorem sapit. — De μετιοῦσαν ad vers. praecedentem sermo fuit.

251. πανύμερος Vind. — ἀμφεπονῆτο Flor. Brub. Basil.

252. ἀρήτηρα Vrat.

254. ποδῶν deest in Guelph. Vrat. Flor. Brub. Basil.

256. ἅμα τῆσιν Med. Guelph. Regg. A. B. C. E. ineptissime et ex mero errore, de quo vid. ad I, 128, receptum tamen est a Brunck. et Beck. Medea quum peregrinos accedentes videret, perterrita exclamavit, Chalciope vero, quum *inter eos* (duos enim comites Iason praeter Phrixi filios secum duxerat. cf. v. 178) etiam filios suos conspiceret, laetata est.

257. χέρματι Flor. — ἀνέσκεθεν Vrat.

μητέρα δεξιόωντο καὶ ἀμφαγάπαζον ἰδόντες
γηθόσυνοι· τοῖον δὲ κινυρομένη φάτο μῦθον.
„Ἔμπης οὐκ ἄρ' ἐμέλλετ' ἀκηδείῃ με λιπόντες
„τηλόθι πλάγξασθαι· μετὰ δ' ὑμέας ἔτραπεν αἶσα.
„δειλὴ ἐγὼ, οἷον πόθον Ἑλλάδος ἔκποθεν ἄτης
„λευγαλέης Φρίξοιο ἐφημοσύνῃσιν ἕλεσθε
„πατρός; ὁ μὲν θνήσκων στυγερὰς ἐπετείλατ' ἀνίας
„ἡμετέρῃ κραδίῃ. τί δέ κεν πόλιν Ὀρχομενοῖο,
„ὅστις ὅδ' Ὀρχομενὸς, κτεάνων Ἀθάμαντος ἕκητι
„μητέρ' ἐὴν ἀχέουσαν ἀποπρολιπόντες ἵκοισθε;
Ὣς ἔφατ'· Αἰήτης δὲ πανύστατος ὦρτο θύραζε,
ἐκ δ' αὐτὴ Εἰδυῖα δάμαρ κίεν Αἰήταο
Χαλκιόπης ἀΐουσα· τὸ δ' αὐτίκα πᾶν ὁμάδοιο
ἕρκος ἐπεπλήθει. τοὶ μὲν μέγαν ἀμφεπένοντο
ταῦρον ἅλις δμῶες· τοὶ δὲ ξύλα κάγκανα χαλκῷ
κόπτον· τοὶ δὲ λοετρὰ πυρὶ ζέον· οὐδέ τις ἦεν,
ὃς καμάτου μεθίεσκεν ὑποδρήσσων βασιλῆϊ.
Τόφρα δ' Ἔρως πολιοῖο δι' ἠέρος ἷξεν ἄφαντος,
τετρηχὼς οἷόν τε νέαις ἐπὶ φορβάσιν οἶστρος
τέλλεται, ὅντε μύωπα βοῶν κλείουσι νομῆες.
ὦκα δ' ὑπὸ φλιὴν προδόμῳ ἔνι τόξα τανύσσας
ἰοδόκης ἀβλῆτα πολύστονον ἐξέλετ' ἰόν.
ἐκ δ' ὅγε καρπαλίμοισι λαθὼν ποσὶν οὐδὸν ἄμειψεν

259. Hic cum versu seq. deest in Guelph.
260. οὐκ ἂν Schol. Paris.
261. πλάγξεσθαι Vind. et Vrat. ex rasura.
262. δεινὴ Vatt. A. C. — ἐγὼν Brunck. Beck. ad vitandum hiatum, qui nullus est. — ἐκτόθεν Vatt. C. D. ἔκποθεν conjunctim scripsi, quod vulg. dividitur; cf. de eo Herm. ad Orph. p. 823.
263. ἐφημοσύνῃσι νέεσθαι vulg. sine sensu. νέεσθε habent Reg. D. et Flor., unde Brunck. una littera addita bene emendavit ἐφημοσύνῃσιν ἕλεσθε, quod cum Beckio recepi.
264. ἐπετείνατ' Vat. D.
265. κε πτόλιν Guelph.
269. Ἰδυῖα vulg. Εἰδυῖα Regg. quinque, Brunck. Beck. ut v. 243.
271. ἀμφιπένοντο Regg. quatuor, quos secutus est Brunck. ut solet.
274. μεθέεσκεν Flor. — ὑποδρήσσον Vind.
275. ἵξεν vulg. ἷξεν Regg. B. D. Vrat. Vind. Steph. Brunck. Beck. ἶζεν Vatt. C. D. ἧξεν Regg. A. E. Guelph. Flor.
276. τετριγώς mavult Brunck., sed vulg. recte tuetur Ruhnk. epist. crit. p. 303, allato Virg. Georg. III, 146, qui locus docet etiam, comma post τετρηχώς delendum esse. — οἷός τε Reg. D. — ὑπὸ φορβάσιν Guelph.
277. πέλλεται Guelph.
278. ὑπὸ φλοιὴν vulg. ὑποφλοιὸν Flor. ὑπὸ φλιὴν Med. Vatt. A. C. D. Regg. quatuor, Vrat. Vind. Guelph. ed. Paris. Steph. Brunck. Beck. — προδόμου ἐνὶ Reg. D., quod male receperunt Brunck. Beck. — ἔνι omittit Guelph. — τανύσας Flor.

ὀξέα δενδίλλων· αὐτῷ δ' ὑπὸ βαιὸς ἐλυσθεὶς
Αἰσονίδῃ, γλυφίδας μέσσῃ ἐνικάτθετο νευρῇ,
ἰθὺς δ' ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν
ἧκ' ἐπὶ Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν.
αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
καγχαλόων ἤϊξε· βέλος δ' ἐνεδαίετο κούρῃ
νέρθεν ὑπὸ κραδίῃ φλογὶ εἴκελον· ἀντία δ' αἰεὶ
βάλλεν ὑπ' Αἰσονίδην ἀμαρύγματα, καί οἱ ἄηντο
στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες, οὐδέ τιν' ἄλλην
μνῆστιν ἔχεν, γλυκερῇ δὲ κατείβετο θυμὸν ἀνίῃ.
ὡς δὲ γυνὴ μαλερῷ περὶ κάρφεα χεύατο δαλῷ
χερνῆτις, τῇπερ ταλασήϊα ἔργα μέμηλεν,
ὥς κεν ὑπωρόφιον νύκτωρ σέλας ἐντύναιτο
ἄγχι μάλ' ἐγρομένη· τὸ δ' ἀθέσφατον ἐξ ὀλίγοιο
δαλοῦ ἀνεγρόμενον σὺν κάρφεα πάντ' ἀμαθύνει·
τοῖος ὑπὸ κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ

281. *αὐτὸς* Guelph.

285. *ὑψορρόφοιο* Vind.

287. *πυρὶ* vulg. *φλογὶ* Vatt. A. C. D. Med. Guelph. Regg. A. B. C. D. E. Vrat. Vind., quod recte praetulerunt Brunck. Beck. — *ἴκελον* codd. omnes et edd. Flor. Ald. Brub. Basil. contra metrum; *εἴκελον* primum in ed. Paris. legitur, unde a recentioribus receptum est. Homericum est *φλογὶ εἴκελος* Il. XIII, 53. 330. 688. XVII, 88. XVIII, 154.

288. *ἐπ' Αἰσονίδην* Reg. D., quod conjecerant Steph. et Arnald. Lectt. gr. p. 241 et receperunt Brunck. Beck. Sed praestat vulgata, quae timidiorem designat Medeam et pudore prohibitam, quominus rectos in Iasonem converteret oculos.

290. *ἔχε* Reg. D. Brunck. Beck. male. *ἔσχεν* Vrat. — *γλυκερὴ — ἀνίη* vulg., quod quamquam aliquo modo defendi possit: *dulcis sollicitudo in animum defluebat*, tamen si comparaveris III, 1131 *τῇ δ' ἔντοσθε κατείβετο θυμὸς ἀκουῇ*, dubitare vix poteris, quin verus sit dativus, quem reponi jussit Steph. et ex Regg. A. E. receperunt Brunck. Beck. Eundem confirmat lectio Vatt. A. C. D. *κατετήκετο* pro *κατείβετο*, quam ex glossemate natam esse patet; *κατήγετο* habet Guelph. *κατείχετο* voluit Wakef., quod non necessarium esse ex loco allato intelligitur.

291. *πυρὶ* vulg. sine sensu. *περὶ* Reg. E. et suprasc. in Reg. A., quod recte receperunt Brunck. Beck.; *μαλερὸς δαλός* idem est, quod *αἰθόμενος δαλός* Hom. Il. XIII, 320, in errorem vero scribae facillime incidere potuerunt, quum *μαλερῷ πυρί* et similia saepissime et apud Homerum et apud Apollonium occurrant. Comparationem similem esse Homericae Od. V, 488 monuerunt jam Scholl. — *χεύετο* Vatt. D. Regg. A. D. E. Vrat. — *δαλλῷ* Guelph.

292. *τῇ πέρ τε* Vrat. Med. *τῇ πέργε* Vind.

293. *ὥς περ* Reg. A.

295. *ἀνευρόμενον* Regg. A. B. *ἀνερθόμενον* Reg. D. *ἀνερχόμενον* ex conjectura Brunck. Beck., quod quamquam per se non malum (nam *ἀνελθεῖν* de igne dicitur, cf. quae monui ad Aesch. Choeph. 529), tamen minime necessarium est, apta enim imagine ignis *expergisci* dicitur, neque praecedens *ἐγρομένη* obstare jam saepius monitum est; vid. ad I, 234.

296. *εἰλυμμένος* Schol. Paris. — *Ἄλλοτε* eodem modo ut nostro versu omittunt Aeschyl. ap. Stob. Ecl.

οὖλος Ἔρως· ἁπαλὰς δὲ μετετρωπᾶτο παρειὰς
ἐς χλόον, ἄλλοτ᾽ ἔρευθος, ἀκηδείῃσι νόοιο.
Δμῶες δ᾽ ὁππότε δή σφιν ἐπαρτέα θῆκαν ἐδωδὴν,
αὐτοί τε λιαροῖσιν ἐφαιδρύναντο λοετροῖς,
ἀσπασίως δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσσαν.
ἐκ δὲ τοῦ Αἰήτης σφετέρης ἐρέεινε θυγατρὸς
υἷας, τοίοισι παρηγορέων ἐπέεσσιν.
„Παιδὸς ἐμῆς κοῦροι Φρίξοιό τε, τὸν περὶ πάντων
„ξείνων ἡμετέροισιν ἐνὶ μεγάροισιν ἔτισα,
„πῶς Αἶάνδε νέεσθε παλίσσυτοι, ἦέ τις ἄτη
„σωομένοις μεσσηγὺς ἐνέκλασεν; οὐ μὲν ἐμεῖο
„πείθεσθε προφέροντος ἀπείρονα μέτρα κελεύθου.
„ᾔδειν γάρ ποτε πατρὸς ἐν ἅρμασιν Ἠελίοιο
„δινεύσας, ὅτ᾽ ἐμεῖο κασιγνήτην ἐκόμιζεν
„Κίρκην Ἑσπερίης εἴσω χθονὸς, ἐκ δ᾽ ἱκόμεσθα
„ἀκτὴν ἠπείρου Τυρσηνίδος, ἔνθ᾽ ἔτι νῦν περ
„ναιετάει, μάλα πολλὸν ἀπόπροθι Κολχίδος αἴης.
„ἀλλὰ τί μύθων ἦδος; ἃ δ᾽ ἐν ποσὶν ὔμμιν ὄρωρεν
„εἴπατ᾽ ἀριφραδέως, ἠδ᾽ οἵτινες οἵδ᾽ ἐφέπονται
„ἀνέρες, ὅππη τε γλαφυρῆς ἐκ νηὸς ἔβητε.“

Phys. p. 118 ἑξῆς δ᾽ ὀπηδεῖ δόχμιον, ἄλλοθ᾽ ὕστερον. Soph. Trach. 11 φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ᾽ αἰόλος δράκων ἑλικτός. Soph. El. 742 φορούμενος πρὸς οὖδας, ἄλλοτ᾽ οὐρανῷ σκέλη προφαίνων. Eur. Hec. 28 κεῖμαι δ᾽ ἐπ᾽ ἀκταῖς, ἄλλοτ᾽ ἐν πόντου σάλῳ.

300. ἐφαιδρύνοντο vulg. ἐφαιδρύναντο Vat. C. Regg. A. E. Guelph., quod cum Brunck. et Beck. recepi. ἐποτρύναντο Reg. D.

301. ποτῇ Guelph.

303. τοῖσι Guelph.

305. ξεῖνον Reg A.

306. νέεσθαι Med. a m. 1. — ἦε τίς Brunck. Beck. male. Vulgatam lectionem etiam Scholl. agnoscunt.

307. σωομένους Flor. Steph. et recentiores omnes, sed σωομένοις Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Ald. Brub. Basil. σευομένης suprascr. οις Reg. A. σευομένοις Regg. B. C. D. E. et marg. Vrat. Dativum respuit Brunck., quia ἐνικλᾶν activum sit, quod recte quidem dicit, sed cum accusativo personae conjunctum vix usquam invenerit; apud Homerum, ubi Il. VIII, 408 et 422 legitur, construitur ἐνικλᾶν τινί τι, et sic nostro quoque loco accipiendum est, ut accusativus mente supplendus sit. — ἐμοῖο Guelph. Reg. D.

310. ἐμοῖο Reg. D. — κασιγνήτιν Guelph.

311. Is qui cod. Vrat. scripsit oculis in versum sequentem aberrans pro vocabulis ἐκ δ᾽ ἱκόμεσθα scripsit ἔνθ᾽ ἔτι νῦν περ, et versum seq. omisit, qui tamen a manu rec. in marg. additus est.

314. ἔμποσιν ὔμιν Med.

316. ὁππότε γλαφυρῆς Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Flor. Brub. Basil. contra metrum; propterea ὁππότε καὶ γλαφυρῆς Steph. Hoelzlin. Shaw. Sed ὅπη τε Regg. A. D. E. ὅππη τε Regg. B. C., quod recte receperunt Brunck. et Beck.

Τοῖά μιν ἐξερέοντα κασιγνήτων προπάροιθεν
Ἄργος ὑποδδείσας ἀμφὶ στόλῳ Αἰσονίδαο
μειλιχίως προσέειπεν, ἐπεὶ προγενέστερος ἦεν.
„Αἰήτη, κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι
„ζαχρηεῖς· αὐτοὺς δ᾽ ὑπὸ δούρασι πεπτηῶτας
„νήσου Ἐνυαλίοιο ποτὶ ξερὸν ἔκβαλε κῦμα
„λυγαίῃ ὑπὸ νυκτί· θεὸς δέ τις ἄμμε σάωσεν.
„οὐδὲ γὰρ αἳ τὸ πάροιθεν ἐρημαίην κατὰ νῆσον
„ηὐλίζοντ᾽ ὄρνιθες Ἀρήϊαι, οὐδ᾽ ἔτι κείνας
„εὕρομεν. ἀλλ᾽ οἵγ᾽ ἄνδρες ἀπήλασαν ἐξαποβάντες
„νηὸς ἑῆς προτέρῳ ἐνὶ ἤματι· καί σφ᾽ ἀπέρυκεν
„ἡμέας οἰκτείρων Ζηνὸς νόος ἠέ τις αἶσα,
„αὐτίκ᾽ ἐπεὶ καὶ βρῶσιν ἅλις καὶ εἵματ᾽ ἔδωκαν,
„οὔνομά τε Φρίξοιο περικλεὲς εἰσαΐοντες
„ἠδ᾽ αὐτοῖο σέθεν· μετὰ γὰρ τεὸν ἄστυ νέονται.
„χρειὼ δ᾽ ἢν ἐθέλῃς ἐξίδμεναι οὔ σ᾽ ἐπικεύσω.
„τόνδε τις ἱέμενος πάτρης ἀπάνευθεν ἐλάσσαι
„καὶ κτεάνων βασιλεὺς περιώσιον, οὕνεκεν ἀλκῇ
„σφωϊτέρῃ πάντεσσι μετέπρεπεν Αἰολίδῃσιν,
„πέμπει δεῦρο νέεσθαι ἀμήχανον· οὐδ᾽ ὑπαλύξειν
„στεῦται ἀμειλίκτοιο Διὸς θυμαλγέα μῆνιν
„καὶ χόλον, οὐδ᾽ ἄτλητον ἄγος Φρίξοιό τε ποινὰς
„Αἰολιδέων γενεὴν, πρὶν ἐς Ἑλλάδα κῶας ἱκέσθαι.
„νῆα δ᾽ Ἀθηναίη Παλλὰς κάμεν, οὐ μάλα τοίην,
„οἷαί περ Κόλχοισι μετ᾽ ἀνδράσι νῆες ἔασιν,
„τάων αἰνοτάτης ἐπεκύρσαμεν. ἤλιθα γάρ μιν

317. *τοῖα μὲν* Vatt. A. C. D. Med. a m. 2. Vrat.
318. *ὑποδείσας* Vatt. A. C. D. Reg. E. a m. 1. Ald. Paris. Brunck. Beck. male. — *Αἰσομίδαο* Flor.
320. *διέχευσαν* Steph. Hunc versum laudat Etymol. M. p. 32, 22 nulla lectionis diversitate.
322. *ἔβαλε* Vrat. *ἔμβαλε* Guelph.
323. *ἄμμε σάωσεν* Vrat., quod recepi pro vulg. *ἄμμ᾽ ἐσάωσεν*. Vid. ad II, 1072.
325. *οὐδέ τι* vulg. *οὐδ᾽ ἔτι* Regg. A. E. Brunck. et Beck. recte.
327. De hiatu in vocabulis *ἐνὶ ἤματι* v. Herm. ad Orph. p. 734 et quae ad II, 660 monita sunt.
331. *αὐτοῖ* Med. a m. 1. — *νέμονται* Reg. A.
332. *ἐθέλεις* vulg. *ἐθέλῃς* Vatt. A. C. D. Regg. quatuor, Med. Guelph. Vrat. Vind. Brunck. Beck., quod est necessarium.
333. *ἐλάσσας* Reg. A.
334. *οὕνεκα* Vatt. C. D.
337. *στεῦτο* Schol. Paris.
339. *Αἰολίδων* vulg. *Αἰολίδεω* Regg. A. D. E. Guelph. Hoerstel. *Αἰολιδέων* Vatt. A. D. Reg. B. Med. Vrat. Vind. Brunck. Beck. recte.
341. *ἔασσι* Guelph.
342. *αἰνοτάτῃ* Guelph. — *ἤλυθα* Vatt. A. D. Flor. Ald. Brub. Basil.

„λάβρον ὕδωρ πνοιή τε διέτμαγεν· ἡ δ' ἐνὶ γόμφοις
„ἴσχεται, ἣν καὶ πᾶσαι ἐπιβρίσωσιν ἄελλαι.
„ἶσον δ' ἐξ ἀνέμοιο θέει, καὶ ὅτ' ἀνέρες αὐτοὶ
„νωλεμέως χείρεσσιν ἐπισπέρχωσιν ἐρετμοῖς.
„τῇ δ' ἐναγειράμενος Παναχαιΐδος εἴ τι φέριστον
„ἡρώων τεὸν ἄστυ μετήλυθε, πόλλ' ἐπαληθεὶς
„ἄστεα καὶ πελάγη στυγερῆς ἁλὸς, εἴ οἱ ὀπάσσαις.
„αὐτῷ δ' ὥς κεν ἅδῃ, τὼς ἔσσεται· οὐ γὰρ ἱκάνει
„χερσὶ βιησόμενος· μέμονεν δέ τοι ἄξια τίσειν
„δωτίνης, ἀΐων ἐμέθεν μέγα δυσμενέοντας
„Σαυρομάτας, τοὺς σοῖσιν ὑπὸ σκήπτροισι δαμάσσει.
„εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις γενεήν τε
„ἴδμεναι, οἵτινες εἰσὶν, ἕκαστά γε μυθησαίμην.
„τόνδε μὲν, οἷό περ οὕνεκ' ἀφ' Ἑλλάδος ὦλλοι ἄγερθεν,
„κλείουσ' Αἴσονος υἱὸν Ἰήσονα Κρηθείδαο.
„εἰ δ' αὐτοῦ Κρηθῆος ἐτήτυμόν ἐστι γενέθλης,
„οὕτω κεν γνωτὸς πατρώϊος ἄμμι πέλοιτο.
„ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἷες·
„Φρίξος δ' αὖτ' Ἀθάμαντος ἔην παῖς Αἰολίδαο.
„τόνδε δ' ἄρ', Ἠελίου γόνον ἔμμεναι εἴ τιν' ἀκούεις,
„δέρκεαι Αὐγείην· Τελαμὼν δ' ὅγε, κυδίστοιο
„Αἰακοῦ ἐκγεγαώς· Ζεὺς δ' Αἰακὸν αὐτὸς ἔτικτεν.

346. *ἐρετμοὺς* Regg. A. C. D. et E. a m. 2 (*ἐρετμὰ* a m. 1), quod male receperunt Brunck. Beck., non enim remiges *ἐπισπέρχουσιν ἐρετμούς*, sed *ναῦν ἐρετμοῖς*, manibus suis impellunt navem remigando, ut Hom. Il. XXIII, 430 *κέντρῳ ἐπισπέρχων*.

347. *ἀνεγειραμένοις* Guelph. Hoerstel. — *Παναχαΐδος* Shaw. — *οἵ τε φέριστοι* Vat. B. Regg. tres. *εἴ τι φέριστοι* Med. De usu generis neutrius, in quo offenderunt isti librarii, vid. Valck. ad Theocrit. VII, 4. Heindorf. ad Hor. Sat. I, 6, 1.

349. *ὀπάσσοις* Regg. quatuor, quod sine causa praetulerunt Brunck. Beck.

350. *ἅδοι* vulg. *ἅδει* Guelph. *ἅδῃ* Vatt. A. D. Regg. quatuor, Med. Vrat. Vind., quod cum Brunck. et Beck. recepi.

351. *βιησάμενος* vulg. *βιησόμενος*, quod sensus postulat, dedit Stephanus, quem secuti sunt reliqui editores, et sic legitur in Vatt. B. C. Similis varietas est II, 1170. — *μέμονε* Vat. B. Reg. C. Brunck. Beck. male.

353. *δαμάσσαι* Guelph.

355. *κε* pro *γε* ex conjectura Brunck. Beck., quod non necessarium est. Vid. ad I, 480.

356. *οὗπερ* Reg. A. — *ἄλλοι* Reg. D.

359. *κε* Vrat. Vind. Brunck. Beck. male.

360. *υἷε* ex Regg. quatuor male receperunt Brunck. Beck.

361. *πάϊς* Brunck. Beck. male, vid. ad I, 202.

363. *δέρκεε* Vind.

364. *ἐγγεγαώς* Med. a m. 1. *ἐκεγαώς* Flor.

„ὡς δὲ καὶ ὤλλοι πάντες, ὅσοι συνέπονται ἑταῖροι,
„ἀθανάτων υἷές τε καὶ υἱωνοὶ γεγάασιν.“
Τοῖα παρέννεπεν Ἄργος· ἄναξ δ' ἐπεχώσατο μύθοις
εἰσαΐων· ὑψοῦ δὲ χόλῳ φρένες ἠερέθοντο.
φῆ δ' ἐπαλαστήσας· μενέηνε δὲ παισὶ μάλιστα
Χαλκιόπης· τῶν γάρ σφε μετελθέμεν οὕνεκ' ἐώλπει·
ἐκ δέ οἱ ὄμματ' ἔλαμψεν ὑπ' ὀφρύσιν ἱεμένοιο.
„Οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀπόπροθι, λωβητῆρες,
„νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης,
„πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι;
„αὐτίχ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος οὐκ ἐπὶ κῶας,

365. ἄλλοι Regg. A. E.
366. υἱέες Vrat. — γεγάασσι Guelph.
367. ἐπεχώατο Vind.
369. μενέεινε Med. a m. 1. μενέαινε Guelph.
370. Χακιόπης Flor. — σφι vulg. σφε Regg. quinque, Guelph. Vrat. Vind. Brunck. Beck. recte. — ἐώλπει Steph. et reliqui deinceps editores, sed codd. et edd. veteres ἐόλπει, quod revocavi, quamquam et infra IV, 10 et apud Hom. Od. XX, 328 nunc ἐώλπει legitur.
371. ἔλαμψαν vulg. ἔλαμψεν Regg. quinque, Med. Guelph. Vrat. Brunck. Beck.
373. νεῖσθαι Med. — δόλοις Guelph.
374. 5. Multas hic locus turbas excitavit, quem jam Scholiastae quum non intelligerent emendare tentarunt, quorum verba adscribere operae pretium est, quum ex iis librorum lectiones dijudicari possint. Haec igitur illi: Ἐν δὲ τῷ αὐτίχ' ὁμαρτήσαντες προσεκτέον, ὅτι ἀσαφῶς εἴρηται. Ἴσως οὖν αὖθις ἀντὶ τοῦ αὐτίκα ῥητέον (ληπτέον Paris. male), καὶ ἀντὶ τοῦ ἀφ' Ἑλλάδος, ἐφ' Ἑλλάδα (εἰς Ἑλλάδα Flor. male), ἵν' ᾖ, οὐκ ἄφαρ ὑποστρέψετε εἰς Ἑλλάδα; εἶτα (ἢ Flor. male) στίξαντας εἰς τὸ Ἑλλάδα τελείαν (sc. στιγμὴν), τὸ ἑξῆς ἐπιφέρειν δεῖ, οὐκ ἐπὶ κῶας δεῦρο νέεσθε, ἐπὶ τὰ σκῆπτρα δὲ καὶ τὴν βασίλειον τιμήν. Ὥστε οὐ γραπτέον οὐδ' ἐπὶ κῶας, ἀλλ' οὐκ ἐπὶ κῶας, οὐδὲ σκῆπτρά τε ἀλλὰ σκῆπτρα δέ. Οἱ δὲ σχολιογράφοι ἐοίκασιν ἄλλῃ τινὶ γραφῇ ἐντυχεῖν, φασὶ γὰρ ἀπὸ κοίνου νοεῖσθαι τὸ ἔολπα· οὐδαμοῦ δὲ εἴρηται τὸ ἔολπα. Facile intelligitur, quomodo illi locum legi voluerint. Jam videamus editores. Vulgo ita legitur:

πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι
αὔτιχ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος; οὐδ' ἐπὶ κῶας,
σκῆπτρα δὲ καὶ τιμὴν βασιληΐδα δεῦρο νέεσθε.

profecto sine sensu idoneo. ὁμαρτήσαντας habet Reg. B. ὁμαρτήσαντε Reg. A. et E. a prima manu, ἐφ' Ἑλλάδα nonnulli ex Regg., unde Brunck. et post eum Beck. dederunt:

πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι
αὔτιχ' ὁμαρτήσαντε ἐφ' Ἑλλάδα;

in quibus vituperandus est et hiatus turpissimus, et lectio minima auctoritate fulta (praesertim quum ἐφ' Ἑλλάδα soli scholiastarum emendationi debeatur, quod ex verbis supra adscriptis elucet) et sensus ineptissimus, nam ὁμαρτήσαντε Brunckius ad δέρος καὶ Φρίξον referri vult, ut sensus sit: *priusquam vellus et Phrixum in Graeciam reportatum videritis*, qui nemini sano placere potest. Ruhnken. epist. crit. p. 278 et, quem commemorat, Hemsterhusius versum 374 tanquam e priore recensione superstitem tollendum, et

„σκῆπτρα δὲ καὶ τιμὴν βασιληΐδα δεῦρο νέεσθε.
„εἰ δέ κε μὴ προπάροιθεν ἐμῆς ἥψασθε τραπέζης,
„ἦτ' ἂν ἀπὸ γλώσσας τε ταμὼν καὶ χεῖρε κεάσσας
„ἀμφοτέρας, οἴοισιν ἐπιπροέηκα πόδεσσιν,
„ὥς κεν ἐρητύοισθε καὶ ὕστερον ὁρμηθῆναι·
„οἷα δὲ καὶ μακάρεσσιν ἐπεψεύσασθε θεοῖσιν."
Φῆ ῥα χαλεψάμενος· μέγα δὲ φρένες Αἰακίδαο
νειόθεν οἰδαίνεσκον· ἐέλδετο δ' ἔνδοθι θυμὸς
ἀντιβίην ὀλοὸν φᾶσθαι ἔπος· ἀλλ' ἀπέρυκεν
Αἰσονίδης· πρὸ γὰρ αὐτὸς ἀμείψατο μειλιχίοισιν.
„Αἰήτη, σχέο μοι τῷδε στόλῳ. οὔ τι γὰρ αὔτως
„ἄστυ τεὸν καὶ δώμαθ' ἱκάνομεν, ὥς που ἔολπας,
„οὐδὲ μὲν ἱέμενοι. τίς δ' ἂν τόσον οἶδμα περῆσαι
„τλαίη ἑκὼν ὀθνεῖον ἐπὶ κτέρας; ἀλλά με δαίμων
„καὶ κρυερὴ βασιλῆος ἀτασθάλου ὦρσεν ἐφετμή.
„δὸς χάριν ἀντομένοισι· σέθεν δ' ἐγὼ Ἑλλάδι πάσῃ
„θεσπεσίην οἴσω κληηδόνα· καὶ δέ τοι ἤδη
„πρόφρονές εἰμεν Ἄρηϊ θοὴν ἀποτῖσαι ἀμοιβήν,

deinde ἐφ' Ἑλλάδος legendum judicant. Huic sententiae accedit Herm. ad Orph. p. 734, qui tamen v. 374, ut in parenthesi dictum, etiam servari posse putat. Gerhard. Lectt. p. 189 sq. vulgatam lectionem sine mutatione tuetur, et vocabula ὁμαρτήσαντες ἀφ' Ἑλλάδος interpretatur: *vos qui modo venistis ex Graecia*, quod et otiosum foret, neque ita postponi potuisset. Praeterea ex Scholl. verbis supra appositis elucet, antiquitus post Ἑλλάδα non interpunctum esse. Hic igitur sublata interrogationis nota et post ἰδέσθαι posita, sensum ita restitui, ut librorum optimorum lectiones servatae sint: *Non statim discedetis, priusquam vellus et Phrixum videritis, quos non sine damno videre vobis continget? statim quum ex Graecia proficisceremini, non velleris auferendi gratia, sed imperio potituri huc tendebatis.* — οὐδ' vulgo. οὐκ Vatt. C. D. Regg. nonnulli, Vrat. Guelph., quod cum Brunck. Beck. recepi. Agnoscunt etiam Scholl., qui non ut reliqua tanquam suam emendationem, sed ita commemorant, ut in libris legisse videantur.

376. σκῆπτρά τε Vatt. A. B. C. D. Vind. Flor. σκῆπτρά Brub. σκῆπτρά δε Basil. — νέεσθαι Vatt. A. B. C. D. Med. Vrat. Vind. Flor. Ald. Brub. Basil., ad quam lectionem referuntur postrema Schol. verba supra allata, nam Schol. Flor. hunc infinitivum omisso ἔολπα explicat, sed ex errore frequentissimo natus videtur.

377. εἰ δὲ καὶ Flor. Ald.

378. εἶτ' ἂν Flor. Ald. Brub. Basil. — γλώσσης Vrat. κεάσας Vrat. Vind.

380. ἐρητύεσθε Vrat. Vind.

381. ἐπεσκήψασθε Vatt. C. D. ἐπεψεύσασθαι Vind.

383. οἰδένεσκον Vind.

386. χρέος pro σχέο Guelph. Hoerstel.

389. ἀλλ' ἐμὲ Brunck. ex conjectura ut solet.

392. κληϊδόνα Reg. A. καὶ κληηδόνα Med. καὶ κληδόνα Vatt. A. C. D. Vrat. Vind.

393. εἶμεν Flor. Ald. Brub. Basil. εἰμὲν edd. reliquae. Accentum correxi.

„εἴτ' οὖν Σαυρομάτας γε λιλαίεαι, εἴτε τιν' ἄλλον
„δῆμον σφωϊτέροισιν ὑπὸ σκήπτροισι δαμάσσαι.“
Ἴσκεν ὑποσσαίνων ἀγανῇ ὀπί· τοῖο δὲ θυμὸς
διχθαδίην πόρφυρεν ἐνὶ στήθεσσι μενοινὴν,
ἤ σφέας ὁρμηθεὶς αὐτοσχεδὸν ἐξεναρίξοι,
ἤ ὅγε πειρήσαιτο βίης. τό οἱ εἴσατ' ἄρειον
φραζομένῳ· καὶ δή μιν ὑποβλήδην προσέειπεν.
„Ξεῖνε, τί καὶ τὰ ἕκαστα διηνεκέως ἀγορεύεις;
„εἰ γὰρ ἐτήτυμόν ἐστε θεῶν γένος, ἠὲ καὶ ἄλλως
„οὐδὲν ἐμεῖο χέρηες ἐπ' ὀθνείοισιν ἔβητε,
„δώσω τοι χρύσειον ἄγειν δέρος, αἴ κ' ἐθέλησθα,
„πειρηθείς. ἐσθλοῖς γὰρ ἐπ' ἀνδράσιν οὔτι μεγαίρω,
„ὡς αὐτοὶ μυθεῖσθε τὸν Ἑλλάδι κοιρανέοντα.
„πεῖρα δέ τοι μένεός τε καὶ ἀλκῆς ἔσσετ' ἄεθλος,
„τόν ῥ' αὐτὸς περίειμι χεροῖν, ὀλοόν περ ἐόντα.
„δοιώ μοι πεδίον τὸ Ἀρήϊον ἀμφινέμονται
„ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντε·
„τοὺς ἐλάω ζεύξας στυφελὴν κατὰ νειὸν Ἄρηος
„τετράγυον, τὴν αἶψα ταμὼν ἐπὶ τέλσον ἀρότρῳ,
„οὐ σπόρον ὁλκοῖσιν Δηοῦς ἐνιβάλλομαι ἀκτὴν,
„ἀλλ' ὄφιος δεινοῖο μεταλδήσκοντας ὀδόντας
„ἀνδράσι τευχηστῇσι δέμας· τοὺς δ' αὖθι δαΐζων
„κείρω ἐμῷ ὑπὸ δουρὶ περισταδὸν ἀντιόωντας.

394. *εἴτ' αὖ* Vat. C.
396. *ὑπὸ σαίνων* Vind. *ὑποσαίνων* Vatt. C. D. Regg. quatuor, Vrat. Brunck. Beck. male.
397. *ἐπὶ στήθεσσι* vulg., sed *ἐνὶ*, quod necessarium est, praebent Regg. tres, unde receperunt Brunck. Beck.
398. *ἀφορμηθεὶς* Reg. A. — *ἐξεναρίζοι* Vat. C.
399. *βίην* Regg. quinque, Scholl.
401. *τί κεν* — *ἀγορεύεις* vulg. soloece, quare *ἀγορεύοις* ex Reg. B. receperunt Brunck. Beck. Sed optativo nullus hic locus; *κεν* potius in *καί* mutandum est, quorum perpetua est confusio, vid. ad I, 663. Idque in textu dedi, frequens enim *καί* in ejusmodi interrogationibus, cf. Wyttenb. ad Julian. p. 159 ed. Schaef.
402. *ἤ γὰρ* vulg. sine sensu, *εἰ γὰρ* ed. Paris. Steph. Brunck. Beck.
404. *δέρας* Vatt. A. C. D. — *ἤν κ' ἐθέλησθα* vulg. soloece, *αἴ κ' ἐθέλησθα* Reg. D., quod receperunt Brunck. Beck., quamquam illum prius *ἤν γ'* dare voluisse elucet ex loco Arati, quam affert.
406. *μυθεῖσθαι* Med. a m. 1. Flor.
408. *ἐπίειμι* Shaw. errore typ.
409. *πεδήϊον* Reg. A. a m. 1.
410. *φυσιόωντες* Vatt. A. C. D. Med. Reg. E. Vrat. Vind. Similis est varietas infra v. 496, sed ex ea ipsa elucet, vulgatam tuendam esse.
412. *τέτρανον* Vind. — *ἐπιτέλεσσον* Guelph.
413. *ὁλκοῖσι* Reg. D., quod receperunt Brunck. Beck. male. — *ἀκμῇ* Vat. C. *ἀκτῇ* Vatt. A. D. et C. a m. 2. Med. Reg. D. Guelph. Vrat. Vind. ex errore frequentissimo.
415. *δαΐξας* Reg. D.
416. *ὑπὸ* omittit Vat. B.

„ἠέριος ζεύγνυμι βόας, καὶ δείελον ὥρην
„παύομαι ἀμήτοιο. σύ δ', εἰ τάδε τοῖα τελέσσεις,
„αὐτῆμαρ τόδε κῶας ἀποίσεαι εἰς βασιλῆος·
„πρὶν δέ κεν οὐ δοίην, μηδ' ἔλπεο. δὴ γὰρ ἀεικὲς
„ἄνδρ' ἀγαθὸν γεγαῶτα κακωτέρῳ ἀνέρι εἶξαι."
Ὣς ἄρ' ἔφη· ὁ δὲ σῖγα ποδῶν πάρος ὄμματα πήξας
ἧσθ' αὔτως ἄφθογγος, ἀμηχανέων κακότητι.
βουλὴν δ' ἀμφὶ πολὺν στρώφα χρόνον, οὐδέ πη εἶχεν
θαρσαλέως ὑποδέχθαι, ἐπεὶ μέγα φαίνετο ἔργον·
ὀψὲ δ' ἀμειβόμενος προσελέξατο κερδαλέοισιν.
„Αἰήτη, μάλα τοί με δίκῃ περιπολλὸν ἐέργεις.
„τῷ καὶ ἐγὼ τὸν ἄεθλον ὑπερφίαλόν περ ἐόντα
„τλήσομαι, εἰ καί μοι θανέειν μόρος. οὐ γὰρ ἔτ' ἄλλο
„ῥίγιον ἀνθρώποισι κακῆς ἐπικείσετ' ἀνάγκης,
„ἥ με καὶ ἐνθάδε νεῖσθαι ἐπέχραεν ἐκ βασιλῆος."
Ὣς φάτ' ἀμηχανίῃ βεβολημένος· αὐτὰρ ὁ τόν γε
σμερδαλέοις ἐπέεσσι προσέννεπεν ἀσχαλόωντα.
„Ἔρχεο νῦν μεθ' ὅμιλον, ἐπεὶ μέμονάς γε πόνοιο·
„εἰ δὲ σύ γε ζυγὰ βουσὶν ὑποδδείσαις ἐπαεῖραι,
„ἠὲ καὶ οὐλομένου μεταχάσσεαι ἀμήτοιο,
„αὐτῷ κεν τὰ ἕκαστα μέλοιτό μοι, ὄφρα καὶ ἄλλος
„ἀνὴρ ἐρρίγῃσιν ἀρείονα φῶτα μετελθεῖν."
Ἴσκεν ἀπηλεγέως· ὁ δ' ἀπὸ θρόνου ὤρνυτ' Ἰήσων,
Αὐγείης Τελαμών τε παρασχεδόν· εἵπετο δ' Ἄργος

419. ἐς Regg. B. D. Flor. Steph. Brunck. Beck., sed εἰς reliqui omnes codd. et edd., quod revocavi.

420. δίην Vind.

421. ἀνδρὶ Regg. A. B. De hiatu v. Herm. ad Orph. p. 734.

423. ἧστ' Flor. — οὕτως Vat. D.

424. πουλὺν Med. Vrat. Vind. — πῶς pro πη Guelph.

426. κερδαλέοισι Med.

427. περὶ πολλὸν Vatt. A. C. D. Vrat., quod recepit Beck., non recte: περιπολλόν est vocabulum, quod uti amat Apollonius, ut II, 437. 472.

429. ἄλλος Med.

430. ἐπιβήσετ' vulg., quod tamen in solis Vat. B. et Reg. E. legitur. ἐπαμοίβετ' Reg. D. ἐπαμείβετ' Regg. A. B. C., quae lectio adeo placuit Brunckio, ut ejus recipiendae gratia versum ita mutatum dederit: ῥίγιον ἄνθρωπός γε κακῆς ἐπαμείψετ' ἀνάγκης, sensu vix tolerabili. Neque omnino conjectura opus est, nam ἐπικείσετ' praebent Vatt. A. C. D. Med. Guelph. Vrat. Vind. marg. Reg. A., quod recte recepit Beck. Quod vulgo legitur, mero scribarum errori tribuendum videtur, nam β et κ, η et ει quam saepe confundantur notissimum est.

435. ὑποδείσαις Brunck. Beck. male.

436. οὐλομένοιο Med. Vrat. Vind. Guelph.

437. τῷ κεν Reg. A. — μέλλοιτο Vrat. Vind.

439. ὄρνυτ' vulg. ὤρνυτ' Vatt. A. C. D. Vrat., quod recte recepit Beck. Vid. ad II, 897.

440. δ' εἵπετο Reg. A.

οἷος, ἐπεὶ μεσσηγὺς ἔτ' αὐτόθι νεῦσε λιπέσθαι
αὐτοκασιγνήτοις· οἱ δ' ἤεσαν ἐκ μεγάροιο.
θεσπέσιον δ' ἐν πᾶσι μετέπρεπεν Αἴσονος υἱὸς
κάλλεϊ καὶ χαρίτεσσιν· ἐπ' αὐτῷ δ' ὄμματα κούρη
λοξὰ παρὰ λιπαρὴν σχομένη θηεῖτο καλύπτρην,
κῆρ ἄχεϊ σμύχουσα· νόος δέ οἱ, ἠΰτ' ὄνειρος,
ἑρπύζων πεπότητο μετ' ἴχνια νισσομένοιο.
καί ῥ' οἱ μέν ῥα δόμων ἐξήλυθον ἀσχαλόωντες.
Χαλκιόπη δὲ χόλον πεφυλαγμένη Αἰήταο
καρπαλίμως θάλαμόνδε σὺν υἱάσιν οἷσι βεβήκει.
αὔτως δ' αὖ Μήδεια μετέστιχε· πολλὰ δὲ θυμῷ
ὥρμαιν', ὅσσα τ' Ἔρωτες ἐποτρύνουσι μέλεσθαι.
προπρὸ δ' ἄρ' ὀφθαλμῶν ἔτι οἱ ἰνδάλλετο πάντα,
αὐτός θ' οἷος ἔην, οἵοισί τε φάρεσιν ἕστο,
οἷά τ' ἔειφ', ὥς θ' ἕζετ' ἐπὶ θρόνου, ὥς τε θύραζε
ἤϊεν· οὐδέ τιν' ἄλλον ὀΐσσατο πορφύρουσα
ἔμμεναι ἀνέρα τοῖον· ἐν οὔασι δ' αἰὲν ὀρώρει
αὐδή τε μῦθοί τε μελίφρονες, οὓς ἀγόρευσεν.
τάρβει δ' ἀμφ' αὐτῷ, μή μιν βόες ἠὲ καὶ αὐτὸς
Αἰήτης φθίσειεν· ὀδύρετο δ' ἠΰτε πάμπαν
ἤδη τεθνειῶτα, τέρεν δέ οἱ ἀμφὶ παρειὰς
δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέε κηδοσύνῃσιν·
ἦκα δὲ μυρομένη λιγέως ἀνενείκατο μῦθον.
„Τίπτε με δειλαίην τόδ' ἔχει ἄχος; εἴθ' ὅγε πάντων
„φθίσεται ἡρώων προφερέστατος, εἴτε χερείων,
„ἐῤῥέτω. ἦ μὲν ὄφελλεν ἀκήριος ἐξαλέασθαι.

441. *νεῦσαι* Med. Vind.
442. *αὐτοκασιγνήτης* Guelph.
443. *ἐνὶ πᾶσι* scribi jubet Gerhard. Lectt. p. 97, quod non est necessarium, vid. ad II, 710.
445. *παραὶ* Reg. D.
446. *σμύχουσαν* Guelph. — *τοι* Reg. A.
447. *νισομένοιο* Flor. Brub. Basil.
450. *υἱέσιν* Regg. A. E. Med. Guelph.
452. *ὅρμαιν'* vulg. *ὥρμαιν'* Vatt. A. C. D. Regg. quinque, Guelph. Vrat. Vind. Brunck. Beck. — *ὅσα* Vrat. Vind. — *μέλλεσθαι* Flor. Ald.
453. *οἱ* omittit Guelph.
454. *οἷός τ'* Vind. — *ἧστο* vulg. *εἶτο* Regg. A. C. E. *ἕστο* recte emendavit Brunck.
455. *ἔφη θ' ὥς θ' ἕζ' ἐπὶ* Guelph.
456. *εἴσατο* Regg. A. E.
459. *αὐτὸν* Regg. quinque.
460. *φθείσειεν* Med. *φθίσειαν* Reg. A.
463. *ἐνενείκατο* Vatt. A. C. D.
464. *Τίπτ' ἐμὲ* Brunck. ex more. — *ἕλεν ἄχος* suspicatur Brunck., cui vulgatum durum videtur nescio quomodo.
465. *φθίσσεται* Vat. B. *φθείσεται* Vat. D. Med.
466. *εἶ μὲν* Vrat.

„ναὶ δὴ τοῦτό γε, πότνα θεὰ Περσηΐ, πέλοιτο.
„οἴκαδε νοστήσειε φυγὼν μόρον· εἰ δέ μιν αἶσα
„δμηθῆναι ὑπὸ βουσὶ, τόδε προπάροιθε δαείη,
„οὕνεκεν οὔ οἱ ἔγωγε κακῇ ἐπαγαίομαι ἄτῃ.“
Ἡ μὲν ἄρ' ὣς ἑόλητο νόον μελεδήμασι κούρη.
οἱ δ' ἐπεὶ οὖν δήμου τε καὶ ἄστεος ἐκτὸς ἔβησαν
τὴν ὁδὸν, ἣν τοπάροιθεν ἀνήλυθον ἐκ πεδίοιο,
δὴ τότ' Ἰήσονα τοῖσδε προσέννεπεν Ἄργος ἔπεσσιν.
„Αἰσονίδη, μῆτιν μὲν ὀνόσσεαι, ἥν τιν' ἐνίψω·
„πείρης δ' οὐ μάλ' ἔοικε μεθιέμεν ἐν κακότητι.
„κούρην δή τινα πρόσθεν ὑπέκλυες αὐτὸς ἐμεῖο
„φαρμάσσειν, Ἑκάτης Περσηΐδος ἐννεσίῃσιν·
„τὴν εἴ κεν πεπίθοιμεν, ὀΐομαι, οὐκέτι τάρβος
„ἔσσετ' ἀεθλεύοντι δαμήμεναι· ἀλλὰ μάλ' αἰνῶς
„δείδω, μή πως οὔ μοι ὑποσταίη τόγε μήτηρ.
„ἔμπης δ' ἐξαῦτις μετελεύσομαι ἀντιβολήσων,
„ξυνὸς ἐπεὶ πάντεσσιν ἐπικρέμαθ' ἡμὶν ὄλεθρος.“
Ἴσκεν ἐΰφρονέων· ὁ δ' ἀμείβετο τοῖσδ' ἐπέεσσιν.
„Ὦ πέπον, εἴ νύ τοι αὐτῷ ἐφανδάνει, οὔ τι μεγαίρω.
„βάσκ' ἴθι, καὶ πυκινοῖσι τεὴν παρὰ μητέρα μύθοις
„ὄρνυθι λισσόμενος· μελέη γε μὲν ἡμὶν ὄρωρεν
„ἐλπωρὴ, ὅτε νόστον ἐπετραπόμεσθα γυναιξίν.“
Ὣς ἔφατ'· ὦκα δ' ἕλος μετεκίαθον. αὐτὰρ ἑταῖροι

468. αἶψα Vat. B. Ald. Brub. Basil.

470. οὔχ οἱ Reg. A. ed. Paris. Steph. et ceterae edd. usque ad Brunck., qui restituit, quod in reliquis codd. et edd. antiquis omnibus legitur, et restituendum viderat jam Dorvill. Vann. crit. p. 393. — ἐπαγέομαι Reg. A.

471. αἰόλητο Vatt. A. C. D. Reg. D. Med. Guelph. Vrat. Vind. Flor. Ald. ἑόλητο reliqui codd. et edd. inde a Brub. Sic etiam Etymol. M. p. 352, 2.

473. ἀνελήλυθεν Guelph.

474. ἐπέεσσι Guelph.

475. ὄσσεαι Med. a m. 1. Vatt. A. C. D. Reg. A. In Vat. A. glossa μαθήσῃ.

477. ἐπέκλυες Guelph. Vrat. Vind. Flor. — ἐμοῖο Reg. D. Flor. Ald. Brub. Basil.

479. κε Vatt. C. D. — De verbo ὀΐομαι orationi non interserto sed praemisso vid. Schaef. et Heller. ad Soph. Oed. Col. v. 991. — οὐκέ τι Flor.

481. τό δε Guelph.

482. ἐξαῦτης Med. a m. 1, quod erroris arguit accentus. Tamen Brunck. inde conjicit legendum esse ἐξαυτῆς, sine causa: ἐξαῦτις est *retro* ut mox v. 573.

486. βάσκετε Med. a m. 1. βάσκεε Guelph. βάσκε τε Flor.

487. ἄρνυθι Vat. D.

488. ἀπετραπόμεσθα Med. Flor. ἐπιτραπόμεσθα Vrat. — γουναιξίν Vind.

489. ἔφαθ' Med. a m. 1. Vind. — μετεκίαθεν Guelph.

γηθόσυνοι ἐρέεινον, ὅπως παρεόντας ἴδοντο·
τοῖσιν δ' Αἰσονίδης τετιημένος ἔκφατο μῦθον.
„Ὦ φίλοι, Αἰήταο ἀπηνέος ἄμμι φίλον κῆρ
„ἀντικρὺ κεχόλωται, ἕκαστα γὰρ οὔ νύ τι τέκμωρ
„οὔτ' ἐμοὶ, οὔτε κεν ὔμμι διειρομένοισι πέλοιτο.
„φῆ δὲ δύω πεδίον τὸ Ἀρήϊον ἀμφινέμεσθαι
„ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντε,
„τετράγυον δ' ἐπὶ τοῖσιν ἐφίετο νειὸν ἀρόσσαι·
„δώσειν δ' ἐξ ὄφιος γενύων σπόρον, ὅς ῥ' ἀνίησιν
„Γηγενέας χαλκέοις σὺν τεύχεσιν· ἤματι δ' αὐτῷ
„χρειὼ τούσγε δαΐξαι. ὃ δή νύ οἱ (οὔτι γὰρ ἄλλο
„βέλτερον ἦν φράσσασθαι) ἀπηλεγέως ὑποέστην."
Ὣς ἄρ' ἔφη· πάντεσσι δ' ἀνήνυτος εἴσατ' ἄεθλος,
δὴν δ' ἄνεῳ καὶ ἄναυδοι ἐς ἀλλήλους ὁρόωντο
ἄτῃ ἀμηχανίῃ τε κατηφέες· ὀψὲ δὲ Πηλεὺς
θαρσαλέως μετὰ πᾶσιν ἀριστήεσσιν ἔειπεν·
„Ὥρη μητιάασθαι ὅ κ' ἔρξομεν. οὐ μὲν ἔολπα
„βουλῆς εἶναι ὄνειαρ, ὅσον τ' ἐπὶ κάρτεϊ χειρῶν.
„εἰ μέν νυν τύνη ζεῦξαι βόας Αἰήταο,
„ἥρως Αἰσονίδη, φρονέεις μέμονάς τε πόνοιο,
„ἦ τ' ἂν ὑποσχεσίην πεφυλαγμένος ἐντύναιο·
„εἰ δ' οὔ τοι μάλα θυμὸς ἑῇ ἐπὶ πάγχυ πέποιθεν

490. *γηθοσύνη* Reg. A. — *ἴδοιντο* Reg. A.

491. *τοῖσι* Vat. B. Flor. Ald. Brub. Basil.

493. *ἄντικρυς* Regg. quatuor, quod male receperunt Brunck. Beck.; significationis diversitas (cf. Lobeck. ad Phrynich. p. 443 s.) ad hunc locum non pertinet. — *κεχόλωτο* Reg. A. et alii quidam ex Regg. — *γ' ἄρ'* ex conjectura Brunck. Beck. male. Particula *γάρ* elliptice ut saepe usurpata est: *hoc in universum dico, singula enim enarrare longum est.* — *οὔ νύ τοι* vulg. contra metrum. *οὔ νύ τι*, quod conjecit Arnald. lectt. gr. p. 241, habent Med. Guelph. Vrat. Vind. Regg. quatuor, Steph. Brunck. Beck.

496. *φυσιόωντες* Med. *φυσιόωντας* Vatt. A. C. D. Vrat. Vind. vid. v. 410.

498. *ὄφεος* vulg. *ὄφεως* Guelph. *ὄφιος* Regg. quatuor, Brunck. Beck., qua forma ubique utitur Apollonius.

499. *χαλκείοις ἔντεσιν* Guelph.

500. *τούσδε* vulg. *τούς γε* Vatt. A. C. D. Regg. A. B. Med. Guelph. Vrat. Vind., quod cum Brunck. et Beck. recepi. Admodum frequens est horum vocabulorum confusio ut I, 15. 698. II, 740. III, 1090. IV, 77. 250. 775. 1023. 1357.

506. *ὅ χ' ἔρξομεν* vulg. *οἵκ' ἔρξομεν* Vind. *ὅ κ' ἔρξομεν* Vatt. A. C. D. Regg. quatuor, Vrat. Brunck. Beck. Notandum *κέ* cum futuri indicativo, de quo vid. ad I, 663.

507. *ὅσον γ'* Vrat. Vind.

510. *ἐντύνεο* Schol. Paris.

511. *οὐδ' οὔτι* Regg. A. E. *εἰ δ' οὔτι* Vrat. Vind. — *μάλα πάγχυ θυμὸς ἑῇ ἐπιπέποιθεν* Vatt. A. B. C. D. Regg. A. E. Med. Flor. Ald. metro pessumdato; sic etiam Vrat. Vind. et Guelph., nisi quod illi *πέ-*

„ἠνορέῃ, μήτ᾽ αὐτὸς ἐπείγεο, μήτε τιν᾽ ἄλλον
„τῶνδ᾽ ἀνδρῶν πάπταινε παρήμενος. οὐ γὰρ ἔγωγε
„σχήσομ᾽, ἐπεὶ θάνατός γε τὸ κύντατον ἔσσεται ἄλγος."
Ὣς ἔφατ᾽ Αἰακίδης· Τελαμῶνι δὲ θυμὸς ὀρίνθη·
σπερχόμενος δ᾽ ἀνόρουσε θοῶς· ἐπὶ δὲ τρίτος Ἴδας
ὦρτο μέγα φρονέων, ἐπὶ δ᾽ υἷες Τυνδαρέοιο·
σὺν δὲ καὶ Οἰνείδης ἐναρίθμιος αἰζηοῖσιν
ἀνδράσιν, οὐδέ περ ὅσσον ἐπανθιόωντας ἰούλους
ἀντέλλων· τοίῳ οἱ ἀείρετο κάρτεϊ θυμός.
οἱ δ᾽ ἄλλοι εἴξαντες ἀκὴν ἔχον. αὐτίκα δ᾽ Ἄργος
τοῖον ἔπος μετέειπεν ἐελδομένοισιν ἄεθλον.
„Ὦ φίλοι, ἤτοι μὲν τόδε λοίσθιον. ἀλλά τιν᾽ οἴω
„μητρὸς ἐμῆς ἔσσεσθαι ἐναίσιμον ὔμμιν ἀρωγήν.
„τῷ καί περ μεμαῶτες ἐρητύοισθ᾽ ἐνὶ νηΐ
„τυτθὸν ἔθ᾽, ὡς τοπάροιθεν, ἐπεὶ καὶ ἐπισχέμεν ἔμπης
„λώϊον, ἢ κακὸν οἶτον ἀφειδήσαντας ἑλέσθαι.
„κούρη τις μεγάροισιν ἐνιτρέφετ᾽ Αἰήταο,

ποιθεν habent, hic ἐπέποιθεν. Sic ut in Guelph. legitur dedit Steph., qui tamen in notis emendandum proponit μάλα πάγχυ ἐῇ θυμός γε πέποιθεν. In Reg. B. legitur μάλα πάγχυ γε θυμὸς ἐῇ ἐπιπέποιθεν, in ed. Paris. μάλα πάγχυ ἐῇ θυμὸς ἐπέποιθεν. In Reg. C. μάλα θυμὸς ἐῇ ἐπὶ πάγχυ πέπιθεν. Ita ut in textu dedi primum legitur in ed. Brubach., unde ea lectio fluxit in Basil. Hoelzlin. Shaw. Brunck. Beck. — ἐῇ non est *suae* ut vertit Beck., sed *tuae*, cujus usus jam multa exempla supra vidimus. Fugit hic locus etiam Gerhardum p. 93.

513. πάπτηνε vulg. et Vrat. quidem ex rasura. Correxit Brunckius. Eadem varietas est supra v. 109. — παρήμενον Flor.

517. υἱεῖς legendum judicat Gerhard. p. 153, quia vitaverint epici spondeum in pede quarto ex positione vocabuli sequentis nascentem. Sed sequi eum nolui, quia forma υἱεῖς prorsus abstinuisse videtur Apollonius, vid. ad II, 288. Praeterea ipse p. 150 s. satis multa spondei illius admissi exempla attulit. Fatendum tamen, praeter hunc in Apollonio nonnisi duos reperiri locos, quo hoc sibi indulserit poeta, quorum prior est III, 1084 ἐξερέω· μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει, quem tuentur loci similes Homerici Il. X, 389 νῆας ἐπὶ γλαφυράς; ἢ σαυτὸν θυμὸς ἀνῆκεν; VII, 337 ἄκριτον ἐκ πεδίου, ἅμα δ᾽ αὐτὸν δείμομεν ὦκα. Alter est I, 636 Θυιάσιν ὠμοβόροις ἴκελαι· φὰν γάρ που ἱκάνειν. Nihil enim offensionis habent illi loci, quibus aut praepositio positionem facit ut I, 1109. 1111. 1112. II, 166. 233. 710. 1163. III, 316. 589. 677. 703. 1264. IV, 22. 415. 597. 615. 710. 1004. 1043. 1079, aut articulus ut III, 983. IV, 412, quibus tamen locis malui τοπρῶτον junctim scribere.

518. Οἰνεΐδης Brunck. Beck. ex more. — αἰζηοῖσι Guelph.

519. ἐπ᾽ ἀνθιόωντας Vat. D. — ἰούλους om. Vat. D. — Locos similes affert Northm. ad Tryphiod. v. 53.

524. ἔσσεσθ᾽ ἐνναίσιμον vulg. ἔσσεσθ᾽ αἰνέσιμον Vatt. A. D. ἔσσεσθ᾽ ἐναίσιμον Vrat. Vind. ἔσσεσθαι ἐναίσιμον, quod conjecerat Stephanus, Guelph. Regg. quatuor, Brunck. Beck. — ὔμμι Vrat.

„τὴν Ἑκάτη περίαλλα θεὰ δάε τεχνήσασθαι
„φάρμαχ᾽, ὅσ᾽ ἤπειρός τε φύει καὶ νήχυτον ὕδωρ,
„τοῖσι καὶ ἀκαμάτοιο πυρὸς μειλίσσετ᾽ ἀϋτμὴν,
„καὶ ποταμοὺς ἵστησιν ἄφαρ κελαδεινὰ ῥέοντας,
„ἄστρα τε καὶ Μήνης ἱερῆς ἐπέδησε κελεύθους.
„τῆς μὲν ἀπὸ μεγάροιο κατὰ στίβον ἐνθάδ᾽ ἰόντες
„μνησάμεθ᾽, εἴκε δύναιτο, κασιγνήτη γεγαυῖα,
„μήτηρ ἡμετέρη πεπιθεῖν ἐπαρῆξαι ἀέθλῳ.
„εἰ δὲ καὶ αὐτοῖσιν τόδ᾽ ἐφανδάνει, ἦ τ᾽ ἂν ἱκοίμην
„ἤματι τῷδ᾽ αὐτῷ πάλιν εἰς δόμον Αἰήταο
„πειρήσων· τάχα δ᾽ ἂν σὺν δαίμονι πειρηθείην.“
Ὣς φάτο· τοῖσι δὲ σῆμα θεοὶ δόσαν εὐμενέοντες.
τρηρὼν μὲν φεύγουσα βίην κίρκοιο πελειὰς
ὑψόθεν Αἰσονίδεω πεφοβημένη ἔμπεσε κόλποις·
κίρκος δ᾽ ἀφλάστῳ περικάππεσεν. ὦκα δὲ Μόψος
τοῖον ἔπος μετὰ πᾶσι θεοπροπέων ἀγόρευεν.
„Υ̓́μμι, φίλοι, τόδε σῆμα θεῶν ἰότητι τέτυκται,
„οὐδέ πῃ ἄλλως ἐστὶν ὑποκρίνασθαι ἄρειον,
„παρθενικὴν δ᾽ ἐπέεσσι μετελθέμεν ἀμφιέποντας
„μήτι παντοίῃ. δοκέω δέ μιν οὐκ ἀθερίζειν,
„εἰ ἐτεὸν Φινεύς γε θεῇ ἐνὶ Κύπριδι νόστον
„πέφραδεν ἔσσεσθαι. κείνης δ᾽ ὅγε μείλιχος ὄρνις
„πότμον ὑπεξήλυξε· κέαρ δέ μοι ὡς ἐνὶ θυμῷ
„τόνδε κατ᾽ οἰωνὸν προτιόσσεται, ὣς δὲ πέλοιτο.

529. περὶ ἄλλα Vatt. A. B. C. D.
530. ὅσσ᾽ Flor. — φύσει Vatt. C. D.
531. μειλίσσεται ἀϋτμὴ Ald. Brub. Basil. μειλίσσει ἀϋτμὴν ed. Paris. Steph., sed alia est codd. lectio: μειλίσσεται ἀϋτμὴν Vat. B. μειλίσσετ᾽ ἀϋτμὴ Vat. D. Vrat. Guelph. μειλίσσετ᾽ ἀϋτμὴν reliqui codd. omnes, ed. Flor. et recentiores inde ab Hoelzlino.
535. εἴ τι δύναιτο Flor.
536. ἀέθλων Reg. A.
537. αὐτοῖσι vulg. αὐτοῖσιν Vatt. C. D. Guelph. (et alii fortasse codd.) Steph., quod revocavi.
542. Αἰσονίδαο Vatt. A. C. Regg. A. E. Med. Guelph. Vrat. Vind. — ἔκπεσε Flor. — κόμπῳ Vat. D. κόλπῳ Vatt. A. C. Med. a m. 2. Guelph. Vrat. Vind. Flor. forsitan recte.
543. αἶψα vulg. ὦκα Vatt. A. C. D. Regg. quatuor, Med. Guelph. Vrat. Vind., quod propter librorum auctoritatem cum Brunck. Beck. recepi.
546. ποι pro πῃ Guelph.
548. ἀθερίξειν vulg. ἀθερίζειν Vatt. A. B. C. D. Regg. tres, Guelph. Vrat. Vind., quod propter librorum auctoritatem cum Beckio recepi, praesertim quum futurum facilius quam praesens a librariis proficisci potuerit. Praesens vero pro futuro in praedictionibus frequens, cf. quae monui ad Aesch. Choeph. 543.
551. μόρον pro πότμον Guelph. οἶτον Flor. — ὑπεξέλυξε Reg. A. — δ᾽ ἐμοὶ Brunck. ut solet.
552. ὥς γε ex conjectura Brunck. Beck. male: δέ in apodosi comparationum usurpari notum est, v.

„ἀλλά, φίλοι, Κυθέρειαν ἐπικλείοντες ἀμύνειν
„ἤδη νῦν Ἄργοιο παραιφασίῃσι πίθεσθε.“
Ἴσκεν· ἐπήνησαν δὲ νέοι Φινῆος ἐφετμὰς
μνησάμενοι· μοῦνος δ᾽ Ἀφαρήϊος ἄνθορεν Ἴδας
δείν᾽ ἐπαλαστήσας μεγάλῃ ὀπὶ φώνησέν τε.
„Ὢ πόποι, ἦ ῥα γυναιξὶν ὁμόστολοι ἐνθάδ᾽ ἔβημεν,
„οἳ Κύπριν καλέουσιν ἐπίῤῥοθον ἄμμι πέλεσθαι,
„οὐκ ἔτ᾽ Ἐνυαλίοιο μέγα σθένος· ἐς δὲ πελείας
„καὶ κίρκους λεύσσοντες ἐρητύεσθε ἀέθλων.
„ἔῤῥετε, μηδ᾽ ὔμμιν πολεμήϊα ἔργα μέλοιτο,
„παρθενικὰς δὲ λιτῇσιν ἀνάλκιδας ἠπεροπεύειν.“
Ὣς ηὔδα μεμαώς· πολέες δ᾽ ὁμάδησαν ἑταῖροι
ἦκα μάλ᾽, οὐδ᾽ ἄρα τις οἱ ἐναντίον ἔκφατο μῦθον.
χωόμενος δ᾽ ὅγ᾽ ἔπειτα καθέζετο· τοῖσι δ᾽ Ἰήσων
αὐτίκ᾽ ἐποτρύνων τὸν ἑὸν νόον ὧδ᾽ ἀγόρευεν·
„Ἄργος μὲν παρὰ νηός, ἐπεὶ τόδε πᾶσιν ἕαδεν,
„στελλέσθω· ἀτὰρ αὐτοὶ ἐπὶ χθονὸς ἐκ ποταμοῖο
„ἀμφαδὸν ἤδη πείσματ᾽ ἀνάψομεν. ἦ γὰρ ἔοικεν
„μηκέτι δὴν κρύπτεσθαι ὑποπτήσσοντας ἀϋτήν.“
Ὣς ἄρ᾽ ἔφη· καὶ τὸν μὲν ἄφαρ προΐαλλε νέεσθαι
καρπαλίμως ἐξαῦτις ἀνὰ πτόλιν· οἱ δ᾽ ἐπὶ νηὸς
εὐναίας ἐρύσαντες ἐφετμαῖς Αἰσονίδαο
τυτθὸν ὑπὲξ ἕλεος χέρσῳ ἐπέκελσαν ἐρετμοῖς.
Αὐτίκα δ᾽ Αἰήτης ἀγορὴν ποιήσατο Κόλχων

Schaef. melet. crit. p. 159. Bast. epist. crit. p. 227.

553. ἀρήγειν Reg. D.

555. ἐπήνεσσαν Reg. D.

559. ἐπίροθον Brunck. Beck. ex more.

561. λεύσαντες vulg. λεύσοντες Vatt. A. C. D. Regg. A. B. E. λεύσσοντες Med. Reg. D. Vrat. Vind. Brunck. Beck. βλέποντες Guelph. — ἐρητύοισθε Vat. B. — De hiatu v. Herm. ad Orph. p. 734.

562. ὔμμι πτολεμήϊα vulg., sed πτολεμήϊα in solo Vat. B. legitur, reliqui codices omnes πολεμήϊα habent, unde Beck. dedit ὔμμι πολεμήϊα, male; ὔμμιν praebent Regg. quinque, quod cum Brunckio recepi. — πέλοιτο Guelph. et Med. a m. 2.

563. δὲ om. Vatt. A. D. — ὑπεροπεύειν Vatt. A. D.

566. καθέζετοι Med. a m. 1.

567. ἀγόρευσεν vulg., sed id in solis Vat. B. et Guelph. legitur, reliqui codd. omnes et Flor. habent ἀγόρευεν, quod cum Brunck. Beck. revocavi.

569. αὐτὰρ Vind.

571. μηκέτι δηθὰ κρύπτεσθαι πτήσσοντας vulg., versu elumbi; et sic in solo Vat B. legitur, reliqui codd. omnes et Flor. habent δὴν pro δηθά, ut excidisse aliquid videatur, quod restituere conatus est librarius δηθὰ scribendo. Sed melius versum explevit Piers. Verisim. p. 210, ὑποπτήσσοντας emendans, quam emendationem recepi cum Brunck. Beck. — πτήσοντας Vatt. B. D.

575. ἕλος Guelph. Vrat. — ἐπέκερσαν Flor.

νόσφιν ἑοῖο δόμου, τόθι περ καὶ πρόσθε κάθιζον,
ἀτλήτους Μινύαισι δόλους καὶ κήδεα τεύχων.
στεῦτο δ', ἐπεί κεν πρῶτα βόες διαδηλήσωνται
ἄνδρα τὸν, ὅς ῥ' ὑπέδεκτο βαρὺν καμέεσθαι ἄεθλον,
δρυμὸν ἀναῤῥήξας λασίης καθύπερθε κολώνης
αὔτανδρον φλέξειν δόρυ νήϊον, ὄφρ' ἀλεγεινὴν
ὕβριν ἀποφλύξωσιν ὑπέρβια μηχανόωντες.
οὐδὲ γὰρ Αἰολίδην Φρίξον, μάλα περ χατέοντα,
δέχθαι ἐνὶ μεγάροισιν ἐφέστιον, ὃς περὶ πάντων
ξείνων μειλιχίῃ τε θεουδείῃ τ' ἐκέκαστο,
εἰ μή οἱ Ζεὺς αὐτὸς ἀπ' οὐρανοῦ ἄγγελον ἧκεν
Ἑρμείαν, ὥς κεν προσκηδέος ἀντιάσειεν.
μὴ καὶ ληϊστῆρας ἑὴν ἐς γαῖαν ἰόντας
ἔσσεσθαι δηναιὸν ἀπήμονας, οἷσι μέμηλεν
ὀθνείοις ἐπὶ χεῖρα ἑὴν κτεάτεσσιν ἀείρειν
κρυπταδίους τε δόλους τεκταινέμεν ἠδὲ βοτήρων
αὔλια δυσκελάδοισιν ἐπιδρομίῃσι δαΐξαι.
νόσφι δέ οἱ αὐτῷ φάτ' ἐοικότα μείλια τίσειν
υἷας Φρίξοιο, κακοῤῥέκτῃσιν ὀπηδοὺς
ἀνδράσι νοστήσαντας ὁμιλαδὸν, ὄφρα ἓ τιμῆς
καὶ σκήπτρων ἐλάσειαν ἀκηδέες· ὥς ποτε βάξιν
λευγαλέην οὗ πατρὸς ἐπέκλυεν Ἠελίοιο,
χρειώ μιν πυκινόν τε δόλον βουλάς τε γενέθλης

577. Hic et sequens versus desunt in Guelph.

578. *Μινύεσσι* Vat. B. Med. Hoelzlin. *Μυνύεσσι* Flor. Ald. Brub. Basil. *Μινύαισσι* ed. Paris. *Μινύαισι*, quod in reliquis omnibus libris legitur, Steph. Brunck. Beck.

579. *κε* Brunck. Beck. — *διαδηλήσονται* Guelph. Vrat. Vind. Flor. Brub. Basil.

581. *ἀναρήξας* Brunck. Beck.

582. *ἄντανδρον* Flor. Brub. Basil. — *νήϊος* Guelph.

585. De particula *ἄν* ad infinitivum *δέχθαι* omissa vid. ad I, 197.

587. *ἄγγελων* Vind.

588. *Ἑρμείην* Regg. A. D. E. Brunck. Beck. male, vid. ad II, 1145. — *κε* Vat. B. Brunck. Beck. — *πρὸς κηδέος* Vatt. C. D.

591. *δηνεὸν* Vrat. Vind.

593. *ἐπιδρομίοισι* Flor. Ald. Brub. Basil.

594. *νόσφιν δ' οἱ* vulg. *νόσφι δ' οἱ* Reg. E. Correxit Brunckius, ut in textu dedi. Fugit hic locus Hermannum ad Orph. p. 782, ut et alii nonnulli, quos attulit Spitzner. de vers. her. p. 36. Vulgatam servavit Beck., qui mutationis causam non perspexit.

595. *κακορέκτῃσιν* Reg E. Brunck. Beck.

599. *χρῆναί μιν* vulg. *χρειώ μιν* Vatt. A. C. D. Med. a m. 2. Vrat. marg. Reg. A. marg. Vind. var. lect. apud Schol. Flor., quod quamquam e paucioribus libris recipere non dubitavi, quum *χρῆναι* ex glossemate natum esse perspicuum sit. Ex Homero si quis illam lectionem velit dijudicare, ei improbanda erit; ille enim hac elliptica ratione, qua pro *χρή* positum videtur, nunquam *χρειώ*, sed semper *χρεώ* usurpat neque, unquam ita, ut pro infinitivo *χρῆναι* positum

σφωϊτέρης ἄτην τε πολύτροπον ἐξαλέασθαι·
τῷ καὶ ἐελδομένους πέμπειν ἐς Ἀχαιΐδα γαῖαν
πατρὸς ἐφημοσύνῃ δολιχὴν ὁδόν. οὐδὲ θυγατρῶν
εἶναί οἱ τυτθόν γε δέος, μή που τινὰ μῆτιν
φράσσωνται στυγερὴν, οὐδ' υἱέος Ἀψύρτοιο·
ἀλλ' ἐνὶ Χαλκιόπης γενεῇ τάδε λυγρὰ τετύχθαι.
καί ῥ' ὁ μὲν ἄσχετα ἔργα πιφαύσκετο δημοτέροισιν
χωόμενος· μέγα δέ σφιν ἀπείλεε νῆά τ' ἐρύσθαι
ἠδ' αὐτοὺς, ἵνα μή τις ὑπὲκ κακότητος ἀλύξῃ.
    Τόφρα δὲ μητέρ' ἐὴν, μετιὼν δόμον Αἰήταο,
Ἄργος παντοίοισι παρηγορέεσκεν ἔπεσσιν
Μήδειαν λίσσεσθαι ἀμυνέμεν· ἡ δὲ καὶ αὐτὴ
πρόσθεν μητιάασκε· δέος δέ μιν ἴσχανε θυμὸν,
μή πως ἠὲ παρ' αἶσαν ἐτώσια μειλίξαιτο
πατρὸς ἀτυζομένην ὀλοὸν χόλον, ἠὲ λιτῇσιν
ἑσπομένης ἀρίδηλα καὶ ἀμφαδὰ ἔργα πέλοιτο.
    Κούρην δ' ἐξ ἀχέων ἀδινὸς κατελώφεεν ὕπνος
λέκτρῳ ἀνακλινθεῖσαν. ἄφαρ δέ μιν ἠπεροπῆες,
οἷά τ' ἀκηχεμένην, ὀλοοὶ ἐρέθεσκον ὄνειροι.
τὸν ξεῖνον δ' ἐδόκησεν ὑφεστάμεναι τὸν ἄεθλον,
οὔ τι μάλ' ὁρμαίνοντα δέρος κριοῖο κομίσσαι,
οὐδέ τι τοῖο ἕκητι μετὰ πτόλιν Αἰήταο
ἐλθέμεν, ὄφρα δέ μιν σφέτερον δόμον εἰσαγάγοιτο

videatur. Apollonius vero in hac re ab usu Homerico recedit, nam χρειώ pro χρή dicit I, 649. 1092. II, 390. 845. IV, 348. 411. 814, pro χρῆναι III, 500 ut nostro loco.

601. τῷ κε καὶ ἐλδομένους Vatt. A. C. D. Med. Guelph. Vrat. Vind., quod ex frequente vocularum κέ et καί confusione natum videtur; quum enim in aliis libris κέ, in aliis καί legeretur, mox utrumque conjunctum est. — πέμπεν Vat. B. Regg. C. D. E. (et, ni fallor, Med.) Flor. Ald. Brub. Basil. Hoelzlin. πέμπειν, quod reliqui codd. praebent, ex Steph. dederunt Brunck. Beck.

604. φράσσονται Brub. Basil. Hoelzlin. Shaw.

606. πιφάσκετο Reg. D. Vind. πιφάσκετ' Reg. A. — δημογέρουσι Reg. D.

608. ὑπὲρ vulg. ὑπ' ἐκ Regg. quatuor, quod recte receperunt Brunck. Beck., sed junctim scribendum est. Etiam alibi confunduntur ὑπέρ et ὑπέκ ut infra v. 1319.

609. δόμων Med. a m. 1.

610. παρηγορέεσκ' ἐπέεσσι Guelph.

612. πρόσθε Vrat.

613. μειλίσαιτο vulg. μειλίσσαιτο Vatt. A. C. D. Regg. quatuor, Med. a m. 2. Vrat. Vind. Flor. et, quod idem est, μειλίσσετο Med. a m. 1. Guelph. Correxit Brunck.

614. ἀτυζομένη Reg. A. — ὀλὸν Vatt. A. D.

615. ἀνφαδὸν Guelph.

617. ἡμεροπῆες Reg A.

618. ἀκαχεμένην Guelph. — ἐρέθισκον Reg. A.

620. κομίσαι Ald. Brub. Basil.

621. τοῖό γ' ἕκητι ex uno Reg. D. Brunck. Beck. male; vid. ad I, 334.

κουριδίην παράκοιτιν· οἴετο δ' ἀμφὶ βόεσσιν
αὐτὴ ἀεθλεύουσα μάλ' εὐμαρέως πονέεσθαι·
σφωϊτέρους δὲ τοκῆας ὑποσχεσίης ἀθερίζειν,
οὕνεκεν οὐ κούρῃ ζεῦξαι βόας ἀλλά οἱ αὐτῷ
προὔθεσαν· ἐκ δ' ἄρα τοῦ νεῖκος πέλεν ἀμφήριστον
πατρί τε καὶ ξείνοις· αὐτῇ δ' ἐπιέτρεπον ἄμφω
τὼς ἔμεν, ὥς κεν ἑῇσι μετὰ φρεσὶν ἰθύσειεν.
ἡ δ' ἄφνω τὸν ξεῖνον, ἀφειδήσασα τοκήων,
εἵλετο· τοὺς δ' ἀμέγαρτον ἄχος λάβεν, ἐκ δ' ἐβόησαν
χωόμενοι· τὴν δ' ὕπνος ἅμα κλαγγῇ μεθέηκεν.
παλλομένη δ' ἀνόρουσε φόβῳ, περί τ' ἀμφί τε τοίχους
πάπτηνεν θαλάμοιο· μόλις δ' ἐσαγείρατο θυμὸν
ὡς πάρος ἐν στέρνοις, ἀδινὴν δ' ἀνενείκατο φωνήν.
„Δειλὴ ἐγὼν, οἷόν με βαρεῖς ἐφόβησαν ὄνειροι.
„δείδια, μὴ μέγα δή τι φέρῃ κακὸν ἥδε κέλευθος
„ἡρώων. περί μοι ξείνῳ φρένες ἠερέθονται.
„μνάσθω ἑὸν κατὰ δῆμον Ἀχαιΐδα τηλόθι κούρην·
„ἄμμι δὲ παρθενίη τε μέλοι καὶ δῶμα τοκήων.
„ἔμπα γε μὴν θεμένη κύνεον κέαρ οὐκ ἔτ' ἄνευθεν
„αὐτοκασιγνήτης πειρήσομαι, εἴ κέ μ' ἀέθλῳ
„χραισμεῖν ἀντιάσῃσιν, ἐπὶ σφετέροις ἀχέουσα
„παισί· τό κέν μοι λυγρὸν ἐνὶ κραδίῃ σβέσοι ἄλγος."
Ἦ ῥα, καὶ ὀρθωθεῖσα θύρας ὤϊξε δόμοιο,
νήλιπος, οἰέανος· καὶ δὴ λελίητο νέεσθαι
αὐτοκασιγνήτηνδε καὶ ἕρκεος οὐδὸν ἄμειψεν.
δὴν δὲ κατ' αὐτόθι μίμνεν ἐπὶ προδόμῳ θαλάμοιο
αἰδοῖ ἐεργομένη· μετὰ δ' ἐτράπετ' αὖτις ὀπίσσω
στρεφθεῖσ'· ἐκ δὲ πάλιν κίεν ἔνδοθεν ἄψ τ' ἀλέεινεν

626. κούρης Vind. — ζεῦξε Med.
627. ἀμφόριστον Guelph.
628. ἐπέτρεπον Guelph.
634. πάπτηνε Brunck. ut solet. — μόγις Guelph. Repetitum est hemistichium ex I, 1233.
635. ἀνενήκατο Flor. Ald. Brub. Basil.
636. ἐγὼ Reg. D. — βαρεῖ Med. a m. 1.
637. μή τι πῆμα φ. Guelph. — φέρει vulg. φέροι Regg. A. C. D. Vrat. φέρῃ, ex quo vulgatum φέρει natum est, Reg. B. Vind. suprascr. in Guelph. ed. Paris. Steph. Brunck. Beck.
643. σφετέροισιν Vrat. Vind.
645. θύρην Reg. A. et duo alii Regg.
646. ἠέανος Regg. quinque.
647. αὐτοκασιγνήτην τε Med. αὐτοκασιγνήτην γε Reg. A. — οὐδὲν Vat. D.
648. καὶ αὐτόθι Regg. quinque ἐνὶ Guelph. Hoerstel.
649. ἐξετράπετ' Reg. A. — αὖθις Guelph.
650. ἐν δὲ Flor. Ald. Brub. Basil.

εἴσω· τηΰσιοι δέ πόδες φέρον ἔνθα καὶ ἔνθα.
ἤτοι ὅτ' ἰθύσειεν, ἔρυκέ μιν ἔνδοθεν αἰδώς·
αἰδοῖ δ' ἐργομένην θρασὺς ἵμερος ὀτρύνεσκεν.
τρὶς μὲν ἐπειρήθη, τρὶς δ' ἔσχετο, τέτρατον αὖθις
λέκτροισιν πρηνὴς ἐνικάππεσεν εἱλιχθεῖσα.
ὡς δ' ὅτε τις νύμφη θαλερὸν πόσιν ἐν θαλάμοισιν
μύρεται, ᾧ μιν ὄπασσαν ἀδελφεοὶ ἠδὲ τοκῆες,
οὐδέ τί πω πάσαις ἐπιμίσγεται ἀμφιπόλοισιν
αἰδοῖ ἐπιφροσύνῃ τε· μυχῷ δ' ἀκέουσα θαάσσει·
τὸν δέ τις ὤλεσε μοῖρα, πάρος ταρπήμεναι ἄμφω
δήνεσιν ἀλλήλων· ἡ δ' ἔνδοθι δαιομένη περ
σῖγα μάλα κλαίει χῆρον λέχος εἰσορόωσα,
μή μιν κερτομέουσαι ἐπιστοβέωσι γυναῖκες·
τῇ ἰκέλη Μήδεια κινύρετο. τὴν δέ τις ἄφνω
μυρομένην μεσσηγὺς ἐπιπρομολοῦσ' ἐνόησεν
δμωάων, ἥ οἱ ἐπέτις πέλε κουρίζουσα·
Χαλκιόπῃ δ' ἤγγειλε παρασχεδόν· ἡ δ' ἐνὶ παισὶν
ἧστ' ἐπιμητιόωσα κασιγνήτην ἀρέσασθαι.
ἀλλ' οὐδ' ὣς ἀπίθησεν, ὅτ' ἔκλυεν ἀμφιπόλοιο
μῦθον ἀνώϊστον· διὰ δ' ἔσσυτο θαμβήσασα
ἐκ θαλάμου θάλαμόνδε διαμπερὲς, ᾧ ἔνι κούρη
κέκλιτ' ἀκηχεμένη, δρύψεν δ' ἑκάτερθε παρειάς·

651. *κηδόμενοι* Vat. B. *κηδόσυνοι* Regg. A. C. D. *τηϋσίην* cum gl. *ματαίαν* Guelph. *τήσιοι* Vatt. A. D. Med. Vrat. Vind. *κηδομένην* vel *κηδοσύνην* in priore recensione fuisse suspicatur Gerhard. p. 50, sed quum accusativum solus Guelph. habeat, videntur illi meri errores esse in vocabulo rariore.

652. *ὅτι θύσειεν* vulg. et sensu et metro repugnante, quare *ὅ, τ' ἰθύσειεν* conjecit Stephanus, sed melius *ὅτ' ἴθυσειεν* Vat. A. Vrat. Regg. quinque, Brunck. Beck.

653. *εἰργομένην* Regg. quatuor, quam formam, quamquam semel tantum apud Homerum, nunquam apud Nostrum legitur, receperunt tamen Brunck. Beck.

654. *αὖτις* Brunck. Beck. sine causa. — Imitationes poetarum latinorum indicat Ruhnk. epist. crit. p. 304.

655. *λέκτροισι* vulg. *λέκτροισιν* ex Med. recepi.

656. *θαλάμοισι* Vrat.

657. *ἧ* pro *ᾧ* Guelph. — *ἀδελφεοὶ ὤπασαν* vulg. metro parum concinno. *ὤπασαν ἀδελφεοὶ* Vatt. A. C. D. Reg. A., ex quo vulgata nata est. *ὄπασσαν ἀδελφεοὶ* Med. Regg. quatuor et ut videtur Guelph., quod recte receperunt Brunck. Beck. — *ἠὲ* conjecit Brunck., quod sine causa in textum recepit Beck.

659. *ἀχέουσα* vulg. *ἀκέουσα* Regg. D. E., quod recte praetulit Brunck. propter v. 662. Confusio est frequentissima.

661. *ἔνδοθεν* Med. a m. 1. Vrat. Vind. et Regii aliquot. — *καιομένη* Flor. Steph.

663. *κερτομέουσι* Vat. B. — *ἐπιστοβέουσι* Reg. D.

670. *ἀνωΐστην* Vind.

671. *θαλαμόν* pro *θαλαμόνδε* Med. Vrat. Vind.

672. *ἀκαχεμένη* Guelph. — *δρέψεν* Flor. *δρύψε* Regg. C. D. Brunck. Beck.

ὡς δ' ἴδε δάκρυσιν ὄσσε πεφυρμένα, φώνησέν μιν.
„Ὤμοι ἐγώ, Μήδεια, τί δὴ τάδε δάκρυα λείβεις;
„τίπτ' ἔπαθες; τί τοι αἰνὸν ὑπὸ φρένας ἵκετο πένθος;
„ἤ νύ σε θευμορίη περιδέδρομεν ἅψεα νοῦσος,
„ἠέ τιν' οὐλομένην ἐδάης ἐκ πατρὸς ἐνιπὴν
„ἀμφί τ' ἐμοὶ καὶ παισίν; ὄφελλέ με μήτε τοκήων
„δῶμα τόδ' εἰσοράαν, μηδὲ πτόλιν, ἀλλ' ἐπὶ γαίης
„πείρασι ναιετάειν, ἵνα μηδέ περ οὔνομα Κόλχων.“
Ὣς φάτο· τῆς δ' ἐρύθηνε παρήϊα· δὴν δέ μιν αἰδὼς
παρθενίη κατέρυκεν ἀμείψασθαι μεμαυῖαν.
μῦθος δ' ἄλλοτε μέν οἱ ἐπ' ἀκροτάτης ἀνέτελλεν
γλώσσης, ἄλλοτ' ἔνερθε κατὰ στῆθος πεπότητο.
πολλάκι δ' ἱμερόεν μὲν ἀνὰ στόμα θῦεν ἐνισπεῖν·
φθογγὴ δ' οὐ προὔβαινε παροιτέρω· ὀψὲ δ' ἔειπεν
τοῖα δόλῳ· θρασέες γὰρ ἐπεκλονέεσκον Ἔρωτες.
„Χαλκιόπη, περί μοι παίδων σέο θυμὸς ἄηται,
„μή σφε πατὴρ ξείνοισι σὺν ἀνδράσιν αὐτίκ' ὀλέσσῃ.
„τοῖα κατακνώσσουσα μινυνθαδίῳ νέον ὕπνῳ
„λεύσσω ὀνείρατα λυγρά, τά τις θεὸς ἀκράαντα
„θείη, μηδ' ἀλεγεινὸν ἐφ' υἱάσι κῆδος ἕλοιο.“

673. *ὄσσα* Guelph. — *φώνησε* Med.

674. *μὴ δὴ* Vat. D. — *καταλείβεις* Vat. D. Med. *μὴν καταλείβεις* Reg. A.

677. *παρὰ πατρὸς* vulg. *ἐκ πατρὸς* Vatt. A. C. D. Med. Guelph. Regg. quinque, Vrat. Vind. Brunck. Beck.

679. *δῶμα τότ'* Steph. ex errore typ. *δώμαθ' ὄγ'* ex conjectura Brunck., ut *ὄγε* ad Phrixum referatur, ineptissime. *δώματ' ἔτ'* suspicatur Beckius sine causa. Nihil prorsus offensionis in vulgata video. — *μηδέ τι πτόλιν* Reg. A., *τι* ex sequente *π* nato, vid. ad Aesch. Sept. Th. 1058. *μήτε πτόλιν* dedit Beck., male: vid. ad II, 1180.

683. *ἄλλοθεν* Guelph. — *ἀνέτειλε* Reg. A.

684. *ἄλλοτε δ'* Vatt. A. D. Guelph.

686. *φθογγῇ* ed. Paris. *φθογγῇ* Steph. — *παραιτέρω* Guelph., unde *περαιτέρω* conjecit Brunck. et dedit Hoerstel. sine causa.

687. *ἐπικλονέεσκον* Reg. D. Guelph. Brunck. ob euphoniam nescio quam. Retinui vulgatam propter librorum auctoritatem, vid. ad I, 1074.

690. *κατακνώσουσα* vulg. *κατακνώσασα* Vatt. B. C. D. Vind., quod receperunt Brunck. Beck., qui ubi hunc aoristum legerint vellem indicassent. *κατακνώσσουσα* Med. Regg. B. C. D. E., unde etiam vulgata errore frequentissimo nata est, qui deinde vitiosam illam lectionem procreavit. Praesens, quod in textum revocavi, postulat etiam sequens *λεύσσω*. Itaque minus dubitare debebat Buttmann. Gramm. gr. maj. I p. 385.

691. *λεύσω* vulg. eodem errore, quem ad versum praecedentem notavi. *λεύσσω* Vatt. A. C. D. Regg. A. D. Med. Guelph. Vrat. Vind. Brunckius propter suum *κατακνώσασα* ex conjectura dedit *λεῦσσον*, quod non magis probandum est quam illud. Nam in praesentis usu nemo graece doctus offendet.

692. *φθείη* Guelph.— *υἱέσι* vulg.

Φῆ ῥα, κασιγνήτης πειρωμένη, εἴ κέ μιν αὐτὴ
ἀντιάσειε πάροιθεν ἑοῖς τεκέεσσιν ἀμύνειν.
τὴν δ' αἰνῶς ἄτλητος ἐπέκλυσε θυμὸν ἀνίη
δείματι, τοῖ' ἐσάκουσεν· ἀμείβετο δ' ὧδ' ἐπέεσσιν·
„Καὶ δ' αὐτὴ τάδε πάντα μετήλυθον ὁρμαίνουσα,
„εἴ τινα συμφράσσαιο καὶ ἀρτύνειας ἀρωγήν.
„ἀλλ' ὄμοσον Γαῖάν τε καὶ Οὐρανὸν, ὅττι τοι εἴπω
„σχήσειν ἐν θυμῷ σύν τε δρήστειρα πέλεσθαι.
„λίσσομ' ὑπὲρ μακάρων σέο τ' αὐτῆς ἠδὲ τοκήων,
„μή σφε κακῇ ὑπὸ κηρὶ διαῤῥαισθέντας ἰδέσθαι
„λευγαλέως· ἢ σοί γε φίλοις σὺν παισὶ θανοῦσα
„εἴην ἐξ Ἀΐδεω στυγερὴ μετόπισθεν Ἐριννύς.“
Ὣς ἄρ' ἔφη, τὸ δὲ πολλὸν ὑπεξέχυτ' αὐτίκα δάκρυ·
νειόθι δ' ἀμφοτέρῃσι περίσχετο γούνατα χερσὶν,
σὺν δὲ κάρη κόλποις περικάββαλεν. ἔνθ' ἐλεεινὸν
ἄμφω ἐπ' ἀλλήλῃσι θέσαν γόον· ὦρτο δ' ἰωὴ
λεπταλέη διὰ δώματ' ὀδυρομένων ἀχέεσσιν.
τὴν δὲ πάρος Μήδεια προσέννεπεν ἀσχαλόωσα.
„Δαιμονίη, τί νύ τοι ῥέξω ἄκος, οἷ' ἀγορεύεις,
„ἀράς τε στυγερὰς καὶ Ἐριννύας; αἲ γὰρ ὄφελλεν
„ἔμπεδον εἶναι ἐπ' ἄμμι τεοὺς υἷῆας ἔρυσθαι.
„ἴστω, Κόλχων ὅρκος ὑπέρβιος, ὅντιν' ὀμόσσαι
„αὐτὴ ἐποτρύνεις, μέγας Οὐρανὸς, ἥ θ' ὑπένερθεν
„Γαῖα, θεῶν μήτηρ, ὅσσον σθένος ἐστὶν ἐμεῖο,
„μή σ' ἐπιδευήσεσθαι, ἀνυστά περ ἀντιόωσαν.“

υἱάσι Med. Regg. B. D. Vrat. Vind. Flor. Aberrarunt libri etiam supra v. 450. — *ἕλοιτο* Vrat.

693. *εἰ καί μιν* Med. Guelph. Flor. Ald. *κε* primum in Brubach. legitur.

694. *ἀμυνομένη* Guelph.

695. *αἰνὸς* Vrat. Vind.

696. *ἐσάκουεν* Vat. C. Flor. Steph.

700. *σύν τε δρήστειρα* pro *συνδρήστειρά τε* positum dicunt Schol. Paris. et Schneider. Lex. s. v. *δρηστήρ*, haud recte, quod vidit jam Schaefer. ad Schol. p. 246. *σύν* adverbialiter positum est ut saepe: *simulque*, *praetereaque* ut mox v. 707. vid. Ind. et Graef. ad Meleag. p. 108.

702. *διαῤῥεσθέντας* Vind. *διαραισθέντας* Brunck. Beck.

703. *ἀργαλέως* Vat. B. — *σὺμ παισὶ* Med.

704. *Ἐρινύς* Vat. D. Med. Vrat. Vind.

706. *ἀμφοτέροισι* Flor. Ald. Brub. Basil.

707. *περικάββαλον* vulg. Singularem, quem sensus postulat, exhibent Guelph. Regg. A. B. D. E. Brunck. Beck. *περικάμβαλον* Flor.

708. *ἐπαλλήλῃσι* Med. *ἐπ' ἀλλήλοισι* Flor. *ἐπαλλήλοισι* Brub. Basil.

712. *Ἐρινύας* Vatt. A. B. C. D. Med. Vrat. Vind.

715. *ἠ δ' ὑπένερθε* vulg. Correxit Valken. Diatr. Eurip. p. 50, quem cum Brunck. Beck. secutus sum.

716. *ἐμοῖο* Regg. D. E. Flor. Ald. Brub. Basil.

Φῆ ἄρα· Χαλκιόπη δ' ἠμείβετο τοῖσδ' ἐπέεσσιν·
„Οὐκ ἂν δὴ ξείνῳ τλαίης χατέοντι καὶ αὐτῷ
„ἢ δόλον ἤ τινα μῆτιν ἐπιφράσσασθαι ἀέθλου
„παίδων εἵνεκ' ἐμεῖο; καὶ ἐκ κείνοιο δ' ἱκάνει
„Ἄργος ἐποτρύνων με τεῆς πειρῆσαι ἀρωγῆς·
„μεσσηγὺς μὲν τόν γε δόμων λίπον ἐνθάδ' ἰοῦσα.“
Ὣς φάτο· τῇ δ' ἔντοσθεν ἀνέπτατο χάρματι θυμός·
φοινίχθη δ' ἄμυδις καλὸν χρόα, καδδέ μιν ἀχλὺς
εἷλεν ἰαινομένην, τοῖον δ' ἐπὶ μῦθον ἔειπεν·
„Χαλκιόπη, ὥς ὔμμι φίλον τερπνόν τε τέτυκται,
„ὣς ἔρξω. μὴ γάρ μοι ἐν ὀφθαλμοῖσι φαείνοι
„ἠώς, μηδέ με δηρὸν ἔτι ζώουσαν ἴδοιο,
„εἴ κέ τι σῆς ψυχῆς προφερέστερον, ἠέ τι παίδων
„σῶν θείην, οἳ δή μοι ἀδελφειοὶ γεγάασιν
„κηδεμόνες τε φίλοι καὶ ὁμήλικες. ὣς δὲ καὶ αὐτὴ
„φημὶ κασιγνήτη τε σέθεν κούρη τε πέλεσθαι,
„ἶσον ἐπεὶ κείνοις με τεῷ ἐπαείραο μαζῷ
„νηπυτίην, ὥς αἰὲν ἐγώ ποτε μητρὸς ἄκουον.
„ἀλλ' ἴθι, κεῦθε δ' ἐμὴν σιγῇ χάριν, ὄφρα τοκῆας
„λήσομαι ἐντύνουσα ὑπόσχεσιν· ἦρι δὲ νηὸν
„εἴσομαι εἰς Ἑκάτης, θελκτήρια φάρμακα ταύρων

718. *ἀμείβετο* Guelph.
720. *ἐπιφράσασθαι* Flor. Ald. Brub. Basil.
721. *ἐμοῖο* Flor. Ald. Brub. Basil. — *ἐκ κείνου ὅδ'* Regg. quinque, quod recepit Brunck. et sensu et auribus obstrepentibus.
722. *ἐπωτρύνων* Flor. Ald. Brub. Basil. — *πειρήσασθαι* Reg. A.
723. Versum omittit Vat. B. — *τόνδε* Guelph. — *δόμον* vulg. *δόμῳ* Reg. C. *δόμων* Reg. B. Brunck. et Beck. recte.
724. *τῆς δ'* Regg. A. E.
725. *φοινήχθη* Med. a m. 1. — *μὲν* vulg. *μιν* Vatt. A. C. D. Med. Guelph. Regg. quinque, Vrat. Vind. Brunck. Beck., quod conjecerat jam Stephanus.
729. *μηδ' ἐμὲ* Brunck. ut solet.
730. *εἰ ἔτι* vulg., quod ferri non potest, quum adverbio *ἔτι* hic locus non sit, nam cum *προφερέστατον* jungendum esse, quod censet Beck., quis credat? Consentiunt tamen libri, nisi quod *εἰ ἔτις* habet Vind. *ἠέ τι* Regg. A. D. E. Brunckius, qui primus vitium sensit, emendavit *εἴ τί γε*, sed multo facilior fuisset emendatio *εἴ γέ τι*. Verum puto *εἴ κέ τι*, quod exstincta littera *κ* facile potuit in vulgatam transire.
731. *ἀδελφεοὶ* Vat. B. — *γεγάασσι* Guelph.
732. *κηδαιμόνες* Vind. Vrat. — *αὐτὴν* — *κασιγνήτην* — *κούρην* vulg. contra leges linguae. *κασιγνήτη* habet Guelph. *κούρῃ* Med. *κούρη* Vat. B. Reg. B. Guelph. Hinc nominativos recte reposuit Brunck.
736. *χάρην* Vind.
737. Hiatus in vocabulis *ἐντύνουσα ὑπόσχεσιν* commovit Herm. ad Orph. p. 734, ut *λήσομεν ἐντύνουσαι* corrigeret; sed vid. Spitzner. de vers. her. p. 142 sq.
738. *οἴσομαι* pro *εἴσομαι* vulg. legitur, versu sequente omisso. Sed Schol. Flor. monet, in quibusdam exemplaribus post hunc versum alium legi: *οἰσομένη ξείνῳ. ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρεν.* Hunc in textum

„οἰσομένη ξείνῳ, ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρεν."
Ὣς ἥ γ' ἐκ θαλάμοιο πάλιν κίε, παισί τ' ἀρωγὴν
αὐτοκασιγνήτης διεπέφραδε. τὴν δέ μιν αὖθις
αἰδώς τε στυγερόν τε δέος λάβε μουνωθεῖσαν,
τοῖα παρὲξ οὗ πατρὸς ἐπ' ἀνέρι μητιάασθαι.
Νὺξ μὲν ἔπειτ' ἐπὶ γαῖαν ἄγεν κνέφας· οἱ δ' ἐνὶ πόντῳ
ναῦται εἰς Ἑλίκην τε καὶ ἀστέρας Ὠρίωνος
ἔδρακον ἐκ νηῶν· ὕπνοιο δὲ καί τις ὁδίτης
ἤδη καὶ πυλαωρὸς ἐέλδετο· καί τινα παίδων
μητέρα τεθνεώτων ἀδινὸν περὶ κῶμ' ἐκάλυπτεν·
οὐδὲ κυνῶν ὑλακὴ ἔτ' ἀνὰ πτόλιν, οὐ θρόος ἦεν
ἠχήεις· σιγὴ δὲ μελαινομένην ἔχεν ὄρφνην.
ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπὶ γλυκερὸς λάβεν ὕπνος.
πολλὰ γὰρ Αἰσονίδαο πόθῳ μελεδήματ' ἔγειρεν

recipiendum esse primus vidit Ruhnk. ep. crit. p. 305, qui *οἴσομαι* in *οἴχομαι* mutandum judicat. Sed *εἴσομαι* habet Med. a m. 2, quod recte recepit Brunck. — Gerhard. Lectt. p. 15 ita priorem recensionem restitutam esse, vulgatam vero lectionem posterioris esse putat, in quo falli videtur, nam vulgata lectio sensu prorsus caret; *εἴσομαι* autem scribae oculis in versum sequentem aberrantibus facile in *οἴσομαι* mutari potuisse, et deinde simile versuum initium sequentis omittendi causam fuisse nemo non videt.

741. *διεπέφραδεν* vulg. *διεπέφραδε*, quod Brunck. tacite reposuit, habent Med. Vrat. — *τὴν δὲ μὲν* invitis libris dedit Brunck., quum *μίν* post *τὴν δέ* abundet, in Appendice vero illud retineri posse dicit, si comma ante *μίν* ponatur, et retinuit Beck. Sed id fieri non potest; tamen neque *μέν* placet, quod hujus loci plane non est, neque *μίν*; nam etsi non ignoro, pronomina interdum negligenter cumulari (v. Pors. praef. ad Hecub. p. 13. Fritzsch. Quaest. Lucian. p. 14), tamen ita ne uno quidem verbo intercedente poni non possunt. Propter librorum lectionem *διεπέφραδεν* alicui in mentem venire possit, *τήν* falsum esse ejusque loco olim aliud vocabulum a vocali incipiens lectum esse, sed id quale fuerit divinare non possum. Itaque vitiosam lectionem intactam reliqui. — *αὖτις* Brunck. libris invitis.

743. *τοῖάπερ ἐξ* Vat. D.

744. *ἄγε* Regg. A. D. E. Brunck. Beck., quod iis concinnius videtur.

745. Hiatus, qui est in primo pede, latuit Hermannum ad Orph. p. 734, non latuit Porsonum, qui ad Eur. Phoen. 849 *ναύτιλοι* legendum proponit, sed nulla mutatione opus est, v. Gerhard. p. 158.

748. *τεθνειότων* Med. *τεθνειώτων* Vrat. Vind. *τεθνεότων* Hoelzlin. Shaw. — *περικῶμ'* Vatt. C. D. — *ἐκάλυψεν* Regg. D. E.

749. Hunc locum imitari videtur Tryphiod. 503 s.

ἡσυχίη δὲ πόλιν κατεβόσκετο νυκτὸς ἑταίρη,
οὐδ' ὑλακὴ σκυλάκων ἠκούετο —

et Varro Atacinus apud Senec. Controv. III, 16

desierant latrare canes, urbesque silebant;
omnia noctis erant placida composta quiete.

750. *ἠχείης* Reg. E.

751. *περ γλυκερὸς* Guelph. *ἐπιγλυκερὸς* Flor.

752. *Αἰσονίδεω* Med. Reg. A. Vrat. Vind.

δειδυῖαν ταύρων κρατερὸν μένος, οἷσιν ἔμελλεν
φθίσθαι ἀεικελίῃ μοίρῃ κατὰ νειὸν Ἄρηος.
πυκνὰ δέ οἱ κραδίη στηθέων ἔντοσθεν ἔθυεν,
ἠελίου ὥς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη
ὕδατος ἐξανιοῦσα, τὸ δὴ νέον ἠὲ λέβητι
ἠέ που ἐν γαυλῷ κέχυται· ἡ δ' ἔνθα καὶ ἔνθα
ὠκείῃ στροφάλιγγι τινάσσεται ἀΐσσουσα·
ὣς δὲ καὶ ἐν στήθεσσι κέαρ ἐλελίζετο κούρης.
δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν· ἔνδοθι δ' αἰεὶ
τεῖρ' ὀδύνη σμύχουσα διὰ χροὸς ἀμφί τ' ἀραιὰς
ἶνας καὶ κεφαλῆς ὑπὸ νείατον ἰνίον ἄχρις,
ἔνθ' ἀλεγεινότατον δύνει ἄχος, ὁππότ' ἀνίας
ἀκάματοι πραπίδεσσιν ἐνισκίμψωσιν Ἔρωτες.
φῆ δέ οἱ ἄλλοτε μὲν θελκτήρια φάρμακα ταύρων
δωσέμεν, ἄλλοτε δ' οὔτι· καταφθίσθαι δὲ καὶ αὐτή·
αὐτίκα δ' οὔτ' αὐτὴ θανέειν, οὐ φάρμακα δώσειν,
ἀλλ' αὔτως εὔκηλος ἑὴν ὀτλησέμεν ἄτην.
ἑζομένη δ' ἤπειτα δοάσσατο φώνησέν τε.
„Δειλὴ ἐγὼ νῦν ἔνθα κακῶν, ἢ ἔνθα γένωμαι;
„πάντη μοι φρένες εἰσὶν ἀμήχανοι· οὐδέ τις ἀλκὴ
„πήματος· ἀλλ' αὔτως φλέγει ἔμπεδον. ὡς ὄφελόν γε
„Ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι,
„πρὶν τόν γ' εἰσιδέειν, πρὶν Ἀχαιΐδα γαῖαν ἱκέσθαι
„Χαλκιόπης υἷας. τοὺς μὲν θεὸς ἤ τις Ἐριννὺς
„ἄμμι πολυκλαύτους δεῦρ' ἤγαγε κεῖθεν ἀνίας.
„φθίσθω ἀεθλεύων, εἴ οἱ κατὰ νειὸν ὀλέσθαι

753. *κρατερὸς* Vind. — *ἔμελλε* Vrat.
754. *φθεῖσθαι* vulg. *φθεῖσαι* Guelph. *φθείσθαι* Vrat. Vind. *φθίσθαι* Vat. C. Regg. quinque, ed. Paris. Steph. Brunck. Beck. — *νηὸν* Vind.
755. Locos similes Virgilii Aen. VIII, 20. Aristaeneti II, 5. Dionis Chrysost. Orat. XXI p. 272. D. indicavit Ruhnk. ep. crit. p. 306.
758. *ἠδέ που* Vat. A.
760. *στήθεσι* Vrat. Vind.
762. *θ' ἀραιὰς* Guelph.
764. *ἀλεγύνοτατον* Reg. A.
765. *ἐνισκήψωσιν* vulg. *ἐνιχρίμψωσιν* Guelph. probante Valck. ad Eur. Hippol. 1303. *ἔνι σκίμψωσιν* Vrat. Vind. *ἐνισκίμψωσιν* Vatt. A. C. D. Regg. quinque, quod recte receperunt Brunck. Beck.
767. *δώσειν* Reg. D. — *καταφθεῖσθαι* vulg. *καταφθίσθαι* Regg. quinque, Brunck. Beck. ut supra v. 754.
770. *ἑζομένην* Vat. B.
771. *μενεῖμαι* pro *γένωμαι* Reg. A. — In fine versus olim punctum ponebatur, Brunck. et Beck. commate interpunxerunt, ego interrogationis notam posui, quam sensus postulat.
776. *υἷῆας τε* Reg. A. — *Ἐρινὺς* Vat. A. Med. Vrat. Vind.
777. *κακοῦ θ' ἀνίας* Guelph.
778. *φθείσθω* vulg. *φθεῖσθω* Guelph. *φθίσθω* Regg. quinque,

„μοῖρα πέλει. πῶς γάρ κεν ἐμοὺς λελάθοιμι τοκῆας
„φάρμακα μησαμένη; ποῖον δ' ἐπὶ μῦθον ἐνίψω;
„τίς δὲ δόλος, τίς μῆτις ἐπίκλοπος ἔσσετ' ἀρωγῆς;
„ἦ μιν ἄνευθ' ἑτάρων προσπτύξομαι οἶον ἰδοῦσα;
„δύσμορος· οὐ μὲν ἔολπα καταφθιμένοιό περ ἔμπης
„λωφήσειν ἀχέων· τότε δ' ἂν κακὸν ἄμμι πέλοιτο,
„κεῖνος ὅτε ζωῆς ἀπαμείρεται. ἐῤῥέτω αἰδὼς,
„ἐῤῥέτω ἀγλαΐη· ὁ δ' ἐμῇ ἰότητι σαωθεὶς
„ἀσκηθὴς, ἵνα οἱ θυμῷ φίλον, ἔνθα νέοιτο.
„αὐτὰρ ἐγὼν αὐτῆμαρ, ὅτ' ἐξανύσειεν ἄεθλον,
„τεθναίην, ἢ λαιμὸν ἀναρτήσασα μελάθρῳ,
„ἢ καὶ πασσαμένη ῥαιστήρια φάρμακα θυμοῦ.
„ἀλλὰ καὶ ὣς φθιμένῃ μοι ἐπιλλίξουσιν ὀπίσσω
„κερτομίας· τηλοῦ δὲ πόλις περὶ πᾶσα βοήσει
„πότμον ἐμόν· καί κέν με διὰ στόματος φορέουσαι
„Κολχίδες ἄλλυδις ἄλλαι ἀεικέα μωμήσονται·
„ἥτις κηδομένη τόσον ἀνέρος ἀλλοδαποῖο
„κάτθανεν, ἥτις δῶμα καὶ οὓς ᾔσχυνε τοκῆας,
„μαργοσύνῃ εἴξασα. τί δ' οὐκ ἐμὸν ἔσσεται αἶσχος;
„ὤ μοι ἐμῆς ἄτης. ἦτ' ἂν πολὺ κέρδιον εἴη
„τῇδ' αὐτῇ ἐν νυκτὶ λιπεῖν βίον ἐν θαλάμοισιν
„πότμῳ ἀνωΐστῳ, κάκ' ἐλέγχεα πάντα φυγοῦσαν,
„πρὶν τάδε λωβήεντα καὶ οὐκ ὀνομαστὰ τελέσσαι.“
Ἦ καὶ φωριαμὸν μετεκίαθεν, ᾗ ἔνι πολλὰ
φάρμακά οἱ τὰ μὲν ἐσθλὰ, τὰ δὲ ῥαιστήρι' ἔκειτο.
ἐνθεμένη δ' ἐπὶ γούνατ' ὀδύρετο. δεῦε δὲ κόλπους
ἄλληκτον δακρύοισι, τὰ δ' ἔῤῥεεν ἀσταγὲς αὔτως,

Brunck. Beck. ut v. 767. — νηὸν Vind.

779. κεν omittit Guelph.

781. τίς δὲ μῆτις Reg. A.

783. Steph. Hoelzlin. Shaw. post ἰδοῦσα nulla interpunctione posita interrogationis notam post δύσμορος habent, quod deterius est.

785. ἐπαμείρεται Schol. Paris.

789. μελάθρων vulg., ν ut solet ex iota subscripto nato, nam μελάθρῳ habent Vatt. A. B. C. D. Guelph. Regg. A. B. C. D. E. μελάθρον, quod dederunt Brunck. Beck., in solis Vrat. Vind. legitur, in illo ῳ a manu secunda suprascripto. Revocavi librorum lectionem, quae proba est; dativus pro ἐν μελάθρῳ positus est ut saepe.

790. πασαμένη Reg. A.

793. με omittunt Vrat. Vind. — φοβέουσαι Reg. A.

794. ἄλλη vulg. ἄλλαι Vatt. A. C. D. Regg. quatuor, Guelph. Vrat. Vind., quod propter librorum auctoritatem cum Brunck. Beck. recepi, quamquam et altera lectio per se bona est.

805. ἄληκτον Vat. A. — δακρύοισιν Flor. Ald. δάκρυσσι legendum judicat Herm. ad Orph. p. 759 ne prima syllaba corripiatur, probante Spitzner. de vers. her. p. 102. Sed eadem correptio est Hom. Od. XVIII,

αἰν' ὀλοφυρομένης τὸν ἑὸν μόρον. ἵετο δ' ἥ γε
φάρμακα λέξασθαι θυμοφθόρα, τόφρα πάσαιτο.
ἤδη καὶ δεσμοὺς ἀνελύετο φωριαμοῖο,
ἐξελέειν μεμαυῖα δυσάμμορος. ἀλλά οἱ ἄφνω
δεῖμ' ὀλοὸν στυγεροῖο κατὰ φρένας ἦλθ' Ἀΐδαο.
ἔσχετο δ' ἀμφασίῃ δηρὸν χρόνον, ἀμφὶ δὲ πᾶσαι
θυμηδεῖς βιότοιο μεληδόνες ἰνδάλλοντο.
μνήσατο μὲν τερπνῶν, ὅσ' ἐνὶ ζωοῖσι πέλονται,
μνήσαθ' ὁμηλικίης περιγηθέος οἷά τε κούρη·
καί τέ οἱ ἠέλιος γλυκίων γένετ' εἰσοράασθαι
ἢ πάρος, εἰ ἐτεόν γε νόῳ ἐπεμαίεθ' ἕκαστα.
καὶ τὴν μέν ῥα πάλιν σφετέρων ἀποκάτθετο γούνων,
Ἥρης ἐννεσίῃσι μετάτροπος, οὐδ' ἔτι βουλὰς
ἄλλῃ δοιάζεσκεν· ἐέλδετο δ' αἶψα φανῆναι
ἠῶ τελλομένην, ἵνα οἱ θελκτήρια δοίη
φάρμακα συνθεσίῃσι καὶ ἀντήσειεν ἐς ὠπήν.
πυκνὰ δ' ἀνὰ κληῗδας ἑῶν λύεσκε θυράων,
αἴγλην σκεπτομένη· τῇ δ' ἀσπάσιον βάλε φέγγος
Ἠριγενὴς, κίνυντο δ' ἀνὰ πτολίεθρον ἕκαστοι.
"Ενθα κασιγνήτους μὲν ἔτ' αὐτόθι μεῖναι ἀνώγει
Ἄργος, ἵνα φράζοιντο νόον καὶ μήδεα κούρης·

172 μήδ' οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα. XIX, 122 φῆ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ. — ἀστεγὲς vulg. ἀσταγὲς ex emend. Brunck. Beck., quod confirmat etiam Schol. πολυστεγές, item in πολυσταγές mutandum, cf. Interpp. ad Hesych. in v. ἀστεγές.

806. οἴετο Reg. A.

807. ἄφρα Vatt. A. C. D. ὄφρα Reg. E. marg. Reg. A. Vrat. Vind., quod male receperunt Brunck. Beck. hiatum inferentes; τόφρα enim ab hujus aetatis poetis pro ὄφρα adhibetur, ut infra IV, 1487. cf. Jacobs. Anthol. Pal. p. 507. 790. — γνώσαιτο Guelph. (teste Piers. Veris. p. 210, nam Hoerstel. silet), in quo γεύσαιτο latere putat Gerhard. p. 59. Inepte Schol. Flor. τὸ π ά σ α ι τ ο οὐχ ὑγιῶς, οὐ γὰρ εἰς κόρον ἡ τούτου μετάληψις.

809. ἐξελθεῖν Regg. A. C. D.

813. Hunc versum omittunt Vatt. C. D. et Vrat., ubi in margine adscriptus est. — ὅσσ' Vind.

816. ἢ ἐτεόν γε vulg. εἰ habent Regg. A. C. D., quod recte receperunt Brunck. Beck.

817. καὶ τὰ μὲν Guelph. — ἀπεκάτθετο vulg. ἀποκάτθετο Regg. A. B. D. Med. Guelph. Vrat. Vind. Ald. Paris. Brub. Basil. Brunck. Beck.

818. αἰνεσίῃσι vulg. ut saepe. Veram lectionem habent Vatt. A. C. D. Med. Guelph. Regg. quinque, Vrat. Vind. Brunck. Beck. — οὐδέ τι vulg., quod correxit Valck. ad Ammon. p. 68.

819. ἄλλῃ vulg., quod tacite correxit Brunck.

821. ἀντιάσειεν ex Regg. A. E. perperam dedit Brunck.

822. ἀνακληῗδας Vat. A.

824. κίνοιντο Flor. Ald. Brub. Basil.

825. μίμναι Guelph.

826. δήνεα vulg. νήδεα Reg. E. μήδεα Vatt. C. D. et B. a m. 2. Med. Guelph. Regg. A. B. C. D. Vrat. Vind., quod propter librorum auctoritatem cum Brunck. Beck. recepi.

αὐτὸς δ' αὖτ' ἐπὶ νῆα κίεν προπάροιθε λιασθείς.
Ἡ δ' ἐπεὶ οὖν ταπρῶτα φαεινομένην ἴδεν ἠῶ
παρθενική, ξανθὰς μὲν ἀνήψατο χερσὶν ἐθείρας,
αἵ οἱ ἀτημελίῃ καταειμέναι ἠερέθοντο,
αὐσταλέας δ' ἔψησε παρηΐδας· αὐτὰρ ἀλοιφῇ
νεκταρέῃ φαιδρύνετ' ἐπὶ χρόα· δῦνε δὲ πέπλον
καλὸν, ἐϋγνάμπτοισιν ἀρηρεμένον περόνῃσιν·
ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην
ἀργυφέην. αὐτοῦ δὲ δόμοις ἔνι δινεύουσα
στεῖβε πέδον, λήθῃ ἀχέων τά οἱ ἐν ποσὶν ἦεν
θεσπέσι', ἄλλα τ' ἔμελλεν ἀεξήσεσθαι ὀπίσσω.
κέκλετο δ' ἀμφιπόλοισιν, αἵ οἱ δυοκαίδεκα πᾶσαι
ἐν προδόμῳ θαλάμοιο θυώδεος ηὐλίζοντο,
ἥλικες, οὔπω λέκτρα σὺν ἀνδράσι πορσύνουσαι,
ἐσσυμένως οὐρῆας ὑποζεύξασθαι ἀπήνῃ,
οἵ κέ μιν εἰς Ἑκάτης περικαλλέα νηὸν ἄγοιεν.
ἔνθ' αὖτ' ἀμφίπολοι μὲν ἐφοπλίζεσκον ἀπήνην·
ἡ δὲ τέως γλαφυρῆς ἐξείλετο φωριαμοῖο
φάρμακον, ὅ ῥά τε φασὶ Προμήθειον καλέεσθαι.
τῷ εἴ κ' ἐννυχίοισιν ἀρεσσάμενος θυέεσσιν
Κούρην μουνογένειαν ἑὸν δέμας ἱκμαίνοιτο,
ἦτ' ἂν ὅγ' οὔτε ῥηκτὸς ἔοι χαλκοῖο τυπῇσιν,
οὔτε κεν αἰθομένῳ πυρὶ εἰκάθοι· ἀλλὰ καὶ ἀλκῇ

830. *ἀτημελίᾳ* Reg. A.
831. *αὐγαλέας* Reg. A. *αὐσταλέως* Vrat. Vind. Flor. Brub. Basil. — *παρηϊάδας* Med.
833. *ἐϋγνάπτοισιν* Vrat. — *ἀρηρημενον* Regg. A. C. E. *ἀρηράμενον* ex conj. Brunck. Beck. vid. ad I, 787.
834. *ἀμβροσίην* Reg. A.
835. *ἀργυρέην* vulg. *ἀργυφέην* Vatt. A. C. D. Med. Guelph. Regg. A. B. C. D. E. Vrat. Vind. Flor. Brunck. Beck. Cf. de horum vocabulorum confusione Wernick. ad Tryph. v. 73.
840. *πορσαίνουσαι* Brunck. ex conjectura, quia hanc formam probatiorem putat, immemor Homeri, apud quem saepissime legitur *λέχος πορσύνειν*, cf. Heyn. ad Il. Tom. IV p. 539.
841. Similiter, fortasse ex imitatione, Tryphiod. v. 241 *οἱ δὲ θοῆς οὐρῆας ὑποζεύξαντες ἀπήναις*.
842. *καί* pro *κέ* Med.
843. *ὁπλίζεσκον* Guelph.
845. *ὅῤῥα* vulg. ut semper. Correxit Brunck. ex Reg. E. — *καλέσασθαι* Reg. A.
846. *ἐννυχίοις τις* ex conjectura dedit Brunck. Vulgatam revocavit Beck., Iasonem spectari ratus, quod falsum est. Omissum est *τίς* ut saepe.
847. *Δαίραν* vulg. *Δαῖραν* Excerpt. e cod. Paris. Schaeferi Gregorio addita p. 679 et Schol. Paris. *κούρην* Vatt. A. C. D. Med. Regg. tres, Vrat. Vind. Schol. Paris. Duplicis recensionis lectiones esse videntur, quarum posteriorem propter librorum praestantiam recepi. — *μένος* pro *δέμας* Regg. duo, Med. Vrat. Vind.
848. *οὐτ' ἐρρηκτὸς ἔῃ* Reg. A. *οὔτε κ' ἔοι ῥηκτὸς* Guelph. Hoerstel.

λωΐτερος κεῖν' ἦμαρ ὁμῶς κάρτει τε πέλοιτο.
πρωτοφυὲς τό γ' ἀνέσχε, καταστάξαντος ἔραζε
αἰετοῦ ὠμηστέω κνημοῖς ἐνὶ Καυκασίοισιν
αἱματόεντ' ἰχῶρα Προμηθῆος μογεροῖο.
τοῦ δ' ἤτοι ἄνθος μὲν ὅσον πήχυιον ὕπερθεν
χροιῇ Κωρυκίῳ ἴκελον κρόκῳ ἐξεφαάνθη,
καυλοῖσιν διδύμοισιν ἐπήορον· ἡ δ' ἐνὶ γαίῃ
σαρκὶ νεοτμήτῳ ἐναλιγκίη ἔπλετο ῥίζα.
τῆς οἵην τ' ἐν ὄρεσσι κελαινὴν ἰκμάδα φηγοῦ
Κασπίῃ ἐν κόχλῳ ἀμήσατο φαρμάσσεσθαι,
ἑπτὰ μὲν ἀενάοισι λοεσσαμένη ὑδάτεσσιν,
ἑπτάκι δὲ Βριμὼ κουροτρόφον ἀγκαλέσασα,
Βριμὼ νυκτιπόλον, χθονίην, ἐνέροισιν ἄνασσαν,
λυγαίῃ ἐνὶ νυκτὶ σὺν ὀρφναίοις φαρέεσσιν.
μυκηθμῷ δ' ὑπένερθεν ἐρεμνὴ σείετο γαῖα
ῥίζης τεμνομένης Τιτηνίδος· ἔστενε δ' αὐτὸς
Ἰαπετοῖο πάϊς ὀδύνῃ πέρι θυμὸν ἀλύων.
τό ῥ' ἥγ' ἐξανελοῦσα θυώδεϊ κάτθετο μίτρῃ,
ἥτε οἱ ἀμβροσίοισι περὶ στήθεσσιν ἔερτο.
ἐκ δὲ θύραζε κιοῦσα θοῆς ἐπεβήσατ' ἀπήνης·
σὺν δέ οἱ ἀμφίπολοι δοιαὶ ἑκάτερθεν ἔβησαν.

852. *κνήμοισιν* Guelph.
853. *Προμηθεῖος* Med.
854. *δ' ἤτοι* vulg. *δή τοι*, quod malle se dicit Beck., praebent Vrat. Vind., sed vid. Herm. ad hymn. Hom. in Ven. 226.
856. *καύλοισι* Vatt. A. B. C. D. Regg. A. D. E. Brunck. Beck.
858. *οἵη* Reg. A.
859. *ἐνὶ* Regg. A. E., quod receperunt Brunck. Beck., *quod sic numerosior est versus;* mihi contra hiulcus fieri videtur. Probavit tamen Gerhard. p. 97, qui *ἐν* Apollonio invidet, de quo alibi dictum est. Retinui vulgatam, quae ob unius libri auctoritatem non deserenda erat. Dubitari etiam potest, an Apollonius sibi non permiserit mediam in *Κασπίῃ* producere, simile enim aliud nullum apud eum reperitur. — *κόλχῳ* Reg. A.
860. *ἀεννάοις* Guelph. *ἀενάοις* Med. Vrat. Vind.
861. *ἐγκαλέσασα* Regg. quatuor.
862. *χθονίοις* Regg. A. B. C. E. — Versum laudat Etymol. M. p. 213, 50 nulla lectionis diversitate.
863. *ἐν* Guelph.—*ὀρφναίοισι φάρεσσι* ex uno Reg. B. dederunt Brunck. Beck., quod postponendum foret, etiamsi in plurimis libris legeretur. — *φαρέεσσιν* Med. Vrat. De prima hujus vocabuli syllaba correpta v. Gerhard. p. 43.
866. Ultima in *πάϊς* producta est ad exemplum Hesiodi Theog. 746 *τῶν πρόσθ' Ἰαπετοῖο πάϊς ἔχετ' οὐρανὸν εὐρύν.* — *ἀχεύων* Reg. D.
867. In Vrat. errore librarii sic legitur:

τόν ῥ' ἥγ' ἐξανελοῦσα θοῆς ἐπεβήσατ' ἀπήνης
τόῤῥ' ἥγ' ἐξανελοῦσα θυώδεϊ κάτθετο μίτρῃ.

τόν ῥ' ἥγ' vulg. *τῷ ῥ' ἥγ'* Reg. D. *τόῤῥ ἥγ'* Regg. A. B. E. Flor. *τό ῥ' ἥγ'* Med. Brunck. Beck.
868. *ἄωρτο* Regg. quatuor.
870. *δοιοὶ* Guelph.

αὐτὴ δ' ἡνί' ἔδεκτο, καὶ εὐποίητον ἱμάσθλην
δεξιτερῇ, ἔλαεν δὲ δι' ἄστεος· αἱ δὲ δὴ ἄλλαι
ἀμφίπολοι πείρινθος ἐφαπτόμεναι μετόπισθεν
τρώχων εὐρεῖαν κατ' ἀμαξιτόν· ἂν δὲ χιτῶνας
λεπταλέους λευκῆς ἐπιγουνίδος ἄχρις ἄειρον.
οἵη δὲ λιαροῖσιν ἐφ' ὕδασι Παρθενίοιο,
ἠὲ καὶ Ἀμνισοῖο λοεσσαμένη ποταμοῖο
χρυσείοις Λητωῒς ἐφ' ἅρμασιν ἑστηυῖα
ὠκείαις κεμάδεσσι διεξελάσῃσι κολώνας,
τηλόθεν ἀντιόωσα πολυκνίσσου ἑκατόμβης·
τῇ δ' ἅμα Νύμφαι ἕπονται ἀμορβάδες,αἱ μὲν ἐπ' αὐτῆς
ἀγρόμεναι πηγῆς Ἀμνισίδος, αἱ δὲ δὴ ἄλλαι
ἄλσεα καὶ σκοπιὰς πολυπίδακας· ἀμφὶ δὲ θῆρες
κνυζηθμῷ σαίνουσιν ὑποτρομέοντες ἰοῦσαν·
ὣς αἵ γ' ἐσσεύοντο δι' ἄστεος· ἀμφὶ δὲ λαοὶ
εἶκον ἀλευάμενοι βασιληΐδος ὄμματα κούρης.
αὐτὰρ ἐπεὶ πόλιος μὲν ἐΰδμήτους λίπ' ἀγυιὰς,
νηὸν δ' εἰσαφίκανε διὲκ πεδίων ἐλάουσα,
δὴ τότ' ἐϋτροχάλοιο κατ' αὐτόθι βήσατ' ἀπήνης
ἱεμένη, καὶ τοῖα μετὰ δμωῇσιν ἔειπεν.
„Ὦ φίλαι, ἦ μέγα δή τι παρήλιτον, οὐδ' ἐνόησα
„μὴ ἴμεν ἀλλοδαποῖσι μετ' ἀνδράσιν, οἵτ' ἐπὶ γαῖαν
„ἡμετέρην στρωφῶσιν. ἀμηχανίῃ βεβόληται
„πᾶσα πόλις· τὸ καὶ οὔ τις ἀνήλυθε δεῦρο γυναικῶν
„τάων, αἳ τοπάροιθεν ἐπημάτιαι ἀγέρονται.
„ἀλλ' ἐπεὶ οὖν ἱκόμεσθα καὶ οὔ νύ τις ἄλλος ἔπεισιν,
„εἰ δ' ἄγε, μολπῇ θυμὸν ἀφειδείως κορέσωμεν

871. ἡνία δέδεκτο Vrat. Vind. fortasse ἡνία δέκτο legendum.

873. πείριθος Med. a m. 1.—μετόπισθεν Med. Vrat.

875. ἐπιγουνιάδος Vrat. Vind.

877. Ἀμνησοῖο vulg. errore solito. Ἀμνισσοῖο Regg. D. E. Ἀμνισοῖο Vatt. A. C. D. Med. Guelph. Regg. A. B. C. Vrat. Vind. Brunck. Beck.

878. Λωτωῒς Med. a m. 1.

879. διεξελάσῃσι Vat. B.

880. πολυκνίσου Vrat. Vind.

881. ἀμορβάδες Schol. Paris.

882. Ἀμνησίδος vulg., in quo hic ibri etiam plurimi consentiunt, nam eam formam, quam restituit Brunckius, soli habent Regg. quinque.

883. σκολιὰς Vind. — πολυπήδακας Med. a m. 1.

884. κνιζηθμῷ Vatt. A. C. D. — ὑποτροπέοντες Reg. A. cum aliis quibusdam Regg.

886. ἀλευόμενοι Brunck. ex conjectura sine causa.

887. πόληος Reg. E.

890. δμωΐσιν Vrat.

894. τῷ Reg. A.

895. ἀγέροντο ex conj. Brunck. Beck. sine causa; τοπάροιθεν est *alias*.

897. ἀφειδίως Ald. Brub. Basil.

„μειλιχίῃ, τάδε καλὰ τερείνης ἄνθεα ποίης
„λεξάμεναι· τότ' ἔπειτ' αὐτὴν ἀπονισόμεθ' ὥρην.
„καὶ δέ κε σὺν πολέεσσιν ὀνείασιν οἴκαδ' ἵκοισθε
„ἤματι τῷ, εἴ μοι συναρέσσετε τήνδε μενοινήν.
„Ἄργος γάρ μ' ἐπέεσσι παρατρέπει, ὣς δὲ καὶ αὐτὴ
„Χαλκιόπη· τὰ δὲ σῖγα νόῳ ἔχετ' εἰσαΐουσαι
„ἐξ ἐμέθεν, μὴ πατρὸς ἐς οὔατα μῦθος ἵκηται.
„τὸν ξεῖνόν με κέλονται, ὅτις περὶ βουσὶν ὑπέστη,
„δῶρ' ἀποδεξαμένην ὀλοῶν ῥύσασθαι ἀέθλων.
„αὐτὰρ ἐγὼ τὸν μῦθον ἐπῄνεον, ἠδὲ καὶ αὐτὸν
„κέκλομαι εἰς ὠπὴν ἑτάρων ἄπο μοῦνον ἱκέσθαι,
„ὄφρα τὰ μὲν δασόμεσθα μετὰ σφίσιν, εἴ κεν ὀπάσσῃ
„δῶρα φέρων, τῷ δ' αὖτε κακώτερον ἄλλο πόρωμεν
„φάρμακον. ἀλλ' ἀπονόσφι πέλεσθέ μοι, εὖτ' ἂν ἵκηται.“
Ὣς ηὔδα· πάσῃσι δ' ἐπίκλοπος ἥνδανε μῆτις.
αὐτίκα δ' Αἰσονίδην ἑτάρων ἄπο μοῦνον ἐρύσσας
Ἄργος, ὅτ' ἤδη τήνδε κασιγνήτων ἐσάκουσεν
ἠερίην Ἑκάτης ἱερὸν μετὰ νηὸν ἰοῦσαν,
ἦγε διὲκ πεδίου· ἅμα δὲ σφίσιν εἵπετο Μόψος
Ἀμπυκίδης, ἐσθλὸς μὲν ἐπιπροφανέντας ἐνισπεῖν
οἰωνούς, ἐσθλὸς δὲ συνευφράσσασθαι ἰοῦσιν.
Ἔνθ' οὔπω τις τοῖος ἐπὶ προτέρων γένετ' ἀνδρῶν,
οὔθ' ὅσοι ἐξ αὐτοῖο Διὸς γένος, οὔθ' ὅσοι ἄλλων
ἀθανάτων ἥρωες ἀφ' αἵματος ἐβλάστησαν,
οἷον Ἰήσονα θῆκε Διὸς δάμαρ ἤματι κείνῳ,
ἠμὲν ἐσάντα ἰδεῖν, ἠδὲ προτιμυθήσασθαι.
τὸν καὶ παπταίνοντες ἐθάμβεον αὐτοὶ ἑταῖροι

898. *τὰ δὲ* Vrat. fortasse recte.
899. *ἀπονείσομεθ'* vulg. *ἀπονίσομεθ'* Reg. D. Brunck. Beck.
900. *καὶ δὴ σὺν* Regg. A. D. E.
901. *συναράσσετε* Vat. D. *συνάρέσσεται ἥδε μενοινή* Guelph.
906. *ὑποδεξαμένην* Guelph. — *λύσασθαι* Reg. D.
909. *διασώμεθα* Reg. A. — *κατὰ σφίσιν* vulg. Correxit jam Steph. Frequens est harum praepositionum confusio. — *ὀπάσσειν* Guelph. *ὀπάσσοι* Reg. D., quod receperunt Brunck. Beck. nescio quam ob causam. cf. ad II, 1066.
911. *ἄπο νόσφι* Flor. Brub. Basil. — *πέλεσθ' ἐμοὶ* Regg. quatuor, Brunck. Beck. ut solent.
912. *ἐφήνδανε* Vrat. Vind.
913. *ἀπονόσφιν* Guelph., errore ex v. 911 nato.
916. *πεδίοιο* Reg. A. *μετὰ δὲ* vulg. *ἅμα δὲ* Vatt. A. C. D. Med. Guelph. Regg. quinque, Vrat. Vind. Brunck. Beck.
918. *σὺν εὖ φράσσασθαι* Vatt. A. C. D. Reg. A.
923. *εἰσάντα* Med. — *ποτιμυθήσασθαι* Vat. B. — Hic cum proximis triginta novem versibus deest in Med., sed in margine adjecti sunt a manu antiqua.

λαμπόμενον χαρίτεσσιν· ἐγήθησεν δὲ κελεύθῳ
Ἀμπυκίδης, ἤδη που ὀϊσσάμενος τὰ ἕκαστα.
Ἔστι δέ τις πεδίοιο κατὰ στίβον ἐγγύθι νηοῦ
αἴγειρος φύλλοισιν ἀπειρεσίοις κομόωσα,
τῇ θαμὰ δὴ λακέρυζαι ἐπηυλίζοντο κορῶναι.
τάων τις μεσσηγὺς ἀνὰ πτερὰ κινήσασα
ὑψοῦ ἐπ' ἀκρεμόνων Ἥρης ἠνίπαπε βουλάς.
„Ἀκλειὴς ὅδε μάντις, ὃς οὐδ' ὅσα παῖδες ἴσασιν
„οἶδε νόῳ φράσσασθαι, ὅθ' οὕνεκεν οὔτε τι λαρὸν
„οὔτ' ἐρατὸν κούρη κεν ἔπος προτιμυθήσαιτο
„ἠϊθέῳ, εὖτ' ἄν σφιν ἐπήλυδες ἄλλοι ἕπωνται.
„ἔῤῥοις, ὦ κακόμαντι, κακοφραδές· οὐδέ σε Κύπρις
„οὔτ' ἀγανοὶ φιλέοντες ἐπιπνείουσιν Ἔρωτες."
Ἴσκεν ἀτεμβομένη· μείδησε δὲ Μόψος ἀκούσας
ὀμφὴν οἰωνοῖο θεήλατον ὧδέ τ' ἔειπεν·
„Τύνη μὲν νηόνδε θεᾶς ἴθι, τῷ ἔνι κούρην
„δήεις, Αἰσονίδη· μάλα δ' ἠπίῃ ἀντιβολήσεις
„Κύπριδος ἐννεσίῃς, ἥ τοι συνέριθος ἀέθλων
„ἔσσεται, ὡς δὴ καὶ πρὶν Ἀγηνορίδης φάτο Φινεύς.
„νῶϊ δ', ἐγὼν Ἄργος τε, δεδεγμένοι εὖτ' ἂν ἵκηαι
„τῷδ' αὐτῷ ἐνὶ χώρῳ ἀπεσσόμεθ'· οἰόθι δ' αὐτὸς
„λίσσεό μιν πυκινοῖσι παρατροπέων ἐπέεσσιν."
Ἦ ῥα περιφραδέως, ἐπὶ δὲ σχεδὸν ᾔνεον ἄμφω.
οὐδ' ἄρα Μηδείης θυμὸς τράπετ' ἄλλα νοῆσαι,
μελπομένης περ ὅμως· πᾶσαι δέ οἱ, ἥντιν' ἀθύροι
μολπὴν, οὐκ ἐπὶ δηρὸν ἐφήνδανεν ἑψιάασθαι.
ἀλλὰ μεταλλήγεσκεν ἀμήχανος, οὐδέ ποτ' ὄσσε
ἀμφιπόλων μεθ' ὅμιλον ἔχ' ἀτρέμας· ἐς δὲ κελεύθους
τηλόσε παπταίνεσκε παρακλίνουσα παρειάς.

926. ὀϊσάμενος Vatt. A. B. D. Vrat. Vind. Flor. Ald. Brub. Basil.
929. ἐπαυλίζοντο Vrat.
930. κινήσασθαι Guelph.
935. ὄχλοι Vatt. C. D. Vind., sed hic in marg. ἄλλοι. — ἕπονται Vat. B. Med. Regg. C. D. E. Vind. Flor. Ald. Brub. Basil.
942. ἐνεσίῃς Guelph. — τις pro τοι Reg. A. — συνάριθμιος Guelph.
945. ἐπεσσόμεθ' Regg. quatuor, Guelph.
946. πυκνοῖσι Reg. A.
949. ὁμῶς vulg. ὅμως Regg. quatuor, Brunck. Beck. recte.
950. ἐφήνδανον Regg. quatuor, quod non recipere debebant Brunck. Beck. Facilem excusationem habet hic singularis, quum in membro interjecto sit singularis ἥντινα μολπήν.
951. μεταλήγεσκεν vulg., sed μεταλλήγεσκεν Vatt. C. D. Guelph. Vrat. Vind. Reg. A. et alii, ut videtur Regg., quod revocavi.
953. παπτήνεσκε Regg. tres. — παρεγκλίνουσα Reg. E.

ἢ θαμὰ δὴ στηθέων ἐάγη κέαρ, ὁππότε δοῦπον
ἢ ποδὸς ἢ ἀνέμοιο παραθρέξαντα δοάσσαι.
αὐτὰρ ὅγ' οὐ μετὰ δηρὸν ἐελδομένῃ ἐφαάνθη
ὑψόσ' ἀναθρώσκων, ἅτε Σείριος Ὠκεανοῖο,
ὃς δή τοι καλὸς μὲν ἀρίζηλός τ' ἐσιδέσθαι
ἀντέλλει, μήλοισι δ' ἐν ἄσπετον ἧκεν ὀϊζύν·
ὧς ἄρα τῇ καλὸς μὲν ἐπήλυθεν εἰσοράασθαι
Αἰσονίδης, κάματον δὲ δυσίμερον ὦρσε φαανθείς.
ἐκ δ' ἄρα οἱ κραδίη στηθέων πέσεν, ὄμματα δ' αὔτως
ἤχλυσαν· θερμὸν δὲ παρηΐδας εἷλεν ἔρευθος.
γούνατα δ' οὔτ' ὀπίσω οὔτε προπάροιθεν ἀεῖραι
ἔσθενεν, ἀλλ' ὑπένερθε πάγη πόδας. αἱ δ' ἄρα τείως
ἀμφίπολοι μάλα πᾶσαι ἀπὸ σφείων ἐλίασθεν.
τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοισιν,
ἢ δρυσὶν ἢ μακρῇσιν ἐειδόμενοι ἐλάτῃσιν,
αἵτε παρᾶσσον ἕκηλοι ἐν οὔρεσιν ἐῤῥίζωνται
νηνεμίῃ· μετὰ δ' αὖτις ὑπὸ ῥιπῆς ἀνέμοιο
κινύμεναι ὁμάδησαν ἀπείριτον· ὧς ἄρα τώ γε
μέλλον ἅλις φθέγξασθαι ὑπὸ πνοιῇσιν Ἔρωτος.
γνῶ δέ μιν Αἰσονίδης ἄτῃ ἐνιπεπτηυῖαν
θευμορίῃ καὶ τοῖον ὑποσσαίνων φάτο μῦθον.
„Τίπτε με, παρθενική, τόσον ἅζεαι οἷον ἐόντα;
„οὔ τοι ἐγὼν, οἷοί τε δυσαυχέες ἄλλοι ἔασιν

958. ὅς ῥ' ἤτοι legi jubet Herm. ad h. h. in Ven. 226, ubi particulis δή τοι sine causa bellum infert. Hic ipse locus ex iis est, qui eas non eliminandas esse doceant. — ἀρίδηλος Reg. A.

959. μήλοις ἠδ' Reg. A.

960. ἐσήλυθεν Regg. quinque.

962. πέσε Vrat. — αὐτοῦ Guelph.

963. ἤχλυσεν Guelph. et Med. a m. 2. Sed saepius Apollonius pluralem verbi ponit cum neutro plurali.

966. ἐλίασθε Flor. Ald. Brub. Basil.

968. μάκρῃσι Vrat. — ἐελδόμενοι Guelph.

969. ἐῤῥίζονται Vat. B. Vind.

970. ὕπαὶ ῥιπῆς vulg. ὑπὸ αἱ ῥιπῆς Vrat. ὑπὸ ῥιπῆς Vatt. A. D. Med. Guelph. Vind. Regg. A. E., quod cum Brunck. Beck. recepi, quamquam alterum omnium librorum consensu legitur II, 1229.

971. κεινύμεναι Med. a m. 1. — ἀπείρητον Med. a m. 1 et Guelph.

972. φθέγξεσθαι Vat. A., sed v. Lobeck. ad Phrynich. p. 745 sqq.

973. περιπεριπεπτηυῖαν Guelph. ἔνι πεπτηυῖαν Flor. Brub. Basil. Steph.

974. ὑπὸ σαίνων Vrat. Vind. ὑποσαίνων Vatt. C. D. Regg. quatuor, Brunck. Beck.

975. τίπτ' ἐμὲ Brunck. sine libris ut solet.

976. οὔτι Regg. A. E., quod receperunt Brunck. (Beck., admisso hiatu, qui quamquam ferri potest, non tamen ex uno libro, eoque deterioris notae, inferri debet. — οἷόν τε Vat. B. — ἔασσιν Guelph.

„ἀνέρες, οὐδ', ὅτε περ πατρῃ ἔνι ναιετάασκον,
„ἦα πάρος. τῷ μή με λίην ὑπεραίδεο, κούρη,
„ἤ τι παρεξερέεσθαι, ὅ τοι φίλον, ἠέ τι φάσθαι.
„ἀλλ' ἐπεὶ ἀλλήλοισιν ἱκάνομεν εὐμενέοντες
„χώρῳ ἐν ἠγαθέῳ, ἵνα τ' οὐ θέμις ἔστ' ἀλιτέσθαι,
„ἀμφαδίην ἀγόρευε καὶ εἴρεο· μηδέ με τερπνοῖς
„φηλώσῃς ἐπέεσσιν, ἐπεὶ τοπρῶτον ὑπέστης
„αὐτοκασιγνήτῃ μενοεικέα φάρμακα δώσειν.
„πρός σ' αὐτῆς Ἑκάτης μειλίσσομαι ἠδὲ τοκήων
„καὶ Διὸς, ὃς ξείνοις ἱκέτῃσί τε χεῖρ' ὑπερίσχει·
„ἀμφότερον δ', ἱκέτης ξεῖνός τέ τοι ἐνθάδ' ἱκάνω,
„χρειοῖ ἀναγκαίῃ γουνούμενος. οὐ γὰρ ἄνευθεν
„ὑμείων στονόεντος ὑπέρτερος ἔσσομ' ἀέθλου.
„σοὶ δ' ἂν ἐγὼ τίσαιμι χάριν μετόπισθεν ἀρωγῆς
„ᾗ θέμις, ὡς ἐπέοικε διάνδιχα ναιετάοντας,
„οὔνομα καὶ καλὸν τεύχων κλέος· ὣς δὲ καὶ ἄλλοι
„ἥρωες κλήσουσιν ἐς Ἑλλάδα νοστήσαντες,
„ἡρώων τ' ἄλοχοι καὶ μητέρες, αἵ νύ ποτ' ἤδη
„ἡμέας ἠϊόνεσσιν ἐφεζόμεναι γοάουσιν,
„τάων ἀργαλέας κεν ἀποσκεδάσειας ἀνίας.
„δή ποτε καὶ Θησῆα κακῶν ὑπελύσατ' ἀέθλων

977. *πάτρῃ*, *ᾗ* Guelph. — *ἔνι ναιετάεσκον* vulg., quam formam falsam esse docet Spitzner. obss. in Quint. p. 214 s. *ἐνιναιετάεσκον* Reg. B. *ἐνιναιετάασκον* Reg. A. Brunck. *ἔνι ναιετάασκον* Regg. C. D. Guelph. Vrat. Vind. Beck. recte.

979. *ὅ τι φίλον* Reg. A.

980. *ἀλλήλοις* vulg. *ἀλλήλοισιν* Regg. quatuor, Vrat. Vind. et Paris. Steph. Brunck. Beck.

982. *μὴ δέ με* Vrat. Flor. Brub. Basil. *μηδ' ἐμὲ* Brunck. Beck.

983. *φηλώσεις* Vat. C.

984. *μενοεικέως* Vind.

985. *πρὸς αὐτῆς* vulg. *πρός τ' αὐτῆς* metri causa Vrat. et Regg. quinque. Sed *σ'* a praecedente littera absorptum esse recte vidit Dorvill. Vann. crit. p. 352 et sic perspicue legitur in Vind., unde receperunt Brunck. Beck. Nota est haec verborum collocatio in obtestationibus, et saepe a librariis corrupta, cf. Pors. ad Eur. Med. 325.

987. *ξεῖνός τ' ἔτι* vulg. *ξεῖνος δ' ἔτι* Med. Vat. B. Flor. Ald. Brub. Basil. *ξεῖνός τέ τι* Reg. E. *ξεῖνος τέ τοι* Vatt. A. D. Regg. A. B. C. D. Guelph. Vrat. Vind., quod cum Brunck. Beck. recipere non dubitavi.

988. *χροιῇ* Reg D. *χρειῇ* Vatt. A. B. C. D. Regg. A. C. E. Vrat. Vind. ex pronunciandi similitudine.

992. *ὦλλοι* vulg. *ἄλλοι* Vatt. A. D. Regg. A. B. C. D. E. Vind., quod recepi propter librorum auctoritatem et quia non facile hoc a librariis proficisci potuit, et quia *ὣς δὲ καὶ ἄλλοι* dicere solet Apollonius, vid. ad I, 910.

993. *κλείσουσιν* Reg. D.

994. *αἵ νύ που ἤδη* Guelph. fortasse recte.

995. *γοάασιν* vulg., quod nihil est. *γοάουσι* Vat. C. Brunck. Beck. *γοάουσιν* Vatt. A. D. Regg. quinque, Med. a m. 1, Guelph. Vrat. Vind., quod recepi. *γοάωσιν* Med. a m. 2.

996. *ἀνείας* Vind.

997. *Θησῆ* Vrat. *Θησεῖ* Vind. — *ὑπέλυσεν* Guelph., quod praeferen-

„παρθενικὴ Μινωῒς ἐΰφρονέουσ' Ἀριάδνη,
„ἥν ῥά τε Πασιφάη κούρη τέκεν Ἠελίοιο.
„ἀλλ' ἡ μὲν καὶ νηὸς, ἐπεὶ χόλον εὔνασε Μίνως,
„σὺν τῷ ἐφεζομένη πάτρην λίπε· τὴν δὲ καὶ αὐτοὶ
„ἀθάνατοι φίλαντο, μέσῳ δέ οἱ αἰθέρι τέκμωρ
„ἀστερόεις στέφανος, τόν τε κλείουσ' Ἀριάδνης,
„πάννυχος οὐρανίοισιν ἑλίσσεται εἰδώλοισιν.
„ὣς καὶ σοὶ θεόθεν χάρις ἔσσεται, εἴ κε σαώσῃς
„τόσσον ἀριστήων ἀνδρῶν στόλον. ἦ γὰρ ἔοικας
„ἐκ μορφῆς ἀγανῇσιν ἐπητείῃσι κεκάσθαι."
Ὣς φάτο κυδαίνων· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
νεκτάρεον μείδησ'· ἐχύθη δέ οἱ ἔνδοθι θυμὸς
αἴνῳ ἀειρομένης, καὶ ἀνέδρακεν ὄμμασιν ἄντην·
οὐδ' ἔχεν ὅττι πάροιθεν ἔπος προτιμυθήσαιτο,
ἀλλ' ἄμυδις μενέαινεν ἀολλέα πάντ' ἀγορεῦσαι.
προπρὸ δ' ἀφειδήσασα θυώδεος ἔξελε μίτρης
φάρμακον· αὐτὰρ ὅ γ' αἶψα χεροῖν ὑπέδεκτο γεγηθώς
καί νύ κέ οἱ καὶ πᾶσαν ἀπὸ στηθέων ἀρύσασα
ψυχὴν ἐγγυάλιξεν ἀγαλλομένη χατέοντι·
τοῖος ἀπὸ ξανθοῖο καρήατος Αἰσονίδαο
στράπτεν Ἔρως ἡδεῖαν ἄπο φλόγα· τῆς δ' ἀμαρυγὰς
ὀφθαλμῶν ἥρπαξεν· ἰαίνετο δὲ φρένας εἴσω

dum judicat sine causa Piers. Veris. p. 211.

1001. τοῖν δὲ Med. a m. 2. — αὐτὴν Reg. D.

1002. τέκμαρ vulg. τέκμωρ Guelph. Vrat., quod ex usu Homerico recepi. Librarii formam sibi notiorem reposuerunt.

1003. κλύουσ' Vat. B.

1004. πάνυχος Vrat. — εἰδώλοισιν omittunt Vatt. C. D.

1005. ὥς καί σοι θεόθεν χάρις ἔσσεται omittunt Vatt. C. D. — σαώσεις vulg. perperam. σαώσαις Reg. D. non melius, quod receperunt tamen Brunck. Beck. σαώσῃς Guelph., quod unice verum. Vulgata ex frequentissima litterarum ει et η confusione corrupta est. cf. ad II, 1066.

1007. ἐπτίῃσι Reg. A. ἐπητίῃσι Vat. D. Regg. tres, Vrat. Vind. ἐπητίῃσιν Med. ἐπητύῃσι Guelph.

1010. ἀνέδραμεν Vatt. C. D. Vind. — ἄτην Med. a m. 1.

1011. ποτιμυθήσατο vulg. προτιμυθήσαιτο Regg. A. D. E. Brunck. Beck. Vid. supra v. 923.

1012. μενέαιεν Vind.

1013. πρὸ πρὸ Vat. B. — προπρὸ δὲ μειδήσατα var. lect. apud Scholl. prioris, ut videtur, recensionis. — ἀφειδείσασα Flor. Ald. Brub. Basil.

1014. αἴψαχεν ὑπέδεκτο Vind.

1015. κέν οἱ Regg. quatuor.

1016. ἐγγυάλιξε Vrat. — ἀγαιομένη vulg. ἀγαλλομένη Regg. quinque, Brunck. Beck., quod sensus causa necessarium videtur.

1018. πέμπεν pro στράπτεν ex glossemate Regg. A. B. C. D., quorum primus alteram lectionem in margine notatam habet.

1019. Ad verba ἥρπαξεν ἀμαρυγάς Brunckius comparat Ovid. Am. II, 19. III, 12. Cf. praeterea Dorvill. ad Char. p. 509. Burm. ad Val. Flacc. VII, 513. — ἰαίναιτο Vind. Com-

τηκομένη, οἷόν τε περὶ ῥοδέῃσιν ἐέρση
τήκεται ἠῴοισιν ἰαινομένη φαέεσσιν.
ἄμφω δ' ἄλλοτε μέν τε κατ' οὔδεος ὄμματ' ἔρειδον
αἰδόμενοι, ὁτὲ δ' αὖτις ἐπὶ σφίσι βάλλον ὀπωπάς,
ἱμερόεν φαιδρῇσιν ὑπ' ὀφρύσι μειδιόωντες.
ὀψὲ δὲ δὴ τοίοισι μόλις προσπτύξατο κούρη.
„Φράζεο νῦν, ὥς κέν τοι ἐγὼ μητίσομ' ἀρωγήν.
„εὖτ' ἂν δὴ μετιόντι πατὴρ ἐμὸς ἐγγυαλίξῃ
„ἐξ ὄφιος γενύων ὀλοοὺς σπείρασθαι ὀδόντας,
„δὴ τότε μέσσην νύκτα διαμμοιρηδὰ φυλάξας,
„ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος ποταμοῖο,
„οἶος ἄνευθ' ἄλλων ἐνὶ φάρεσι κυανέοισιν
„βόθρον ὀρύξασθαι περιηγέα· τῷ δ' ἔνι θῆλυν
„ἀρνειὸν σφάζειν καὶ ἀδαίετον ὠμοθετῆσαι,
„αὐτῷ πυρκαϊὴν εὖ νηήσας ἐπὶ βόθρῳ.
„μουνογενῆ δ' Ἑκάτην Περσηΐδα μειλίσσοιο,
„λείβων ἐκ δέπαος σιμβλήϊα ἔργα μελισσῶν.
„ἔνθα δ' ἐπεί κε θεὰν μεμνημένος ἱλάσσηαι,
„ἂψ ἀπὸ πυρκαϊῆς ἀναχάζεο· μηδέ σε δοῦπος
„ἠὲ ποδῶν ὄρσῃσι μεταστρεφθῆναι ὀπίσσω,

paratíonem Scholl. monent haustam esse ex Hom Il. XXIII, 598.

1020. *περὶ ῥοδέοισιν* vulg. perperam, quum *ῥόδεον* non sit substantivum. *περὶῤῥοδέοισιν* Vat. D. Reg. B. *περιῤῥοδέεσσιν* Guelph. *περὶ ῥοδέεσσιν* Regg. A. C. D. E., quod nihil est, receperunt tamen Brunck. Beck. Dubitari vix potest, quin legendum sit *περὶ ῥοδέῃσιν*, quod in textu dedi. Terminationes *οισι* et *ῃσι* quam saepe confundantur notum est. In Apollonii libris permutantur his locis: I, 128. 472. 487. 549. 817. 845. II, 283. 285. 742. 935. 954. III, 90. 256. 593. 706. 708. 1356. IV, 126. 144. 363. 758. 762. 795. 994. 1017. 1170. 1266. 1306. Itaque violenta certe emendatio mea dici non potest.

1021. *ἠῴοισι* Med. a m. 1.

1022. *τε* omittunt Vrat. Vind.

1023. *τοτὲ δ'* Regg. quatuor. — *αὖθις* Vat. D. Vrat. — *βάλον* Guelph.

1024. *ἐπ'* *ὀφρύσι* Vrat. Vind.

1025. *προεπτύξατο* Vat. D.

1029. *μέσην* Guelph. — *διαμοιραδὰ* Reg. E. *διαμοιρηδὰ* Vatt. A. D. Regg. A. C. D. Vrat. Vind. Brunck. Beck. male.

1031. *φάρεσσι* Med. Vrat. Vind.

1034. *ἐννηήσας* Regg. quatuor.

1035. *μείλισσο* Vind., quod etiam in Vrat. fuisse videtur, ubi ex rasura *μειλίσσοιο* legitur. *μειλίσσαιο* Reg. D. *μειλίσσειο* Regg. A. B. E., quam inauditam imperativi formam receperunt Brunck. Beck.

1037. *ἔπειτα* vulg. male. *ἐπεί κε* dedit Brunck., non adjiciens, utrum ex conjectura an ex libris suis. Videtur tamen in libris hanc lectionem invenisse, nam comparet etiam in marg. Vrat., quare cum Brunck. recepi. — *θεῶν* Reg. A. et alii nonnulli Regg. — *ἱλάσηαι* Vat. B.

1038. *ἂψ δ' ἀπὸ* vulg. propter falsam versus praecedentis lectionem. Correxit Brunck.

1039. Hic versus deest in Vatt. A. C. D.

„ἠὲ κυνῶν ὑλακή, μή πως τὰ ἕκαστα κολούσας
„οὐδ᾽ αὐτὸς κατὰ κόσμον ἑοῖς ἑτάροισι πελάσσῃς.
„ἦρι δὲ μυδήνας τόδε φάρμακον, ἠΰτ᾽ ἀλοιφῇ
„γυμνωθεὶς φαίδρυνε τεὸν δέμας· ἐν δέ οἱ ἀλκὴ
„ἔσσετ᾽ ἀπειρεσίη μέγα τε σθένος, οὐδέ κε φαίης
„ἀνδράσιν, ἀλλὰ θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν.
„πρὸς δὲ καὶ αὐτῷ δουρὶ σάκος πεπαλαγμένον ἔστω
„καὶ ξίφος. ἔνθ᾽ οὐκ ἄν σε διατμήξειαν ἀκωκαὶ
„γηγενέων ἀνδρῶν, οὐδ᾽ ἄσχετος ἀΐσσουσα
„φλὸξ ὀλοῶν ταύρων. τοῖός γε μὲν οὐκ ἐπὶ δηρὸν
„ἔσσεαι, ἀλλ᾽ αὐτῆμαρ· ὅμως σύγε μή ποτ᾽ ἀέθλου
„χάζεο. καὶ δέ τοι ἄλλο παρὲξ ὑποθήσομ᾽ ὄνειαρ.
„αὐτίκ᾽ ἐπὴν κρατεροὺς ζεύξῃς βόας, ὦκα δὲ πᾶσαν
„χερσὶ καὶ ἠνορέῃ στυφελὴν διὰ νειὸν ἀρόσσῃς,
„οἱ δ᾽ ἤδη κατὰ ὦλκας ἀνασταχύωσι Γίγαντες,
„σπειρομένων ὄφιος δνοφερὴν ἐπὶ βῶλον ὀδόντων,
„αἴ κεν ὀρινομένους πολέας νειοῖο δοκεύσῃς,
„λάθρῃ λᾶαν ἄφες στιβαρώτερον· οἱ δ᾽ ἂν ἐπ᾽ αὐτῷ,
„καρχαλέοι κύνες ὥστε περὶ βρώμης, ὀλέκοιεν
„ἀλλήλους· καὶ δ᾽ αὐτὸς ἐπείγεο δηϊοτῆτος
„ἰθῦσαι. τὸ δὲ κῶας ἐς Ἑλλάδα τοῖο ἕκητι
„οἴσεαι ἐξ Αἴης τηλοῦ ποθί· νίσσεο δ᾽ ἔμπης,
„ᾗ φίλον, ᾗ τοι ἕαδεν ἀφορμηθέντι νέεσθαι."

1043. *δέ τοι* Reg. A.

1046. *πεπλαγμένον* Guelph. Vind.

1048. Hic versus deest in Med., sed additus est a manu antiqua. — *ἄσπετος* Regg. A. C. E.

1049. *γε* omittit Guelph.

1050. *ἔσσεε* Vind. — *ἀέθλων* suprascripto *ου* Vind.

1052. *φεύξῃς* Vatt. C. D.

1053. *ἀρόσσεις* suprascripto *η* Guelph.

1054. *ἀνασταχύουσι* vulg. *ἀνασταχύωσι*, quod conjeceratStephanus, praebet Reg. B., quod sensu flagitante cum Brunck. Beck. recepi.

1057. *λάθρα* Guelph. — *στιβαρότερον* Vind.

1058. *καρχαρέοι* libris omnibus invitis dederunt Brunck. Beck., quia Etymol. M. p. 493, 1 habet *καρχαρέοι κύνες*; sed ille fortasse nostrum locum ne respicit quidem, nomen certe Apollonii non addit. Altera autem forma, quam revocavi, constanter utuntur poetae; cf. Wernick. ad Tryphiod. v. 615.

1059. *ἀπείγεο* Vatt. C. D.

1060. *τοῖό ῥ᾽ ἕκητι* vulg. *τοῖό γ᾽ ἕκητι* Vatt. A. C. D. Regg. quatuor, Med. Guelph. Vrat. Brunck. Beck. Sed ipsa illa librorum varietas docet utramque particulam a librariis insertam esse et abesse debere, ut abest a Reg. E. vid. ad I, 334.

1061. *νείσεο* vulg. *νίσσεο* Reg. E. marg. Vind. Brunck. Beck.

1062. *ᾗ φίλον* Vatt. A. B. C. D. — *εἴ τοι* vulg. *ἤτοι* Vatt. A. B. C.D. *ἦτοι* Vind. *ᾗ τοι* Vrat. *ᾗ τοι* Regg. quinque, quod propter librorum auctoritatem cum Brunck. Beck. recepi, quamquam neque altera lectio spernenda est.

Ὣς ἄρ᾽ ἔφη, καὶ σῖγα ποδῶν πάρος ὄσσε βαλοῦσα
θεσπέσιον λιαροῖσι παρηΐδα δάκρυσι δεῦεν,
μυρομένη, ὅτ᾽ ἔμελλεν ἀπόπροθι πολλὸν ἑοῖο
πόντου ἐπιπλάγξασθαι· ἀνιηρῷ δέ μιν ἄντην
ἐξαῦτις μύθῳ προσεφώνεεν, εἷλέ τε χειρὸς
δεξιτερῆς· δὴ γάρ οἱ ἀπ᾽ ὀφθαλμοὺς λίπεν αἰδώς.
„Μνώεο δ᾽, ἢν ἄρα δή ποθ᾽ ὑπότροπος οἴκαδ᾽ ἵκηαι,
„οὔνομα Μηδείης· ὣς δ᾽ αὖτ᾽ ἐγὼ ἀμφὶς ἐόντος
„μνήσομαι. εἰπὲ δέ μοι πρόφρων τόδε, πῆ τοι ἔασιν
„δώματα, πῆ νῦν ἔνθεν ὑπεὶρ ἅλα νηῒ περήσεις·
„ἤ νύ που ἀφνειοῦ σχεδὸν ἵξεαι Ὀρχομενοῖο,
„ἠὲ καὶ Αἰαίης νήσου πέλας; εἰπὲ δὲ κούρην,
„ἥν τινα τήνδ᾽ ὀνόμηνας ἀριγνωτην γεγαυῖαν
„Πασιφάης, ἣ πατρὸς ὁμόγνιος ἐστὶν ἐμοῖο.“
Ὣς φάτο· τὸν δὲ καὶ αὐτὸν ὑπήϊε δάκρυσι κούρης
οὖλος Ἔρως, τοῖον δὲ παραβλήδην ἔπος ηὔδα·
„Καὶ λίην οὐ νύκτας ὀΐομαι οὐδέ ποτ᾽ ἦμαρ
„σεῦ ἐπιλήσεσθαι προφυγὼν μόρον, εἰ ἐτεόν γε
„φεύξομαι ἀσκηθὴς ἐς Ἀχαιΐδα, μηδέ τιν᾽ ἄλλον
„Αἰήτης προβάλῃσι κακώτερον ἄμμιν ἄεθλον.
„εἰ δέ τοι ἡμετέρην ἐξίδμεναι εὔαδε πάτρην
„ἐξερέω· μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει.
„ἔστι τις αἰπεινοῖσι περίδρομος οὔρεσι γαῖα,
„πάμπαν ἐΰῤῥηνός τε καὶ εὔβοτος, ἔνθα Προμηθεὺς

1063. *λαβοῦσα* Med. (cod Laur. ap. Dorvill. ad Char. p. 318.)

1065. *ἑεῖο* ex conjectura Brunck. Beck. male. vid. ad I, 1032.

1066. *ἐπιπλάγξεσθαι* Vatt. A. C. et D. a m. 2. Reg. B. Med. Guelph. Vrat. Vind. Vid. supra v. 972.

1067. *μῦθον* Guelph.

1068. *ἤδη γὰρ ἀπ᾽ ὀ.* vulg., sed id in solo Vat. B. legitur, reliqui codices omnes habent *ἤδη γάρ οἱ ἀπ᾽ ὀ.*, quod recte revocavit Brunckius, *ἤδη* in *δή* mutato.

1071. *δ᾽ ἐμοὶ* Brunck. ut solet. — *ἔασσι* Guelph.

1073. *Ὀρχαμενοῖο* Med.

1074. *αἴης* Med. a m. 1. Vind.

1076. *Πασιφάην* codd. omnes (exceptis fortasse Regg.) et Flor. Ald. Brub. Basil. *Πασιφάης* ed. Paris, unde a Stephano receptum in recentiores editiones omnes migravit, et necessarium videtur propter v. 1099. — *ἐμεῖο* vulg. Vrat. ex rasura. *ἐμοῖο* Vat. C. Regg. quatuor, Brunckius et Beckius.

1081. *μηδέ κεν᾽ ἄλλον* ex conjectura reposuit Brunck. propter sequentem conjunctivum, sed et hunc a simplice *εἰ* pendere posse vidimus ad I, 905, neque *τινά* sensus causa abesse potest.

1083. *εἰ δέ τι* vulg. male. *τοι* praebent Med. Vrat. Vind. Regg. quatuor, quod cum Brunck. et Beck. recepi. — In Vind. lacuna est ab hoc versu ad v. 1128.

1086. *ἐΰῤῥυτος* Regg. A. C. *ἐΰῤῥητος* Reg. B. *ἐΰῤῥειτος* Reg. D., quod recepit Brunck. hic quoque suorum librorum auctoritati nimium tribuens, nam quod Schol. Thessaliae fluvios

„Ἰαπετιονίδης ἀγαθὸν τέκε Δευκαλίωνα,
„ὃς πρῶτος ποίησε πόλεις καὶ ἐδείματο νηοὺς
„ἀθανάτοις, πρῶτος δὲ καὶ ἀνθρώπων βασίλευσεν.
„Αἱμονίην δὴ τήν γε περικτίονες καλέουσιν.
„ἐν δ᾽ αὐτῇ Ἰαωλκὸς, ἐμὴ πόλις, ἐν δὲ καὶ ἄλλαι
„πολλαὶ ναιετάουσιν, ἵν᾽ οὐδέ περ οὔνομ᾽ ἀκοῦσαι
„Αἰαίης νήσου· Μινύην γε μὲν ὁρμηθέντα,
„Αἰολίδην Μινύην, ἔνθεν φάτις Ὀρχομενοῖο
„δή ποτε Καδμείοισιν ὁμούριον ἄστυ πολίσσαι.
„ἀλλὰ τίη τάδε τοι μεταμώνια πάντ᾽ ἀγορεύω,
„ἡμετέρους τε δόμους τηλεκλείτην τ᾽ Ἀριάδνην,
„κούρην Μίνωος, τόπερ ἀγλαὸν οὔνομα κείνην
„παρθενικὴν καλέεσκον ἐπήρατον, ἥν μ᾽ ἐρεείνεις;
„αἴθε γὰρ, ὡς Θησῆϊ τότε ξυναρέσσατο Μίνως
„ἀμφ᾽ αὐτῆς, ὧς ἄμμι πατὴρ τεὸς ἄρθμιος εἴη.“
Ὣς φάτο μειλιχίοισι καταψήχων ὀάροισιν·
τῆς δ᾽ ἀλεγεινόταται κραδίην ἐρέθεσκον ἀνίαι,
καί μιν ἀκηχεμένη ἀδινῷ προσπτύξατο μύθῳ.
„Ἑλλάδι που τάδε καλὰ συνημοσύνας ἀλεγύνειν·
„Αἰήτης δ᾽ οὐ τοῖος ἐν ἀνδράσιν, οἷον ἔειπας
„Μίνω Πασιφάης πόσιν ἔμμεναι· οὐδ᾽ Ἀριάδνῃ
„ἰσοῦμαι· τῷ μή τι φιλοξενίην ἀγόρευε.
„ἀλλ᾽ οἷον τύνη μὲν ἐμεῦ, ὅτ᾽ Ἰωλκὸν ἵκηαι,

commemorat, ad fidem huic lectioni faciendam nihil facit, quum saepe doctissimus Schol. multa obiter tangat, quae cum poetae textu nihil commune habent. Vocabulum *εὔῤῥειτος* ne graecum quidem esse monuit jam Ruhnk. ep. crit. p. 207; idem Suidam quoque s. v. *εὔρηνος* et Etymol. M. p. 395, 54, quorum uterque versum nostrum laudat, vulgatam lectionem tueri docuit. *εὔρηνος*, quod de suo dedit Beck., habet Guelph.

1089. *ἀθανάτων* Guelph. — *ἐμβασίλευσεν* Guelph. *ἐβασίλευσεν* Med. Vrat.

1090. *τήνδε* vulg. *τήν γε* Vatt. A. B. Med. Guelph. Vrat. Regg. quinque, quod cum Brunck. Beck. praetuli.

1091. *Ἰωλκὸς* vulg. metro claudicante, quare *Ἰαολκὸς* ex conjectura dederunt Hoelzlin. Shaw., quod legitur in Guelph. Vrat. Melius Brunckius *Ἰαωλκὸς* emendavit, quam formam ex Homero et Pindaro affert, idque praebet Vat. B. — *πτόλις* vulg. *πόλις* ex Med. (cod. Laur. ap. Dorvill. Vann. Crit. p. 337.) Guelph. Vrat. Regg. A. B. E. cum Brunck. et Beck. recepi.

1097. *τε* ante *δόμους* omittit Guelph.

1100. *αἲ γὰρ* Reg. A.

1101. *αὐτοῖς* Beck. ex errore typoth.

1102. *καταψύχων* vulg. *καταψήχων* Vatt. C. D. et A. a m. 2. Med. Guelph. Vrat. Reg. B., quod sensu jubente cum Brunck. et Beck. recepi. Ad hoc referenda etiam videtur Scholl. interpretatio *καταμαλάττω*. — *ἀγανοῖσι* Regg. A. B. C. D.

1105. *ἀλεγείνειν* Vatt. A. C. D. Guelph.

„μνώεο· σεῖο δ' ἐγὼ καὶ ἐμῶν ἀέκητι τοκήων
„μνήσομαι. ἔλθοι δ' ἡμὶν ἀπόπροθεν ἠέ τις ὄσσα,
„ἠέ τις ἄγγελος ὄρνις, ὅτ' ἐκλελάθοιο ἐμεῖο·
„ἢ αὐτὴν με ταχεῖαι ὑπὲρ πόντοιο φέροιεν
„ἐνθένδ' εἰς Ἰαωλκὸν ἀναρπάξασαι ἄελλαι,
„ὄφρα σ' ἐν ὀφθαλμοῖσιν ἐλεγχείας προφέρουσα
„μνήσω ἐμῇ ἰότητι πεφυγμένον. αἴθε γὰρ εἴην
„ἀπροφάτως τότε σοῖσιν ἐφέστιος ἐν μεγάροισιν."
Ὣς ἄρ' ἔφη ἐλεεινὰ καταπροχέουσα παρειῶν
δάκρυα· τὴν δ' ὅ γε δῆθεν ὑποβλήδην προσέειπεν·
„Δαιμονίη, κενεὰς μὲν ἔα πλάζεσθαι ἀέλλας,
„ὧς δὲ καὶ ἄγγελον ὄρνιν, ἐπεὶ μεταμώνια βάζεις.
„εἰ δέ κεν ἤθεα κεῖνα καὶ Ἑλλάδα γαῖαν ἵκηαι,
„τιμήεσσα γυναιξὶ καὶ ἀνδράσιν αἰδοίη τε
„ἔσσεαι· οἱ δέ σε πάγχυ θεὸν ὣς πορσανέουσιν,
„οὕνεκα τῶν μὲν παῖδες ὑπότροποι οἴκαδ' ἵκοντο
„σῇ βουλῇ, τῶν δ' αὖτε κασίγνητοί τε ἔται τε
„καὶ θαλεροὶ κακότητος ἄδην ἐσάωθεν ἀκοῖται.
„ἡμέτερον δὲ λέχος θαλάμοις ἐνὶ κουριδίοισιν
„πορσυνέεις· οὐδ' ἄμμε διακρινέει φιλότητος
„ἄλλο, πάρος θάνατόν γε μεμορμένον ἀμφικαλύψαι."
Ὣς φάτο· τῇ δ' ἔντοσθε κατείβετο θυμὸς ἀκουῇ.
ἔμπης δ' ἔργ' ἀΐδηλα κατεῤῥίγησεν ἰδέσθαι
σχετλίη· οὐ μὲν δηρὸν ἀπαρνήσασθαι ἔμελλεν
Ἑλλάδα ναιετάειν. ὣς γὰρ τόδε μήδετο Ἥρη,
ὄφρα κακὸν Πελίῃ ἱερὴν ἐς Ἰωλκὸν ἵκηται

1110. ἐγὼν Vrat.

1111. ἀπόπροσθεν Guelph.

1112. De hiatu in fine pedis quinti vid. Herm. ad Orph. p. 735.

1113. αὐτήν γε ex Regg. quinque receperunt Brunck. Beck., quod non recipi debebat, etiamsi in melioribus libris inventum esset; nam quomodo pronomen abesse posse putaverint illi non intelligo.

1114. ἐνθάδ' Reg. A. — Ἰωλκὸν vulg. Ἰαολκὸν Hoelzlin. Shaw. Ἰαωλκὸν Brunck. Beck. ut v. 1091.

1117. τόσσοισιν pro τότε σοῖσιν Guelph.

1118. κατὰ τροχέουσα Vat. B.

1121. ἄλλον pro ἄγγελον Guelph.

1124. ἠδέ σε Reg. D., quam pessimi codicis lectionem vulgata longe deteriorem a Brunck. et Beck. receptam esse miror. — θεὸν ὥς Beck., quod se cum Vrat. scripsisse gloriatur.

1125. ἐνθάδ' ἵκοντο Reg. A.

1129. πορσανέεις vulg. πορσυνέεις Vatt. A. C. D. Med. Vrat., quod praetuli, quia de lecto πορσύνειν dici solet, vid. supra v. 840. Mutatum est a librariis, quibus altera forma ex v. 1124 obversabatur.

1131. τῆς δ' Vat. B. Reg. D. — ἔντοσθεν Guelph.

1133. ἐπαρνήσεσθαι Reg. A. ἀπαρνήσεσθαι Vatt. A. C. D. Regg. tres, Vrat. Vind. Brunck. Beck. Vid. supra v. 972 et 1066.

1135. εἰς Vrat. Vind. — ἵκοιτο ex

Αἰαίη Μήδεια, λιποῦσά γε πατρίδα γαῖαν.
  Ἤδη δ' ἀμφίπολοι μὲν ὀπιπτεύουσαι ἄπωθεν
σιγῇ ἀνιάζεσκον· ἐδεύετο δ' ἤματος ὥρη
ἄψ οἶκόνδε νέεσθαι ἑὴν μετὰ μητέρα κούρην.
ἡ δ' οὔπω κομιδῆς μιμνήσκετο, τέρπετο γάρ οἱ
θυμὸς ὁμῶς μορφῇ τε καὶ αἱμυλίοισι λόγοισιν,
εἰ μὴ ἄρ' Αἰσονίδης πεφυλαγμένος ὀψέ περ ηὔδα·
„Ὥρη ἀποβλώσκειν, μὴ πρὶν φάος ἠελίοιο
„δύῃ ὑποφθάμενον, καί τις τὰ ἕκαστα νοήσῃ
„ὀθνείων· αὖτις δ' ἀβολήσομεν ἐνθάδ' ἰόντες."
  Ὣς τώ γ' ἀλλήλων ἀγανοῖς ἐπὶ τόσσον ἔπεσσιν
πείρηθεν· μετὰ δ' αὖτε διέτμαγεν. ἤτοι Ἰήσων
εἰς ἑτάρους καὶ νῆα κεχαρμένος ὦρτο νέεσθαι·
ἡ δὲ μετ' ἀμφιπόλους· αἳ δὲ σχεδὸν ἀντεβόλησαν
πᾶσαι ὁμοῦ· τὰς δ' οὔ τι περιπλομένας ἐνόησεν.
ψυχὴ γὰρ νεφέεσσι μεταχρονίη πεπότητο.
αὐτομάτοις δὲ πόδεσσι θοῆς ἐπεβήσατ' ἀπήνης,
καί ῥ' ἑτέρῃ μὲν χειρὶ λάβ' ἡνία, τῇ δ' ἄρ' ἱμάσθλην
δαιδαλέην, οὐρῆας ἐλαυνέμεν· οἳ δὲ πόλινδε
θῦνον ἐπειγόμενοι ποτὶ δώματα. τὴν δ' ἄρ' ἰοῦσαν
Χαλκιόπη περὶ παισὶν ἀκηχεμένη ἐρέεινεν·
ἡ δὲ παλιντροπίῃσιν ἀμήχανος οὔτε τι μύθων
ἔκλυεν, οὔτ' αὐδῆσαι ἀνειρομένῃ λελίητο.

conjectura Brunck. Beck. sine causa, vid. ad I, 17. — Aut hunc aut similem locum IV, 242 expressit Apollodor. I, 9, 16 ἵν' ἔλθῃ κακὸν Μήδεια Πελίᾳ.

1136. γε omittunt Vatt. A. C. D. Regg. tres, Vrat. Vind.

1137. ὀπιπεύουσαι Vatt. A. D. Med. ὀπιπτεύουσιν Guelph. — ἄποθεν suprascr. ω Vrat.

1138. ὥρῃ Steph. sphalmate typ.

1139. εἰς οἶκον Reg. D. εἰς οἶκόνδε Regg. A. B. E. ἄψ εἰς οἶκόνδε Guelph.

1141. Hoc uno loco Apollonius vocabulo λόγος usus est, raro omnino apud epicos poetas (v. Naek. ad Choeril. p. 118 sq.), et ita, ut Homeri et Hesiodi auctoritatem sequeretur, qui αἱμυλίοισι λόγοισιν dixerunt Od. I, 56. Theog. 889.

1142. πεφιλαγμένος Vind. — αὔδα Guelph.

1144. ἀποφθάμενον Regg. A. D. ἀποφθίμενον Reg. E. — νοήσει Vatt. A. D.

1145. αὖθις Guelph.

1147. διέτμαγον vulg., quod in διέτμαγεν mutandum esse monui ad II, 298. Vidit etiam Spitzner. de vers. her. p. 64.

1151. μεταχθονίη vulg., sed codices omnes, uno Vat. B. excepto, habent μεταχρονίη, quod revocavi. Vid. ad II, 300.

1152. αὐτομάτη δὲ Regg. quinque male. αὐτομάτοισι π. Guelph.

1155. τὴν δ' ἀνιοῦσαν ex uno Reg. D. receperunt Brunck. Beck. Est ea correctio librarii, qualibus plenus est deterrimus ille codex, eaque minime necessaria.

1158. ἀνηρομένη Vind.

ἷζε δ' ἐπὶ χθαμαλῷ σφέλαϊ κλιντῆρος ἔνερθεν,
λέχρις ἐρεισαμένη λαιῇ ἐπὶ χειρὶ παρειήν·
ὑγρὰ δ' ἐνὶ βλεφάροις ἔχεν ὄμματα, πορφύρουσα
οἷον ἑῇ κακὸν ἔργον ἐπιξυνώσατο βουλῇ.
Αἰσονίδης δ' ὅτε δὴ ἑτάροις ἐξαῦτις ἔμικτο
ἐν χώρῃ, ὅθι τούς γε καταπρολιπὼν ἐλιάσθη,
ὦρτ' ἰέναι σὺν τοῖσι, πιφαυσκόμενος τὰ ἕκαστα,
ἡρώων ἐς ὅμιλον· ὁμοῦ δ' ἐπὶ νῆα πέλασσαν.
οἱ δέ μιν ἀμφαγάπαζον, ὅπως ἴδον, ἔκ τ' ἐρέοντο.
αὐτὰρ ὁ τοῖς πάντεσσι μετέννεπε δήνεα κούρης,
δεῖξέ τε φάρμακον αἰνόν· ὁ δ' οἰόθεν οἷος ἑταίρων
Ἴδας ἧστ' ἀπάνευθε δακὼν χόλον· οἱ δὲ δὴ ἄλλοι
γηθόσυνοι τῆμος μὲν, ἐπεὶ κνέφας ἔργαθε νυκτὸς,
εὔκηλοι ἐμέλοντο περὶ σφίσιν. αὐτὰρ ἅμ' ἠοῖ
πέμπον ἐς Αἰήτην ἰέναι σπόρον αἰτήσοντας
ἄνδρε δύω, πρὸ μὲν αὐτὸν ἀρηΐφιλον Τελαμῶνα,
σὺν δὲ καὶ Αἰθαλίδην υἷα κλυτὸν Ἑρμείαο.
βὰν δ' ἴμεν οὐδ' ἁλίωσαν ὁδόν· πόρε δέ σφιν ἰοῦσιν
κρείων Αἰήτης χαλεποὺς ἐς ἄεθλον ὀδόντας
Ἀονίοιο δράκοντος, ὃν Ὠγυγίῃ ἐνὶ Θήβῃ
Κάδμος, ὅτ' Εὐρώπην διζήμενος εἰσαφίκανεν,
πέφνεν, Ἀρητιάδι κρήνῃ ἐπίουρον ἐόντα,
ἔνθα καὶ ἐννάσθη πομπῇ βοὸς, ἥν οἱ Ἀπόλλων
ὤπασε μαντοσύνῃσι προηγήτειραν ὁδοῖο.
τοὺς δὲ θεὰ Τριτωνὶς ὑπὲκ γενύων ἐλάσασα
Αἰήτῃ πόρε δῶρον ὁμῶς αὐτῷ τε φονῆϊ.
καί ῥ' ὁ μὲν Ἀονίοισιν ἐνισπείρας πεδίοισιν

1160. *μέχρις* Vatt. C. D. — *ἐρυσαμένη* Guelph.

1164. *κατὰ προλιπὼν* Vat. A.

1165. *πιφασκόμενος* Reg. A. Vind.

1166. *ἡρώων ἐς ἕκαστα* Med. *οἱ δ' ἔκλυον ἕκαστα* Vat. B. Regg. A. C. E., quae si prioris recensionis sunt, ut putat Gerhard. p. 43, corrupta sunt, neque sufficeret Gerhardi emendatio *οἱ δ' ἔκλυον τὰ ἕκαστα.* — *πέλασσεν* Reg. D.

1171. *ἐπὶ κνέφας* Regg. A. E. Vrat. Vind. — *ἔργατε* Vrat. Vind.

1172. *μέλλοντο* vulg. male. *μελέοντο* Guelph. ed. Paris. Steph. *μέλοντο* Vat. C. et Regg. nonnulli. *ἐμέλοντο,* quod conjecerat Brunck. Analect. T. III p. 175, habent Reg. D. et Schol. Paris., idque cum Brunck. et Beck. recepi.

1175. *Ἑρμείεο* Guelph.

1177. *ἐπ' ἄεθλον* Regg. tres.

1178. *Ἀονίαο* Regg. A. *Ἀονίου* Guelph.

1179. *Εὐρώπαν* Guelph. — *ἐσαφίκανεν* Vrat. Vind.

1180. *Ἀρητιάδῃ* vulg. ex errore frequentissimo. *Ἀρητιάδι,* quod conjecerat Stephanus, ex Regg. A. B. E. receperunt Brunck. Beck.

1181. *ἐνάσθη* Vrat. Vind.

1183. *ὑπεγγενύων* Vatt. A. D. Vrat.

1185. *ἐνὶ σπείρας* Reg. A.

Καδμος Ἀγηνορίδης γαιηγενῆ εἴσατο λαὸν,
Ἄρεος ἀμώοντος ὅσοι ὑπὸ δουρὶ λίποντο·
τοὺς δὲ τότ' Αἰήτης ἔπορεν μετὰ νῆα φέρεσθαι
προφρονέως, ἐπεὶ οὔ μιν ὀΐσσατο πείρατ' ἀέθλου
ἐξανύσειν, εἰ καὶ περ ἐπὶ ζυγὰ βουσὶ βάλοιτο.
Ἠέλιος μὲν ἄπωθεν ἐρεμνὴν δύετο γαῖαν
ἑσπέριος νεάτας ὑπὲρ ἄκριας Αἰθιοπήων·
Νὺξ δ' ἵπποισιν ἔβαλλεν ἔπι ζυγά· τοὶ δὲ χαμεύνας
ἔντυνον ἥρωες παρὰ πείσμασιν. αὐτὰρ Ἰήσων
αὐτίκ' ἐπεί ῥ' Ἑλίκης ἐϋφεγγέες ἀστέρες ἄρκτου
ἔκλιθεν, οὐρανόθεν δὲ πανεύκηλος γένετ' αἰθὴρ,
βῆ ῥ' ἐς ἐρημαίην κλωπήϊος ἠΰτε τις φὼρ
σὺν πᾶσιν χρήεσσι· πρὸ γάρ τ' ἀλέγυνεν ἕκαστα
ἠμάτιος· θῆλυν μὲν ὄϊν γάλα τ' ἔκτοθι ποίμνης
Ἄργος ἰὼν ἤνεικε· τὰ δ' ἐξ αὐτῆς ἕλε νηός.
ἀλλ' ὅτε δὴ ἴδε χῶρον, ὅτις πάτου ἔκτοθεν ἦεν
ἀνθρώπων, καθαρῇσιν ὑπεύδιος εἰαμενῇσιν,
ἔνθ' ἤτοι πάμπρωτα λοέσσατο μὲν ποταμοῖο
εὐαγέως θείοιο τέρεν δέμας· ἀμφὶ δὲ φᾶρος
ἕσσατο κυάνεον, τὸ μέν οἱ πάρος ἐγγυάλιξεν

1186. *γενεηγενῆ* Vat. D. *γεηγενῆ* Med. Hinc corruptum in *γηγενῆ*, quod habet Guelph.; quod quum metro non satisfaceret, correctores metrici, quorum manus in codd. Regg. saepe agnoscitur, addiderunt *ἐπί*. Ita nata est lectio *ἐπὶ γηγενῆ*, quam ex Regg. quinque male receperunt Brunck. Beck. In Schol. Flor. haec verba ita laudantur: *ἵδρυσεν ὄχλον γηγενῆ Ἄρεος ἀμώοντος ὅσοι ὑπὸ δουρὶ λίποντο*, unde colligi potest, prioris recensionis lectionem fuisse *γαιηγενῆ ἵδρυσεν ὄχλον*, quam deinde mutaverit poeta propter male correptam mediam in *ἵδρυσεν*, quod tamen Nonnus et sequiores sibi permiserunt.

1188. *ἔπορε* Regg. tres, Brunck. Beck. male.

1189. *ὀΐσατο* vulg. *ὀΐσσατο* Vatt. A. C. D. Med. Guelph. Regg. tres, Vrat. Vind. Brunck. Beck.

1190. *βουσὶ ζυγὰ* Reg. A.

1192. *ναέτας* Reg. A.

1193. *ἔβαλεν* Med. Guelph. Vrat. Vind.

1194. *πίσμασιν* Med.

1195. *ἐϋφεγγέες* ex conjectura Brunck., nescio quam ab causam. *ἀφεγγέος* Reg. A.

1196. *παρεύκηλος* Regg. quatuor.

1197. *ἐρημέην* Med. a m. 1. — *κλωπίηος* Med.

1198. *πᾶσι* vulg. *πᾶσιν* Med., quod recepi. — *ἀλέγεινεν* Vat. B.

1199. *ἔκποθι* Guelph.

1200. *ἤρεικε* marg. Reg. A. Vrat. *ἤνικε* Vind.

1204. *εὐαγέος* Guelph. *εὐρῆος* Regg. A. C. *εὐρεῖος* Reg. D.

1205. *τὸ μέν οἱ* falsum esse docet metrum, quum pro *μέν* vocabulum aliquod legi debeat in vocalem exiens; illud debetur librariis hiatui inepte caventibus. Herm. ad Orph. p. 782 legendum proponit *τό ῥά οἱ*, quod tamen recipere nolui, quia incertum est utrum hoc an aliud vocabulum a

Λημνιὰς Ὑψιπύλη, ἀδινῆς μνημήϊον εὐνῆς.
πηχύϊον δ' ἄρ' ἔπειτα πέδῳ ἔνι βόθρον ὀρύξας
νήησεν σχίζας, ἐπὶ δ' ἀρνειοῦ τάμε λαιμὸν,
αὐτόν τ' εὖ καθύπερθε τανύσσατο· δαῖε δὲ φιτροὺς
πῦρ ὑπένερθεν ἱεὶς, ἐπὶ δὲ μιγάδας χέε λοιβὰς,
Βριμὼ κικλήσκων Ἑκάτην ἐπαρωγὸν ἀέθλων.
καί ῥ' ὁ μὲν ἀγκαλέσας πάλιν ἔστιχεν· ἡ δ' ἀΐουσα
κευθμῶν ἐξ ὑπάτων δεινὴ θεὸς ἀντεβόλησεν
ἱροῖς Αἰσονίδαο· πέριξ δέ μιν ἐστεφάνωντο
σμερδαλέοι δρυΐνοισι μετὰ πτόρθοισι δράκοντες·
στράπτε δ' ἀπειρέσιον δαΐδων σέλας· ἀμφὶ δὲ τήν γε
ὀξείῃ ὑλακῇ χθόνιοι κύνες ἐφθέγγοντο.
πίσεα δ' ἔτρεμε πάντα κατὰ στίβον· αἱ δ' ὀλόλυξαν
Νύμφαι ἑλειονόμοι ποταμήτιδες, αἳ περὶ κείνην
Φάσιδος εἱαμενὴν Ἀμαραντίου εἱλίσσονται.
Αἰσονίδην δ' ἤτοι μὲν ἕλεν δέος, ἀλλά μιν οὐδ' ὧς
ἐντροπαλιζόμενον πόδες ἔκφερον, ὄφρ' ἑτάροισι
μίκτο κιών· ἤδη δὲ φόως νιφόεντος ὕπερθεν
Καυκάσου ἠριγενὴς Ἠὼς βάλεν ἀντέλλουσα.

Καὶ τότ' ἄρ' Αἰήτης περὶ μὲν στήθεσσιν ἕεστο
θώρηκα στάδιον, τόν οἱ πόρεν ἐξεναρίξας
σφωϊτέρῃς Φλεγραῖον Ἄρης ὑπὸ χερσὶ Μίμαντα·
χρυσείην δ' ἐπὶ κρατὶ κόρυν θέτο τετραφάληρον,
λαμπομένην, οἷόν τε περίτροχον ἔπλετο φέγγος
ἠελίου, ὅτε πρῶτον ἀνέρχεται Ὠκεανοῖο.
ἂν δὲ πολύῤῥινον νώμα σάκος, ἂν δὲ καὶ ἔγχος

poeta profectum sit. Itaque vitiosam lectionem intactam reliqui.

1208. νήησεν pro vulg. νήησε ex Med. recepi.

1209. αὐτόν δ' εὖ Regg. D. E. — σαῖνε pro δαῖε Guelph.

1210. ὕπερθεν Reg. A.

1211. ἐπαρηγόν' Reg. D.

1214. ἱεροῖς vulg. ἱροῖς Med. ex correctione et Reg. B., unde Brunck. Beck.

1215. σμερδαλέοις Guelph. -- Huc fortasse referendus est Varronis Atacini versus apud Non. Marcell. p. 191: *Cujus ut adspexit torta caput angue revinctum.*

1217. ὀξύῃ Flor.

1218. πείσεα vulg., quod correxit Brunck. secundum I, 1266.

1219. ποταμηΐδες vulg. ποταμήτιδες Vatt. A. C. D. Med. Guelph. Regg. quatuor, Vrat. Vind., quam formam tot librorum auctoritate firmatam, quamquam insolentiorem, recipere non dubitavi. Addatur Lexicis.

1221. ἕλε Brunck. ut solet.

1224. ἔβαλλεν Vrat. Vind.

1227. σφωϊτέραις Schol. uterque.

1228. κόρην Vrat. Vind.

1229. Hunc versum omittit Flor. — περιτρόχον scribendum suspicatur Hoelzlin., quem refellit Merrick. ad Tryphiod. 518.

1231. πολύρινον Brunck. Beck. ex more.

δεινὸν, ἀμαιμάκετον· τὸ μὲν οὔ κέ τις ἄλλος ὑπέστη
ἀνδρῶν ἡρώων, ὅτε κάλλιπον Ἡρακλῆα
τῆλε παρὲξ, ὅ κεν οἶος ἐναντίβιον πτολέμιξεν.
τῷ δὲ καὶ ὠκυπόδων ἵππων εὐπηγέα δίφρον
ἔσχε πέλας Φαέθων ἐπιβήμεναι· ἂν δὲ καὶ αὐτὸς
βήσατο, ῥυτῆρας δὲ χεροῖν ἔχεν. ἐκ δὲ πόληος
ἤλασεν εὐρεῖαν κατ᾽ ἀμαξιτὸν, ὥς κεν ἀέθλῳ
παρσταίη· σὺν δέ σφιν ἀπείριτος ἔσσυτο λαός.
οἷος δ᾽ Ἴσθμιον εἶσι Ποσειδάων ἐς ἀγῶνα
ἅρμασιν ἐμβεβαὼς ἢ Ταίναρον ἢ ὅγε Λέρνης
ὕδωρ ἠὲ κατ᾽ ἄλσος Ὑαντίου Ὀγχηστοῖο,
καί τε Καλαύρειαν μετὰ δῆθ᾽ ἅμα νίσσεται ἵπποις
Πέτρην θ᾽ Αἱμονίην ἢ δενδρήεντα Γεραιστόν·
τοῖος ἄρ᾽ Αἰήτης Κόλχων ἀγὸς ἦεν ἰδέσθαι.
Τόφρα δὲ Μηδείης ὑποθημοσύνῃσιν Ἰήσων
φάρμακα μυδήνας ἠμὲν σάκος ἀμφεπάλυνεν
ἠδὲ δόρυ βριαρὸν, περὶ δὲ ξίφος· ἀμφὶ δ᾽ ἑταῖροι
πείρησαν τευχέων βεβιημένοι, οὐδὲ δύναντο
κεῖνο δόρυ γνάμψαι τυτθόν γέ περ, ἀλλὰ μάλ᾽ αὔτως
ἀαγὲς κρατερῇσιν ἐνεσκλήκει παλάμῃσιν.
αὐτὰρ ὁ τοῖς ἄμοτον κοτέων Ἀφαρήϊος Ἴδας

1234. πῆλε Vat. B. a m. 1. πᾶλε a m. 2. πῆλε etiam Flor. Ald. Brub. Basil. — πτελέμιξε suprascr. in Reg. B. πελέμιξε Reg. D. ineptissime, receptum tamen ex malae notae libro a Brunckio et Beckio, quod minime fieri debebat in notissima locutione Homerica ἐναντίβιον πολεμίζειν. (ἀντιβίην πολεμίζειν habet Noster II, 758. IV, 409.) Matthiae obss. critt. p 29, quum nullam nisi Brunckii lectionem cognitam haberet, eamque non vulgatam lectionem esse ignoraret, emendavit πολέμιζε. Flor. habet πτολέμιζε, sed ex mero errore, nam sensus aoristum poscit, qui apud Homerum quidem non occurrit, sed habet ille πτολεμίξομεν Il. II, 328. πτολεμίξων Il. XIII, 644. πολεμίξομεν Il. XXIV, 667.

1235. εὔπηγέα Brunck. Beck.

1237. ἕλεν suspicatur Brunck. sine causa.

1238. ἀέθλων Med. Guelph. Vrat. Vind. Reg. A. Ald. Brub. Basil. ex errore notissimo.

1239. ἀπείρητος Med. Vrat. Vind.

1242. Hemistichium laudat Steph. Byz. s. v. Ἀβαντίς.

1243. δὴ θαμὰ ex conjectura dedit Brunck., sed θαμὰ frigere, ἅμα cum ἵπποις jungendum esse vidit jam Beckius. — νείσεται vulg. νείσσεται Vrat. Vind. νίσσεται Regg. quatuor, Brunck. Beck.

1244. Πέτρην littera majuscula recte scripsit Beck. — πετρήεντα Vatt. A. C. D. fortasse errore ex primo versus vocabulo nato.

1249. οὐδὲ δύναντο Vrat. Vind., quod recepi pro vulg. οὐδ᾽ ἐδύναντο. Vid. ad II, 1072.

1250. γνάψαι Med. Vrat. Vind. γνάμψασθαι Reg. A. — γέ που Regg. A. B. C. D., quod male praetulerunt Brunck. Beck. Sic mox v. 1298 οὐδ᾽ ἄρα μιν τυτθόν περ ἀνώχλισαν.

1251. εὐαγὲς Guelph. — ἐσκλήκει Vat. D.

κόψε παρ' οὐρίαχον μεγάλῳ ξίφει· ἆλτο δ ακωκὴ
ῥαιστὴρ ἄκμονος ὥστε παλιντυπές· οἱ δ' ὁμάδησαν
γηθόσυνοι ἥρωες ἐπ' ἐλπωρῇσιν ἀέθλου.
καὶ δ' αὐτὸς μετέπειτα παλύνετο· δῦ δέ μιν ἀλκὴ
σμερδαλέη, ἄφατός τε καὶ ἄτρομος· αἱ δ' ἑκάτερθεν
χεῖρες ἐπεῤῥώσαντο περὶ σθένεϊ σφριγόωσαι.
ὡς δ' ὅτ' ἀρήϊος ἵππος ἐελδόμενος πολέμοιο
σκαρθμῷ ἐπιχρεμέθων κρούει πέδον, αὐτὰρ ὕπερθεν
κυδιόων ὀρθοῖσιν ἐπ' οὔασιν αὐχέν' ἀείρει·
τοῖος ἄρ' Αἰσονίδης ἐπαγαίετο κάρτεϊ γυίων.
πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα μετάρσιον ἴχνος ἔπαλλεν
ἀσπίδα χαλκείην μελίην τ' ἐν χερσὶ τινάσσων.
φαίης κεν ζοφεροῖο κατ' αἰθέρος ἀΐσσουσαν
χειμερίην στεροπὴν θαμινὸν μεταπαιφάσσεσθαι
ἐκ νεφέων, ὅτ' ἔπειτα μελάντατον ὄμβρον ἄγωνται.
καὶ τότ' ἔπειτ' οὐ δηρὸν ἔτι σχήσεσθαι ἀέθλων
μέλλον· ἀτὰρ κληῖσιν ἐπισχερω ἱδρυνθέντες
ῥίμφα μάλ' ἐς πεδίον τὸ Ἀρήϊον ἠπείγοντο.
τόσσον δὲ προτέρω πέλεν ἄστεος ἀντιπέρηθεν,
ὅσσον τ' ἐκ βαλβῖδος ἐπήβολος ἅρματι νύσσα
γίγνεται, ὁππότ' ἄεθλα καταφθιμένοιο ἄνακτος
κηδεμόνες πεζοῖσι καὶ ἱππήεσσι τίθενται.
τέτμον δ' Αἰήτην τε καὶ ἄλλων ἔθνεα Κόλχων
τοὺς μὲν Καυκασίοισιν ἐφεσταότας σκοπέλοισιν,
τὸν δ' αὐτοῦ παρὰ χεῖλος ἑλισσόμενον ποταμοῖο.
Αἰσονίδης δ', ὅτε δὴ πρυμνήσια δῆσαν ἑταῖροι,

1254. Hic et duo qui sequuntur versus desunt in Guelph.
1257. *ἄφαιτος* Med. a m. 1.
1258. *χεῖρες* deest in Vatt. A. C. D. — *ἐπειρώσαντο* Vrat.
1260. *παιδὸς* pro *πέδον* Vind.
1264. *μελίῃ* Vind. — *ἐνὶ χερσὶ* ex Reg. D. dederunt Brunck. Beck. probante Gerhardo p.97, sed ex uno illo deteriore libro recipere nolui, praesertim cum pluribus locis hic unus codex *ἐνί* pro vulg. *ἐν* praebeat; vid. ad II, 710.
1265. *κε* Brunck. invitis libris. — *ἀΐσασαν* Vat. B.
1266. *μεταπαιφάσσουσαν* var. lect. apud Schol. utrumque, quae in quibusdam libris ex errore scribarum nata videtur, quorum oculi ad versus praecedentis exitum aberrabant.
1267. *ἄγονται* vulg. *ἄγωνται* Vatt. A. C. D. Regg. quinque, Guelph. Vrat. Brunck. Beck., quos propter librorum auctoritatem et sensus praestantiam secutus sum, quamquam etiam indicativus, sensu quidem paullisper mutato, ferri potest.
1268. *ἔτι* deest in Vatt. A. C. D.
1269. *ἐπὶ σχερῷ* Vatt. A. D. *ἐπισχερῷ* Vat. B. — *ἱδρυθέντες* Vatt. A. D. Med. Vrat. Vind. Flor. Ald. Brub. Basil.
1270. *δηθὰ μάλ'* Regg. A. B.
1273. *γίνεται* Regg. tres.

δή ῥα τότε ξὺν δουρὶ καὶ ἀσπίδι βαῖν' ἐς ἄεθλον
νηὸς ἀποπροθορών· ἄμυδις δ' ἕλε παμφανόωσαν
χαλκείην πήληκα θοῶν ἔμπλειον ὀδόντων
καὶ ξίφος ἀμφ' ὤμοις, γυμνὸς δέμας, ἄλλα μὲν Ἄρει
εἴκελος, ἄλλα δέ που χρυσαόρῳ Ἀπόλλωνι.
παπτήνας δ' ἀνὰ νειὸν ἴδε ζυγὰ χάλκεα ταύρων,
αὐτόγυόν τ' ἐπὶ τοῖς στιβαροῦ ἀδάμαντος ἄροτρον.
χρίμψε δ' ἔπειτα κιὼν, παρὰ δ' ὄβριμον ἔγχος ἔπηξεν
ὀρθὸν ἐπ' οὐριάχῳ, κυνέην δ' ἀποκάτθετ' ἐρείσας.
βῆ δ' αὐτῇ προτέρωσε σὺν ἀσπίδι νήριτα ταύρων
ἴχνια μαστεύων· οἱ δ' ἔκποθεν ἀφράστοιο
κευθμῶνος χθονίου, ἵνα τε σφίσιν ἔσκε βόαυλα
καρτερὰ λιγνυόεντι πέριξ εἰλυμένα καπνῷ,
ἄμφω ὁμοῦ προγένοντο πυρὸς σέλας ἀμπνείοντες.
ἔδδεισαν δ' ἥρωες, ὅπως ἴδον. αὐτὰρ ὃ τούς γε
εὖ διαβὰς ἐπιόντας ἅτε σπιλὰς εἰν ἁλὶ πέτρη
μίμνει ἀπειρεσίῃσι δονεύμενα κύματ' ἀέλλαις.
πρόσθε δέ οἱ σάκος ἔσχεν ἐναντίον· οἱ δέ μιν ἄμφω
μυκηθμῷ κρατεροῖσιν ἐνέπληξαν κεράεσσιν·
οὐδ' ἄρα μιν τυτθόν περ ἀνώχλισαν ἀντιόωντες.
ὡς δ' ὅτ' ἐνὶ τρητοῖσιν ἐΰῤῥινοι χοάνοισιν
φῦσαι χαλκήων ὁτὲ μέν τ' ἀναμαρμαίρουσιν,

1279. σὺν Vrat. Vind. Flor. — βαῖνεν ἐς ἄεθλον Guelph.

1280. ἄπο προθορὼν vulg., quod tacite correxit Brunck.

1281. ἐμπλείην Reg. A.

1283. ἴκελος Med. Guelph. Vrat. Vind. Flor. Ald. Brub. Basil. ut supra v. 278. — χρυσάορι vulg. χρυσαόρῳ Vatt. A. D. Guelph., quam lectionem cum Herm. ad Orph. p. 735 praetuli, non propter hiatum, qui facile excusari potest, quum et in dativo tertiae declinationis, et in quarta sede et ante nomen proprium sit, sed quia Apollonius, quum evitare posset hiatum, certo eum evitavit, et Homerus quoque hanc vocabuli formam praetulit Il. V, 256, neque omnino altera forma in Iliade et Odyssea usus est.

1284. δ' ἀνειὸν Med. a m. 1.

1285. τοῖσι Med. Vrat. Vind. στιβαρὸν Vrat. Vind.

1286. ὄμβριμον Vatt. A. B. C. D. Regg. tres. — ἔπηξε Guelph.

1287. ἀείρας pro ἐρείσας Reg. E.

1288. νήϊα Vat. B.

1291. καρτέρῳ Reg. A. — εἰλυμμένα Guelph.

1293. τοῦγε Vind.

1295. μίμνειν Vat. B. μέμνει Vrat. — δηνεύμενα Flor.

1297. ἐνέπληξεν Med. a m. 1.

1298. ἀνόχλισαν vulg. ἐνώχλισαν Regg. A. C. D. E. ἀνώχλισαν Vatt. A. D. Reg. B. Guelph. Vrat. Vind. Brunck. Beck.

1299. ἐϋῤῥίνοις vulg. inepte, non enim ad fornaces hoc adjectivum pertinet, quae εὔτρητοι vocantur etiam Hesiod. Theog. 862, ἐΰῤῥινοι autem vocari nunquam possunt, sed ad folles. ἐΰῤῥηνοι habet Reg. E. ἐΰῤῥινοι recte Reg. A. ex correctione. ἔϋρινοι ex conjectura Brunck. Beck. — χοάνοις Guelph.

1300. φύσαι Hoelzlin. Shaw. for-

πῦρ ὀλοὸν πιμπρᾶσαι, ὅτ' αὖ λήγουσιν ἀϋτμῆς,
δεινὸς δ' ἐξ αὐτῶν πέλεται βρόμος, ὁππότ' ἀΐξῃ
νειόθεν· ὣς ἄρα τώγε θοὴν φλόγα φυσιόωντες
ἐκ στομάτων ὁμάδουν, τὸν δ' ἄμφι τε δήϊον αἶθος
βάλλεν ἄτε στεροπή· κούρης δέ ἑ φάρμακ' ἔρυτο.
καί ῥ' ὅγε δεξιτεροῖο βοὸς κέρας ἄκρον ἐρύσσας

tasse ex errore typ. — ὅτε Hoelzlin. Shaw. Utramque Beckius falso vulgatam lectionem vocat, quae solius Hoelzlini stupori debetur, et Brunckii correctioni tribuit eam, quae in omnibus prioribus edd. invenitur. — ἀναμορμύρουσι emendavit Ruhnk. epist. crit. p. 149, quod receperunt Brunck. Beck. Sed ea emendatio mihi, pace summi viri sit dictum, neque necessaria videtur, neque apta. Nam ut taceam, *murmur* vix sane apte de follium sonitu dici, hujus mentio fit v. 1301 δεινὸς δ' ἐξ αὐτῶν πέλεται βρόμος et his verbis respondent Ovidii Metam. VII, 106, quae affert Ruhnk. *utque solent pleni resonare camini*, neque aptum foret, si Apollonius bis de strepitu follium loqui voluisset. Deinde ex eo, quod opponitur, ὅτ' αὖ λήγουσιν ἀϋτμῆς, elucet, supra non de strepentibus, sed de flantibus follibus sermonem esse, quibus opponuntur cessantes, ut commode comparari possit locus noster cum Homerico Il. XVIII, 470

φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων,
παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,
ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.

Jam intelligitur Scholiastas recte hunc locum explicare: ἀναμαρμαίρειν κυρίως τὸ καίειν· μετενήνοχε δὲ τὴν φώνην ἀπὸ τῆς σφοδροτάτης φυσήσεως ἐνεργούσης ἔξωθεν. Ἀναμαρμαίρειν vero de follibus eo aptius dicitur, quod, quum follium flatu ignis accenditur, ipsi evomere ignem videntur.

1301. πιμπρῶσαι Flor.

1302. αὐτοῦ vulg., quod non posset nisi ad ignem referri, ut is ipse erumpere ex follibus diceretur, neque prorsus inepte, sed quum αὐτῶν praebeant Regg. quinque, hoc cum Brunck. et Beck. recepi. — αἴξει vulg., quod ferri non potest. ἀέξῃ Reg. D. et E. a m. 1. ἀΐξῃ Regg. A. B. C. E. Vrat. Vind., quod cum Brunck. et Beck. recepi, sed malim ἀΐσσει.

1303. φυσιόωντε vulg. Pluralem exhibent Vatt. A. C. D. Med. Guelph. Regg. A. B. C. D. E. Vrat. Vind., quem cum Brunck. et Beck. recepi, non propter hiatum, ut illi, sed propter librorum auctoritatem et quia dualis facilius a librariis proficisci potuit.

1304. ὁμάδῳ vulg. (etiam Guelph. cum gl. θορύβῳ, de quo falsa refert Brunck.) ὁμάδω Vatt. A. B. ὁμόδω Vat. D. ὁμάδις Vind. ὁμάδων Regg. quatuor et ed. Paris. ὁμάδουν emendavit Steph. quod a recentioribus editoribus omnibus receptum est, et legitur in Vat. C., si ex Itali editoris silentio recte colligere licet. ὁμάδευν legendum proponit Herm. ad Orph. Lith. v. 172 nescio quam ob causam. Recepi Stephani emendationem, quamquam de ejus veritate in tanto librorum consensu dubitans, nam quod libri nonnulli ὁμάδων praebent, nihili est, quum saepissime iota subscriptum in ν transeat. Accedit quod verbum ὁμαδεῖν nunquam, ab Homero certe, nisi de hominum confabulantium strepitu usurpatur, ὅμαδος semel ille ad ventum transtulit Il. XIII, 797. Itaque revocassem ὁμάδῳ, nisi vetarent sequentia, quae fortasse correctione egent. — τὸν δ' ἀμφί ἕ emendat Herm. l. l., in quibus quomodo τόν et ἕ jungat nescio. Fatendum tamen est, τέ otiosum videri, nisi forte δέ τε interposito vocabulo sejunctum putes ut Il. IX, 519. Sed omnino hunc locum nondum perpurgatum nobis videri jam monuimus.

1305. Displicet βάλλεν intransitivo sensu usurpatum et malim βάλλον ἄτε στεροπήν.

1306. κέρας βοός Regg. A. C. E.,

εἷλκεν ἐπικρατέως παντὶ σθένει, ὄφρα πελάσσῃ
ζεύγλῃ χαλκείῃ, τὸν δ' ἐν χθονὶ κάββαλεν ὀκλὰξ,
ῥίμφα ποδὶ κρούσας πόδα χάλκεον. ὣς δὲ καὶ ἄλλον
σφῆλε γνὺξ ἐπιόντα, μιῇ βεβολημένον ὁρμῇ.
εὐρὺ δ' ἀποπροβαλὼν χαμάδις σάκος, ἔνθα καὶ ἔνθα
τῇ καὶ τῇ βεβαὼς ἄμφω ἔχε πεπτηῶτας
γούνασιν ἐν προτέροισι, διὰ φλογὸς εἶθαρ ἐλυσθείς.
θαύμασε δ' Αἰήτης σθένος ἀνέρος. οἱ δ' ἄρα τείως
Τυνδαρίδαι, δὴ γάρ σφι πάλαι προπεφραδμένον ἦεν,
ἀγχίμολον ζυγά οἱ πεδόθεν δόσαν ἀμφιβαλέσθαι.
αὐτὰρ ὁ εὖ ἐνέδησε λόφους· μεσσηγὺ δ' ἀείρας
χάλκεον ἱστοβοῆα θοῇ συνάρασσε κορώνῃ
ζεύγληθεν. καὶ τὼ μὲν ὑπὲκ πυρὸς ἂψ ἐπὶ νῆα
χαζέσθην. ὁ δ' ἄρ' αὖτις ἑλὼν σάκος ἔνθετο νώτῳ
ἐξόπιθεν, καὶ γέντο θοῶν ἔμπλειον ὀδόντων
πήληκα βριαρὴν δόρυ τ' ἄσχετον, ᾧ ῥ' ὑπὸ μέσσας
ἐργατίνης ὥς τίς τε Πελασγίδι νύσσεν ἀκαίνῃ
οὐτάζων λαγόνας· μάλα δ' ἔμπεδον εὖ ἀραρυῖαν
τυκτὴν ἐξ ἀδάμαντος ἐπιθύνεσκεν ἐχέτλην.

quam verborum collocationem cur praetulerint Brunck. et Beck. non intelligo. — ἐρύσας Vrat. Vind.

1307. ὄφρα πέλασσεν Regg. quinque, unde ὄφρ' ἐπέλασσε dedit Brunckius, quia ὄφρα hic non *ut* sed *donec* significet. Secutus est Beck. Sed intelligi non potest, cur non *ut* h. l. significare possit. Veram mutandi causam Brunckio conjunctivum fuisse puto, quem post imperfectum εἷλκεν ferre non poterat, de quo vid. ad I, 17.

1308. κάββαλλεν Vind.

1309. κ' ἄλλον Vrat. Vind.

1310. ἔσφηλε Regg. B. D. ἔσφαλε Regg. A. E., quod recepit Brunck. adversante metro.

1312. τῇ καὶ deest in Guelph.

1315. προπεφασμένον legendum judicat Herm. ad Orph. p. 759 propter correptionem ante φρ, quam tamen ferendam judico cum Spitznero de vers. her. p. 103 non minus quam in προπεφραδμένα apud Hesiod. Op. et D. 355.

1317. ὅγ' εὖ ex conjectura Brunck., cui ingratus et insolitus videtur hiatus, qui est frequentissimus, v. Gerhard. p. 191. Spitzner. de vers. her. p. 140. Imposuit ille Beckio. — λόφοις Regg. quinque, quod receperunt Brunck. Beck., pessime; non ζυγὰ λόφοις ἐνέδησε, sed λόφους ζυγοῖς.

1318. De verbi συναράσσω significatione v. Ruhnk. epist. crit. p. 307 sq.

1319. ὑπὲρ πυρὸς vulg. contra sensum. ὑπ' ἐκ πυρὸς Regg. quinque, Brunck. Beck. Vera lectio est ὑπέκ, quam confirmant etiam Scholl.: οὓς ἀναχωρῆσαί φησιν εἰς τὴν ναῦν ὑπὸ τῆς τοῦ πυρὸς ῥύμης. Etiam supra v. 608 confusa vidimus ὑπέρ et ὑπέκ.

1320. ἄνθετο vulg. ἔνθετο Vatt. A. B. C. D. Regg. quatuor, Med. Guelph. Vrat. Vind. Ald. Brub. Basil. Paris., quod recipere non dubitavi. Vulgata lectio ex solo Flor. propagata est.

1321. ἐξόπισθέν κε γένοντο Guelph.

1323. Versum laudat Etymol. M. p. 43, 48.

1324. αὖ pro εὖ Guelph.

οἱ δὲ τέως μὲν δὴ περιώσια θυμαίνεσκον,
λάβρον ἐπιπνείοντε πυρὸς σέλας· ὦρτο δ᾽ ἀϋτμή,
ἠΰτε βυκτάων ἀνέμων βρόμος, οὕστε μάλιστα
δειδιότες μέγα λαῖφος ἁλίπλοοι ἐστείλαντο.
δηρὸν δ᾽ οὗ μετέπειτα κελευόμενοι ὑπὸ δουρὶ
ἤϊσαν· ὀκρυόεσσα δ᾽ ἐρείκετο νειὸς ὀπίσσω,
σχιζομένη ταύρων τε βίῃ κρατερῷ τ᾽ ἀροτῆρι.
δεινὸν δ᾽ ἐσμαράγευν ἄμυδις κατὰ ὦλκας ἀρότρου
βώλακες ἀγνύμεναι ἀνδραχθέες· εἵπετο δ᾽ αὐτὸς
λαῖον ἐπὶ στιβαρῷ πιέσας ποδί· τῆλε δ᾽ ἑεῖο
βάλλεν ἀρηρομένην αἰεὶ κατὰ βῶλον ὀδόντας,
ἐντροπαλιζόμενος, μή οἱ πάρος ἀντιάσειεν
Γηγενέων ἀνδρῶν ὀλοὸς στάχυς· οἱ δ᾽ ἄρ᾽ ἐπιπρὸ
χαλκείῃς χηλῇσιν ἐρειδόμενοι πονέοντο.
ἦμος δὲ τρίτατον λάχος ἤματος ἀνομένοιο
λείπεται ἐξ ἠοῦς, καλέουσι δὲ κεκμηῶτες
ἐργατίναι γλυκερόν σφιν ἄφαρ βουλυτὸν ἱκέσθαι,

1326. *οἱ δή τοι εἴως μὲν δὴ π.* Vatt. A. B. D. Med. Guelph. Flor. Ald. *οἱ δήτι εἴως μὲν δὴ π.* Vrat. Vind. *οἱ δὴ τείως μὲν π.* Regg. quinque, ut saepe libri illi correctiones metricas proferunt. *οἱ δὴ τείως μὲν δή π.* ed. Paris. Steph. Quam in textu dedi lectionem exhibent ed. Brub. et Basil., unde Hoelzlin. et deinceps omnes receperunt. Eadem in Vat. C. inventa videtur.

1328. *ἀητάων ἀνέμων* Vatt. A. D.

1330. *δηναιὸν* pro *δηρὸν* Guelph.

1331. *ἤεσαν* ed. Paris. Steph. — *ὀκριόεσσα* Guelph. Brunck. Beck. — *ἐρύκετο* Vatt. A. C. D.

1333. *κατὰ ὦλκας* est hiatus Homericus, vid. Il. XIII, 707.

1335. *βαθμὸν ἐπὶ στιβαρῷ π. π.* vulg. Vertunt: *gradum forti pede firmans*, quae neque insunt in verbis graecis et, si inessent, inepta forent. Pro *βαθμὸν* in Reg. E. et Vind. legitur *λάϊον*, in Med. Guelph. Vrat. Regg. A. B. Flor. Ald. *λαιὸν*. Ex Vaticanis nihil notatum video, sed mirum ni eadem lectio in iis reperiretur. Brunckius ignorans, quid illo *λαιὸν* faciat, errore aut casu scriptum putat. Sed ea vera est lectio: scilicet *λαῖον* est *culter aratri*, cui pedem imponere aratorem oportebat, quo profundius in terram penetraret; hinc recte loco nostro dictum est *ἐπιπιέσας λαῖον ποδί.* Rarioris hujus vocabuli pauca sunt, quod quidem sciam, vestigia. Phavorin. s. v. *λήϊον: Λήϊον, τὸ χωράφιον, τὸ λαίον δεόμενον. λαῖον δὲ τὸ δρέπανον*, et iisdem fere verbis Lexicon MS. Darmstad. apud Bast. ad Gregor. Cor. p. 892, et cod. Paris. apud eundem *Λαῖον τὸ δρέπανον.* Sed unde altera illa lectio *βαθμόν?* scilicet neque *βαθμός* de Iasonis passu accipiendum est, sed et ipsum significat eam aratri partem, cui pes aratoris imponi solebat, unde *βαθμός* vocata est. Alterutrum igitur horum vocabulorum alterius glossema est, sed praetuli *λαῖον* propter librorum auctoritatem. — *δὲ οἷο* Vind. *δ᾽ ἑεῖο* Brunck. Beck. ut solent; vid. ad I, 1032.

1340. *λέχος ἤματος ἀνυμένοιο* Guelph.

1341. *κεκμηκότες* Guelph.

1342. *βουλητὸν* Vrat. Flor. Ald. Brub. De vocabulo *βουλυτός* cf. Piers. ad Moer. p. 97.

τῆμος ἀρήροτο νειὸς ὑπ' ἀκαμάτῳ ἀροτῆρι,
τετράγυός περ ἐοῦσα, βοῶν τ' ἀπελύετ' ἄροτρα.
καὶ τοὺς μὲν πεδίονδε διεπτοίησε φέβεσθαι·
αὐτὰρ ὁ ἂψ ἐπὶ νῆα πάλιν κίεν, ὄφρ' ἔτι κεινὰς
Γηγενέων ἀνδρῶν ἴδεν αὔλακας. ἀμφὶ δ' ἑταῖροι
θάρσυνον μύθοισιν. ὁ δ' ἐκ ποταμοῖο ῥοάων
αὐτῇ ἀφυσσάμενος κυνέῃ σβέσεν ὕδατι δίψαν·
γνάμψε δὲ γούνατ' ἐλαφρὰ, μέγαν δ' ἐμπλήσατο θυμὸν
ἀλκῆς, μαιμώων συῒ εἴκελος, ὅς ῥά τ' ὀδόντας
θήγει θηρευτῇσιν ἐπ' ἀνδράσιν, ἀμφὶ δὲ πολλὸς
ἀφρὸς ἀπὸ στόματος χαμάδις ῥέε χωομένοιο.
οἱ δ' ἤδη κατὰ πᾶσαν ἀνασταχύεσκον ἄρουραν
Γηγενέες· φρίξεν δὲ περὶ στιβαροῖς σακέεσσιν
δούρασί τ' ἀμφιγύοις κορύθεσσί τε λαμπομένῃσιν
Ἄρηος τέμενος φθισιμβρότου· ἵκετο δ' αἴγλη
νειόθεν Οὔλυμπόνδε δι' ἠέρος ἀστράπτουσα.
ὡς δ' ὁπότ' ἐς γαῖαν πολέος νιφετοῖο πεσόντος
ἂψ ἀπὸ χειμερίας νεφέλας ἐκέδασσαν ἄελλαι
λυγαίῃ ὑπὸ νυκτὶ, τὰ δ' ἀθρόα πάντα φαάνθη
τείρεα λαμπετόωντα διὰ κνέφας· ὣς ἄρα τοίγε
λάμπον ἀναλδήσκοντες ὑπὲρ χθονός. αὐτὰρ Ἰήσων
μνήσατο Μηδείης πολυκερδέος ἐννεσιάων·
λάζετο δ' ἐκ πεδίοιο μέγαν περιηγέα πέτρον,
δεινὸν Ἐνυαλίου σόλον Ἄρεος· οὔ κέ μιν ἄνδρες
αἰζηοὶ πίσυρες γαίης ἄπο τυτθὸν ἄειραν.

1343. ἂρ ἤροτο Flor. Steph.

1346. ὅγ' ἂψ ex conjectura Brunck. Beck. ut v. 1317.

1350. ἐνεπλήσατο ex uno Reg. D. receperunt Brunck. Beck. cum versus detrimento.

1351. μαίων Vrat. Vind., sed in illo suprascr. μό. — ἴκελος Med. Guelph. Vrat. Vind. Flor. Ald. Brub. Basil. ut semper.

1352. θηρευτῆρσιν Guelph.

1354. ἀνσταχύεσκον Guelph.

1355. φρίξαν vulg. perperam. φρίξεν Guelph. Regg. B. D. Brunck. Beck., quod jam conjectura assecutus erat Hoelzlin. Apte Brunckius confert Hom. Il. XIII, 399. Virg. Aen. VII, 525. XI, 601.

1356. δόρασι Guelph. — λαμπομένοισιν vulg. Femininum, quod reponendum esse viderat jam Hoelzlin., praebent Med. Guelph. Vrat. Vind. Regg. quatuor. Nota est harum terminationum confusio; vid. ad III, 1020.

1357. ἵετο Reg. D.

1360. ἄψ τ' ἀπὸ Reg. A. — ἐκέδασαν Flor. Ald. Brub. Basil. — ἀῆται Med. ex correctione et marg. Reg. B., quod nescio cur praetulerint Brunck. et Beck.

1361. πάντ' ἐφαάνθη ex conjectura Brunck. Beck. sine causa. vid. ad II, 1072.

1364. Hic versus deest in Vat. B.

1367. ὑπὸ ex uno Reg. D. male receperunt Brunck. Beck. Versus 1396, quem confert Brunck., alia est ratio, quum illorum pedes sub terra essent. Homerus quoque loco

τόν ῥ' ἀνὰ χεῖρα λαβὼν μάλα τηλόθεν ἔμβαλε μέσσοις
αἶξας· αὐτὸς δ' ὑφ' ἑὸν σάκος ἕζετο λάθρῃ
θαρσαλέως. Κόλχοι δὲ μέγ' ἴαχον, ὡς ὅτε πόντος
ἴαχεν ὀξείῃσιν ἐπιβρομέων σπιλάδεσσιν·
τὸν δ' ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο
Αἰήτην. οἱ δ' ὥστε θοοὶ κύνες ἀμφιθορόντες
ἀλλήλους βρυχηδὸν ἐδήϊον· οἱ δ' ἐπὶ γαῖαν
μητέρα πῖπτον ἑοῖς ὑπὸ δούρασιν, ἠΰτε πεῦκαι
ἢ δρύες, ἅστ' ἀνέμοιο κατάϊκες δονέουσιν.
οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται ἀστὴρ,
ὁλκὸν ὑπαυγάζων, τέρας ἀνδράσιν, οἵ μιν ἴδωνται
μαρμαρυγῇ σκοτίοιο δι' ἠέρος ἀΐξαντα·
τοῖος ἄρ' Αἴσονος υἱὸς ἐπέσσυτο Γηγενέεσσιν.
γυμνὸν δ' ἐκ κολεοῖο φέρε ξίφος· οὖτα δὲ μίγδην
ἀμώων, πολέας μὲν ἔτ' ἐς νηδὺν λαγόνας τε
ἡμίσεας ἀνέχοντας ἐς ἠέρα· τοὺς δὲ, καὶ ἄχρις
ὤμων τελλομένους· τοὺς δὲ, νέον ἑστηῶτας·
τοὺς δ', ἤδη καὶ ποσσὶν ἐπειγομένους ἐς ἄρηα.

simillimo Il. XII, 448 *ἀπό* usurpavit. Accentum vulgati *ἀπὸ* recte jam mutaverat Stephanus, sed in errorem relapsus est Hoelzlin.

1368. *μέσσῳ* Flor.

1370. *δὲ* omittit Vat. B.

1371. *σπιλάδεσσιν* Med. Vrat. — Ruhnk. epist. crit. p. 308 comparat Dionys. Perieg. v. 475 *ἧχι θάλασσα Συρομένη μακρῇσι περιβρέμεται σπιλάδεσσιν* et Nicand. Alexiph. v. 290 *οἷος πετραίῃσιν ὑποβρέμεται σπιλάδεσσιν.*

1372. Hunc versum et qui sequuntur ab Eumelo sumsisse Nostrum testantur Scholl.

1373. *ὡς δ' ὅτε* Reg. A.

1376. *αἴτ'* Vind. — *ἀνέμου* Guelph.

1377. Pro *ἀναπάλλεται* var. lect. ap. Scholl. et Etymol. M. 697, 50 *ἀπολάμπεται.* Illud melius est; *πάλλεσθαι* saepe de stellis dicitur, v. Schol. Paris. ad II, 517. — *ἀστήρ* proprie h. l. non stella est, sed meteorum igneum, qualia saepius *ἀστέρες* vocantur, v. Ruhnk. epist. crit. p. 108. Spanhem. ad. Callim. H. in Del. 38. Siebelis. ad Philochor. p. 80.

1378. *ἴδονται* Regg. quatuor.

1381. *φέρεν* Vrat. — *οὔτα* vulg., quod correxit Brunck.

1382. *ἔς τε νηδὺν* Reg. A.

1383. *ἡμισέας δ' ἀνέχοντας* vulg., quod tacite correxit Brunck., tacite sequente Beckio, sed *δ'* abesse sensus jubet, quod aut ex similitudine sequentis *Α* natum est, aut librariorum correctioni debetur, quibus metrum labare videbatur, sed ultima in *ἡμίσεας* recte producta est, v. Herm. ad Orph. p. 707.

1384. *στελλομένους* vulg. *τελλομένους*, quod conjecit Steph. et Arnald. Lectt. gr. p. 242, praebent Vatt. A. C. D. Regg. A. B. C. D. E. Vrat. Vind. et receperunt Brunck. Beck. — *τοὺς δ' αὖ νέον* legi jubet Herm. l. l., sed *αὖ* hic prorsus ferri non posset, et quamquam ante ipsum hoc *νέον* productum *δέ* non alio loco me legere memini, tamen hoc sibi permisisse putandus est Apollonius, quum *δὲ νέφος, δέ Νύμφαι, δὲ νότιος* (quod et ipsum non usitatum est) apud Homerum inveniantur.

1385. Hic versus deest in Vatt. C. D. — *ποσὶν* Vrat. Vind.

ὡς δ' ὁπότ' ἀμφ' οὔροισιν ἐγειρομένου πολέμοιο
δείσας γειομόρος, μή οἱ προτάμωνται ἀρούρας,
ἅρπην εὐκαμπῆ νεοθηγέα χερσὶ μεμαρπὼς,
ὠμὸν ἐπισπεύδων κείρει στάχυν, οὐδὲ βολῇσιν
μίμνει ἐς ὡραίην τερσήμεναι ἠελίοιο·
ὣς τότε Γηγενέων κεῖρεν στάχυν· αἵματι δ' ὁλκοὶ
ἠΰτε κρηναῖαι ἀμάραι πλήθοντο ῥοῇσιν.
πῖπτον δ' οἱ μὲν ὀδὰξ τετρηχότα βῶλον ὀδοῦσιν
λαζόμενοι πρηνεῖς· οἱ δ' ἔμπαλιν· οἱ δ' ἐπ' ἀγοστῷ
καὶ πλευροῖς, κήτεσσι δομὴν ἀτάλαντοι ἰδέσθαι.
πολλοὶ δ' οὐτάμενοι, πρὶν ὑπὸ χθονὸς ἴχνος ἀεῖραι,
ὅσσον ἄνω προὔτυψαν ἐς ἠέρα, τόσσον ἔραζε
βριθόμενοι πλαδαροῖσι καρήασιν ἠρήρειντο.
ἔρνεά που τοίως Διὸς ἄσπετον ὀμβρήσαντος
φυταλιῇ νεόθρεπτα κατημύουσιν ἔραζε
κλασθέντα ῥίζηθεν, ἀλωήων πόνος ἀνδρῶν·

1386. *τοὺς δ' ὁπότ'* Vat. D. — *ἀγχ' οὔροισιν* Guelph. (*ἀγκούροισιν* teste Piers. Veris. p. 212, qui *ἀγχούροισιν* conjicit.)

1391. *κεῖρεν* Med. Vrat., quod pro vulg. *κεῖρε* recepi.

1392. *κρηνάων* Regg. A. E.

1393. *ὀδὰξ* et *ὀδοῦσι* tam inepte juncta sunt, ut locum corruptum esse dubitari non possit; quare *ὀκλὰξ* emendavit Abresch. Dilucid. Thucyd. p. 547, quod receperunt Brunck. Beck. Sed illud et sensus causa non aptum est, (nam qui in genua cadit, non terram ore tangit, et male sibi opponuntur *ὀκλὰξ* et *ἔμπαλιν*, et abundat illud, quum huic jam recte oppositum sit *πρηνεῖς*) et metro adversatur, v. Spitzner. de vers. her. p. 103. Praeterea *ὀδὰξ γαῖαν ἑλεῖν* et similia inde ab Homero (maxime Il. II, 418 *πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν*, quem locum aperte ante oculos habuit Noster) tam trita sunt poetis, *ὀδοῦσι* autem tam inusitatum, ut in hoc potius vitium quaerendum esse videatur. Quaesivit Pierson. Veris. p. 212, qui *ὅπλοισιν* legendum suspicatus est, sed melius Herm. ad Orph. p. 760, qui *ὀδοῦσι*, interpretamento adverbii *ὀδάξ*, in textum recepto, ultimam versus vocem, fortasse *ἀρούρης*, extrusam judicat. Et revera desideratur genitivus aliquis, sine quo *βῶλος* vix bene ita nude dici poterat. Sed offendendum est etiam in eo, quod *βῶλος* masculino genere usurpatum est; quum enim quinquies praeter hunc locum apud Apollonium legatur, III, 1055. 1336. IV, 1552. 1736. 1756, omnibus his locis femininum est, neque, etiamsi a sequioribus scriptoribus masculino genere dictum esse constat (v. Piers. ad Moer. p. 95. Niclas. ad Geopon. III, 11. Jacobs. ad Anthol. Pal. p. 254. Lobeck. ad Phryn. p. 54 s.), apud hujus aetatis poetas me id legere memini. Ex his omnibus certum est, extremam versus partem vitiatam esse, sed quum quid scripserit poeta incertum sit, vulgatam retinui. — *τετρηχότε* Guelph.

1395. *ἀτάλαντον* Vrat., sed vulg. lectio in marg. adscripta.

1396. *ἴχνος* deest in Guelph.

1399. *τοι ὡς δὲ διὸς* Vatt. A. B. D. Guelph. Vrat. Vind. *τοίως δὲ διὸς* Flor. — *ἀμβρίσαντος* Regg. quatuor.

1401. *κλινθέντα* Regg. A. B. C., in B. etiam duplicato sequente *ῥ*. *κλιθέντα* Reg. D.

τὸν δὲ κατηφείη τε καὶ οὐλοὸν ἄλγος ἱκάνει
κλήρου σημαντῆρα φυτοτρόφον· ὣς τότ' ἄνακτος
Αἰήταο βαρεῖαι ὑπὸ φρένας ἦλθον ἀνίαι.
ἤϊε δ' ἐς πτολίεθρον ὑπότροπος ἄμμιγα Κόλχοις
πορφύρων, ἧ κέ σφι θοώτερον ἀντιόῳτο.
ἦμαρ ἔδυ καὶ τῷ τετελεσμένος ἦεν ἄεθλος.

1402. κατηφίη Regg. A. E.
1406. ἤ κε vulg. sine sensu. ἧκε Reg. A. η κε Regg. B. E., quod receperunt Brunck. Beck. εἴ κε Guelph. Reg. D., quod et ipsum non aspernandum. — ἀντιόωντο Vatt. C. D.
1407. τετελαμένος Vrat. — Versus deest in Med.

ΑΠΟΛΛΩΝΙΟΥ

ΑΡΓΟΝΑΥΤΙΚΩΝ

ΒΙΒΛΙΟΝ Δ.

Αὐτὴ νῦν κάματόν γε, θεά, καὶ δήνεα κούρης
Κολχίδος ἔννεπε, Μοῦσα, Διὸς τέκος. ἦ γὰρ ἔμοιγε
ἀμφασίῃ νόος ἔνδον ἑλίσσεται ὁρμαίνοντι,
ἠέ μιν ἄτης πῆμα δυσίμερον, ἢ τό γ' ἐνίσπω
φύζαν ἀεικελίην, ᾗ κάλλιπεν ἔθνεα Κόλχων.
Ἤτοι ὁ μὲν δήμοιο μετ' ἀνδράσιν, ὅσσοι ἄριστοι,
παννύχιος δόλον αἰπὺν ἐπὶ σφίσι μητιάασκεν
οἷσιν ἐνὶ μεγάροις στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ
Αἰήτης ἄμοτον κεχολωμένος· οὐδ' ὅ γε πάμπαν
θυγατέρων τάδε νόσφιν ἑῶν τελέεσθαι ἐώλπει.
Τῇ δ' ἀλεγεινότατον κραδίῃ φόβον ἔμβαλεν Ἥρη.
τρέσσεν δ', ἠΰτε τις κούφη κεμάς, ἥντε βαθείης
τάρφεσιν ἐν ξυλόχοιο κυνῶν ἐφόβησεν ὁμοκλή.
αὐτίκα γὰρ νημερτὲς ὀΐσσατο, μή μιν ἀρωγὴν

4. *δυσίμορον* Guelph. — Verba *πῆμα δυσίμερον malum ingratum* male vertit Beckius, quum deberet: *malum ex infelici amore natum.* Totum locum non satis recte intellexisse videtur, quem jam Scholl. recte explicaverant et Hoelzlinus bene interpretatus erat. Sensus est: nescio, utrum Medeam fugae consilium cepisse dicam Iasonis amore commotam, an patris metu.

12. *τρέσεν* Flor. — *βαθείης τάρφεσιν ἐν ξυλόχοισι* codd. et edd. veteres omnes, nisi quod *βαθείης* habent Vatt. A. B. C. D. Ex illa lectione *ταρφέσιν* scribendum foret, ut esset adjectivum, et revera Schol. Paris. interpretatur *τοῖς πυκνοῖς*, Schol. Flor. vero *πυκνώμασιν*. Sed duo illa adjectiva jure jam displicuerunt Stephano, qui ex emendatione reponi jussit *βαθείης — ξυλόχοιο*. Hanc emendationem tacite recepit Hoelzlinus, tacite receperunt Brunck. et Beck., ut ex eorum editionibus quisque hanc vulgatam librorum lectionem esse credere debeat. Sed quamquam mera est Stephani conjectura, eam recipere non dubitavi collatis locis Homericis Il. V, 555 *βαθείης τάρφεσιν ὕλης*. XV, 606 *βαθέης ἐν τάρφεσιν ὕλης*. XI, 415 et XXI, 573 *βαθείης ἐκ ξυλόχοιο*.

14. *οἴσατο* vulg. *ὀΐσσατο* Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. quatuor, Brunckius, Beckius.

ληθέμεν, αἶψα δὲ πᾶσαν ἀναπλήσειν κακότητα.
τάρβει δ' ἀμφιπόλους ἐπιΐστορας· ἐν δέ οἱ ὄσσε
πλῆτο πυρὸς, δεινὸν δὲ περιβρομέεσκον ἀκουαί.
πυκνὰ δὲ λαυκανίης ἐπεμάσσατο, πυκνὰ δὲ κουρὶξ
ἑλκομένη πλοκάμους γοερῇ βρυχήσατ' ἀνίῃ.
καί νύ κεν αὐτοῦ τῆμος ὑπέρμορον ὤλετο κούρη
φάρμακα πασσαμένη, Ἥρης δ' ἀλίωσε μενοινὰς,
εἰ μή μιν Φρίξοιο θεὰ σὺν παισὶ φέβεσθαι
ὦρσεν ἀτυζομένην· πτερόεις δέ οἱ ἐν φρεσὶ θυμὸς
ἰάνθη· μετὰ δ' ἥγε παλίσσυτος ἀθρόα κόλπων
φάρμακα πάντ' ἄμυδις κατεχεύατο φωριαμοῖο.
κύσσε δ' ἑόν τε λέχος καὶ δικλίδας ἀμφοτέρωθεν
σταθμοὺς, καὶ τοίχων ἐπαφήσατο χερσί τε μακρὸν
ῥηξαμένη πλόκαμον θαλάμῳ μνημήϊα μητρὶ
κάλλιπε παρθενίης, ἀδινῇ δ' ὀλοφύρατο φωνῇ.
„Τόνδε τοὶ ἀντ' ἐμέθεν ταναὸν πλόκον εἶμι λιποῦσα
„μῆτερ ἐμὴ, χαίροις δὲ καὶ ἄνδιχα πολλὸν ἰούσῃ·
„χαίροις Χαλκιόπη καὶ πᾶς δόμος. αἴθε σε πόντος,
„ξεῖνε, διέῤῥαισεν, πρὶν Κολχίδα γαῖαν ἱκέσθαι."
Ὣς ἄρ' ἔφη· βλεφάρων δὲ κατ' ἀθρόα δάκρυα χεῦεν.
οἵη δ' ἀφνειοῖο διειλυσθεῖσα δόμοιο
ληϊὰς, ἥντε νέον πάτρης ἀπενόσφισεν αἶσα,
οὐδέ νύ πω μογεροῖο πεπείρηται καμάτοιο,
ἀλλ' ἔτ' ἀηθέσσουσα δύης καὶ δούλια ἔργα
εἶσιν ἀτυζομένη χαλεπὰς ὑπὸ χεῖρας ἀνάσσης·

17. *πλῆντο* vulg. *πλῆσε* Vrat. Vind. *πλῆτο* Vatt. A. D. Med. Guelph. Regg. B. E. marg. Vrat., quod cum Beckio recepi, ut Hom. Il. XII, 466 *πυρὶ δ' ὄσσε δεδήει.* XXIII, 477 *κεφαλῆς ἐκ δέρκεται ὄσσε.* Od. VI, 131 *ἐν δέ οἱ ὄσσε δαίεται.* Apollon. IV, 1437 *ὄσσε δέ οἱ βλοσυρῷ ὑπέλαμπε μετώπῳ.* 1543 *ἐν δέ οἱ ὄσσε — Λάμπεται.*

18. *λευκανίης* Regg. tres. — *ἐπεμάσσετο* vulg. *ἐπεμάσσατο* Vrat. Vind., quod recte receperunt Brunck. Beck.

20. *ὑπὲρ μόρον* Vatt. A. B. C. D. Regg. A. E. Vrat., quod receperunt Brunck. Beck. minus bene, v. Heyn. ad Il. T. IV p. 224.

22. *θεὰς* Med. a manu prima.

23. De *πτερόεντι θυμῷ* v. Wernick. ad Tryphiod. v. 373.

24. *κόλπον* vulg. sine sensu. *κόλπων* Vatt. A. B. C. D. Regg. quatuor, Guelph. Vrat. Vind. Brunck. Beck.

26. *κῦσε* vulg., quod correxit Brunckius.

28. *θαλάμων* Reg. A. a m. 1.

29. *αἰνῇ* Regg. A. E.

32. *χαῖρε* Guelph.

33. *διέῤῥασεν* Med. a m. 1. *διέῤῥαισε* Regg. A. D. E. Guelph. Brunck. Beck. male. — *Κολχηΐδα* Vrat. *χαλκήϊδα* Vind.

36. *νέην* ed. Basil., unde Hoelzlin. et Shaw.

37. *οὐδὲν ὑπὼ* Vind. *οὐδὲν ὑπαὶ* Reg. A.

38. *ἔτλ'* pro *ἔτ'* Vatt. A. B. C. D. ex sequente A. — *ἀηθέουσα* Schol. Paris.

τοίη ἄρ' ἱμερόεσσα δόμων ἐξέσσυτο κούρη.
τῇ δὲ καὶ αὐτόματοι θυρέων ὑπόειξαν ὀχῆες,
ὠκείαις ἄψοῤῥοι ἀναθρώσκοντες ἀοιδαῖς.
γυμνοῖσιν δὲ πόδεσσιν ἀνὰ στεινὰς θέεν οἴμους,
λαιῇ μὲν χερὶ πέπλον ἐπ' ὀφρύσιν ἀμφὶ μέτωπα
στειλαμένη καὶ καλὰ παρήϊα, δεξιτερῇ δὲ
ἄκρην ὑψόθι πέζαν ἀερτάζουσα χιτῶνος.
καρπαλίμως δ' ἀΐδηλον ἀνὰ στίβον ἔκτοθι πύργων
ἄστεος εὐρυχόροιο φόβῳ ἵκετ'· οὐδέ τις ἔγνω
τήνδε φυλακτήρων, λάθε δὲ σφέας ὁρμηθεῖσα.
ἔνθεν ἴμεν νηόνδε μάλ' ἐφράσατ'· οὐ γὰρ ἄϊδρις
ἦεν ὁδῶν, θαμὰ καὶ πρὶν ἀλωμένη ἀμφί τε νεκροὺς
ἀμφί τε δυσπαλέας ῥίζας χθονός, οἷα γυναῖκες
φαρμακίδες· τρομερῷ δ' ὑπὸ δείματι πάλλετο θυμός.
τὴν δὲ νέον Τιτηνὶς ἀνερχομένη περάτηθεν
φοιταλέην ἐσιδοῦσα θεὰ ἐπεχήρατο Μήνη
ἁρπαλέως, καὶ τοῖα μετὰ φρεσὶν ᾗσιν ἔειπεν.
„Οὐκ ἄρ' ἐγὼ μούνη μετὰ Λάτμιον ἄντρον ἀλύσκω,
„οὐδ' οἴη καλῷ περιδαίομαι Ἐνδυμίωνι·
„ἦ θαμὰ δὴ καὶ σεῖο κίον δολίαισιν ἀοιδαῖς

40. διεξέσσυτο Guelph.

41. ὑπόειξεν Med. a m. 1. — Imitari videtur Nonn. Dionys. VII, 316 αὐτόματοι πυλεῶνα ἀνωΐχθησαν ὀχῆες. Similes locos complures habet Wernick. ad Tryphiod. v. 339, quibus addi potest Callim. H. in Apoll. v. 6 αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων.

42. ὀξείαις emendandum proponit Spitzn. de vers. her. p. 99, sed ut ὀξύς et ὠκύς saepe a librariis confundi constat, ita etiam alterum saepe alterius significatione poni certum est, ita ut a mutatione abstinendum videatur, cf. Wernick. ad Tryphiod. v. 192. — ἀοιδῆς Med. a m. 1. Vrat. Vind.

43. γυμνοῖσι Vatt. A. D. Regg. A. B. E. Brunck. Beck. male.

44. χειρὶ Med. Vrat. Vind.

50. ἔνθ' ἐνὶ μὲν νηόνδε vulg. male distinctis vocibus, quae quomodo jungendae sint vidit jam Hartungus; nihilominus falsa lectio occupat edd. Steph. Hoelzlin. Shaw. Aliter correctum est in Regiis codd., ut sunt isti libri ejusmodi correctionibus pleni, nam in Regg. A. C. D. E. et marg. B. scriptum est ἔνθ' ἄρα νηὸν μὲν μάλ' ἐφράσσατο e scioli emendatione, ut ipse h. l. vidit Brunckius. ἐφράσσατο habet etiam Guelph. — ἄϊδρος Vind.

52. δυσπαλέας ῥίζας hinc laudat Etymol. M. p. 292, 32. δυσπαλαίας Schol. Paris.

54. ἀπερχομένη Vat. A.

57. μετὰ Λάτμιον Brunck. lectore non monito et citra necessitatem. — οὖρον pro ἄντρον Guelph.

59. σῇς Regg. A. E., unde σῇσι sine causa dedit Brunck. — κύον vulg. κύων Regg. A. E. Falsum esse κύον perspicuum est, et mirum editores in eo non offendisse, quum neque causa intelligi possit, cur tam inhonesta voce Medeam Luna compellet, et verbum finitum desideretur, quod in nullo alio vocabulo, nisi in odioso illo κύον latere potest. In exemplo editionis Florentinae, quo usus est Ruhnkenius (Ep. crit. p. 310), vir aliquis doctus margini adscripsit

„μνησαμένη φιλότητος, ἵνα σκοτίῃ ἐνὶ νυκτὶ
„φαρμάσσῃς εὔκηλος, ἅ τοι φίλα ἔργα τέτυκται.
„νῦν δὲ καὶ αὐτὴ δῆθεν ὁμοίης ἔμμορες ἄτης·
„δῶκε δ᾽ ἀνιηρόν τοι Ἰήσονα πῆμα γενέσθαι
„δαίμων ἀλγινόεις. ἀλλ᾽ ἔρχεο, τέτλαθι δ᾽ ἔμπης,
„καὶ πινυτή περ ἐοῦσα, πολύστονον ἄλγος ἀείρειν."
῝Ως ἄρ᾽ ἔφη· τὴν δ᾽ αἶψα πόδες φέρον ἐγκονέουσαν.
ἀσπασίως δ᾽ ὄχθῃσιν ἐπηέρθη ποταμοῖο,
ἀντιπέρην λεύσσουσα πυρὸς σέλας, ὅ ῥά τ᾽ ἀέθλου
παννύχιοι ἥρωες ἐϋφροσύνῃσιν ἔδαιον.
ὀξείῃ δ᾽ ἤπειτα διὰ κνέφας ὄρθια φωνῇ
ὁπλότατον Φρίξοιο περαιόθεν ἤπυε παίδων,
Φρόντιν· ὁ δὲ ξὺν ἑοῖσι κασιγνήτοις ὄπα κούρης
αὐτῷ τ᾽ Αἰσονίδῃ τεκμαίρετο· σῖγα δ᾽ ἑταῖροι
θάμβεον, εὖτ᾽ ἐνόησαν ὃ δὴ καὶ ἐτήτυμον ἦεν.
τρὶς μὲν ἀνήϋσεν, τρὶς δ᾽ ὀτρύνοντος ὁμίλου
Φρόντις ἀμοιβήδην ἀντίαχεν· οἱ δ᾽ ἄρα τείως
ἥρωες μετὰ τήν γε θοοῖς ἐλάασκον ἐρετμοῖς.
οὔπω πείσματα νηὸς ἐπ᾽ ἠπείροιο περαίης
βάλλον, ὁ δὲ κραιπνοὺς χέρσῳ πόδας ἧκεν Ἰήσων
ὑψοῦ ἀπ᾽ ἰκριόφιν· μετὰ δὲ Φρόντις τε καὶ Ἄργος,
υἷε δύω Φρίξου, χαμάδις θόρον· ἡ δ᾽ ἄρα τούς γε

codicis veteris lectionem *κίον*, qua nihil potest esse verius, ideoque eam cum Beckio recepi. Ceterum antiquam mendam esse ex Scholl. intelligitur, qui lectionem *κύον* agnoscunt. — *δολίῃσιν* ex Vrat. Vind. receperunt Brunck. Beck. sine causa.

63. *ἀνιηρὸν* quum Scholl. interpretentur *τὸν ἀθεράπευτον*, videntur adjectivum ad Iasonem retulisse, et fortasse aliud etiam vocabulum legisse ut *ἀνίατον*, quod saepius per *ἀθεράπευτος* explicatur. — *τι* pro *τοι* Vatt. A. D.

64. *ἔργεο* Vrat. Vind., sed in illo vulg. margini adscripta. *οἴχεο* scribi jubet Piers. Veris. p. 55 sine causa.

65. *πολύπονον* Vrat. Vind., sed in illo vulg. margini adscripta.

68. *ἀντιπέρη* Guelph. — *λεύσουσα* Vrat. *λεύσουσαν* Vatt. A. D. Med. — *ὅῤῥα* vulg. ut semper. Correxit Brunckius.

69. *πανύχιοι* Flor. Ald. — *ἐϋφρεσύνῃσιν* Med.

70. De usu vocabuli *ὄρθια* v. Ruhnk. ad H. in Cer. v. 20.

72. *οὐδὲ* pro *ὁ δὲ* Guelph.

73. *τεκμήρατο* ex conjectura dedit Brunck. sine causa. Eodem jure reliqua omnia imperfecta h. l. in aoristos mutare poterat.

74. *ἦεν* Med. Guelph. Vrat.

75. *ἀνήϋσεν* pro vulg. *ἀνήϋσε* dedi ex Med. Vrat. *ἀνύησεν* Reg. A.

76. *ἤδ᾽ ἄρα* Vind.

77. *τήνδε* Regg. quatuor. — *ἐλάεσκον* vulg. *ἐλάασκον* Vatt. A. C. Med. Guelph. Regg. quinque, Vrat. Vind. Brunck. Beck.

80. *ἐπ᾽ ἰκριόφιν* vulg. contra sensum. *ἀπ᾽ ἰκριόφιν* recte Guelph. marg. Reg. B. Brunck. Beck. *ἐπὶ κριόφιν* Flor. Brub. Basil.

81. Versus deest in Med., sed additus eadem antiqua manu. — *δύο* Flor. — *χαμαδὴς* Guelph.

γούνων ἀμφοτέρῃσι περισχομένη προσέειπεν.
„Ἔκ με, φίλοι, ῥύσασθε δυσάμμορον, ὣς δὲ καὶ αὐτοὺς
„ὑμέας Αἰήταο, πρὸ γάρ τ' ἀναφανδὰ τέτυκται
„πάντα μάλ', οὐδέ τι μῆχος ἱκάνεται. ἀλλ' ἐπὶ νηΐ
„φεύγωμεν, πρὶν τόνδε θοῶν ἐπιβήμεναι ἵππων.
„δώσω δὲ χρύσειον ἐγὼ δέρος, εὐνήσασα
„φρουρὸν ὄφιν· τύνη δὲ θεοὺς ἐνὶ σοῖσιν ἑταίροις,
„ξεῖνε, τεῶν μύθων ἐπιΐστορας, οὕς μοι ὑπέστης,
„ποίησαι· μηδ' ἔνθεν ἑκαστέρω ὁρμηθεῖσαν
„χήτει κηδεμόνων ὀνοτὴν καὶ ἀεικέα θείης.“
Ἴσκεν ἀκηχεμένη· μέγα δὲ φρένες Αἰσονίδαο
γήθεον· αἶψα δέ μιν περὶ γούνασι πεπτηυῖαν
ἦκ' ἀναειρόμενος προσπτύξατο θάρσυνέν τε·
„Δαιμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω
„Ἥρη τε Ζυγίη, Διὸς εὐνέτις, ἦ μὲν ἐμοῖσιν
„κουριδίην σὲ δόμοισιν ἐνιστήσεσθαι ἄκοιτιν,
„εὖτ' ἂν ἐς Ἑλλάδα γαῖαν ἱκώμεθα νοστήσαντες.“
Ὣς ηὔδα καὶ χεῖρα παρασχεδὸν ἤραρε χειρὶ
δεξιτερήν· ἡ δέ σφιν ἐς ἱερὸν ἄλσος ἀνώγει
νῆα θοὴν ἐλάαν αὐτοσχεδὸν, ὄφρ' ἔτι νύκτωρ
κῶας ἑλόντες ἄγοιντο παρὲκ νόον Αἰήταο.
ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισιν.
εἰς γάρ μιν βήσαντες ἀπὸ χθονὸς αὐτίκ' ἔωσαν
νῆα· πολὺς δ' ὀρυμαγδὸς ἐπειγομένων ἐλάτῃσιν

82. *γοῦνα* Guelph.
84. *ἡμέας* Vind. — *ἀναφαντὰ* Vrat.
85. *ἐνὶ νηΐ* Brunck. sine libris et lectore non monito, probante tamen Beckio, male. Quasi *ἐπὶ νηΐ φεύγειν* non recte dici possit, ad quod probandum ne exemplis quidem opus est.
86. *τῶνδε* Vrat. Vind. *τόν γε* Brunckius sine libris et sine causa. — *ἐπιβλήμεναι* Vind.
87. *εὐνήσασθαι* Guelph.
88. *ἐπὶ σοῖσιν* vulg. contra sensum. *ἐνὶ σοῖσιν* Vatt. A. D. Med. Guelph. Regg. quinque, Vrat. Vind. Ald. Paris. Brub. Basil. Brunck. Beck.
90. *ἑκατέρω* Guelph. Vrat. Vind.
91. *χήτεϊ* Brunck. Beck. male.
92. *ἀκαχαμένη* Guelph.
94. *προσπτήξατο* Vrat. — *θάρσυνέ τε* Guelph. *φώνησέν τε* Reg. D.
96. *ἐμοῖσι* Vrat.
97. *δόμοισι* Vrat. — *ἐνιστήσασθαι* vulg. *ἐνιστήσεσθαι*, quod conjecerat jam Stephanus, Vatt. C. D. Regg. quinque, Med. Vrat. Vind., quod sensu jubente recepi. Sed Piers. Veris. p. 213, quoniam *uxorem ducere* non sit *στήσασθαι* sed *θέσθαι ἄκοιτιν*, emendandum judicat *ἔνι θήσεσθαι*, quod receperunt Brunck. Beck. Sed id neque metricae rationes admittunt, neque sensus flagitat, non enim hoc dicit Iason, se eam domi in matrimonium ducturum, sed se eam, tanquam uxorem, in domo sua collocaturum esse, ut similiter mox v. 194.
99. *παρὰ σχεδὸν* Vat. A.
104. *ἔβησαν* Reg. A.
105. *ὀρυγμαδὸς* Vrat.

ἤεν ἀριστήων· ἡ δ' ἔμπαλιν ἀΐσσουσα
γαίῃ χεῖρας ἔτεινεν ἀμήχανος. αὐτὰρ Ἰήσων
θάρσυνέν τ' ἐπέεσσι, καὶ ἴσχανεν ἀσχαλόωσαν.
Ἦμος δ' ἀνέρες ὕπνον ἀπ' ὀφθαλμῶν ἐβάλοντο
ἀγρόται, οἵτε κύνεσσι πεποιθότες οὔ ποτε νύκτα
ἄγχαυρον κνώσσουσιν, ἀλευάμενοι φάος ἠοῦς,
μὴ πρὶν ἀμαλδύνῃ θηρῶν στίβον ἠδὲ καὶ ὀδμὴν
θηρείην λευκῇσιν ἐνισκίμψασα βολῇσιν·
τῆμος ἄρ' Αἰσονίδης κούρη τ' ἀπὸ νηὸς ἔβησαν
ποιήεντ' ἀνὰ χῶρον, ἵνα κριοῦ καλέονται
εὐναί, ὅθι πρῶτον κεκμηότα γούνατ' ἔκαμψεν,
νώτοισιν φορέων Μινυήϊον υἷ' Ἀθάμαντος.
ἐγγύθι δ' αἰθαλόεντα πέλεν βωμοῖο θέμεθλα,
ὅν ῥά ποτ' Αἰολίδης Διῒ Φυξίῳ εἵσατο Φρίξος,
ῥέζων κεῖνο τέρας παγχρύσεον, ὥς οἱ ἔειπεν
Ἑρμείας πρόφρων ξυμβλήμενος. ἔνθ' ἄρα τούς γε
Ἄργου φραδμοσύνῃσιν ἀριστῆες μεθέηκαν.
τὼ δὲ δι' ἀτραπιτοῖο μεθ' ἱερὸν ἄλσος ἵκοντο,
φηγὸν ἀπειρεσίην διζημένω, ᾗ ἔπι κῶας
βέβλητο νεφέλῃ ἐναλίγκιον, ἥτ' ἀνιόντος
ἠελίου φλογερῇσιν ἐρεύθεται ἀκτίνεσσιν.
αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνετο δειρὴν
ὀξὺς ἀΰπνοισι προϊδὼν ὄφις ὀφθαλμοῖσιν
νισσομένους, ῥοίζει δὲ πελώριον· ἀμφὶ δὲ μακραὶ
ἠϊόνες ποταμοῖο καὶ ἄσπετον ἴαχεν ἄλσος.

108. τε ἔπεσσι Med. Reg. A.
109. ἐβάλλοντο Guelph. — Hunc cum duobus proximis versibus, Apollonii nomine non addito laudat Etymol. M. p. 14, 39 nulla lectionis diversitate.
110. ὅν τε Reg. A.
111. ἀλευόμενοι Brunck. sine libris, male.
112. ἀμαλδύνει Med. a m. 1.
113. ἐνισκίψασα Vatt. A. D. Med. — βολῇσιν Med. Vrat.
115. καλέωνται Guelph.
116. κέκμηκότα Regg. tres, Vrat. Vind.
117. νώτοισι Med. Reg. E. Vrat. Vind. Brunck. Beck. male. — Μινύϊον vulg. contra metrum. Μινυήϊον, quod ex conjectura reposuerat Hoelzlin., praebent Regg. quinque.
118. περὶ νηοῖο θέμεθλα Flor., mira varietas, quae in nullo codice comparet. — πέλε Brunck.
119. δείματο pro εἵσατο Regg. A. E. ex glossemate.
120. δέρας Guelph. Hoerstel.
121. Ἑρμήεις Reg. D. Ἑρμείης Brunck. Beck. vid. ad II, 1145.
126. φλογεροῖσιν vulg. φλογερῇσιν Guelph. Regg. A. B. E. Vrat. Vind. Brunck. Beck.
127. γ' post ὅ male inseruerunt Brunck. Beck. v. ad III, 1317. — τείνατο ex uno Reg. D. male Brunck. Beck. Sequuntur imperfecta.
129. νεισσομένους vulg. νεισομένους Med. Guelph. Reg. A. νισσομένους Vrat. Vind. Reg. D. Steph. Brunck. Beck.

ἔκλυον οἳ καὶ πολλὸν ἑκὰς Τιτηνίδος Αἴης
Κολχίδα γῆν ἐνέμοντο παρὰ προχοῇσι Λύκοιο,
ὅστ' ἀποκιδνάμενος ποταμοῦ κελάδοντος Ἀράξεω
Φάσιδι συμφέρεται ἱερὸν ῥόον· οἱ δὲ συνάμφω
Καυκασίην ἅλαδ' εἰς ἓν ἐλαυνόμενοι προχέουσιν.
δείματι δ' ἐξέγροντο λεχωΐδες, ἀμφὶ δὲ παισὶν
νηπιάχοις, οἵτε σφιν ὑπ' ἀγκαλίδεσσιν ἴαυον,
ῥοίζῳ παλλομένοις χεῖρας βάλον ἀσχαλόωσαι.
ὡς δ' ὅτε τυφομένης ὕλης ὕπερ αἰθαλόεσσαι
καπνοῖο στροφάλιγγες ἀπείριτοι εἱλίσσονται,
ἄλλη δ' αἶψ' ἑτέρη ἐπιτέλλεται αἰὲν ἐπιπρὸ
νειόθεν εἰλίγγοισιν ἐπήορος ἐξανιοῦσα·
ὣς τότε κεῖνο πέλωρον ἀπειρεσίας ἐλέλιξεν
ῥυμβόνας ἀζαλέῃσιν ἐπηρεφέας φολίδεσσιν.
τοῖο δ' ἑλισσομένοιο κατόμματον εἴσατο κούρη,
ὕπνον ἀοσσητῆρα, θεῶν ὕπατον, καλέουσα
ἡδείῃ ἐνοπῇ, θέλξαι τέρας· αὖε δ' ἄνασσαν
νυκτιπόλον, χθονίην, εὐαντέα δοῦναι ἐφορμήν.
εἵπετο δ' Αἰσονίδης πεφοβημένος, αὐτὰρ ὅ γ' ἤδη
οἴμῃ θελγόμενος δολιχὴν ἀνελύετ' ἄκανθαν

134. *σὺν ἄμφω* vulg. junctim Vrat. Brunck. Beck.

137. *σφισιν* Med. a m. 1.

138. *ῥοίβῳ* Guelph. — *βάλλον* Vrat. Vind. Flor. Ald.

140. *ἑλίσσονται* Guelph.

141. *δ'* deest in ed. Brunck., vitio typoth. ut videtur.

142. *εἰλιγμοῖσιν* vel *εἰλίγγῃσιν* legendum judicat Piers. ad Moer. p. 196. Malim *ἰλίγγοισιν*, quod paene in textu dedissem; *ει* quam saepe librarii pro *ῑ*, praesertim longo, scripserint notum est.

143. *τότε κεῖνο* Vrat. Vind. Reg. A., quod vulgato *τότ' ἐκεῖνο* praetuli, quia et apud Homerum *κεῖνος* est forma frequentior, et apud Apollonium *ἐκεῖνος* praeter hunc locum nusquam legitur. — *ἐλέλιξε* Shaw. fortasse vitio typ., quod tamen lectore non monito recepit Brunckius, qui supra imperfecta in aoristos mutavit, et secutus est Beck. Codices omnes, praeter Vatt. B. D., habent vulgatam lectionem.

144. *ἀζαλέοισιν* Reg. D. — *βολίδεσσιν* Etymol. M. p. 706, 21, ubi hic versus laudatur.

145. *κατ' ὄμματος* Regg. A. C. D. E., quod receperunt Brunck. Beck. Sed ea lectio quum propter libros suspecta sit, e quibus fluxit, tum aliis de causis ferri nequit. Nam qui dixerit *κατ' ὄμματος ἐλθεῖν in conspectum venire*, scio neminem, deinde sensus pluralem certe *ὀμμάτων* postulat, postremo Apollonius non minus quam Homerus singularem vocabuli *ὄμμα* nusquam usurpat. Quod vero in reliquis libris omnibus legitur *κατόμματον*, quamquam hoc adverbium alibi non legitur, non est quod propterea deleamus, quum sit ex analogia linguae factum et idem fere quod *ἐναντίον* significans loci sensui aptissimum sit. Itaque accedat lexicis. — *εἴσετο* Vatt. A. C. Med. Vrat. Vind.

146. *θεὸν* Reg. A.

150. *ἀναλύετ'* vulg. *ἀνελύετ'* Vatt. A. D. Med. Guelph. Regg. quatuor, Vrat. Vind. Brunck. Beck.

γηγενέος σπείρης μήκυνε δὲ μυρία κύκλα,
οἷον ὅτε βληχροῖσι κυλινδόμενον πελάγεσσιν
κῦμα μέλαν κωφόν τε καὶ ἄβρομον· ἀλλὰ καὶ ἔμπης
ὑψοῦ σμερδαλέην κεφαλὴν μενέαινεν ἀείρας
ἀμφοτέρους ὀλοῇσι περιπτύξαι γενύεσσιν.
ἡ δέ μιν ἀρκεύθοιο νέον τετμηότι θαλλῷ
βάπτουσ' ἐκ κυκεῶνος ἀκήρατα φάρμακ' ἀοιδαῖς
ῥαῖνε κατ' ὀφθαλμῶν· περί τ' ἀμφί τε νήριτος ὀδμὴ
φαρμάκου ὕπνον ἔβαλλε· γένυν δ' αὐτῇ ἐνὶ χώρῃ
θῆκεν ἐρεισάμενος· τὰ δ' ἀπείρονα πολλὸν ὀπίσσω
κύκλα πολυπρέμνοιο διὲξ ὕλης τετάνυστο.
ἔνθα δ' ὁ μὲν χρύσειον ἀπὸ δρυὸς αἴνυτο κῶας
κούρης κεκλομένης· ἡ δ' ἔμπεδον ἑστηυῖα
φαρμάκῳ ἔψηχεν θηρὸς κάρη, εἰσόκε δή μιν
αὐτὸς ἑὴν ἐπὶ νῆα παλιντροπάασθαι Ἰήσων
ἤνωγεν, λεῖπεν δὲ πολύσκιον ἄλσος Ἄρηος.
ὡς δὲ σεληναίην διχομήνιδα παρθένος αἴγλην
ὑψόθεν ἐξανέχουσαν ὑπωρόφιον θαλάμοιο
λεπταλέῳ ἑανῷ ὑποΐσχεται· ἐν δέ οἱ ἦτορ
χαίρει δερκομένης καλὸν σέλας· ὣς τότ' Ἰήσων
γηθόσυνος μέγα κῶας ἑαῖς ἐναείρατο χερσίν·
καί οἱ ἐπὶ ξανθῇσι παρηΐσιν ἠδὲ μετώπῳ

151. λῃγενέος Vind.

152. κυλινδόμενος Med. Vrat. Vind., sed in Vrat. suprascr. ν.

156. νόον Guelph.

157. ἐς κυκεῶνος inepte conjicit Hoelzlin. — ἀοιδῇ Regg. A. E.

160. ἐρυσάμενος Vat. A.

163. ἑστηκυῖα vulg. ἑστηυῖα Vatt. A. D. Med. Guelph. Vrat. Vind. Regg. quatuor, Brunck. Beck.

164. ἔψηχε Guelph. Regg. C. D. Brunck. Beck. male.

166. ἤνωγε Regg. A. E. Brunck. Beck. male. — λίπεν Med. Guelph. Vrat. Vind.

167. σελήνην Reg. A.

168. ἀνέχουσαν Vat. D. Med. Vrat. Vind. Flor. — ὑπωρόφιος Regg. quinque, quod admodum friget, receperunt tamen Brunck. Beck.

169. ἑῶα pro ἑανῷ Guelph.

170. δερκομένης Vat. C. a m. 2. Med. a m. 2. Guelph., quod vulgato δερκομένῃ recte praetulerunt Brunck. Beck., hoc librariis debetur constructionem correcturis. Apte Brunck. confert III, 1010 ἐχύθη δέ οἱ ἔνδοθι θυμὸς αἴνῳ ἀειρομένης. cf. Schaefer. ad Lambert. B. p. 51.

171. ἀναείρετο Guelph. (ἀναείρατο teste Brunck.)

172. παρῇασιν vulg., quod non graecum est. παρειάσιν Regg. A. B. C. E. Brunck., sed haec forma inaudita quum non in melioribus libris legatur, sed in Regiis, quos correctoris manum expertos esse scimus, omnino rejicienda est. Praeterea παρηΐσιν conjecit Brunck., quod recepit Beck., et quum παρηϊάσι habeat Vrat., παρηΐασιν Vat. D. et Vind., παρηΐσιν et ipse dare non dubitavi, praesertim cum haec vocabuli forma hujus aetatis poetis maxime in usu sit ut Apollon. I, 791. II, 59. III, 831. 963. 1064. IV, 1066. Quint. Smyrn. IX, 372. Oppian. Cyneg. III, 214. Etiam supra

μαρμαρυγῇ ληνέων φλογὶ εἴκελον ἶζεν ἔρευθος.
ὅσση δὲ ῥινὸς βοὸς ἤνιος ἠ ἐλάφοιο
γίγνεται, ἥντ' ἀγρῶσται ἀχαιϊνέην καλέουσιν,
τόσσον ἔην πάντη χρύσεον ἐφύπερθεν ἄωτον.
βεβρίθει λήνεσσιν ἐπηρεφές· ἤλιθα δὲ χθὼν
αἰὲν ὑπὸ πρὸ ποδῶν ἀμαρύσσετο νισσομένοιο.
ἤϊε δ' ἄλλοτε μὲν λαιῷ ἐπιειμένος ὤμῳ
αὐχένος ἐξ ὑπάτοιο ποδηνεκὲς, ἄλλοτε δ' αὖτε
εἴλει ἀφασσόμενος· πέρι γὰρ δίεν, ὄφρα ἑ μή τις
ἀνδρῶν ἠὲ θεῶν νοσφίσσεται ἀντιβολήσας.
Ἠὼς μέν ῥ' ἐπὶ γαῖαν ἐκίδνατο, τοὶ δ' ἐς ὅμιλον
ἶξον· θάμβησαν δὲ νέοι μέγα κῶας ἰδόντες
λαμπόμενον στεροπῇ ἴκελον Διός. ὦρτο δ' ἕκαστος
ψαῦσαι ἐελδόμενος δέχθαι τ' ἐνὶ χερσὶν ἑῇσιν.
Αἰσονίδης δ' ἄλλους μὲν ἐρήτυε, τῷ δ' ἔπι φᾶρος
κάββαλε νηγάτεον· πρύμνῃ δ' ἐνεείσατο κούρην
ἀνθέμενος, καὶ τοῖον ἔπος μετὰ πᾶσιν ἔειπεν.
„Μηκέτι νῦν χάζεσθε, φίλοι, πάτρηνδε νέεσθαι.

III, 831 *παρηϊάδας* pro *παρηΐδας* legitur in Med.

173. *μαρμαρυγὴ* Guelph. — *γληναίων* Guelph. *ληναίων* Vrat. Vind. Flor. (qui error est frequens, v. Toup. Emend. in Suid. III p. 225), hinc prima syllaba absorpta *ναίων* Brub. Basil. *ληνέων* non placet Beckio, nescio qua de causa. — *ἴκελον* Guelph. Vrat. Vind. Flor. Brub. Basil. ut semper. — *ἕζεν* Reg. A.

174. *ὅσσος* Vatt. B. C. Regg. A. E. Guelph. ed. Paris. Steph. Shaw. — *ἤνυος* Vatt. A. C.

175. *γίνεται* Med. Vrat. Vind. et ut videtur Regg. — *ἀγρῶται* Vat. C. Med. Vrat. Flor. Ald. Brub. Basil.

177. *λήναισιν* Flor. Ald. Brub. Basil.

178. *νεισομένοιο* vulg. *νεισσομένοιο* Guelph. *νισσομένοιο* Reg. D. Vrat. Vind. Brunck. Beck.

181. *εἰλιὰ φρασσόμενος* Vat. C.

182. *ἠδὲ* vulg. *ἠὲ* Reg. D. Brunck. Beck., quod sensus postulat. — *νοσφίσεται* Guelph. *νοσφίζεται* Schol. Paris.

183. *μὲν* deest in Guelph.

184. *ἐθάμβησαν* Brunck. sine libris et sine causa, nec monito lectore.

187. *ἄλλους μὲν* difficultatem movet, quia non statim perspicuum est, quis reliquis opponatur, nam *reliquos praeter sese*, ut explicat Hoelzlin., ineptum est. Quare Rutgers. var. lect. I p. 11 v. 185 emendavit *δ' Ἄκαστος*, ut ad hunc *τῷ δὲ* referatur et *φᾶρος νηγάτεον* de vellere dictum sit, quod et ipsum ferri nequit. Arnald. Lect. gr. p. 242 s. *ἄλλους* in *αὐτοὺς* mutavit, quam emendationem receperunt Brunck. et Beck., sensui sane accommodatam sed non necessariam. Nam quae desideratur oppositio inest in verbis *πρύμνῃ δ' ἐνεείσατο κ. ἀ.*, quae vulgo male intelliguntur. Sensus est: ***reliquos quidem prohibuit, velleri autem pallium injecit, idque in puppi collocavit et virginem tanquam custodem apposuit,*** ita ut reliquis opponatur Medea; nam *ἄλλους* pro *τοὺς ἄλλους* positum est, v. ad I, 910.

188. *κάββαλλεν* Vind. — *ἀνεείσατο* vulg. *ἐν κείσατο* Reg. A. *ἐγκείσατο* Reg. E. *ἐνεείσατο* Vatt. C. D. Med. Guelph. Vrat. Vind. Regg. B. C. D. Brunck. Beck.

190. *χάζεσθαι* Vind. *φράζεσθε* var. lect. ap. Scholl.

„ἤδη γὰρ χρειώ, τῆς εἵνεκα τήνδ' ἀλεγεινὴν
„ναυτιλίην ἔτλημεν ὀϊζύϊ μοχθίζοντες,
„εὐπαλέως κούρης ὑπὸ δήνεσι κεκράανται.
„τὴν μὲν ἐγὼν ἐθέλουσαν ἀνάξομαι οἴκαδ' ἄκοιτιν
„κουριδίην· ἀτὰρ ὔμμες Ἀχαιΐδος οἷά τε πάσης
„αὐτῶν θ' ὑμείων ἐσθλὴν ἐπαρωγὸν ἐοῦσαν
„σώετε. δὴ γάρ που μάλ' οἴομαι εἶσιν ἐρύξων
„Αἰήτης ὁμάδῳ πόντονδ' ἴμεν ἐκ ποταμοῖο.
„ἀλλ' οἱ μὲν διὰ νηὸς ἀμοιβαδὶς ἀνέρος ἀνὴρ
„ἑζόμενος πηδοῖσιν ἐρέσσετε· τοὶ δὲ βοείας
„ἀσπίδας ἡμίσεες, δηΐων θοὸν ἔχμα βολάων,
„προσχόμενοι νόστῳ ἐπαμύνετε. νῦν ἐνὶ χερσὶν
„παῖδας ἐοὺς πάτρην τε φίλην γεραρούς τε τοκῆας
„ἴσχομεν· ἡμετέρῃ δ' ἐπερείδεται Ἑλλὰς ἐφορμῇ
„ἠὲ κατηφείην, ἢ καὶ μέγα κῦδος ἀρέσθαι."
Ὣς φάτο· δῦνε δὲ τεύχε' ἀρήϊα· τοὶ δ' ἰάχησαν
θεσπέσιον μεμαῶτες. ὁ δὲ ξίφος ἐκ κολεοῖο
σπασσάμενος πρυμναῖα νεὼς ἀπὸ πείσματ' ἔκοψεν.
ἄγχι δὲ παρθενικῆς κεκορυθμένος ἰθυντῆρι
Ἀγκαίῳ παρέβασκεν· ἐπείγετο δ' εἰρεσίῃ νηῦς
σπερχομένων ἄμοτον ποταμοῦ ἄφαρ ἐκτὸς ἐλάσσαι.
Ἤδη δ' Αἰήτῃ ὑπερήνορι πᾶσί τε Κόλχοις
Μηδείης περίπυστος ἔρως καὶ ἔργα τέτυκτο.
ἐς δ' ἀγορὴν ἀγέροντ' ἐνὶ τεύχεσιν· ὅσσα τε πόντου
κύματα χειμερίοιο κορύσσεται ἐξ ἀνέμοιο,
ἢ ὅσα φύλλα χαμᾶζε περικλαδέος πέσεν ὕλης

193. ὑποδήνεσι Vat. D.
195. Ἀχαιΐδες Med. a m. 1. Ἀχεΐδες Guelph.
196. ἐσθλὴν omittunt Vatt. A. B. C. D. Guelph., ex his Vat. C. et Guelph. initio versus addunt γαίης, ut dubitari non possit, quin versus ex priore recensione ita lectus sit: γαίης αὐτῶν θ' ὑμείων ἐπαρωγὸν ἐοῦσαν. Facile intelligitur meliora esse, quae postea dedit poeta.
199. ἄλλοι μὲν vulg. ἄλλη μὲν Regg. A. C. ἀλλ' οἱ μὲν Guelph. Reg. D., quod recte praetulerunt Brunck. Beck. — ἀμοιβηδὶς Reg. A.
200. ἐρέσσεται Med. a m. 1.
201. θοῶν Vind. — αἶχμα Vatt. A. D. Med.
202. δ' male omisit Brunck., cui frigide insertum videtur. — χερσὶν Med.
203. φίλοι commatibus inclusum Med. Vrat. Vind. Flor., quod deterius est vulgato.
204. δὲ ἐπερείδεται Vrat. Vind. — ἐφετμῇ Guelph.
205. Versus deest in Guelph.
206. δῦνέ τε ex conj. Brunck. Beck. sine causa.
208. σπασάμενος Vatt. A. D. Med. Guelph. Vrat. Vind. Flor. Ald. Brub. Basil. — ναὸς Guelph.
210. ναῦς Regg. A. E.
211. ἐλάσαι Vrat. Vind.
213. ἔργ' ἐτέτυκτο vulg. Vid. ad II, 1072.
214. οσα Vind.

φυλλοχόῳ ἐνὶ μηνί· τίς ἂν τάδε τεκμήραιτο;
ὧς οἱ ἀπειρέσιοι ποταμοῦ παρεμέτρεον ὄχθας,
κλαγγῇ μαιμώωντες· ὁ δ' εὐτύκτῳ ἐνὶ δίφρῳ
Αἰήτης ἵπποισι μετέπρεπεν, οὕς οἱ ὄπασσεν
Ἠέλιος, πνοιῇσιν ἐειδομένους ἀνέμοιο·
σκαιῇ μέν ῥ' ἐνὶ χειρὶ σάκος δινωτὸν ἀείρων,
τῇ δ' ἑτέρῃ πεύκην περιμήκεα· πὰρ δέ οἱ ἔγχος
ἀντικρὺ τετάνυστο πελώριον. ἡνία δ' ἵππων
γέντο χεροῖν Ἄψυρτος. ὑπεκπρὸ δὲ πόντον ἔταμνεν
νηῦς ἤδη κρατεροῖσιν ἐπειγομένη ἐρέτῃσιν
καὶ μεγάλου ποταμοῖο καταβλώσκοντι ῥεέθρῳ.
αὐτὰρ ἄναξ ἄτῃ πολυπήμονι χεῖρας ἀείρας
Ἠέλιον καὶ Ζῆνα, κακῶν ἐπιμάρτυρας ἔργων,
κέκλετο· δεινὰ δὲ παντὶ παρασχεδὸν ἤπυε λαῷ·
„Εἰ μή οἱ κούρην αὐτάγρετον ἢ ἀνὰ γαῖαν,
„ἢ πλωτῆς εὑρόντες ἔτ' εἰν ἁλὸς οἴδματι νῆα
„ἄξουσιν, καὶ θυμὸν ἐνιπλήσει μενεαίνων
„τίσασθαι, τάδε πάντα δαήσονται κεφαλῇσιν
„πάντα χόλον καὶ πᾶσαν ἐὴν ὑποδέγμενοι ἄτην."
Ὣς ἔφατ' Αἰήτης· αὐτῷ δ' ἐνὶ ἤματι Κόλχοι
νῆάς τ' εἰρύσσαντο καὶ ἄρμενα νηυσὶ βάλοντο,
αὐτῷ δ' ἤματι πόντον ἀνήϊον· οὐδέ κε φαίης
τόσσον νηΐτην στόλον ἔμμεναι, ἀλλ' οἰωνῶν
ἰλαδὸν ἄσπετον ἔθνος ἐπιβρομέειν πελάγεσσιν.
Οἱ δ' ἀνέμου λαιψηρὰ θεῆς βουλῇσιν ἀέντος

219. *μαιμάωντες* Guelph. *μαιμώοντες* Regg. quatuor, quod receperunt Brunck. et Beck., vix recte, ex his praesertim libris. Apud Homerum *μαιμώωσα* quidem et *μαιμώωσι* legitur, sed non *μαιμώουσα* et *μαιμώουσι*, et apud Nostrum II, 269 libri omnes in *μαιμώωσαι* consentiunt et infra v. 1544 vulgo quidem legitur *μαιμώοντι*, sed libri complures alteram formam praebent. Itaque hic quoque vulg. lectionem revocavi. — *εὐποιήτῳ* Reg. A. et alii Regg. ex glossemate.
220. *ὄπασεν* Med. a m. 1. *ὤπασεν* Flor. Brub. Basil.
221. *ἐρειδομένους* Guelph.
222. *ῥ'* deest in Flor. — *δεινωτὸν* Med.
225. *πόντων* Reg. A.
228. *πολυπήμονας* Guelph.
230. *πάντη* Flor. *πάντα* Brub. Basil.
231. *ἀναγκαῖαν* Vind.
232. *ἄξουσι* Vrat. Vind. Regg. A. C. D. E. Flor. Ald. Brub. Basil. Hoelzlin. Brunck. Beck. — *ἐπιπλήσει* codd. et edd. veteres omnes. *ἐνιπλήσει* tacite reposuit Brunck., tacite recepit Beck., sed recte: praepositionum *ἐνί* et *ἐπί* confusio frequentissima est.
234. Notabilis est constructio media inter orationem obliquam et rectam, debebat enim esse *δαήσεσθαι.*
235. *ὑποδείγμενοι* Med.
237. *εἰρύσαντο* vulg., quod correxit Brunck. — *βάλλοντο* Vind.
240. *ἰλλαδὸν* Med.

Ἥρης, ὄφρ' ὤκιστα κακὸν Πελίαο δόμοισιν
Αἰαίη Μήδεια Πελασγίδα γαῖαν ἵκηται,
ἠοῖ ἐνὶ τριτάτῃ πρυμνήσια νηὸς ἔδησαν
Παφλαγόνων ἀκταῖσι πάροιθ' Ἅλυος ποταμοῖο.
ἦ γάρ σφ' ἐξαποβάντας ἀρέσσασθαι θυέεσσιν
ἠνώγει Ἑκάτην. καὶ δὴ τὰ μὲν, ὅσσα θυηλὴν
κούρη πορσανέουσα τιτύσκετο, μήτε τις ἵστωρ
εἴη, μήτ' ἐμὲ θυμὸς ἐποτρύνειεν ἀείδειν.
ἅζομαι αὐδῆσαι· τό γε μὴν ἕδος ἐξέτι κείνου,
ὅ ῥα θεᾷ ἥρωες ἐπὶ ῥηγμῖσιν ἔδειμαν,
ἀνδράσιν ὀψιγόνοισι μένει καὶ τῆμος ἰδέσθαι.
Αὐτίκα δ' Αἰσονίδης ἐμνήσατο, σὺν δὲ καὶ ὧλλοι
ἥρωες, Φινῆος, ὃ δὴ πλόον ἄλλον ἔειπεν
ἐξ Αἴης ἔσσεσθαι· ἀνώϊστος δὲ τέτυκτο
πᾶσιν ὁμῶς. Ἄργος δὲ λιλαιομένοις ἀγόρευσεν.
„Νισσόμεθ' Ὀρχομενὸν, τὴν ἔχραεν ὔμμι περῆσαι
„νημερτὴς ὅδε μάντις, ὅτῳ ξυνέβητε πάροιθεν.
„ἔστιν γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες
„πέφραδον, οἳ Θήβης Τριτωνίδος ἐκγεγάασιν.
„οὔπω τείρεα πάντα, τάτ' οὐρανῷ εἱλίσσονται,

243. *ἵκοιτο* ex inutili conjectura Brunck. Beck., vid. ad I, 17.

244. *ἐν* vulg. *ἐνὶ*, quod postulat metrum, ex Reg. D. dederunt Brunck. Beck.

245. *ἀκτῇσι* ex uno Reg. D. Brunck. Beck.

246. *ἐξαποβάντες* Vatt. A. C. et Med. a m. 1.

247. *θυηλῇ* vulg. ex errore, quem saepissime jam observavimus. Sensus accusativum flagitat, quem ex Reg. D. dederunt Brunck. Beck.

248. *πορσαίνουσα* Brunck. ex conjectura, sine causa.

250. *τόδε* Vat. A. Vrat. Vind. Flor. Brub. Basil. — *μιν* Vrat. Vind.

251. *ὅῤῥα* vulg. ut semper. *ὅ ῥα* Reg. E. Brunck. Beck. — *ῥιγμῖσιν* Med.

253. *ἄλλοι* Vrat. Vind.

255. *ἔσεσθαι* Vrat. Vind. — *δ' ἐτέτυκτο* ex Regg. A. D. E. Brunck. Beck. male, vid. ad II, 1072.

256. *λιλεομένοις* Vrat.

257. *νεισόμεθ' ἐς Ὀ.* Vatt. A. B. C. D. Med. Vrat. Vind. *νισσόμεθ' ἐς Ὀ.* marg. Vrat. *νεισόμεθ' Ὀ.* Guelph. Flor. Steph. *νεύμεθ' ἐς Ὀ.* Regg. quinque, Ald. Paris. Brub. Basil. Hoelzlin. Shaw. Brunck. Beck. Perspicuum est antiquam lectionem fuisse *νεισόμεθ'* vel *νισσόμεθ' Ὀρχόμενον*, sine praepositione, id quod apud hoc genus verborum saepissime factum esse notissimum est. Quod quum aegre ferrent librarii, addita praepositione nata est altera lectio *νεισόμεθ' ἐς Ὀ.*, sed ea metro repugnabat, quare corrector metricus, cujus manum in Regiis codd. agnosci saepe vidimus, tertiam lectionem ex conjectura finxit. Hanc vero ne sensus quidem admittit, nam indicativus praesentis *νεύμεθα* ferri nequit, *νισσόμεθα* vero, sive id futurum habeas sive praesens futuri vi positum (v. Buttm. gr. ampl. p. 384 s.), sensui accommodatum est. Itaque revocavi antiquam lectionem. — *τῇ* Guelph.

259. *ἔστι* vulg. *ἔστιν* Med. Brunck. Beck.

260. *ἐγγεγάασιν* Med. a m. 1. *ἐκγεγάασσιν* Guelph.

261. *τήρεα* Flor. Ald.

„οὐδέ τί πω Δαναῶν ἱερὸν γένος ἦεν ἀκοῦσαι
„πευθομένοις· οἷοι δ' ἔσαν Ἀρκάδες Ἀπιδανῆες,
„Ἀρκάδες, οἳ καὶ πρόσθε Σεληναίης ὑδέονται
„ζώειν, φηγὸν ἔδοντες ἐν οὔρεσιν· οὐδὲ Πελασγὶς
„χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο Δευκαλίδῃσιν,
„ἦμος ὅτ' ἠερίη πολυλήϊος ἐκλήϊστο
„μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν,
„καὶ ποταμὸς Τρίτωνος ἐΰῤῥοος, ᾧ ὕπο πᾶσα
„ἄρδεται ἠερίη· Διόθεν δέ μιν οὔ ποτε δεύει
„ὄμβρος· ἅλις προχοαῖσι δ' ἀνασταχύουσιν ἄρουραι.
„ἔνθεν δή τινα φασὶ πέριξ διὰ πᾶσαν ὁδεῦσαι
„Εὐρώπην Ἀσίην τε, βίῃ καὶ κάρτεϊ λαῶν
„σφωϊτέρων θάρσει τε πεποιθότα· μυρία δ' ἄστη
„νάσσατ' ἐποιχόμενος, τὰ μὲν ἤ ποθι ναιετάουσιν,

262. *Δαναὸν* Reg. A.

264. Laudat hunc versum Schol. ad Aristoph. Nub. 397.

267. *ἔτ' ἠερίη* vulg. *ὅθ' ἱερίη* Vatt. A. B. C. D. marg. Vrat. *ὅτ' ἱερῆι* Med., ubi correctum a m. 2 *ἠερῆι*. *ὅτ' ἠερῆι* Vind. *ὅτε ῥῆι* Vrat. *δ' ὅτ' ἠερίη* Reg. A. *ὅτ' ἠερίη* Guelph. Regg. B. C. D. E. Etymol. M. loco mox laudando, Brunck. Beck. De *ἦμος ὅτε* vid. Schaefer. ad Gregor. Cor. p. 367. — *ἐκέκλυστο* Reg. A. — In Etymol. M. p. 421, 14, ubi hic versus cum sequente laudatur, *Ἠερίη* littera majuscula scribitur, quod verum mihi videri ad v. 270 monebo.

268. *προτερηθνέων* Ald. Brub. Basil.

269. *Τρίτων εὔροος* Guelph. *Τρίτων ἐΰῤῥοος* Vatt. A. B. C. D. Med. Vrat. Vind. Flor., quod quum metro non satisfaceret, *Τρίτων καλλίῤῥοος* ex emendatione, ut videtur, dedit Ald., quod transiit in edd. Brub. Basil. Steph. Hoelzlin. Shaw. Sed Regg. quinque praebent *Τρίτωνος ἐΰῤῥοος*, quod recepi. *Τρίτωνος ἔΰροος* ex more dederunt Brunck. Beck. Attamen cum in solis his suspectae fidei libris reperiatur haec lectio, vehementer vereor, ne et ipsa sit metrica librarii correctio, et vera lectio fortasse sit *Τρίτων ἠΰῤῥοος*, quae neglecta est a librariis, quia alibi haec adjectivi forma, quantum scio, non legitur.

270. *ἄδεται* Flor. — *ἱερίη* Vatt. A. B. C. D. Vrat. Vind. Med. a m. 1. *ἠερίη* vix sanum visum est Beckio, neque potuit aliter, quum male verterit *nigra*. Mihi quidem et hic et v. 267 littera majuscula *Ἠερίη* scribendum videtur, quod antiquum Aegypti nomen fuisse testantur Etymol. M. v. *ἠερίη*. Hesych. et Steph. Byz. s. v. *ἀερία*, sive ab *ἀήρ*, sive ab Aëria, Aegypti matre, v. Steph. Byz. s. v. *Αἴγυπτος*. Ejusmodi nomine uti decuit poetam eruditionis speciem prae se ferentem, eoque usum esse eo verisimilius est, quod et Nili antiquissimo nomine *Triton* utitur.

271. In edd. Steph. Hoelzlin. Shaw. post *ἅλις* interpungitur, quod propter praecedens *οὔποτε* falsum est. Interpunctionem post *ὄμβρος*, quam exhibent codd. et edd. veteres atque commendant Scholl., revocavit Brunckius. Sed idem male ex Regg. quatuor dedit *προχοῇσιν ἀν.* sequente Beckio. Vulgatum praestant codd. reliqui omnes, nisi quod in Vatt. A. B. C. D. *προχοαῖς ἰδ'* legitur. Commovit Brunckium, ut videtur, *δέ* tertio loco positum, quod fortasse etiam Stephanum ad falsam interpunctionem adduxit, in quo jam nemo offendit. — *ἀνασταχύουσι* Vrat.

274. *σφωϊτέρῳ* Guelph.

275. *ἐπιϊχόμενος* Guelph. cum gl. *κρατῶν*. — *οὔ ποθι* Vatt. A. D. Vrat. Vind. Guelph. — De *ναιετάου-*

„ἠὲ καὶ οὔ· πουλὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών.
„Αἶά γε μὴν ἔτι νῦν μένει ἔμπεδον υἱωνοί τε
„τῶνδ' ἀνδρῶν, οὓς ὅς γε καθίσσατο ναιέμεν Αἶαν.
„οἵ δή τοι γραπτοὺς πατέρων ἕθεν εἰρύονται
„κύρβιας, οἷς ἔνι πᾶσαι ὁδοὶ καὶ πείρατ' ἔασιν
„ὑγρῆς τε τραφερῆς τε πέριξ ἐπινισσομένοισιν.
„ἔστι δέ τις ποταμὸς, ὕπατον κέρας Ὠκεανοῖο,
„εὐρύς τε προβαθύς τε καὶ ὁλκάδι νηῒ περῆσαι·
„Ἴστρον μιν καλέοντες ἑκὰς διετεκμήραντο·
„ὃς δή τοι τείως μὲν ἀπείρονα τέμνετ' ἄρουραν
„εἷς οἶος· πηγαὶ γὰρ ὑπὲρ πνοιῆς Βορέαο
„Ῥιπαίοις ἐν ὄρεσσιν ἀπόπροθι μορμύρουσιν.
„ἀλλ' ὁπόταν Θρηκῶν Σκυθέων τ' ἐπιβήσεται οὔρους,

σιν ad urbes relato vid. Eustath. ad Il. II, 626.

276. πολὺς Vrat. Vind.

278. ὅγε vulg. contra metrum. ὅς γε ex conjectura Brunck. Beck.

279. Et hic et mox v. 285 δ' ἤτοι scribendum putat Herm. ad Hom. H. in Ven. 226, de quo vid. ad III, 958. Nostro quidem loco facilius admitti possit, quum non relativum sit οἵ, ut vulgo scribitur, sed demonstrativum οἵ, quod in textu dedi. — τοι omittit Vrat. — γράπτυς vulg., quod nihil est, quare γραπτῦς dederunt Brunck. Beck. Sed sensum non video. Scholl. explicant νόμους et addunt νόμους οὖν φησὶ καὶ στήλας παρ' αὐτοῖς εἶναι. Sed unde illud καί? et quomodo omnino de legibus hic sermo esse potest? Brunckius κύρβιας dicit ἐπεξηγητικῶς ad γραπτῦς additum esse, sed neque sic qui sensus sit video. Itaque dubitari vix posse videtur, quin γραπτῦς, (verbum per se apud poetam epicum suspectum et hac maxime significatione, sive *scriptum* sive *legem* interpreteris) corruptum sit, et adjectivum in eo lateat; eoque ducunt codicum lectiones, nam γραπτὰς habent Vatt. A. B. C. D. Guelph. γραπτὺς Vrat. et alii fortasse plures. Variasse igitur libri antiquitus videntur inter γραπτὰς et γραπτοὺς, quum κύρβις sit utriusque generis, neque dubitavi propter sequens οἷς rescribere γραπτοὺς quod una litterula deleta corruptum est. Et γραπτοὺς κύρβιας scripsit jam Gesnerus, ut videtur ex conjectura, in Praelect. I de navigationibus extra columnas Herculis, quae Hermanni Orpheo adjecta est, p. 620. — ἔνθεν Vind. omittit Guelph. — ἀνειρύονται Guelph. εἰρύοντο Reg. E.

280. ἔασσιν Guelph.

281. ἐπινεισομένοισιν vulg. ἐπινεισσομένοισιν Guelph. ἐτινισσομένοισιν Reg. D. ἐπινισσομένοισιν Vrat. Vind. Brunck. Beck.

282. ὕπακτον Vind. — κέρας Ὠκεανοῖο habet Hesiod. Theog. 787 et apud Apollon. Lex. Homer. v. Φοῖβος.

283. εὐρῆς Vind. — προβατής Med.

285. εἴως Guelph.

286. ὑπὲρ πνοιαῖς Guelph. ὑπαὶ πνοιῇ Reg. D. ὑπὲρ πνοιὰς ex conjectura Brunck. Beck., quos nescio quid ad mutandum impulerit, nam neque ὑπέρ cum genitivo *ultra* significans, neque singularis πνοιῆς habet, quod offendere possit.

287. Transtulit in suum usum Dionys. Perieg. v. 315 Ῥιπαίοις ἐν ὄρεσσι διάνδιχα μορμύρουσιν.

288. ὅποτ' ἂν Vrat. — Θρηΐκων vulg., quod correxit Dorvill. Vann. crit. p. 386, quem secuti sunt Brunck. et Beck. — ἐπιβήσεται Regg. quinque, quod non erat cur praeferrent Brunck. et Beck. — ἄρης pro οὔρους Vatt. C. D.

„ ἔνθα διχῆ τὸ μὲν ἔνθα μετ' Ἰονίην ἅλα βάλλει
„ τῆδ' ὕδωρ, τὸ δ' ὄπισθε βαθὺν διὰ κόλπον ἵησιν
„ σχιζόμενος πόντου Τρινακρίου εἰσανέχοντα,
„ γαίῃ ὃς ὑμετέρῃ παρακέκλιται, εἰ ἐτεὸν δὴ
„ ὑμετέρης γαίης Ἀχελώϊος ἐξανίησιν."
Ὣς ἄρ' ἔφη· τοῖσιν δὲ θεὰ τέρας ἐγγυάλιξεν
αἴσιον, ᾧ καὶ πάντες ἐπευφήμησαν ἰδόντες
στέλλεσθαι τήνδ' οἶμον. ἐπιπρὸ γὰρ ὁλκὸς ἐτύχθη
οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ ἀμεύσιμον ἦεν.

289. Magna inest in hoc loco difficultas, quam nemo editorum praeter Flanginium animadvertit. Quum enim dicendum sit, Istrum in duas partes divisum alteram in Pontum Euxinum emittere, alteram in mare Adriaticum, poeta prius brachium dicit *μετ' Ἰονίην ἅλα* effluere; his verbis vero eum nihil aliud nisi Pontum Euxinum significare velle, elucet ex adjectis *ἔνθα* et *τῆδε*. Quis vero unquam Pontum Euxinum audivit mare Ionium vocari? propterea igitur Flanginius *Ἰονίην* in *Ἀξείνην* mutandum esse judicavit. Quod quum, etsi ad sensum est bonum, tamen ex litterarum dissimilitudine parum probabile sit, tum obstare ei videtur alter locus v. 308, qui et Flanginium fugit, ubi iterum *πόντοιο Ἰονίοιο* ita positum est, ut non aliter ac de Ponto Euxino accipi possit. Ex Scholiastis nihil auxilii; illi enim ad locum priorem Istrum partim in Adriaticum partim in Pontum effluere dicunt, quasi hujus nomen in textu invenissent, deinde ad v. 291 narrant, Apollonium novi aliquid dicturum finxisse, alterum Istri brachium iterum in duas partes dividi, quarum altera in Adriaticum, altera in Tyrrhenicum mare effluat (hoc perspicue ad explicandum illud Ionium mare pertinet, sed ita ineptum est, et a poetae verbis ita recedit, ut nihili faciendum sit); ad posteriorem vero locum *Ἰόνιον πόντον* pro mari Adriatico positum esse dicunt, quod sensus non permittit. Gerhard. p. 81 Ionium mare nullo pacto pro Ponto poni posse, ideoque et *Ἰονίην* et *Ἰονίοιο* corruptum, et altero loco *ἠῴην*, altero *ἠῴοιο* legendum esse judicat, quemadmodum supra II, 745 *ἅλα ἠῴην* de Ponto Euxino dixerit poeta. Corrupta esse illa vocabula neque ego dubito, de emendatione ambigo; illud certum videtur, in vocabulis *Ἰονίην* et *Ἰονίοιο* rarius aliquod et doctius Ponti nomen latere.

290. Hermann. ad Hymn. H. in Cer. v. 381 *τηλοῦ ὕδωρ* legendum judicat, ne *ὕδωρ* primam in thesi producat contra usum Homericum. Sed ejus abusus plura exempla affert Spitzner. de vers. her. p. 23, idque sibi permisisse Apollonium probabile est etiam ex vocabulo *Ἄρης*, cujus primam in thesi Homerus semper corripit, Apollonius II, 991. III, 183 producit. Sed illud *τῆδε* per se etiam suspectum est, abundat enim praegresso *ἔνθα* (quod Beckius male vertit *inde*), neque dubito igitur, quin *τῆλ' ὕδωρ* scribendum sit, errore ex litterarum Δ et Λ similitudine nato.

291. *σχιζόμενον* Regg. tres, ad quam lectionem fortasse referenda est Scholiastarum explicatio supra commemorata. — *Τρινακίου* Guelph.

292. *ἡμετέρῃ* vulg. invito sensu. *ὑμετέρῃ* recte Vrat. Regg. A. B. E. var. lect. ap. Schol. Flor. Brunck. Beck. — *παρακέκληται, εἰ ἐτεόν γε* Guelph.

293. *ἡμετέρης* Regg. D. *γαίης ὑμετέρης* legunt Regg. quatuor, quem ordinem vocabulorum receperunt Brunck. Beck., scilicet ut vitetur hiatus — *ἐξανίναιν* Guelph.

294. *τοῖσι* Vatt. A. C. Vrat. Reg. C. Flor. Ald. Brub. Basil. Brunck. Beck. Reliqui libri habent *τοῖσιν*, quod revocavi.

296. *ἐπὶ πρὸ* Vat. A.

297. *ὅποι* Reg. A. — *καὶ μόρσι-*

γηθόσυνοι δὲ Λύκοιο κατ' αὐτόθι παῖδα λιπόντες
λαίφεσι πεπταμένοισιν ὑπεὶρ ἅλα ναυτίλλοντο,
οὔρεα Παφλαγόνων θηεύμενοι. οὐδὲ Κάραμβιν
γνάμψαν, ἐπεὶ πνοιαί τε καὶ οὐρανίου πυρὸς αἴγλη
μεῖνεν, ἕως Ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο.
Κόλχοι δ' αὖτ' ἄλλοι μὲν, ἐτώσια μαστεύοντες,
Κυανέας Πόντοιο διὲκ πέτρας ἐπέρησαν·
ἄλλοι δ' αὖ ποταμὸν μετεκίαθον, οἷσιν ἄνασσεν
Ἄψυρτος, Καλὸν δὲ διὰ στόμα πεῖρε λιασθείς.
τῷ καὶ ὑπέφθη τούς γε, βαλὼν ὑπὲρ αὐχένα γαίης,
κόλπον ἔσω πόντοιο πανέσχατον Ἰονίοιο.
Ἴστρῳ γάρ τις νῆσος ἐέργεται οὔνομα Πεύκη,
τριγλώχιν, εὖρος μὲν ἐς αἰγιαλοὺς ἀνέχουσα,
στεινὸν δ' αὖτ' ἀγκῶνα ποτὶ ῥόον· ἀμφὶ δὲ δοιαὶ
σχίζονται προχοαί. τὴν μὲν καλέουσι Νάρηκος·
τὴν δ' ὑπὸ τῇ νεάτῃ, Καλὸν στόμα. τῇ δὲ διαπρὸ
Ἄψυρτος Κόλχοι τε θοώτερον ὡρμήθησαν·
οἱ δ' ὑψοῦ νήσοιο κατ' ἀκροτάτης ἐνέοντο
τηλόθεν. εἱαμεναῖσι δ' ἐν ἄσπετα πώεα λεῖπον
ποιμένες ἄγραυλοι νηῶν φόβῳ, οἷά τε θῆρας
ὀσσόμενοι πόντου μεγακήτεος ἐξανιόντας.
οὐ γάρ πω ἁλίας γε πάρος ποθὶ νῆας ἴδοντο
οὔτ' οὖν Θρήϊξιν μιγάδες Σκύθαι, οὔτε Σίγυννοι,

μον vulg. sensu non apto. *καὶ ἀμεύσιμον* dat Etym. M. p. 82, 11 Apollonii nomine addito, quod ad hunc locum pertinere et in textum recipiendum esse recte vidit Ruhnk. epist. crit. p. 289. Secuti eum sunt Brunck. et Beck.

298. *Λιθόοιο* Vrat. Vind. marg. Reg. A. — *καταυτόθι* vulg. *κατ' αὐτόθι* codd. ut videtur omnes, Steph. Brunck. Beck.

299. *λαίφεσσι* Vind.

302. *μίμνεν* Guelph. — *ἐσαφίκοντο* Flor.

303. *δ' αὖ ἄλλοι* Regg. D. E. Flor. Ald. Brub. Basil. *δή τ' ἄλλοι* Guelph.

308. *παρέσχατον* Med. a m. 1. Guelph. Regg. nonnulli, ed. Paris. *παρ' ἔσχατον* Vatt. A. B. C. D. Vrat. Vind. Reg. A. cf. Dorvill. ad Charit. p. 329. — De corrupto vocabulo *Ἰονίοιο* ad v. 289 sermo fuit.

311. *περὶ ῥόον* Vatt. A. C.

312. *καλέουσιν ἄρηκος* vulg. *καλέουσιν ἄρηος* Regg. A. B. C. D. Brub. Basil. *καλέουσι Νάρηκος* conjecit Hoelzlin., quod recepi cum Brunck. et Beck., hoc enim nomen confirmant Arrhian. Peripl. Plin. hist. nat. IV, 24. Ammian. Marcell. XXII, 8.

313. *τῇδε* Brunck. Beck. male. — *διὰ πρὸ* Vat. A.

315. *ὑπ' ἀκροτάτης* Regg. tres.

316. *εἱαμενῇσι* Brunck. ex conjectura, Beck. ex Vat. D. — *μῆλα* pro *πώεα* Vatt. A. B. C. D.

319. *τε* pro *γε* Reg. A. — *ποθε* Regg. A. C. E. *ποτε* Regg. B. D., quod sine causa receperunt Brunck. Beck.

320. *οὐδὲ* Med. Reg. A. Vrat. — *Σίγυννοι* vulg. *Σίγυνοι* Vat. D. Med. a m. 1. Reg. A. B., quod cum Brunck. Beck. recepi.

οὔτ' αὖ Γραυκένιοι, οὔθ' οἱ περὶ Λαύριον ἤδη
Σίνδοι ἐρημαῖον πεδίον μέγα ναιετάοντες.
αὐτὰρ ἐπεὶ Ἄγγουρον ὄρος, καὶ ἄπωθεν ἐόντα
Ἀγγούρου ὄρεος σκόπελον παρὰ Καυλιακοῖο,
ᾧ πέρι δὴ σχίζων Ἴστρος ῥόον ἔνθα καὶ ἔνθα
βάλλει ἁλὸς πεδίον τε τὸ Λαύριον ἠμείψαντο,
δή ῥα τότε Κρονίην Κόλχοι ἅλαδ' ἐκπρομολόντες
πάντη, μή σφε λάθοιεν, ὑπετμήξαντο κελεύθους.
οἱ δ' ὄπιθεν ποταμοῖο κατήλυθον, ἐκ δ' ἐπέρησαν
δοιὰς Ἀρτέμιδος Βρυγηΐδας ἀγχόθι νήσους.
τῶν δ' ἤτοι ἑτέρῃ μὲν ἐν ἱερὸν ἔσκεν ἔδεθλον·
ἐν δ' ἑτέρῃ, πληθὺν πεφυλαγμένοι Ἀψύρτοιο,
βαῖνον· ἐπεὶ κείνας πολέων λίπον ἔνδοθι νήσους
αὔτως ἁζόμενοι κούρην Διός· αἱ δὲ δὴ ἄλλαι
στεινόμεναι Κόλχοισι πόρους εἴρυντο θαλάσσης.

321. *οὔτ' οὖν Γρ.* vulg., quod falsum est, quum nusquam duplex *οὔτ' οὖν* sibi respondeat. *οὔτ' αὖ* Regg. A. C. E., quod recepit Beck., itemque Vatt. C. D., ex quibus *οὔτ' αὖ* ad versum praecedentem per errorem ut videtur refert editor Italus. Itaque hoc recepi, quamquam verisimilius est simplex *οὔτε* legendum esse quod alii librarii, oculis ad versum praecedentem aberrantes, in *οὔτ' οὖν* mutarunt, alii metro caventes in *οὔτ' αὖ*.

323. *ἐπεί τ' Ἄγγουρον* vulg., quod quum nihil sit, *ἐπεὶ τἄγγουρον* dedit Brunck., quem sequitur Beck. Sed recte crasin illam improbat Spitzner. de vers. her. p. 177, qui *ἔπειτ' Ἄ.* emendandum censet. Sed haec non est emendatio, nam quam vulgatam dixi lectionem, ea inde a Stephano demum in edd. legitur, in Vrat. autem (et aliis, opinor, codd.) Flor. Ald. Brub. Basil. illud ipsum legitur *αὐτὰρ ἔπειτ' Ἄ.* At id ferri non potest, nam apodosis, quae a verbis *δή ῥα τότε* incipit, postulat, ut antecedat *ἐπεί.* Neque Spitznerum intelligo, qui ipse dicit poetae mentem hanc esse: *postquam autem* etc. *ἔπειτα* vero non esse *postquam* ipse non ignorat. Nihil igitur superest, nisi ut deleatur otiosum illud *τ*, quod inseruerunt librarii aut hiatus vitandi causa, aut quia vocabulis *αὐτὰρ ἔπειτα* assueti erant. — *Ἄγγυρον* et versu seq. *Ἀγγύρου* var. lect. ap. Scholl.

324. *Ἀγκούρου* Flor. — *Καυκασίοιο* Vatt. B. C. Med. a m. 1. Guelph. Flor. Steph. var. lect. ap. Schol. Hunc locum respicere videtur Steph. Byz. s. v. *Καυλικοί.*

326. *πεδίον τε Ταλαύριον* vulg. *π. τετολαύριον* Reg. A. *π. τε τὸ Λαύριον* Regg. B. C. D. E., quod propter v. 321 necessarium receperunt Brunckius et Beckius.

327. *διεκπρομολόντες* Guelph. — Respicit hunc versum Schol. ad Aesch. Prom. 837.

329. *δὲ πέρησαν* Vrat.

330. *Βρυτηΐδας* vulg. *Βρυγηΐδας* Brunck. Beck. ex emendatione nescio cujus, sed Stephano jam nota, quam necessariam esse docent v. 470, Schol. ad IV, 1002 et Steph. Byz. s. v. *Βρύξ.*

331. *τῶν ἤτοι* ex Reg. E. Brunck. Beck. male. — *ἐνὶ* Vrat.

332. *πεφυλαγμένον* Vatt. A. B. C. D.

333. *πολλὸν* vulg. sine sensu. *πολλῶν* ex conjectura Brunck. et Beck. *πολέων* Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. quatuor, Ald. Brub. Basil., quod recipere non dubitavi. Vid. ad III, 21.

335. *στεινόμενοι* Med. Vrat. Vind.

ὣς δὲ καὶ εἰς ἄλλας πληθὺν λίπον ἀγχόθι νήσους
μέσφα Σαλαγκῶνος ποταμοῦ καὶ Νέστιδος αἴης.
Ἔνθα κε λευγαλέῃ Μινύαι τότε δηϊοτῆτι
παυρότεροι πλεόνεσσιν ὑπείκαθον· ἀλλὰ πάροιθεν
συνθεσίῃ μέγα νεῖκος ἀλευάμενοι ἐτάμοντο,
κῶας μὲν χρύσειον, ἐπεὶ σφίσιν αὐτὸς ὑπέστη
Αἰήτης, εἰ κεῖνοι ἀναπλήσειαν ἀέθλους,
ἔμπεδον εὐδικίῃ σφέας ἑξέμεν, εἴτε δόλοισιν,
εἴτε καὶ ἀμφαδίην αὔτως ἀέκοντος ἀπηύρων·
αὐτὰρ Μήδειάν γε, τὸ γὰρ πέλεν ἀμφήριστον,
παρθέσθαι κούρῃ Λητωΐδι νόσφιν ὁμίλου,
εἰσόκε τις δικάσῃσι θεμιστούχων βασιλήων,
εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν,
εἴτε μεθ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕπεσθαι.
Ἔνθα δ' ἐπεὶ τὰ ἕκαστα νόῳ πεμπάσσατο κούρη,
δή ῥά μιν ὀξεῖαι κραδίην ἐλέλιξαν ἀνίαι

336. δὲ omittit Guelph. — ἀκτὰς pro ἄλλας Vind. et marg. Vrat. — λίπεν Vatt. A. C. Med. Vrat. Vind. sc. Absyrtus, quod fere verum puto, λίπον enim admodum simile est correctioni scribarum, qui constructionem mutatam aegre ferebant. — νήσων marg. Vrat.

337. μέσφ' ἀσαλαγκῶνος Reg. A. μέσφ' ἀσαλαγγῶνος Vrat. Vind. μέσφα σαλαγγῶνος Vatt. A. C. μέσφα κεν λαγόνος Guelph. μέσφα σαλαγῶνος Flor.

338. δηΐτητι Med. a m. 1.

340. συνθεσίας ex Regg. quinque male receperunt Brunck. Beck., συνθεσίῃ cum ἀλευάμενοι jungendum est. — ἀλευόμενοι Brunck. ex ingenio male ut III, 886. IV, 111. — In fine versus male vulgo puncto distinguitur, cujus loco comma posui, nam sequentia ab ἐτάμοντο pendent.

341. ἐπὶ vulg. ἐπεὶ, quod sensu postulante conjecerat jam Stephanus, praebent Vatt. A. B. C. D. Guelph. Vrat. Regg. quatuor. Ex his reposuit Brunck.

343. εὐθυδικίῃ Regg. aliquot. εὐδοκίῃ Guelph. cum gl. θελήσει. — ἑξέμεν non ab ὑπέστη sed ab ἐτάμοντο pendere vidit jam Stephanus, non intellexerunt Brunck. et Beck.

344. ἠὲ καὶ ἀμφαδίην Etymol. M. p. 88, 37. — ἀπηῦρον Vind.

345. Μήδειαν, τὸ γὰρ codd. omnes contra metrum. Μ., τόγε γὰρ Flor. Μ., τότε γὰρ Ald. et edd. sequentes. Μ., τόδε γὰρ ex conjectura Brunck. Beck. Nihil horum probabile est. Dedi, quod sensui et metro satisfacit, Μήδειάν γε, τὸ γὰρ π.

346. Λητοΐδι Vrat. Vind.

348. Post hunc versum in codd. omnibus et ed. Flor. hic versus legitur: εἴτε μετ' ἀφνείοιο θείου πόλιν Ὀρχομενοῖο, in quo illud ἀφνείοιο in ἀφνείον mutatum est in Ald. et reliquis edd. Ruhnk. epist. crit. p. 310 aut εἴτε μετὰ Φθίην legendum, aut totum versum ejiciendum esse judicavit, quorum illud ferri non potest, hoc unice verum est, et probatum a Facio ep. crit. p. 11, Brunck. et Beck. Legitur enim idem versus supra II, 1186, unde ineptissime huc retractus est.

349. καί τε pro εἴτε Regg. A. B. D. E., quod sapientissimus ille corrector, cui tot pravae lectiones in illis codd. debentur, propter versum praecedentem, quem ejiciendum esse vidimus, reposuit.

350. ἔπειτα ἕκαστα Vrat. Vind. — πεμπάσατο Vatt. A. B. C. D. Vrat. Vind.

351. ἀνέλιξαν Reg. A. ἀνελέλιξαν Reg. E.

νωλεμές· αἶψα δὲ νόσφιν Ἰήσονα μοῦνον ἑταίρων
ἐκπροκαλεσσαμένη ἄγεν ἄλλυδις, ὄφρ᾽ ἐλίασθεν
πολλὸν ἑκὰς, στονόεντα δ᾽ ἐνωπαδὶς ἔκφατο μῦθον.
„ Αἰσονίδη, τίνα τήνδε συναρτύνασθε μενοινὴν
„ ἀμφ᾽ ἐμοί; ἦέ σε πάγχυ λαθιφροσύναις ἐνέηκαν
„ ἀγλαΐαι, τῶν δ᾽ οὔ τι μετατρέπῃ, ὅσσ᾽ ἀγόρευες
„ χρειοῖ ἐνισχόμενος; ποῦ τοι Διὸς Ἱκεσίοιο
„ ὅρκια; ποῦ δὲ μελιχραὶ ὑποσχεσίαι βεβάασιν;
„ ἧς ἐγὼ οὐ κατὰ κόσμον ἀναιδήτῳ ἰότητι
„ πάτρην τε κλέα τε μεγάρων αὐτούς τε τοκῆας
„ νοσφισάμην, τά μοι ἦεν ὑπέρτατα· τηλόθι δ᾽ οἴη
„ λυγρῇσιν κατὰ πόντον ἅμ᾽ ἀλκυόνεσσι φορεῦμαι
„ σῶν ἕνεκεν καμάτων, ἵνα μοι σόος ἀμφί τε βουσὶν
„ ἀμφί τε Γηγενέεσσιν ἀναπλήσειας ἀέθλους.
„ ὕστατον αὖ καὶ κῶας, ἐφ᾽ ᾧ πλόος ὔμμιν ἐτύχθη,
„ εἷλες ἐμῇ ματίῃ· κατὰ δ᾽ οὐλοὸν αἶσχος ἔχευα
„ θηλυτέραις. τῷ φημὶ τεὴ κούρη τε δάμαρ τε
„ αὐτοκασιγνήτη τε μεθ᾽ Ἑλλάδα γαῖαν ἕπεσθαι.
„ πάντη νυν πρόφρων ὑπερίστασο, μηδέ με μούνην
„ σεῖο λίπῃς ἀπάνευθεν, ἐποιχόμενος βασιλῆας.

352. *αἶψα δέ σφιν* Flor.
353. *ἄλυδις* Vind.
354. *ἐνωπὶ* Guelph.
355. *συναρτύνεσθε* Vatt. A. C. Guelph.
356. *λαθηφροσύναις* Regg. A. C. E. Steph. Hoelzlin. Shaw. *λαθηφροσύνες* Guelph., unde *λαθιφροσύνῃς* scribendum putat Brunck. — *ἀνέηκαν* Regg. quatuor.
357. *ὅσσα τόρευὲς* Flor.
358. *χροιοῖ* Guelph.
359. *ὑποσχέσιες* Regg. A. B. D. E., quos male secuti sunt Brunck. Beck.
360. *αἷς* vulg. *ὃς* Vat. C. *ἧς* Vat. A. Med. Guelph. Vrat. Regg. A. B. D. E. Ald. Brub. Basil. Paris. Brunck. Beck.
363. *λυγροῖσι* Guelph. Reg. D. *λυγρῇσι* Regg. A. E. Vrat. Vind., quod male receperunt Brunck. Beck.
364. *ἕνεκα* Med. Vrat. Vind. Inutilis est emendatio Facii ep. crit. p. 13 *σοῦ ἕνεκεν κάμνων*.
366. *ὕστερον* Vatt. A. B. C. D. — *ἐπει τε παιστον ἐτύχθη* Vatt. A. B. C. D. *ἐπιτεπαιστὸς ἐτύχθη* Med. *ἐπεί τ᾽ ἐπάϊστος ἐτύχθην* Guelph. Flor., in quibus prioris recensionis lectionem latere perspicuum est. *ἐφ᾽ ᾧ πλόος ὔμμιν ἐτύχθην* Ald. Brub. Basil. *ἐφ᾽ ᾧ πλόος ἡμῖν ἐτύχθη* Vind. *ἐφ᾽ ᾧ πλόος ὔμμιν ἐτύχθη* Regg. quinque, ed. Paris. Steph. et recentiores. In Vrat. utraque lectio mixta est, legitur enim *ἐπεί τε πλόος ἐτύχθη*, lacunae spatio ante *πλόος* relicto, cui deinde insertum est *ἡμῖν*, in marg. *γρ. ἐφ᾽ ᾧ πλόος ἡμῖν*.
367. *μαντείῃ* Guelph.
369. *ἱκέσθαι* Flor.
370. *νῦν* vulg., quod correxit Brunckius. — *προφέρων* vulg. sine sensu. *πρόφρων* emendandum esse vidit Hartung., in eandem emendationem incidit Facius ep. crit. p. 14, eamque receperunt Brunck. et Beck. auctore non nominato. — *μηδ᾽ ἐμὲ* Brunck. ex more.
371. *ἐποιχόμενος βασιλῆος* vulg. sine sensu, quod intelligens Hartung. emendavit *ἀποιχόμενος βασιλῆος*. Sed melior est emendatio Facii ep. crit. p. 14 *ἐποιχόμενος βασιλῆας*,

„ἀλλ' αὔτως εἴρυσο· δίκη δέ τοι ἔμπεδος ἔστω
„καὶ θέμις, ἣν ἄμφω συναρέσσαμεν· ἢ σύ γ' ἔπειτα
„φασγάνῳ αὐτίκα τόνδε μέσον διὰ λαιμὸν ἀμῆσαι,
„ὄφρ' ἐπίηρα φέρωμαι ἐοικότα μαργοσύνῃσιν.
„σχετλίη, εἴ κεν δή με κασιγνήτοιο δικάσσῃ
„ἔμμεναι οὗτος ἄναξ, τῷ ἐπίσχετε τάσδ' ἀλεγεινὰς
„ἄμφω συνθεσίας, πῶς ἵξομαι ὄμματα πατρός;
„ἦ ἐ μάλ' εὐκλειής; τίνα δ' οὐ τίσιν ἠὲ βαρεῖαν
„ἄτην οὐ σμυγερῶς δεινῶν ὕπερ, οἷα ἔοργα,
„ὀτλήσω; οὔ κεν θυμηδέα νόστον ἕλοιο.
„μὴ τόγε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις,
„ᾗ ἐπικυδιάεις. μνήσαιο δὲ καί ποτ' ἐμεῖο,
„στρευγόμενος καμάτοισι· δέρος δέ τοι ἶσον ὀνείροις
„οἴχοιτ' εἰς ἔρεβος μεταμώνιον. ἐκ δέ σε πάτρης

quam lectionem ex Regg. quatuor recte receperunt Brunck. Beck. *Βασιλῆες* sunt illi, de quibus sermo est v. 347.

373. *συνερέσσαμεν* Guelph.

374. *τόντε* Vrat., voluit *τόν γε*. — *ἄμησαι* vulg., sed medio hic non locus est. *ἄμησε* Flor. *ἀμῆσαι* Vatt. A. B. C. D. Vrat. Vind. Regg. quinque, Ald. Brub. Basil. Brunck. Beck.

375. *ἐπὶ ἦρα* Brunck. Beck. pessime, nam etiamsi apud Homerum ita ubique scribendum esset (quod nondum mihi persuasit Buttm. Lexilog. p. 152 s. maxime repugnantibus et hoc Apollonii loco et Soph. Oed. R. 1094), hoc tamen loco nullo pacto *ἐπιφέρωμαι* ferri potest, quod ipse vidit Buttm. p. 156.

376. *σχέτλιε* vulg., sed et hiatus et sensus, in quorum neutro editores offendisse mirum est, flagitant ut scribatur *σχετλίη*, quae est emendatio Hermanni ad Orph. p. 735. — *δὴ* omittunt Vat. A. Med. Vrat. Vind. *κεν δὴ* deest in Guelph. Flor. — *δικάσῃ* Vrat. *δικάστῃ* Vind.

377. *ᾧ* vulg. *τῷ* Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. A. B. E. Ald. Brub. Basil. Brunck. Beck. — *ὑπόσχετε* Reg. E.

378. *εἴξομαι* Med. *ἤξομαι* Vind.

379. *ἠὲ* huic loco non bene convenire videtur, quare non improbabilis est conjectura viri docti, in Ephem. Jenens. 1814 p. 269 emendantis *ἦ μάλ' ἐϋκλειής*.

380. *οἷά τ' ἔοργα* vulg. *οἷά τε ἔοργα* Brub. Basil. Otiosum illud *τ'* omittunt Vrat. Vind. Regg. A. B. C. D. E., quos sequuntur Brunck. Beck. Insertum est a librariis hiatus vitandi causa, qui apud Homerum est Il. II, 272 *ἐσθλὰ ἔοργε*. III, 57 *ὅσσα ἔοργας*. V, 175. VIII, 356 *πολλὰ ἔοργε*. IX, 320 *πολλὰ ἐοργώς*.

381. Ex vulgata lectione, quam in textu exhibui, et nexum deesse et versum inconcinnum esse, sensit jam Brunck., qui in Appendice ita legi posse putat: *ὀτλήσω; σὺ δ' ἂν οὐ θυμηδέα ν. ἕ.* quae violentior est mutatio. Sed librorum varietas ad veram lectionem ducit, nam in Vat. D. Med. Guelph. Vrat. Vind. legitur: *οὐδέ κε θ.*, unde lenissima mutatione scribendum videtur: *σὺ δέ κεν θ. ν. ἕλοιο;* quod tamen in textum recipere non ausus sum.

382. *τότε* Vrat.

383. *ἔπι κυδιάεις* vulg. junctim scribunt Vatt. C. D. Vrat. Vind. Regg. quatuor, Brunck. Beck. *ἐπικυδάεις* Guelph. — *μνήσομαι* Reg. A. — *καί* in *κέν* mutavit Brunck. sine causa et cum sensus detrimento. — *ἐμοῖο* Vrat.

384. *δέρας* Med.

385. *οἴχητ'* Flor. — In duplice *σέ* offenderunt et librarii et editores, nam *ἐκ δέ τε πάτρης* est in Brub.

„αὐτίκ' ἐμαί σ' ἐλάσειαν Ἐριννύες· οἷα καὶ αὐτὴ
„σῇ πάθον ἀτροπίῃ. τὰ μὲν οὐ θέμις ἀκράαντα
„ἐν γαίῃ πεσέειν. μάλα γὰρ μέγαν ἤλιτες ὅρκον,
„νηλεές· ἀλλ' οὔ θήν μοι ἐπιλλίξοντες ὀπίσσω
„δὴν ἔσσεσθ' εὔκηλοι ἕκητί γε συνθεσιάων."
Ὣς φάτ' ἀναζείουσα βαρὺν χόλον· ἵετο δ' ἥ γε
νῆα καταφλέξαι διά τ' ἔμπεδα πάντα κεάσσαι,
ἐν δὲ πεσεῖν αὐτὴ μαλερῷ πυρί. τοῖα δ' Ἰήσων
μειλιχίοις ἐπέεσσιν ὑποδδείσας προσέειπεν.
„Ἴσχεο, δαιμονίη· τὰ μὲν ἁνδάνει οὐδ' ἐμοὶ αὐτῷ.
„ἀλλά τιν' ἀμβολίην διζήμεθα δηϊοτῆτος,
„ὅσσον δυσμενέων ἀνδρῶν νέφος ἀμφιδέδηεν
„εἵνεκα σεῦ. πάντες γὰρ, ὅσοι χθόνα τήνδε νέμονται,
„Ἀψύρτῳ μεμάασιν ἀμυνέμεν, ὄφρα σε πατρὶ
„οἷά τε ληϊσθεῖσαν ὑπότροπον οἴκαδ' ἄγοιτο.
„αὐτοὶ δὲ στυγερῷ κεν ὀλοίμεθα πάντες ὀλέθρῳ,
„μίξαντες δαΐ χεῖρας· ὅ τοι καὶ ῥίγιον ἄλγος
„ἔσσεται, εἴ σε θανόντες ἕλωρ κείνοισι λίποιμεν.
„ἥδε δὲ συνθεσίη κρανέει δόλον, ᾧ μιν ἐς ἄτην
„βήσομεν. οὐδ' ἂν ὅμως περιναιέται ἀντιόωσιν

Basil., quod tanquam suam emendationem dedit Brunck, ἐμαί γ' ἐλάσειαν habent Regg. A. E., quod recepit Beck. Sed neutra mutatione opus est, quum pronomina personalia interdum ita cumulentur, v. Matthiae gr. gr. vol. II p. 863. Reisig. ad Soph. Oed. Col. 1273. Fritzsch. Quaest. Lucian. p. 14.

386. ἐμέ Reg. A. — Ἐριννύες Vat. A. Med. Vrat. Vind.

389. ἔπειθ' ἵξοντες pro ἐπιλλίξοντες Regg. tres. — ὀπίσω Vrat. Vind.

390. ἔσσεσθε ἕκηλοι vulg. ἔσεσθαι εὔκηλοι et ex corr. ἔσεσθε Med. ἔσεσθε εὔκηλοι Vat. A. ἔσσεσθαι εὔκηλοι Guelph. ἔσσεσθ' εὔκηλοι Vatt. C. D. Vrat. Vind., quod recte receperunt Brunck. et Beck.

391. ἀνιάζουσα vulg., quod propter accusativum χόλον ferri nequit. ἀνιάζουσα ineptissime emendavit Hoelzlin. ἀναζείουσα conjecit Ruhnken. ep. crit. p. 311, quod recte receperunt Brunck. Beck.

392. κεάξαι Vatt. A. C.

394. ὑποδείσας Brunck. Beck. ut solent.

396. ἀμβολίαν Reg. A.

397. ἀμφιδέδηαι Guelph.

399. μεμάασσιν Guelph.

400. ληϊασθεῖσαν ὑπέρτροπον Vind. — ἄγοιντο vulg., quod ex Reg. D. correxit Brunck., debet enim ad Absyrtum referri.

402. ὅ τι καὶ vulg. contra metrum, quare Brunck. ex Regg. quinque dedit ὅπου καὶ, male. Ex usu Homerico Il. II, 563. Od. XVII, 191 et ex frequentissima vocularum τί et τοί confusione perspicuum est ὅ τοι καὶ scribendum fore, etiamsi non id ipsum praeberent Vatt. A. B. C. D. Med. Guelph. Vrat., unde reposuit Beck.

403. ἠὲ θανόντες Vatt. A. D. Med. Vrat. Vind. Regg. quatuor. εἰ καὶ θανόντες var. lect. in marg. Vrat. (voluit εἴ κε). — ἕλωρ κύνεσσι Regg. A. C. E. ἕλωρα κύνεσσι Reg. B.

405. ὁμῶς vulg., quod postulante sensu in ὅμως mutavi, *tamen*, *quamquam Absyrtus interfectus est.* In

„Κόλχοις ἦρα φέροντες ὑπὲρ σέο νόσφιν ἄνακτος,
„ὅς τοι ἀοσσητήρ τε κασίγνητός τε τέτυκται·
„οὐδ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξω μὴ πτολεμίζειν
„ἀντιβίην, ὅτε μή με διὲξ εἰῶσι νέεσθαι.“
Ἴσκεν ὑποσσαίνων· ἡ δ' οὐλοὸν ἔκφατο μῦθον.
„Φράζεό νυν. χρειὼ γὰρ ἀεικελίοισιν ἐπ' ἔργοις
„καὶ τόδε μητίσασθαι, ἐπεὶ τοπρῶτον ἀάσθην
„ἀμπλακίῃ, θεόθεν δὲ κακὰς ἤνυσσα μενοινάς.
„τύνη μὲν κατὰ μῶλον ἀλέξεο δούρατα Κόλχων·

verbis quae sequuntur admodum variant libri: ἀντιόωντες — φέροντες Vatt. A. B. C. D. Vrat. Vind. Med. ἀντιόωντες — φέροιεν Regg. A. B. C. ἀντιόωντο — φέροιεν Reg. E. εἰσαΐοντες — φέροντες Reg. D. Hinc Brunckius dedit περιναιέται εἰσαΐοντες Κόλχοις ἦρα φέροιεν, male, nam illud εἰσαΐοντες et minima auctoritate nititur, et prorsus otiosum est propter ea quae sequuntur: νόσφιν ἄνακτος. Beckius vero meliores libros secutus dedit ἀντιόωντες Κόλχοις ἦρα φέροιεν, quod tamen et ipsum sensui non satisfacit. Librorum varietas explicanda est ex duplicis recensionis lectionibus, quarum altera erat ἀντιόωντες φέροιεν, altera ἀντιόωσιν φέροντες, quibus junctis plurimi libri habent ἀντιόωντες φέροντες. Sed unice vera est vulgata lectio: ἀντιόωσιν est futurum verbi ἀντιάζω, ἂν cum indicativo futuri junctum est, de quo vid. ad I, 663, atque accuratissime sibi respondent οὐδ' ἂν ἀντιόωσιν et οὐδ' ἂν ὑπείξω. De sensu ad v. 408 videbimus.

407. ὅς τις Reg. A.

408. οὐδ' ἂν — ὑπείξομαι πτολεμίζειν Med. Guelph. Vrat. Vind. Reg. unus, Flor. Ald. Steph. οὐδ' ἂν — ὑπείξωμαι πτολεμίζειν Vatt. B. D. Hoelzlin. Shaw. οὐδ' ἂν — ὑπείξωμαι πτολεμίξειν Vatt. A. C. Brub. Basil. καὶ δ' ἂν — ὑπείξομαι πτολεμίζειν Regg. quatuor. Deinde versu sequente διεξίωσι Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Reg. E. marg. Reg. A. διεξείργωσι Flor. Ald. Brub. Basil. Steph. et seqq. διατμήξωσι Regg. A. B. C. D. Jam Brunckius, Regios maxime secutus, et ὑπείξαιμι ex conjectura scripto, ita hos versus dedit:

καὶ δ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξαιμι πτολεμίζειν
ἀντιβίην, ὅτε μή με διατμήξωσι νέεσθαι.

Secutus est Beckius. In quibus et pessimorum librorum auctoritatem praelatam vides et sensum aptum desideras, haec enim significabunt: *et ego quoque Colchis pugnam concedam, si me non prohibuerint quo minus in itinere pergam*, quod ineptissimum est. Ad meliorum librorum lectionem redeundum esse recte vidit Gerhard. p. 46, qui lenissima et vere palmaria emendatione ὑπείξομαι in ὑπείξω μὴ, διεξίωσι in διὲξ εἰῶσι mutavit, quibus nihil potest esse verius; itaque textum ex ejus emendatione, quae ad optimorum librorum lectionem proxime accedit, restitutum dedi. Quam apte οὐδ' ἂν ὑπείξω respondeat ei, quod praecessit, οὐδ' ἂν ἀντιόωσιν, jam supra monitum est. Sensus est: *neque accolas puto, interfecto Absyrto, Colchorum gratia nobis bellum illaturos esse, neque ego cum Colchis solis pugnare detrectabo, si iter mihi intercludant.*

410. ὑποσαίνων Regg. A. C. D. E. Vrat. Vind. Brunck. Beck.

411. νῦν vulg., quod correxit Brunckius.

412. καὶ τότε Vatt. A. B. C. D. — μητίσσασθαι Vatt. A. B. C. D. Med. μητιάασθαι Guelph. Regg. A. E., quod sine causa praetulerunt Brunck. et Beck. Eadem varietas est Hom. Od. IX, 262 et al. — τὸ πρῶτον divisim Guelph. Beck.

413. ἤνυσα Vrat. Vind.

„αὐτὰρ ἐγὼ κεῖνόν γε τεὰς ἐς χεῖρας ἱκέσθαι
„μειλίξω· σὺ δέ μιν φαιδροῖς ἀγαπάζεο δώροις·
„εἴ κέν πως κήρυκας ἀπερχομένους πεπίθοιμι
„οἰόθεν οἶον ἐμοῖσι συναρθμῆσαι ἐπέεσσιν.
„ἔνθ' εἴ τοι τόδε ἔργον ἐφανδάνει, οὔ τι μεγαίρω,
„κτεῖνέ τε καὶ Κόλχοισιν ἀείρεο δηϊοτῆτα.“
Ὣς τώ γε ξυμβάντε μέγαν δόλον ἠρτύναντο
Ἀψύρτῳ, καὶ πολλὰ πόρον ξεινήϊα δῶρα,
οἷς μέτα καὶ πέπλον δόσαν ἱερὸν Ὑψιπυλείης
πορφύρεον. τὸν μέν ῥα Διωνύσῳ κάμον αὐταὶ
Δίῃ ἐν ἀμφιάλῳ Χάριτες θεαί· αὐτὰρ ὁ παιδὶ
δῶκε Θόαντι μεταῦτις· ὁ δ' αὖ λίπεν Ὑψιπυλείῃ·
ἡ δ' ἔπορ' Αἰσονίδῃ πολέσιν μετὰ καὶ τὸ φέρεσθαι
γλήνεσιν εὐεργὲς ξεινήϊον. οὔ μιν ἀφάσσων,
οὔτε κεν εἰσορόων γλυκὺν ἵμερον ἐμπλήσειας.
τοῦ δὲ καὶ ἀμβροσίη ὀδμὴ πέλεν ἐξέτι κείνου,
ἐξ οὗ ἄναξ αὐτὸς Νυσήϊος ἐγκατέλεκτο
ἀκροχάλιξ οἴνῳ καὶ νέκταρι, καλὰ μεμαρπὼς
στήθεα παρθενικῆς Μινωΐδος, ἥν ποτε Θησεὺς
Κνωσόθεν ἑσπομένην Δίῃ ἔνι κάλλιπε νήσῳ·
ἡ δ' ὅτε κηρύκεσσιν ἐπεξυνώσατο μύθους,
θελγέμεν, εὖτ' ἂν πρῶτα θεᾶς περὶ νηὸν ἵκηται

415. *ἐγώγε* Guelph.
416. *φαιδρῶς* Regg. B. D. et A. a m. 1.
418. *συναριθμῆσαι* Reg. A.
419. *ἔνθ' οὔτι* Reg. A. — *τόδε τ' ἔργον* Regg. A. B. E., unde Brunck. dedit *τόδε γ' ἔργον*, quod recepit etiam Beck. Male: hiatus ante *ἔργον* apud Homerum frequentissimus est, et apud Nostrum IV, 794 *τάδε ἔργα* intactum reliquerunt. — *ἀφανδάνει* Reg. A.
420. *κτεῖρε* Reg. A. — *διηοτῆτα* Vind.
421. *τώδε* Vind. *τότε* Vrat., sed *τώ-γε* in marg. — *ἠρτύνοντο* vulg. *ἠρ-τύναντο* Vat. C. a m. 2. Guelph. Reg. D.
423. *οἷσι* Guelph. — *καὶ* et *ἱερὸν* omittit Guelph. — *Ὑψιπυλίης* Flor. Ald.
424. *Διονύσῳ* Vrat.
425. *ἀμφιρύτῳ* Brunck. ex ingenio, ut videtur, ne verbo quidem monito.
426. *μετ' αὖτις* Vat. D. Flor. Ald. Brub. Basil.
427. *δέ πόρ'* Reg. A. — *Αἰσονίδι* Vind. — *πολέσι* Regg. A. C. E. Brunck. Beck.
428. *ξυνήϊον* Flor. Ald. Brub. Basil.
431. *Νυσσήϊος* Vind. Reg. A.
432. *ἀκοχαλίη* Reg. A. *ἀκροχάλιξ δ' οἴνῳ* hinc sumsit Dionys. Perieg. 948.
434. *Κνωσσόθεν* vulg. *Κνωσόθεν* Vatt. A. B. C. D., quod jam reposuerat Brunck. — *ἑπομένην* Vrat. — *ἐνι-κάλλιπε* Brunck. lectore non monito.
435. *ἡ δέ γε* Regg. A. E., quod receperunt Brunck. Beck. *ἡ δέ τε* scribit Gerhard. p. 35. Sed nulla mutatione opus est; apodosis sequitur in-
v
de a v. 442. — *ἐπεξεινώσατο* Guelph. *ἐπεξενώσατο* Vind.
436. Hic locus vulgo male intelligitur, vertunt enim sic: *haec vero nuntios jussit persuadere Absyrto, ut ad se veniret, simulatque ad*

συνθεσίῃ, νυκτός τε μέλαν κνέφας ἀμφιβάλῃσιν,
ἐλθέμεν, ὄφρα δόλον συμφράσσεται, ὥς κεν ἑλοῦσα
χρύσειον μέγα κῶας ὑπότροπος αὖτις ὀπίσσω
βαίη ἐς Αἰήταο δόμους· πέρι γάρ μιν ἀνάγκη
υἱῆες Φρίξοιο δόσαν ξείνοισιν ἄγεσθαι·
τοῖα παραιφαμένη θελκτήρια φάρμακ᾽ ἔπασσεν
αἰθέρι καὶ πνοιῇσι, τά κεν καὶ ἄπωθεν ἐόντα
ἄγριον ἠλιβάτοιο κατ᾽ οὔρεος ἤγαγε θῆρα.
Σχέτλι᾽ Ἔρως, μέγα πῆμα, μέγα στύγος ἀνθρώποισιν,
ἐκ σέθεν οὐλόμεναί τ᾽ ἔριδες στοναχαί τε γόοι τε
ἄλγεά τ᾽ ἄλλ᾽ ἐπὶ τοῖσιν ἀπείρονα τετρήχασιν·
δυσμενέων ἐπὶ παισὶ κορύσσεο, δαῖμον, ἀερθεὶς,
οἷος Μηδείῃ στυγερὴν φρεσὶν ἔμβαλες ἄτην.
πῶς γὰρ δὴ μετιόντα κακῷ ἐδάμασσεν ὀλέθρῳ
Ἄψυρτον; τὸ γὰρ ἧμιν ἐπισχερὼ ἦεν ἀοιδῆς.
Ἦμος ὅτ᾽ Ἀρτέμιδος νήσῳ ἔνι τήν γ᾽ ἐλίποντο
συνθεσίῃ, τοὶ μέν ῥα διάνδιχα νηυσὶν ἔκελσαν
σφωϊτέραις κρινθέντες· ὁ δ᾽ ἐς λόχον ᾖεν Ἰήσων
δέγμενος Ἄψυρτόν τε καὶ οὓς ἐξαῦτις ἑταίρους.
αὐτὰρ ὅ γ᾽ αἰνοτάτῃσιν ὑποσχεσίῃσι δολωθεὶς
καρπαλίμως ᾗ νηῒ διὲξ ἁλὸς οἶδμα περήσας,
νύχθ᾽ ὑπὸ λυγαίην ἱερῆς ἐπεβήσατο νήσου·
οἰόθι δ᾽ ἀντικρὺ μετιὼν πειρήσατο μύθοις

Deae templum venisset. In quibus et θελγέμεν male dictum foret de nuntiis, quorum non est θέλγειν, atque de re, ad quam non artificiosis illecebris incitandus erat Absyrtus, quum ipsi gratissima futura esset, et ineptum foret ἐλθέμεν, εὖτ᾽ ἂν ἵκηται. Quod quum ab editoribus non animadversum esset, ita commovit Gerhardum p. 35 seqq., ut v. 436 et 437 plane ejiciendos censeret, tanquam intrusos ex recensione priore, in qua totus locus aliter lectus esset. Sed interpretatione tantum meliore eget, sensus enim hic est: *Medea collocuta est cum nuntiis, iis persuasura, ut, simulatque Absyrtus in insulam venisset, ipsi abirent, ut sola cum solo posset dolum communicare.* Hoc igitur illud est, quod se facturam esse dixerat v. 417. — τὰ πρῶτα Reg. A.

437. θεσπεσίῃ pro συνθεσίῃ Vatt. C. D.

438. συνφράσσεται Flor. Ald. Brub. Basil.

440. βαῖνε Vat. C. — περὶ vulg., quod correxit Brunck.

446. στοναχοὶ Flor.

447. τετρήχασσιν Vind.

448. δυσμενέων τοι παῖδες habet Dionys. Perieg. 600. — κορύσσετο Med. a m. 1.

451. Ἄψυρτος Guelph. — ἡμὶν Brunck. Beck. male. — εἶεν Vind.

452. γε λίποντο Vind.

454. κριθέντες Vat. A. Reg. A. Med. Flor. Ald. Brub. Basil. βριθέντες Vatt. C. D. — ἤεν vulg., quod correxit Brunck.

458. ἐπεβήσετο vulg. ἐπεβήσατο Vatt. C. D. Vrat., quod ex ingenio dedit Brunck.

459. οἷος Brunck. lectore non mo-

εἶο κασιγνήτης, ἀταλὸς παῖς οἷα χαράδρης
χειμερίης, ἥν οὐδὲ δι' αἰζηοὶ περόωσιν,
εἴκε δόλον ξείνοισιν ἐπ' ἀνδράσι τεχνήσαιτο.
καὶ τὼ μὲν τὰ ἕκαστα συνήνεον ἀλλήλοισιν·
αὐτίκα δ' Αἰσονίδης πυκινοῦ ἐξᾶλτο λόχοιο,
γυμνὸν ἀνασχόμενος παλάμῃ ξίφος· αἶψα δὲ κούρη
ἔμπαλιν ὄμματ' ἔνεικε καλυψαμένη ὀθόνῃσιν,
μὴ φόνον ἀθρήσειε κασιγνήτοιο τυπέντος.
τὸν δ' ὅ γε, βουτύπος ὥστε μέγαν κερεαλκέα ταῦρον,
πλῆξεν ὀπιπτεύσας νηοῦ σχεδὸν, ὅν ποτ' ἔδειμαν
Ἀρτέμιδι Βρυγοὶ περιναιέται ἀντιπέρηθεν.
τοῦ ὅ γ' ἐνὶ προδόμῳ γνὺξ ἤριπε· λοίσθια δ' ἥρως
θυμὸν ἀναπνείων χερσὶν μέλαν ἀμφοτέρῃσιν
αἷμα κατ' ὠτειλὴν ὑποΐσχετο· τῆς δὲ καλύπτρην
ἀργυφέην καὶ πέπλον ἀλευομένης ἐρύθηνεν.
ὀξὺ δὲ πανδαμάτωρ λοξῷ ἴδεν οἷον ἔρεξαν
ὄμματι νηλειὴς ὀλοφώϊον ἔργον Ἐριννύς.
ἥρως δ' Αἰσονίδης ἐξάργματα τάμνε θανόντος,
τρὶς δ' ἀπέλειξε φόνου, τρὶς δ' ἐξ ἄγος ἔπτυσ' ὀδόντων,
ἣ θέμις αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι.

nito et sine causa. — πειρήσετο Med. Vrat. Vind. Flor. Ald. Brub. Basil. πειρήσαιτο Guelph.

461. οὐδέ κεν Regg. quatuor.

464. πυκινοῖο ἐπᾶλτο vulg., quod falsum esse et hiatus et sensus docet. πυκινοῦ ἐπᾶλτο Vatt. A. D. Med. Guelph. Vrat. Vind. Reg. D. contra metrum et sensum. πυκινοῦ ἐξᾶλτο ex conjectura dedit Brunck. recte. Corruptionis origo manifesta est, quum enim πυκινοῦ in πυκινοῖο transiisset, etiam ἐξᾶλτο mutari metrum jubebat.

467. πεσόντος pro τυπέντος Reg. D.

468. τὸν δέ γε Reg. A. — κεραλκέα Guelph. Reg. A.

469. ὀπιπεύσας Vatt. A. D. Med. — Hunc locum respicit Schol. ad Eur. Med. 1334.

470. Φρυγοὶ Reg. E. Βρυσοὶ Schol. Pa is. — περιναέται Reg. A. — ἀντιπέρηθε vulg. ἀντιπέρηθεν Vat. D. Med. Guelph. Vrat. Vind. Regg. quinque, Brunck. Beck. Est hic ex iis locis, qui docent, quam pro arbitrio versati sint librarii in ν̄ finali vel addendo vel demendo.

472. χερσὶ Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. D. E. Brunck. Beck.

474. ἀργυρέην Vatt. A. D. Guelph. Vrat. Vind. Regg. A. B. C. D. ut III, 835.

476. Ἐρινύς Vat. A. Med. Vrat. Vind.

477. ἐξάργματα τέμνε θανόντος laudat Schol. ad Soph. El. 439 et corrupte Suid. s. v. μασχαλισθῆναι totum versum cum duobus proximis Etymol. M. p. 118, 32.

478. ἀπέληξε Vatt. A. D. ἀπέλειψε var. lect. in marg. Vrat. — φόνον Regg. A. C. D. E.

479. ἧ θέμις Brunck. lectore non monito, male. Id quod in textu est, ἣ θέμις ἐστί, habet Noster I, 517. 692. 960. 1061. II, 840. III, 991. IV, 1129, et tuetur Etymol. l. c. — ἱλάασθαι Regg. C. E. ἀλέασθαι Reg. D.

ὑγρὸν δ' ἐν γαίῃ κρύψεν νέκυν, ἔνθ' ἔτι νῦν περ
κείαται ὀστέα κεῖνα μετ' ἀνδράσιν Ἀψυρτεῦσιν.
Οἱ δ' ἄμυδις πυρσοῖο σέλας προπάροιθεν ἰδόντες,
τό σφιν παρθενικὴ τέκμαρ μετιοῦσιν ἄειρεν,
Κολχίδος ἀγχόθι νηὸς ἑὴν παρὰ νῆα βάλοντο
ἥρωες· Κόλχον δ' ὄλεκον στόλον, ἠΰτε κίρκοι
φῦλα πελειάων, ἠὲ μέγα πῶϋ λέοντες
ἀγρότεροι κλονέουσιν ἐνὶ σταθμοῖσι θορόντες.
οὐδ' ἄρα τις κείνων θάνατον φύγε, πάντα δ' ὅμιλον
πῦρ ἅτε δηϊόωντες ἐπέδραμον· ὀψὲ δ' Ἰήσων
ἤντησεν μεμαὼς ἐπαμυνέμεν οὐ μάλ' ἀρωγῆς
δευομένοις· ἤδη δὲ καὶ ἀμφ' αὐτοῖο μέλοντο.
ἔνθα δὲ ναυτιλίης πυκινὴν πέρι μητιάασκον
ἑζόμενοι βουλήν· ἐπὶ δὲ σφίσιν ἤλυθε κούρη
φραζομένοις· Πηλεὺς δὲ παροίτατος ἔκφατο μῦθον·
„Ἤδη νῦν κέλομαι νύκτωρ ἔτι νῆ' ἐπιβάντας
„εἰρεσίῃ περάαν πλόον ἀντίον, ᾧ ἐπέχουσιν
„δήϊοι· ἠῶθεν γὰρ ἐπαθρήσαντας ἕκαστα
„ἔλπομαι οὐχ ἕνα μῦθον, ὅ τις προτέρωσε δίεσθαι
„ἡμέας ὀτρυνέει, τοὺς πεισέμεν· οἷα δ' ἄνακτος,

480. *κρύψε* Vrat. Vind. Regg. A. B. E. Flor. Ald. Brub. Basil. Brunck. Beck. — *νεκρὸν* Regg. A. B. D. E. — *περ* omittit Guelph.

481. *κείατ'* Guelph. — Versum laudat Etymol. M. p. 184, 17.

483. *σφι* Vrat. — *τέκμωρ* Flor.

485. *Κόλχων* vulg. *Κόλχον* Vatt. A. B. C. D. Regg. A. E., quod ut exquisitius cum Beckio praetuli. — *ὀλέκοντο* Vrat. Vind. — *κύρκοι* Flor. Ald. Brub. Basil.

488. *φύγεν ἅντα* Reg. A.

490. *ἤντησε* Vrat. Vind. Brunck. Beck.

491. *αὐτοῖσι* Reg. E.

492. *πυκινῆς* vulg. *πυκνῆς* Reg. A. et alii Regg. *πυκινὴν* Guelph. Vrat. Flor., quod recte receperunt Brunck. Beck. Causa corruptionis perspicua est.

493. *σφιν* Flor. Ald. Brub. Basil.

494. *μύθων* Vrat. Vind.

495. *ἐπὶ* pro *ἔτι* Flor.

496. *ᾧ γ' ἐπέχουσι* Regg. A. B. C. E. *ᾧ ῥ' ἐπέχουσι* Reg. D., quod receperunt Brunck. Beck. Male: inutilem particulam hiatus vitandi causa intrusit sciolus iste, cujus manus in illis libris agnoscitur.

457. *ἐπαθρήσαντες* Vatt. A. D. Med. a m. 1. Guelph. Vrat. *ἐσαθρήσαντας* Reg. D., quod receperunt Brunck. Beck. Nescio quid commoverit viros doctos, ut conjurarent contra verbum *ἐπαθρεῖν*, in quo nihil prorsus vitiosi video. Ut enim h. l. unius ejusque pessimi libri auctoritate textu ejectum est, ita contra librorum auctoritatem apud Quint. Smyrn. I, 111 expulit Tychsen., apud Tryphiod. v. 107 Wernickius, aliis locis alii, quo factum est ut in lexicis aut omittatur, aut dubiae fidei esse dicatur. Hic certe libris obsecutus illud revocavi.

498. *οὐδένα* vulg. *οὐχ ἕνα* Vat. D. Med. Guelph. Vrat. Vind. Regg. quinque, Ald. Paris. Brub. Basil., quod revocarunt Brunck. et Beck. — *ὅστις* Vatt. A. B. C. D. — *δέεσθαι* Vind.

499. *ὀτρυνέειν* Vatt. A. C. Med. a m. 2. — *τὸν* pro *τοὺς* Med. a.

„εὔνιδες ἀργαλέῃσι διχοστασίῃς κεδόωνται.
„ῥηΐδίη δέ κεν ἄμμι κεδασθέντων δίχα λαῶν
„ἤδ' εἴη μετέπειτα κατερχομένοισι κέλευθος."
Ὣς ἔφατ'· ἤνησαν δὲ νέοι ἔπος Αἰακίδαο.
ῥίμφα δὲ νῆ' ἐπιβάντες ἐπερρώοντ' ἐλάτῃσιν
νωλεμὲς, ὄφρ' ἱερὴν Ἠλεκτρίδα νῆσον ἵκοντο
ἀλλάων ὑπάτην, ποταμοῦ σχεδὸν Ἠριδανοῖο.
Κόλχοι δ' ὁππότ' ὄλεθρον ἐπεφράσθησαν ἄνακτος,
ἤτοι μὲν δίζεσθαι ἐπέχραον ἔνδοθι πάσης
Ἀργὼ καὶ Μινύας Κρονίης ἁλός. ἀλλ' ἀπέρυκεν
Ἥρη σμερδαλέῃσι κατ' αἰθέρος ἀστεροπῇσιν.
ὕστατον αὐτοὶ δ' αὖτε Κυταΐδος ἤθεα γαίης
στύξαν, ἀτυζόμενοι χόλον ἄγριον Αἰήταο,
ἔμπεδα δ' ἄλλυδις ἄλλοι ἐφορμηθέντες ἔνασθεν.
οἱ μὲν ἐπ' αὐτάων νήσων ἔβαν, ᾗσιν ἐπέσχον
ἥρωες, ναίουσι δ' ἐπώνυμοι Ἀψύρτοιο·
οἱ δ' ἄρ' ἐπ' Ἰλλυρικοῖο μελαμβαθέος ποταμοῖο,
τύμβος ἵν' Ἁρμονίης Κάδμοιό τε, πύργον ἔδειμαν,
ἀνδράσιν Ἐγχελέεσσιν ἐφέστιοι· οἱ δ' ἐν ὄρεσσιν
ἐνναίουσιν, ἅπερ τε Κεραύνια κικλήσκονται
ἔκτοθεν ἐξότε τούς γε Διὸς Κρονίδαο κεραυνοὶ
νῆσον ἐς ἀντιπέραιαν ἀπέτραπον ὁρμηθῆναι.
Ἥρωες δ', ὅτε δή σφιν ἐείσατο νόστος ἀπήμων,
δή ῥα τότε προμολόντες ἐπὶ χθονὶ πείσματ' ἔδησαν
Ὑλλήων. νῆσοι γὰρ ἐπιπροὔχοντο θαμειαὶ,
ἀργαλέην πλώουσιν ὁδὸν μεσσηγὺς ἔχουσαι.
οὐδέ σφιν, ὡς καὶ πρὶν, ἀνάρσια μητιάασκον

m. 1. Vind. — *οἷά τ'* Regg. aliquot.

500. *εὔνεες* Reg. A. — *σκεδόωνται* Vat. C. a m. 2. Guelph.

502. *ἠδείη τέ κ' ἔπειτα* Regg. A. E.

503. *ἤνεσσαν* Reg. E.

504. *ἐπεῤῥώοντ'* vulg. *ἐπιῤῥώοντ'* Regg. A. E. *ἐπεῤῥώοντ'* Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. B. C. D. Brunckius et Beckius.

511. Vulgo post *ὕστατον* punctum ponitur, quod ad versus praecedentis finem rectissime transtulit Brunckius, frustra refragante Beckio, cui *δέ* tertio loco collocatum displicet, de quo jam saepius sermo fuit. — *δεῖ γάρ τε Κυταΐδος ἤθεα γαίας* corrupte citat Etymol. M. p. 548, 37.

512. *τύξαν* Med. Vrat. *τῆξαν* Reg. A.

513. *ἔμπεδον ἄλλυδις* Vatt. C. D. Vrat. Vind. Med. Flor. Ald. Brub. Basil., quod sensus non admittit. — *ἀφορμηθέντες* Vatt. C. D. Med. a m. 2. Vrat. Vind. Guelph. *ἀφωρμηθέντες* Reg. D.

517. Imitatur Dionys. Perieg. 391 *τύμβον, ὃν Ἁρμονίης Κάδμοιό τε φῆμις ἐνίσπει.*

523. *πίσματ'* Med. a m. 1.

524. *Ὑλλείων* Med. a m. 1. Vrat. Vind.

Ὑλλῆες· πρὸς δ' αὐτοὶ ἐμηχανόωντο κέλευθον,
μισθὸν ἀειρόμενοι τρίποδα μέγαν Ἀπόλλωνος.
δοιοὺς γὰρ τρίποδας τηλοῦ πόρε Φοῖβος ἄγεσθαι
Αἰσονίδῃ περόωντι κατὰ χρέος, ὁππότε Πυθὼ
ἱρὴν πευσόμενος μετεκίαθε τῆσδ' ὑπὲρ αὐτῆς
ναυτιλίης· πέπρωτο δ', ὅπῃ χθονὸς ἱδρυνθεῖεν,
μή ποτε τὴν δηΐοισιν ἀναστήσεσθαι ἰοῦσιν.
τοὔνεκεν εἰσέτι νῦν κείνῃ ὅδε κεύθεται αἴῃ
ἀμφὶ πόλιν ἀγανὴν Ὑλληΐδα, πολλὸν ἔνερθεν
οὔδεος, ὥς κεν ἄφαντος ἀεὶ μερόπεσσι πέλοιτο.
οὐ μὲν ἔτι ζώοντα καταυτόθι τέτμον ἄνακτα
Ὕλλον, ὃν εὐειδὴς Μελίτη τέκεν Ἡρακλῆϊ,
δήμῳ Φαιήκων. ὃ γὰρ οἰκία Ναυσιθόοιο
Μάκριν τ' εἰσαφίκανε, Διωνύσοιο τιθήνην,
νιψόμενος παίδων ὀλοὸν φόνον· ἔνθ' ὅ γε κούρην
Αἰγαίου ἐδάμασσεν ἐρασσάμενος ποταμοῖο

528. ἀειράμενοι ex Regg. quatuor receperunt Brunck. Beck. sine causa.

530. πτερόωντι Reg. A. — Πυθοῖ Vat. A. Med. Vrat. Vind. πευθὼ legisse videtur Schol., qui interpretatur: πεῦσιν, χρησμὸν αἰτησόμενος.

531. αὐτῆς in αὐδὴν mutari vult Matthiae obss. crit. p. 30 sine causa.

532. ἱδρυνθεῖεν vulg. eadem varietate, quam III, 1269 observavimus. Correxit Brunck.

534. ὄγε Guelph.

536. πέληται ex conjectura Brunck. Beck., quam inutilem esse nunc sciunt omnes.

537. κατ' αὐτόθι vulg. junctim scribunt Vatt. C. D. Vrat. Regg. quinque, ed. Paris. Steph. Brunck. Beck.

539. Hic et qui sequuntur versus vulgo ita leguntur, ut v. 544 prorsus absit, v. 545 autem post v. 539 legatur, in qua re codd. et edd. veteres omnes consentiunt, nisi quod v. 545 in Reg. E. Flor. Ald. Brub. Basil. post v. 540 legitur, in Regg. A. B. C. D. et cod. Zeladae omissus, in Reg. B. vero margini adscriptus est, adjecto signo, quod eum post v. 539, et ex litura altero signo, quod eum post v. 547 remittit. Ex his librorum varietatibus non minus quam e loci sensu elucet, v. 545 male positum esse eo loco, quo vulgo legitur. Itaque Brunckius totum locum ita dedit, ut eum allatum vidit a Quirino in Primordiis Corcyrae p. 28, ubi versus 544 primum accessit et versui 545 is locus est datus, quem nunc in textu obtinet. Haec Quirinum ex codice aliquo dedisse non injuria suspicatur Brunckius, sed locum his receptis sanatum esse haud recte putat. Repugnat enim et repetitio versus ejusdem et οὐδ' ἄρ' v. 546, in quo libri omnes consentiunt, quod Brunckius in οὐ γὰρ mutare coactus fuit. Itaque recte Beck. secutus quidem est Brunckium in versuum ordine constituendo, sed v. 544. 545 uncis inclusit. Perspicuum est enim, duplicem hujus loci recensionem nobis servatam esse. Prior lectio haec fuit:

Ὕλλον, ὃν εὐειδὴς Μελίτη τέκεν Ἡρακλῆϊ
δήμῳ Φαιήκων. ὃ μὲν οἰκία Ναυσιθόοιο
τυτθὸς ἐὼν ποτ' ἔναιεν· ἀτὰρ λίπε νῆσον ἔπειτα,
οὐ γὰρ ὄγ' ἡβήσας κ. τ. λ.

In altera recensione adjectis iis, quae nunc leguntur, poeta delevit versus 544. 545 et οὐδ' ἄρ' scripsit.

Νηϊάδα Μελίτην· ἡ δὲ σθεναρὸν τέκεν Ὕλλον·
[δήμῳ Φαιήκων. ὁ μὲν οἰκία Ναυσιθόοιο
τυτθὸς ἐών ποτ' ἔναιεν· ἀτὰρ λίπε νῆσον ἔπειτα.]
οὐδ' ἄρ' ὅγ' ἡβήσας αὐτῇ ἐν ἐέλδετο νήσῳ
ναίειν, κοιρανέοντος ἐπ' ὀφρύσι Ναυσιθόοιο·
βῆ δ' ἅλαδε Κρονίην, αὐτόχθονα λαὸν ἀγείρας
Φαιήκων· σὺν γάρ οἱ ἄναξ πόρσυνε κέλευθον
ἥρως Ναυσίθοος· τόθι δ' εἵσατο, καί μιν ἔπεφνον
Μέντορες, ἀγραύλοισιν ἀλεξόμενον περὶ βουσίν.
Ἀλλὰ, θεαὶ, πῶς τῆσδε παρὲξ ἁλὸς, ἀμφί τε γαῖαν
Αὐσονίην νήσους τε Λιγυστίδας, αἳ καλέονται
Στοιχάδες, Ἀργῴης περιώσια σήματα νηὸς
νημερτὲς πέφαται; τίς ἀπόπροθι τόσσον ἀνάγκη
καὶ χρειὼ σφ' ἐκόμισσε; τίνες σφέας ἤγαγον αὖραι;
Αὐτόν που μεγαλωστὶ δεδουπότος Ἀψύρτοιο
Ζῆνα, θεῶν βασιλῆα, χόλος λάβεν, οἷον ἔρεξαν.
Αἰαίης δ' ὀλοὸν τεκμήρατο δήνεσι Κίρκης
αἷμ' ἀπονιψαμένους πρό τε μυρία πημανθέντας
νοστήσειν. τὸ μὲν οὔ τις ἀριστήων ἐνόησεν·
ἀλλ' ἔθεον γαίης Ὑλληΐδος ἐξανιόντες
τηλόθι· τὰς δ' ἀπέλειπον, ὅσαι Κόλχοισι πάροιθεν
ἑξείης πλήθοντο Λιβυρνίδες εἰν ἁλὶ νῆσοι,
Ἴσσα τε Δυσκέλαδός τε καὶ ἱμερτὴ Πιτύεια.
αὐτὰρ ἔπειτ' ἐπὶ τῇσι παραὶ Κέρκυραν ἵκοντο,
ἔνθα Ποσειδάων Ἀσωπίδα νάσσατο κούρην,
ἠΰκομον Κέρκυραν, ἑκὰς Φλιουντίδος αἴης,

543. *Νηΐδα* Guelph. Reg. A.

545. *αὐτὰρ* Med. Vrat. Vind.

546. *οὐ γὰρ* Brunckium ex conjectura dedisse supra monitum est. — *ὅδ' ἀκμάσας* cod. Zeladae et Regg. quinque, unde fortasse *ἀκμάσσας* priori recensioni vindicandum est. — *ἐνεέλδετο* vulg., quod nihil est. *ἐνέλδετο* Reg. B. *ἐνὶ ἔλδετο* ex conjectura Facii epist. crit. p. 15 Brunck. Beck., quod quamquam probatur etiam ab Hermanno ad Orph. p. 736, praestare tamen videtur *ἐν ἐέλδετο*, quod ab Hoelzlino conjectura inventum recepi ex Vrat. Vind. Regg. A. D.

551. *ἀεξόμενον* Med. a m. 1.

556. *σφέ κόμιξε* Vatt. A. C. *σφε κόμιξε* Vrat. *σφε κόμιτε* Vind.

559. *Αἰίτης* Guelph. — *δὴν ἐπὶ Κίρκης* Vatt. A. C.

563. *ἀπέλιπον ὅσοι* Vrat. Vind. Flor. Ald. Brub. Basil.

564. *Λιγυστίδες* Med. a m. 1. Vind. *Λιγυρνίδες* Vrat. ex rasura, Reg. A. Schol. Paris.

565. *δυσκέλαδος* vulgo pro adjectivo habitum est, etiam a Schol. Flor., sed verum docet Schol. Paris., recte igitur a Brunckio littera majuscula scriptum est.

566. *παρὰ* Regg. A. D. E. Flor.

567. *νύμφην* pro *κούρην* Reg. D.

568. *φιλουντίδος* Reg. A. *φλοιουντίδος* Flor. Ald. Brub. Basil.

ἁρπάξας ὑπ' ἔρωτι· μελαινομένην δέ μιν ἄνδρες
ναυτίλοι ἐκ πόντοιο κελαινῇ πάντοθεν ὕλῃ
δερκόμενοι, Κέρκυραν ἐπικλείουσι Μέλαιναν.
τῇ δ' ἔπι καὶ Μελίτην, λιαρῷ περιγηθέες οὔρῳ,
αἰπεινήν τε Κερωσσὸν, ὕπερθε δὲ πολλὸν ἐοῦσαν
Νυμφαίην παράμειβον, ἵνα κρείουσα Καλυψὼ
Ἀτλαντὶς ναίεσκε· τὰ δ' ἠεροειδέα λεύσσειν
οὔρεα δοιάζοντο Κεραύνια. καὶ τότε βουλὰς
ἀμφ' αὐτοῖς Ζηνός τε μέγαν χόλον ἐφράσαθ' Ἥρη.
μηδομένη δ' ἄνυσιν τοῖο πλόου ὦρσεν ἀέλλας
ἀντικρὺ, ταῖς αὖτις ἀναρπάγδην φορέοντο
νήσου ἔπι κραναῆς Ἠλεκτρίδος. αὐτίκα δ' ἄφνω
ἴαχεν ἀνδρομέῃ ἐνοπῇ μεσσηγὺ θεόντων
αὐδῆεν γλαφυρῆς νηὸς δόρυ, τό ῥ' ἀνὰ μέσσην
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
τοὺς δ' ὀλοὸν μεσσηγὺ δέος λάβεν εἰσαΐοντας
φθογγήν τε Ζηνός τε βαρὺν χόλον. οὐ γὰρ ἀλύξειν
ἔννεπεν οὔτε πόνους δολιχῆς ἁλὸς οὔτε θυέλλας
ἀργαλέας, ὅτε μὴ Κίρκη φόνον Ἀψύρτοιο
νηλέα νίψειεν· Πολυδεύκεα δ' εὐχετάασθαι
Κάστορά τ' ἀθανάτοισι θεοῖς ἤνωγε κελεύθους
Αὐσονίης ἔμπροσθε πορεῖν ἁλὸς, ᾗ ἔνι Κίρκην
δήουσιν, Πέρσης τε καὶ Ἠελίοιο θύγατρα.
Ὣς Ἀργὼ ἰάχησεν ὑπὸ κνέφας· οἱ δ' ἀνόρουσαν
Τυνδαρίδαι, καὶ χεῖρας ἀνέσχεθον ἀθανάτοισιν

573. *Κερωσσὸν* vulg. *Κερωσὸν* Vatt. A. B. C. D. Regg. A. D. E., quod cum Brunck. et Beck. recepi.

575. *λεύσειν* Med. a m. 1.

576. *δοάζοντο* Med. a m. 1.

577. *αὐτοὺς* Vrat. Vind. Regg. quinque. — *βαρὺν χόλον ἐφράσσατο* Guelph.

578. *τοίου* Med. a m. 2.

579. *τοὶ δ' αὖτις* vulg. *ταῖς δ' αὖτις* Reg. C. *ταῖς αὖτις* Vatt. A. B. C. D. Med. a m. 1. Vrat. Vind. Regg. A. B. E., quod cum Brunck. et Beck. recepi.

580. *Ἠλεκτριάδος* Guelph. — *ἄφνως* Brunck. ex conjectura ad vitandum hiatum, qui nullus est.

582. *αὐδῇ ἐν γλαφυρῇ* vulg. Veram lectionem, quam cum Brunck. et Beck. dedi, praebent Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. A. B. D. E. — *τόῤῥ'* vulg. ut semper - *τό ῥ'* Med. a m. 1. Brunck. Beck.

583. *δωλωνίδος ἥρμωσε* Ald. Brub. Basil.

586. *πόρους* vulg., quod ad *ἀλύξειν* non aptum est. *πόνους* Vatt. A. B. C. D. Vind. Regg. quatuor, quod propter sensus praestantiam recipere non dubitavi. Obvium erat librariis *πόρους ἁλός* scribere.

588. *νίψεις* vulg. *νίψειεν* Vrat. Vind. Regg. quinque, quod revocavi.

590. *ἔμπροσθεν* Med. *ἔντοσθε* Guelph.

591. *δήουσι* Vrat. Brunck. Beck. — *Πέῤῥης* Med. a m. 1. Vrat. Vind. Regg. A. B. *Πέῤῥη τε* Reg. E.

εὐχόμενοι τὰ ἕκαστα· κατηφείῃ δ' ἔχεν ἄλλους
ἥρωας Μινύας. ἡ δ' ἔσσυτο πολλὸν ἐπιπρὸ
λαίφεσιν, ἐς δ' ἔβαλον μύχατον ῥόον Ἠριδανοῖο·
ἔνθα ποτ' αἰθαλόεντι τυπεὶς πρὸς στέρνα κεραυνῷ
ἡμιδαὴς Φαέθων πέσεν ἅρματος Ἠελίοιο
λίμνης ἐς προχοὰς πολυβενθέος· ἡ δ' ἔτι νῦν περ
τραύματος αἰθομένοιο βαρὺν ἀνακηκίει ἀτμὸν,
οὐδέ τις ὕδωρ κεῖνο διὰ πτερὰ κοῦφα τανύσσας
οἰωνὸς δύναται βαλέειν ὕπερ· ἀλλὰ μεσηγὺς
φλογμῷ ἐπιθρώσκει πεποτημένος. ἀμφὶ δὲ κοῦραι
Ἡλιάδες, ταναῇσιν ἐελμέναι αἰγείροισιν,
μύρονται κινυρὸν μέλεαι γόον· ἐκ δὲ φαεινὰς
ἠλέκτρου λιβάδας βλεφάρων προχέουσιν ἔραζε.

595. ἐπὶ πρὸ Vat. A.

596. ἔς τ' ἔβαλον ex conjectura dedit Brunck., quod significet: *donec ingressi sunt*, sed quomodo simplex βάλλειν hoc significare possit, non adjecit.

597. πληγεὶς pro τυπεὶς Regg. quatuor. — Servata est apud Quintilian. I, 5 Varronis Atacini versio: *Cum te flagranti dejectum fulmine Phaethon.*

598. Ἠριδάνοιο pro Ἠελίοιο Reg. A.

599. πολυανθέος codd. et edd. veteres omnes, praeter unam Flor., in qua πολυβενθέος legitur, quod receperunt Steph. et editores recentiores. Librorum lectio ferri sane non potest, et quamquam altera lectio primi editoris correctioni tribuenda videtur, profecto aptissima est et Homericis dictionibus ἁλὸς πολυβενθέος, λιμένος πολυβενθέος confirmata, melior certe, quam quod ex Nonno XXXIV, 257 proponit Gerhard. p. 82 πολυχανδέος, cujus similia plura inveniri possunt, si cui libet hariolari.

600. ἀνεκήκιεν vulg. ἀνακηκίει Guelph., quod adeo necessarium est, ut a nemine repositum esse mirer, neque recipere dubitaverim. Corruptum videtur a librariis, quibus similes Homeri versus obversabantur ut Il. VII, 262 μέλαν δ' ἀνεκήκιεν αἷμα. XXIII. 507 πολὺς δ' ἀνεκήκιεν ἱδρώς, quamquam et Homerus praesenti utitur Il. XIII, 705 πολὺς ἀνακηκίει ἱδρώς. Verbum ἀνακηκίω h. l. transitivam vim habet, quam non habet apud Homerum, quo factum est ut de ea sileant lexica, sed apud seriores poetas is usus frequens est, cf. Wernick. ad Tryphiod. v. 322.

601. τανύσας vulg. τανύσσαι Regg. A. C. τανύσσας Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. B. D. E. Brunck. Beck.

602. μεσσηγὺς Med. Vrat. Vind. μεσσηγὺ Reg. D., unde μεσηγὺ dederunt Brunck. Beck. sine causa.

604. ταναοῖσιν Regg. A. D. E. — ἐφήμεναι vulg., quod tamen soli Guelph. et marg. Vrat. praebent, et ex Flor. receperunt Steph. et recentiores. ἀειμέναι Vatt. A. B. C. D. Med. Vind. Regg. A. B. C. E. Ald. Paris. Brub. Basil., quod nihil est. ἐειμέναι Vrat. ἐλιγμέναι Reg. D. Pessimi codicis lectionem receperunt Brunck. et Beck., quae si vera esset, intelligi non posset, unde isti librariorum errores nati sint. Wakef. conjecit ἐνημμέναι. Vera videtur conjectura Gerhardi p. 52, quae proxime ad lectionem Vrat. accedit, ἐελμέναι, quam recipere non dubitavi. Idem ἐελμένος in ἐλιγμένος corruptum est Hymn. Hom. in Mercur. v. 306. — Locum nostrum ante oculos habuisse videntur Dionys. Perieg. v. 292 s. Nonn. Dionys. II, 153 s. XXXVIII, 92 sqq.

606. βλιβάδας Guelph. — λεχέων pro βλεφάρων Reg. D.

αἵ μέν τ' ἠελίῳ ψαμάθοις ἔπι τερσαίνονται·
εὖτ' ἂν δὲ κλύζῃσι κελαινῆς ὕδατα λίμνης
ἠϊόνας πνοιῇ πολυηχέος ἐξ ἀνέμοιο,
δὴ τότ' ἐς Ἠριδανὸν προκυλίνδεται ἀθρόα πάντα
κυμαίνοντι ῥόῳ. Κελτοὶ δ' ἐπὶ βάξιν ἔθεντο,
ὡς ἄρ' Ἀπόλλωνος τάδε δάκρυα Λητοΐδαο
ἐμφέρεται δίναις, ἅτε μυρία χεῦε πάροιθεν,
ἦμος Ὑπερβορέων ἱερὸν γένος εἰσαφίκανεν,
οὐρανὸν αἰγλήεντα λιπὼν ἐκ πατρὸς ἐνιπῆς,
χωόμενος περὶ παιδὶ, τὸν ἐν λιπαρῇ Λακερείῃ
δῖα Κορωνὶς ἔτικτεν ἐπὶ προχοῇς Ἀμύροιο.
καὶ τὰ μὲν ὣς κείνοισι μετ' ἀνδράσι κεκλήϊσται.
τοὺς δ' οὔτε βρώμης ἥρει πόθος, οὔτε ποτοῖο,
οὔτ' ἐπὶ γηθοσύνας τράπετο νόος. ἀλλ' ἄρα τοίγε
ἤματα μὲν στρεύγοντο περιβληχρὸν βαρύθοντες
ὀδμῇ λευγαλέῃ, τήν ῥ' ἄσχετον ἐξανίεσκον
τυφομένου Φαέθοντος ἐπιῤῥοαὶ Ἠριδανοῖο·
νυκτὸς δ' αὖ γόον ὀξὺν ὀδυρομένων ἐσάκουον
Ἡλιάδων λιγέως· τὰ δὲ δάκρυα μυρομένῃσιν

607. ἐπιτερσαίνονται vulg. recte divisit Brunck.

608. κλύζωσι vulg. κλύζῃσι Vatt. A. B. C. D. Med. a m. 1. Vrat. Vind. Regg. A. B. C. E., quod cum Brunck. et Beck. recepi. κλύζουσι Reg. D. Non raro tamen Noster cum substantivo plurali neutrius generis verbi pluralem jungit, v. I, 369. 576. 679. 809. 1142. II, 127. 665. III, 137. 813. 963. 1400. IV, 261. 447. 481. 626. 1426. — οἴδατα corrupte Guelph. inde natum οἴδματα, quod habent Regg. C. D. οἴδματι Regg. A. E., quod receperunt Brunck. et Beck., qui propterea versu sequente dederunt πνοιὴ, quod legitur in Vat. D. et Reg. A. Sed ne graecum quidem est: πνοιὴ κλύζει ἠϊόνας οἴδματι, contra recte dicitur: ὕδατα κλύζει ἠϊόνας πνοιῇ. Itaque revocavi eam lectionem, quam plurimorum et optimorum librorum auctoritas commendat.

609. ἠϊόνος Guelph.

610. ἐπ' Ἠριδανὸν Regg. quatuor.

613. συμφέρεται ex Regg. quinque receperunt Brunck. et Beck. sine causa.

615. οὐρανὸν αἰγλήεντα habet etiam Tryphiod. v. 515.

616. τὸ μὲν λιπαρῇ Reg. A.

617. Κρωνὶς Med. a m. 1. Vrat. a m. 1. Vind. — Ἀμύνοιο Vatt. A. B. C. D. Med. a m. 1. Vrat. Vind. Regg. tres.

618. μὲν ἀνδράσι Vind.

619. πόρος Guelph. — οὐδὲ ποτοῖο vulg. οὔτε Guelph., quod necessarium est, et probante in Appendice Brunckio recepit Beck.

620. οὐδ', quod in Appendice proponit Brunck., recepit Beck. sine causa. — τέρπεν νόος Guelph. νόος ἐτράπετ' corrigendum putavit Herm. ad Orph. p. 708, sine causa; v. Gerhard. p. 123. — ἄγε pro ἄρα Vatt. C. D.

621. περὶ βληχρὸν, ut scribendum proposuit Steph., habent Vrat. et aliquot Regg., unde receperunt Brunck. Beck., male. Simplex περὶ hoc loco nihil est.

623. ἐπιῤῥοὰς Reg. A. ἐπιροαὶ Brunck. Beck. ut solent.

624. νυκτὼρ Flor.

οἷον ἐλαιηραὶ στάγες ὕδασιν ἐμφορέοντο.
'Εκ δὲ τόθεν Ῥοδανοῖο βαθὺν ῥόον εἰσαπέβησαν,
ὅστ' εἰς Ἠριδανὸν μετανίσσεται· ἄμμιγα δ' ὕδωρ
ἐν ξυνοχῇ βέβρυχε κυκώμενον. αὐτὰρ ὁ γαίης
ἐκ μυχάτης, ἵνα τ' εἰσὶ πύλαι καὶ ἐδέθλια Νυκτὸς,
ἔνθεν ἀπορνύμενος τῇ μέν τ' ἐπερεύγεται ἀκτὰς
Ὠκεανοῦ, τῇ δ' αὖτε μετ' Ἰονίην ἅλα βάλλει,
τῇ δ' ἐπὶ Σαρδόνιον πέλαγος καὶ ἀπείρονα κόλπον
ἑπτὰ διὰ στομάτων ἵει ῥόον. ἐκ δ' ἄρα τοῖο
λίμνας εἰσέλασαν δυσχείμονας, αἵτ' ἀνὰ Κελτῶν
ἤπειρον πέπτανται ἀθέσφατον· ἔνθα κεν οἵ γε
ἄτῃ ἀεικελίῃ πέλασαν. φέρε γάρ τις ἀποῤῥὼξ
κόλπον ἐς Ὠκεανοῖο, τὸν οὐ προδαέντες ἔμελλον
εἰσβαλέειν, τόθεν οὔ κεν ὑπότροποι ἐξεσάωθεν.
ἀλλ' Ἥρη σκοπέλοιο καθ' Ἑρκυνίου ἰάχησεν,
οὐρανόθεν προθοροῦσα· φόβῳ δ' ἐτίναχθεν ἀΰτῆς
πάντες ὁμῶς· δεινὸν γὰρ ἐπὶ μέγας ἔβραχεν αἰθήρ.
ἂψ δὲ παλιντροπόωντο θεᾶς ὕπο, καί ῥ' ἐνόησαν
τὴν οἶμον, τῇ πέρ τε καὶ ἔπλετο νόστος ἰοῦσιν.
δηναιοὶ δ' ἀκτὰς ἁλιμυρέας εἰσαφίκοντο
Ἥρης ἐννεσίῃσι, δι' ἔθνεα μυρία Κελτῶν
καὶ Λιγύων περόωντες ἀδήϊοι. ἀμφὶ γὰρ αἰνὴν
ἠέρα χεῦε θεὰ πάντ' ἤματα νισσομένοισιν.

626. ἐλεηραὶ Vrat. Vind.

627. βαρὺν Guelph. — εἰσεπέρησαν vulg. ἐξεπέρησαν Reg. D. εἰσαπέβησαν Vatt. A. B. C. D. Vrat. Vind. Regg. A. B. C. E., quod recte recepit Beck. εἰσανέβησαν dedit Brunckius ex conjectura, quae nec necessaria est nec sensui apta.

628. μετανείσεται vulg. μετανείσσεται Vrat. Vind. Reg. E. μετανίσσεται Guelph. Reg. D. Brunck. Beck.

631. ἀπερεύγεται Regg. tres. ἐπιρεύγεται Flor.

633. πόντον pro κόλπον Guelph. Flor.

634. ἱεὶς vulg. ἵει, quod sensus postulat, Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. quinque, Ald. Paris. Brub. Basil. Brunck. Beck. Vulgata igitur ex sola Flor. fluxit.

636. ἀθέσφαται ex Regg. A. D. E. male receperunt Brunck. Beck. ἀθέσφατον est adverbium ut Hymn. Hom. in Herc. v. 4 ἀθέσφατον πλαζόμενος. Male hinc in lexica irrepsit inauditum femininum ἀθεσφάτη. — καὶ pro κεν Vat. A.

637. ἐπέλασαν Guelph. — ἀπορὼξ Med. a m. 1. Brunck. Beck.

639. εἰσβάλλειν Regg. quinque.

640. κατ' ἐρκυνίου Regg. quatuor. — ἴσχυσε pro ἰάχησεν ex corruptela Etym. M. p. 375, 34.

641. ἀΰτη Vat. A. ἀϋτῇ Vat. D. Med. Vrat. Vind.

643. παλιντρωπῶντο Guelph.

644. τήνδ' vulg. τὴν Med. a m. 1. Regg. quinque, Brunck. Beck. recte.

646. αἰνεσίῃσι vulg. ut semper. Veram lectionem habent codd. omnes.

648. πάνθ' Med. a m. 1. — νεισομένοισι vulg. νεισσομένοισι Reg. E. νισσομένοισι Reg. D. Brunck.

μεσσότατον δ' ἄρα τοί γε διὰ στόμα νηῒ βαλόντες
Στοιχάδας εἰσαπέβαν νήσους σόοι εἵνεκα κούρων
Ζηνός· ὃ δὴ βωμοί τε καὶ ἱερὰ τοῖσι τέτυκται
ἔμπεδον· οὐδ' οἶον κείνης ἐπίκουροι ἕποντο
ναυτιλίης· Ζεὺς δέ σφι καὶ ὀψιγόνων πόρε νῆας.
Στοιχάδας αὖτε λιπόντες ἐς Αἰθαλίην ἐπέρησαν
νῆσον, ἵνα ψηφῖσιν ἀπωμόρξαντο καμόντες
ἱδρῶ ἅλις· χροιῇ δὲ κατ' αἰγιαλοῖο κέχυνται
εἴκελαι· ἐν δὲ σόλοι καὶ τεύχεα θέσκελα κείνων·
ἐν δὲ λιμὴν Ἀργῷος ἐπωνυμίην πεφάτισται.
Καρπαλίμως δ' ἐνθένδε διὲξ ἁλὸς οἶδμα νέοντο,
Αὐσονίης ἀκτὰς Τυρσηνίδας εἰσορόωντες·
ἷξον δ' Αἰαίης λιμένα κλυτόν· ἐκ δ' ἄρα νηὸς
πείσματ' ἐπ' ἠϊόνων σχεδόθεν βάλον. ἔνθα δὲ Κίρκην
εὗρον ἁλὸς νοτίδεσσι κάρη ἐπιφαιδρύνουσαν·
τοῖον γὰρ νυχίοισιν ὀνείρασιν ἐπτοίητο.
αἵματί οἱ θάλαμοί τε καὶ ἕρκεα πάντα δόμοιο
μύρεσθαι δόκεον· φλὸξ δ' ἀθρόα φάρμακ' ἔδαπτεν,
οἷσι πάρος ξείνους θέλγ' ἀνέρας, ὅστις ἵκοιτο·
τὴν δ' αὐτὴ φονίῳ σβέσεν αἵματι πορφύρουσαν,
χερσὶν ἀφυσσαμένη· λῆξεν δ' ὀλοοῖο φόβοιο.
τῷ καὶ ἐπιπλομένης ἠοῦς νοτίδεσσι θαλάσσης
ἐγρομένη πλοκάμους τε καὶ εἵματα φαιδρύνεσκεν.
θῆρες δ', οὐ θήρεσσιν ἐοικότες ὠμηστῇσιν,

Beck. νεισομένοισιν Med. νισσομένοισιν Vrat. Vind.

649. μεσότατον Med.

650. Στυχάδας Med. a m. 1.

652. ἐπίουροι Guelph. Flor., quod magis poeticum habet Ruhnk. ep. crit. p. 312 et recepit Beck., neque ego rejicerem, si majore auctoritate niteretur, aut vulgata lectio sensu careret.

654. Οἰχαλίην Reg. D.

656. ἅλιν Guelph. — κέχνται Med. a m. 1.

657. εἴκελοι vulg. ἴκελοι Guelph. Vrat. Flor. Brub. Basil. εἴκελαι correxit Brunck. Matthiae obss. critt. p. 30 aegre ferens, quod non additum sit, cui similes fuerint, ποικίλαι emendandum censet; quod minime necessarium est: subintelligendum est εἴκελαι ἱδρῶτι, nam colorem acceperant ἀπὸ τῶν στλεγγισμάτων, ut dicunt, qui hanc rem fusius narrant, Strab. V, 9 et Aristot. de Mirabil. p. 107 ed. Sylb.

658. Ἀργαῖος Regg. A. B. C. E. — ἔνθα pro ἐν δὲ scribendum suspicatur Beck., quo nihil proficitur, quamquam negari non potest, illud ἐν δὲ aliquatenus suspectum esse. Omnino duo postremi versus non satis cum praecedentibus cohaerent, et si quis mendum aliquod latere vel excidisse aliquid dixerit, non admodum repugnabo.

660. Τυρσυνήδας Med.

662. πείσματα ἠϊόνων Guelph. — ἐνθάδε Brunck. sine libris male.

668. πορφύρουσα Guelph.

669. λῆξε Flor.

671. ἥματα Vrat.

672. ὠμηστῆρσιν Vatt. C. D.

οὐδὲ μὲν οὐδ' ἄνδρεσσιν ὁμὸν δέμας, ἄλλο δ' ἀπ' ἄλλων
συμμιγέες μελέων, κίον ἀθρόοι, ἠΰτε μῆλα
ἐκ σταθμῶν ἅλις εἶσιν ὀπηδεύοντα νομῆϊ.
τοίους καὶ προτέρης ἐξ ἰλύος ἐβλάστησεν
χθὼν αὐτὴ μικτοῖσιν ἀρηρεμένους μελέεσσιν,
οὔπω διψαλέῳ μάλ' ὑπ' ἠέρι πιληθεῖσα,
οὐδέ πω ἀζαλέοιο βολαῖς τόσον ἠελίοιο
ἰκμάδας αἰνυμένη· τὰ δ' ἐπὶ στίχας ἤγαγεν αἰὼν
συγκρίνας· τὼς οἵ γε φυὴν ἀΐδηλοι ἕποντο.
ἥρωας δ' ἕλε θάμβος ἀπείριτον· αἶψα δ' ἕκαστος
Κίρκης εἴς τε φυὴν εἴς τ' ὄμματα παπταίνοντες,
ῥεῖα κασιγνήτην φάσαν ἔμμεναι Αἰήταο.
Ἡ δ' ὅτε δὴ νυχίων ἀπὸ δείματα πέμψεν ὀνείρων,
αὐτίκ' ἔπειτ' ἄψοῤῥον ἀπέστιχε· τοὺς δ' ἅμ' ἕπεσθαι
χειρὶ καταῤῥέξασα δολοφροσύνῃσιν ἄνωγεν
ἔνθ' ἤτοι πληθὺς μὲν ἐφετμαῖς Αἰσονίδαο
μίμνεν ἀπηλεγέως· ὁ δ' ἐρύσσατο Κολχίδα κούρην.
ἄμφω δ' ἑσπέσθην αὐτὴν ὁδὸν, ἔς τ' ἀφίκοντο
Κίρκης ἐς μέγαρον· τοὺς δ' ἐν λιπαροῖσι κέλευεν
ἥ γε θρόνοις ἕζεσθαι, ἀμηχανέουσα κιόντων.
τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφ' ἑστίῃ ἀΐξαντες
ἵζανον, ἧτε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται,
ἡ μὲν ἐπ' ἀμφοτέραις θεμένη χείρεσσι μέτωπα,

673. μιν pro μὲν Reg. E. — ὅλον Guelph. ὁμοὶ scripsisse poetam suspicatur Brunck., quod non est necessarium. — ἐπ' ἄλλων Vatt. A. B. C. D. Med. a m. 1. Guelph. Regg. A. B. C. ἐπ' ἄλλῳ Reg. D., sed praestat vulgata.

675. Extremam versus partem laudat Etymol. M. p. 627, 23.

676. προτέρους vulg., sed προτέρης Vatt. A. B. C. D. Med. a m. 1. Vrat. Vind. Regg. quinque, quod praestare recte viderunt Brunck. et Beck.

677. ἀρηραμένη Vat. C. ἀρηρεμένη Vat. A. Med. Vrat. Vind., sed Vrat. vulgatam in margine dedit. ἀρηραμένους ex conjectura Brunck. Beck., quod nihil est, vid. ad I, 787.

678. δαψιλέῳ Guelph.

679. βολῆς Guelph.

680. ἤγαγ' Guelph.

681. φυγὴν Vat. D.

685. νυχείων Vrat. Vind. — πέμπεν Guelph.

687. καταρέξασα Reg. E. Brunck. Beck. — ἄνωγε Guelph.

689. μίμνον Reg. A.

690. ἐπέσθην Med. Vrat.

691. κέλευσεν ex uno Reg. D. Brunck. Beck.

693. ἐφέστιοι marg. Vrat. — ἀΐξαντε Vatt. C. D. Guelph. Vrat. Vind. Regg. quinque, quod non propter hiatum improbandum est, ut fecerunt Brunck. Beck., sed quia et auctoritate non satis idonea nititur, et facilius a librariis proficisci potuit.

694. ἥ τε vulg. restitui dativum ut supra v. 479, quem legisse etiam videtur Schol. Flor., qui interpretatur ὡς νόμος ἐστί. — λίτροις Reg. A.

695. ἀμφοτέρης Guelph. ἀκροτέραις Regg. A. E. ἀκροτάταις Reg. D.

αὐτὰρ ὁ κωπῆεν μέγα φάσγανον ἐν χθονὶ πήξας,
ᾧπέρ τ' Αἰήταο πάϊν κτάνεν· οὐδέ ποτ' ὄσσε
ἰθὺς ἐνὶ βλεφάροισιν ἀνέσχεθον. αὐτίκα δ' ἔγνω
Κίρκη φύξιον οἶτον, ἀλιτροσύνας τε φόνοιο.
τῷ καὶ ὀπιζομένη Ζηνὸς θέμιν Ἱκεσίοιο,
ὃς μέγα μὲν κοτέει, μέγα δ' ἀνδροφόνοισιν ἀρήγει,
ῥέζε θυηπολίην, οἵῃ τ' ἀπολυμαίνονται
νηλιτεῖς ἱκέται, ὅτ' ἐφέστιοι ἀντιόωσιν.
πρῶτα μὲν ἀτρέπτοιο λυτήριον ἥ γε φόνοιο
τειναμένη καθύπερθε συὸς τέκος, ἧς ἔτι μαζοὶ
πλήμμυρον λοχίης ἐκ νηδύος, αἵματι χεῖρας
τέγγεν, ἐπιτμήγουσα δέρην· αὖτις δὲ καὶ ἄλλοις
μείλισσεν χύτλοισι, καθάρσιον ἀγκαλέουσα
Ζῆνα, παλαμναίων τιμήορον ἱκεσιάων.
καὶ τὰ μὲν ἀθρόα πάντα δόμων ἐκ λύματ' ἔνεικαν
Νηϊάδες πρόπολοι, ταί οἱ πόρσυνον ἕκαστα.
ἡ δ' εἴσω πελάνους μείλικτρά τε νηφαλίῃσιν
καῖεν ἐπ' εὐχωλῇσι παρέστιος, ὄφρα χόλοιο
σμερδαλέας παύσειεν Ἐριννύας, ἠδὲ καὶ αὐτὸς
εὐμειδής τε πέλοιτο καὶ ἤπιος ἀμφοτέροισιν,
εἴτ' οὖν ὀθνείῳ μεμιασμένοι αἵματι χεῖρας,
εἴτε καὶ ἐμφύλῳ προσκηδέες ἀντιόωσιν.
Αὐτὰρ ἐπεὶ μάλα πάντα πονήσατο, δὴ τότ' ἔπειτα

697. κτάνον Regg. A. E., κτάμεν Ald. Brub. Basil. — ποθ' Med. a m. 1.

700. τοῦ Reg. A. — χόλον pro θέμιν Guelph.

703. νηληεῖς vulg., quod nihil est. νηλειεῖς Regg. A. C. E., quod receperunt Brunck. Beck. sensu repugnante. νηλιτεῖς emendavit Hoelzlin., quae emendatio, a Ruhnkenio ep. crit. p. 176 probata, et facillima est, simillima enim sunt *H* et *IT*, et sensui aptissima, usurpavit enim Apollonius vocabulum ea significatione, quam apud Homerum agnovit Aristarchus, v. Schol. ad Od. XVI, 317. XIX, 498. Nam quod metrum huic lectioni repugnare putavit Brunckius, erravit; quamquam dubitat etiam Herm. ad Soph. Oed. Col. 372.

704. ἦγε Vat. A. Reg. A.

706. πλήμυρον Med.

708. μείλισσε Regg. D. E. Brunck. Beck. — ἐγκαλέουσα Reg. A.

709. ἱκεσίῃσι Guelph. De prima hujus vocabuli syllaba producta v. Spitzn. de vers. her. p. 76.

710. δείματ' ἔνεικαν Guelph.

712. μελίκρατα Guelph., quod probat Piers. Veris. p. 214 et ad Moer. p. 255, unice verum putat Gerhard. p. 36, sed neque comburi μελίκρατα possunt, neque poeta epicus secundam syllabam corripere poterat, et μελίκρητα dicere debebat. Est igitur merus librarii error.

713. δαῖεν vulg., quod ex sola Flor. fluxit. καῖεν codd. omnes, quod recte restituit Beck. — ἐπευχωλῇσι Vrat.

714. παύσῃσιν Flor. Ald. Brub. Basil. Hoelzlin. — Ἐριννύας Med. Vrat.

717. ἐμφυλίῳ vulg. contra metrum. Correxit Brunck.

εἷσεν ἐπὶ ξεστοῖσιν ἀναστήσασα θρόνοισιν,
καὶ δ' αὐτὴ πέλας ἷξεν ἐνωπαδίς. αἶψα δὲ μύθῳ
χρειὼ ναυτιλίην τε διακριδὸν ἐξερέεινεν,
ἠδ' ὁπόθεν μετὰ γαῖαν ἐὴν καὶ δώματ' ἰόντες
αὔτως ἱδρύνθησαν ἐφέστιοι. ἦ γὰρ ὀνείρων
μνῆστις ἀεικελίη δῦνεν φρένας ὁρμαίνουσαν·
ἵετο δ' αὖ κούρης ἐμφύλιον ἴδμεναι ὀμφὴν,
αὐτίχ' ὅπως ἐνόησεν ἀπ' οὔδεος ὄσσε βαλοῦσαν.
πᾶσα γὰρ Ἠελίου γενεὴ ἀρίδηλος ἰδέσθαι
ἦεν, ἐπεὶ βλεφάρων ἀποτηλόθι μαρμαρυγῇσιν
οἷόν τε χρυσέην ἀντώπιον ἵεσαν αἴγλην.
ἡ δ' ἄρα τῇ τὰ ἕκαστα διειρομένῃ κατέλεξεν,
Κολχίδα γῆρυν ἱεῖσα, βαρύφρονος Αἰήταο
κούρη μειλιχίως, ἠμὲν στόλον, ἠδὲ κελεύθους
ἡρώων, ὅσα τ' ἀμφὶ θοοῖς ἐμόγησαν ἀέθλοις·
ὥς τε κασιγνήτης πολυκηδέος ἤλιτε βουλαῖς,
ὥς τ' ἀπονόσφιν ἄλυξεν ὑπέρβια δείματα πατρὸς,
σὺν παισὶν Φρίξοιο· φόνον δ' ἀλέεινεν ἐνισπεῖν
Ἀψύρτου. τὴν δ' οὔ τι νόῳ λάθεν· ἀλλὰ καὶ ἔμπης
μυρομένην ἐλέαιρεν, ἔπος δ' ἐπὶ τοῖσιν ἔειπεν.
„Σχετλίη, ἦ ῥα κακὸν καὶ ἀεικέα μήσαο νόστον.
„ἔλπομαι οὐκ ἐπὶ δήν σε βαρὺν χόλον Αἰήταο
„ἐκφυγέειν· τάχα δ' εἶσι καὶ Ἑλλάδος ἤθεα γαίης
„τισόμενος φόνον υἷος, ὅτ' ἄσχετα ἔργα τέλεσσας.
„ἀλλ' ἐπεὶ οὖν ἱκέτις καὶ ὁμόγνιος ἔπλευ ἐμεῖο,
„ἄλλο μὲν οὔ τι κακὸν μητίσομαι ἐνθάδ' ἰούσῃ·

720. *μύθοις* vulg. *μύθῳ* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. quinque, Brunck. Beck.

723. *ἱδρύθησαν* codices omnes ut saepe.

724. *δῦνε* ex Reg. D. dederunt Brunck. Beck. — *ὁρμαίνουσα* vulg. Accusativum, cujus elegantior usus librarios latebat, ex Guelph. et Reg. E. recte restituit Brunck.

727. *Ἠελίοιο* Guelph.

728. *ἀπὸ τηλόθι* Regg. A. E., quod recipiendum esse judicavit Brunck. in Appendice et recepit Beckius sine causa. *ἄπο τηλόθι* Vrat., quod ne quis verum putet vetant, quae ad I, 94 monita sunt.

729. *ἥεσαν* Vatt. A. D. — *αὐγήν* Vatt. A. C. D.

734. *ἤλιθε* Vrat.

736. *παισὶ* Vatt. A. B. C. D. Vrat. Vind. Regg. D. E. Brunck. Beck.

738. *ἐλέηρεν* ex conjectura minime necessaria Brunck. Beck. — *τοῖον* Guelph.

739. *μήσατο* Guelph. — *νόστον* non *reditum*, sed *iter*, v. Gerhard. p. 53.

741. *ἔσχατα γαίης* Guelph.

742. *ἔργ' ἐτελέσσας* ex Regg. A. B. E. male receperunt Brunck. Beck. Vid. ad II, 1072.

743. *ἱκέτης* Flor. Ald. Brub. Basil. — *ἐμοῖο* Flor. Ald. Brub. Basil. Hoelzlin.

„ἔρχεο δ' ἐκ μεγάρων ξείνῳ συνοπηδὸς ἐοῦσα,
„ὅντινα τοῦτον ἄϊστον ἀείραο πατρὸς ἄνευθεν·
„μηδέ με γουνάσσηαι ἐφέστιος, οὐ γὰρ ἔγωγε
„αἰνήσω βουλάς τε σέθεν καὶ ἀεικέα φύξιν."
῝Ως φάτο· τὴν δ' ἀμέγαρτον ἄχος λάβεν· ἀμφὶ δὲ πέπλον
ὀφθαλμοῖσι βαλοῦσα γόον χέεν, ὄφρα μιν ἥρως
χειρὸς ἐπισχόμενος μεγάρων ἐξῆγε θύραζε
δείματι παλλομένην· λεῖπον δ' ἄπο δώματα Κίρκης.
Οὐδ' ἄλοχον Κρονίδαο Διὸς λάθον· ἀλλά οἱ Ἶρις
πέφραδεν, εὖτ' ἐνόησεν ἀπὸ μεγάροιο κιόντας.
αὐτὴ γάρ μιν ἄνωγε δοκευέμεν, ὁππότε νῆα
στείχοιεν, τὸ καὶ αὖτις ἐποτρύνουσ' ἀγόρευεν.
„Ἶρι φίλη, νῦν, εἴ ποτ' ἐμὰς ἐτέλεσσας ἐφετμὰς,
„εἰ δ' ἄγε, λαιψηρῇσι μετοιχομένη πτερύγεσσιν
„δεῦρο Θέτιν μοι ἄνωχθι μολεῖν ἁλὸς ἐξανιοῦσαν.
„κείνης γὰρ χρειώ με κιχάνεται. αὐτὰρ ἔπειτα
„ἐλθεῖν εἰς ἀκτὰς, ὅθι τ' ἄκμονες Ἡφαίστοιο
„χάλκειοι στιβαρῇσιν ἀράσσονται τυπίδεσσιν·
„εἰπὲ δὲ κοιμῆσαι φύσας πυρὸς, εἰσόκεν Ἀργὼ
„τάς γε παρεξελάσησιν. ἀτὰρ καὶ ἐς Αἰόλον ἐλθεῖν,
„Αἰόλον, ὅστ' ἀνέμοις αἰθρηγενέεσσιν ἀνάσσει·
„καὶ δὲ τῷ εἰπέμεναι τὸν ἐμὸν νόον, ὥς κεν ἀήτας

745. *συνοπαδὸς* Guelph.

746. *ἀνείραο* vulg. *ἀείραο* Med. a m. 1. marg. Vrat. Regg. quinque, quod recte receperunt Brunck. Beck.

747. *μηδ' ἐμὲ* Brunck. sine libris ut solet. *μή δέ με* Beck., quod in Vrat. Flor. Ald. Brub. Basil. legitur, minus apte. — *γουνάσσαιο* vulg. cum hiatu, quem tolerari posse judicat Spitzner. de vers. her. p. 152 et silentio praetermisit Hermannus. Sed ea minime omnium librorum lectio est, quamquam silent Brunck. et Beck. Nam *γουνάσσῃ* habent Vat A. Med. Vrat. Vind. Reg. A. $\overset{\text{αι}}{\text{γουνάσσῃ}}$ Guelph. *γουνάσσειε* Flor. Ald. Brub. Basil., ex quibus certissimum mihi videtur, veram lectionem esse *γουνάσσηαι*, quae etiam in corrupto illo *γουνάσσειε* latet, quid enim frequentius est confusione litterarum *η* et *ει*, *αι* et *ε*? Hanc igitur lectionem, qua hiatus etiam vitatur, restitui.

752. *λίπον* Med. Vrat. Vind.

758. *λαιψηροῖσι* vulg. *λαιηροῖσι* Med. a m. 1. *λαιψηρῇσι* Vatt. A. B. C. D. Regg. quatuor, quod recte receperunt Brunck. Beck. Est ille error frequentissimus, vid. ad III, 1020.

759. *μολεῖν ἐξ ἁλὸς* Vrat. Vind.

762. *στιβαροῖσιν* Vatt. A. B. C. D.

763. *εἰπὲ δέ μοι* Reg. A. — *κοιμίσαι* Guelph. marg. Vrat.

764. *εἰς* Med. Vrat. Vind. — *Αἰόλον* scripsi *παροξυτόνως* ex praecepto Arcadii p. 56 ed. Bark. cf. Müller. ad Tzetz. in Lycophr. p. 524. — De transitu ab imperativo ad infinitivum v. Merrick. ad Tryph. v. 410.

765. *ἀνέμοισιν* Vrat. Vind. — *αἰθρηγενεῖς* vocat praeeunte Homero Od. V, 296 *Βορέης αἰθρηγενέτης*.

766. *ἀῆται πάντες ἀπολλήξειαν* Flor.

„πάντας ἀπολλήξειεν ὑπ' ἠέρι, μηδέ τις αὔρη
„τρηχύνοι πέλαγος· Ζεφύρου γε μὲν οὖρος ἀήτω,
„ὄφρ' οἵ γ' Ἀλκινόου Φαιήκιδα νῆσον ἵκωνται.“
Ὣς ἔφατ'· αὐτίκα δ' Ἶρις ἀπ' Οὐλύμποιο θοροῦσα
τέμνε τανυσσαμένη κοῦφα πτερά. δῦ δ' ἐνὶ πόντῳ
Αἰγαίῳ, τόθι πέρ τε δόμοι Νηρῆος ἔασιν.
πρώτην δ' εἰσαφίκανε Θέτιν, καὶ ἐπέφραδε μῦθον
Ἥρης ἐννεσίῃς ὦρσέν τέ μιν εἰς ἓ νέεσθαι.
δεύτερα δ' εἰς Ἥφαιστον ἐβήσατο· παῦσε δὲ τόν γε
ῥίμφα σιδηρείων τυπίδων· ἔσχοντο δ' ἀϋτμῆς
αἰθαλέοι πρηστῆρες. ἀτὰρ τρίτον εἰσαφίκανεν
Αἰόλον Ἱππότεω παῖδα κλυτόν. ὄφρα δὲ καὶ τῷ
ἀγγελίην φαμένη θοὰ γούνατα παῦσεν ὁδοῖο,
τόφρα Θέτις, Νηρῆα κασιγνήτας τε λιποῦσα,
ἐξ ἁλὸς Οὔλυμπόνδε θεὰν μετεκίαθεν Ἥρην·
ἡ δέ μιν ἆσσον ἑοῖο παρεῖσέ τε φαῖνέ τε μῦθον.
„Κέκλυθι νῦν, Θέτι δῖα, τά τοι ἐπιέλδομ' ἐνισπεῖν.
„οἶσθα μὲν, ὅσσον ἐμῇσιν ἐνὶ φρεσὶ τίεται ἥρως
„Αἰσονίδης ἠδ' ἄλλοι ἀοσσητῆρες ἀέθλου,
„οἵῃ τέ σφ' ἐσάωσα διὰ πλαγκτὰς περόωντας
„πέτρας, ἔνθα πυρὸς δειναὶ βρομέουσι θύελλαι,
„κύματά τε σκληρῇσι περιβλύει σπιλάδεσσιν.
„νῦν δὲ παρὰ Σκύλλης σκόπελον μέγαν ἠδὲ Χάρυβδιν
„δεινὸν ἐρευγομένην δέχεται ὁδός. ἀλλά σε γὰρ δὴ
„ἐξέτι νηπυτίης αὐτὴ τρέφον ἠδ' ἀγάπησα

767. *ἀπολήξειεν* Brunck. Beck. ut solent. — *ἐν ἠέρι* Guelph.

768. *τρηχύνει* Guelph.

769. *Φαιήκων* Regii aliquot.

773. *ἀπέφραδε* Vat. C.

774. *αἰνεσίῃς* vulg. ut semper. *ἐννεσίῃς* Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. B. D. Brunck. Beck. — *καὶ ἐπέφραδε* — *μιν* desunt in Reg. A. — *ὦρσε* ex uno Reg. D. Brunck. Beck. — *δέ μιν* Flor.

775. *ἐδύσατο* Regg. A. D., quod pessime recepit Brunck. *ἐδύσσατο* Reg. E. *ἐάσατο* Reg. C. — *τόνδε* Vat. C.

778. *κλυστὸν* Guelph. — *ὄφρα δὲ καὐτῷ* Regg. A. B. C. *ὄφρα δὲ καὶ αὐτῷ* Guelph. Reg. E. *ὄφρα καὶ αὐτῷ* Reg. D.

781. *θεὰ* Regg. tres.

782. *ἑεῖο* ex conjectura non necessaria Brunck. Beck. vid. ad I, 1032. — *φαῖνε δὲ* Med. a m. 1.

785. *οἵδ' ἄλλοι* Med. Vind., qui est merus error ex simili pronunciatione ortus ut III, 58, sed inde *οἵ τ' ἄλλοι* dedit Brunck., quem sequitur Beck. At *ἄλλοι* pro *οἱ ἄλλοι* positum est, vid. ad I, 910. — *τ' ἀοσσητῆρες* Vatt. A. B. C. D.

786. *οἵως* Guelph. Flor. Steph. Brunck. probante Porsono Advers. p. 175, sed *οἵῃ*, quod reliqui libri omnes habent, pari elegantia dictum est ac Soph. Philoct. 995 *οἷός μ' ὑπῆλθες, ὥς μ' ἐθηράσω.*

788. *περιβρύει* Med. a m. 1. *περικλύει* Guelph.

789. *μέγαν* omittit Guelph.

„ἔξοχον ἀλλάων, αἵτ' εἰν ἁλὶ ναιετάουσιν,
„οὕνεκεν οὐκ ἔτλης εὐνῇ Διὸς ἱεμένοιο
„λέξασθαι. κείνῳ γὰρ ἀεὶ τάδε ἔργα μέμηλεν,
„ἠὲ σὺν ἀθανάταις, ἠὲ θνητῇσιν ἰαύειν.
„ἀλλ' ἐμέ τ' αἰδομένη καὶ ἐνὶ φρεσὶ δειμαίνουσα,
„ἠλεύω· ὁ δ' ἔπειτα πελώριον ὅρκον ὄμοσσεν,
„μήποτέ σ' ἀθανάτοιο θεοῦ καλέεσθαι ἄκοιτιν.
„ἔμπης δ' οὐ μεθίεσκεν ὀπιπτεύων ἀέκουσαν,
„εἰσότε οἱ πρέσβειρα Θέμις κατέλεξεν ἅπαντα,
„ὡς δή τοι πέπρωται ἀμείνονα πατρὸς ἑοῖο
„παῖδα τεκεῖν· τῷ καί σε λιλαιόμενος μεθέηκεν
„δείματι, μή τις ἑοῦ ἀντάξιος ἄλλος ἀνάσσοι
„ἀθανάτων, ἀλλ' αἰὲν ἑὸν κράτος εἰρύοιτο.
„αὐτὰρ ἐγὼ τὸν ἄριστον ἐπιχθονίων πόσιν εἶναι
„δῶκά τοι, ὄφρα γάμου θυμηδέος ἀντιάσειας
„τέκνα τε φιτύσαιο· θεοὺς δ' εἰς δαῖτα κάλεσσα
„πάντας ὁμῶς· αὐτὴ δὲ σέλας χείρεσσιν ἀνέσχον
„νυμφίδιον κείνης ἀγανόφρονος εἵνεκα τιμῆς.
„ἀλλ' ἄγε, καί τινά τοι νημερτέα μῦθον ἐνίψω·
„εὖτ' ἂν ἐς Ἠλύσιον πεδίον τεὸς υἱὸς ἵκηται,
„ὃν δὴ νῦν Χείρωνος ἐν ἤθεσι Κενταύροιο
„Νηϊάδες κομέουσι τεοῦ λίπτοντα γάλακτος,
„χρειώ μιν κούρης πόσιν ἔμμεναι Αἰήταο
„Μηδείης· σὺ δ' ἄρηγε νυῷ ἑκυρή περ ἐοῦσα
„ἠδ' αὐτῷ Πηλῆϊ. τί τοι χόλος ἐστήρικται;
„ἀάσθη. καὶ γάρ τε θεοὺς ἐπινίσσεται ἄτη.

795. *ἀθανάτῃς* Vat. D. Reg. D. Brunck. Beck. *ἀθανάτοις* Guelph. — *θνητοῖσιν* Guelph. Regg. tres.

796. *ἐμὲ αἰδομένη* Regg. quatuor, quos secuti sunt Brunck. et Beck., non curantes hiatum turpissimum. Particulae *τέ* is est usus, cujus exempla attuli ad Aesch. Prom. 42. Add. Schaef. ad poet. gnom. p. 73. 366 et Apparat. ad Demosth. T. I p. 191. 690.

799. *ὀπιπεύων* Vat. A.

800. *κατέλεξεν ἕκαστα* Guelph. Flor.

801. *πέπρωτο* vulg. *πέπρωται* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. quatuor, Ald. Paris. Brub. Basil., quod et sensu et metro postulante cum Brunck. et Beck. recepi. — *ἀμείονα* Vatt. A. B. C. D.

806. *ἀντιάσηαι* Reg. A.

807. *τέκνα δὲ* Ald. Brub. Basil. Hoelzlin. Shaw. — *φυτήσαιο* vulg. *φυτύσαιο* Guelph. *φυτίσαιο* Reg. B. *φιτύσαιο* Vatt. A. B. C. D. Med. Vrat. Vind. Reg. C. Brunck. Beck. recte, quod jam conjectura assecutus erat Lennep. ad Coluth. p. 89. — *ἐς* ex uno Reg. D. Brunck. Beck. — *δαῖτ' ἐκάλεσσα* ex conjectura Brunckius et Beck. sine causa, vid. ad II, 1072 *δῶμα κάλεσσα* Reg. D.

810. *θυμηδέα μῦθον* Guelph.

812. *νῦν* deest in Vrat. Vind. — *ἤθεσσι* Flor.

817. *ἐπινείσεται* vulg. *ἐπινείσσεται* Vrat. Vind. *ἐπινίσσεται* Reg. D. Brunck. Beck.

„ναὶ μὲν ἐφημοσύνῃσιν ἐμαῖς Ἥφαιστον ὀΐω
„λωφήσειν πρήσοντα πυρὸς μένος, Ἱπποτάδην δὲ
„Αἰόλον ὠκείας ἀνέμων ἀΐκας ἐρύξειν
„νόσφιν ἐϋσταθέος Ζεφύρου, τείως κεν ἵκωνται
„Φαιήκων λιμένας· σὺ δ' ἀκηδέα μήδεο νόστον.
„δεῖμα δέ τοι πέτραι καὶ ὑπέρβια κύματ' ἔασιν
„μοῦνον, ἅ κεν τρέψαιο κασιγνήτῃσι σὺν ἄλλαις.
„μηδὲ σύ γ' ἠὲ Χάρυβδιν ἀμηχανέοντας ἐάσῃς
„ἐσβαλέειν, μὴ πάντας ἀναβρόξασα φέρῃσιν,
„ἠὲ παρὰ Σκύλλης στυγερὸν κευθμῶνα νέεσθαι,
„Σκύλλης Αὐσονίης ὀλοόφρονος, ἣν τέκε Φόρκῳ
„νυκτιπόλος Ἑκάτη, τήντε κλείουσι Κράταιϊν,
„μήπως σμερδαλέῃσιν ἐπαΐξασα γένυσσιν
„λεκτοὺς ἡρώων δηλήσεται. ἀλλ' ἔχε νῆα
„κεῖσ', ὅθι περ τυτθή γε παραίβασις ἔσσετ' ὀλέθρου."
Ὣς φάτο· τὴν δὲ Θέτις τοίῳ προσελέξατο μύθῳ·
„Εἰ μὲν δὴ μαλεροῖο πυρὸς μένος ἠδὲ θύελλαι
„ζαχρηεῖς λήξουσιν ἐτήτυμον, ἦτ' ἂν ἔγωγε
„θαρσαλέη φαίην καὶ κύματος ἀντιόωντος
„νῆα σαωσέμεναι, Ζεφύρου λίγα κινυμένοιο.

818. μὴν Flor.
819. πρήσσοντα vulg. πρήσοντα Guelph. Regg. A. D. E., quod recte receperunt Brunck. et Beck. Sed Brunckio jure displicet participium futuri, qui propterea πρήθοντα se legere malle dicit. At praesente non utuntur epici, malim igitur πρήσαντα, aoristus enim semper hac significatione usurpatur, et facile corrumpi potuit propter vicinum futurum λωφήσειν.
820. Hunc versum respicit Etymol. M. p. 42, 51, ubi pro τὰς αὐτὰς ἐπιπνοίας τῶν ἀνέμων legendum est τὰς ἀΐκας ἐπιπνοίας τ. ἀ.
823. ἔασσι Steph.
824. κεν in κε tacite et sine libris mutavit Brunck.
825. ἐάσσῃς Guelph. (et alii, ut videtur, codd.) Flor. Steph. Hoelzlin. Shaw.
826. ἀναβρώξασα codd. et edd. veteres omnes. Bene correxit Hoelzlin. ex Hom. Od. XII, 240, quem secuti sunt Brunck. et Beck.
827. Σκύλης Ald. Brub. Basil.

828. Φόρκυν νυκτιπόλος θ' Ἑκάτη vulg. Φόρκυς Vatt. A. D. Φόρκῳ νυκτιπόλος Ἑκάτη Med. Guelph. Vrat. Vind. Regg. quinque, quod recte receperunt Brunck. et Beckius, nam et Φόρκυν et Φόρκυς et Φόρκος vocatur ille Deus, et quum θ' librariis metri causa necessarium videbatur, facilis erat corruptio. Sed propter plurimorum librorum lectionem Φόρκυν, malim fere Φόρκυι, quod facillime in illud transire potuit. Ipse hic dativus bisyllabe legitur Hesiod. Theog. 333 et ea forma, quae tertiam declinationem sequitur, utitur noster etiam infra v. 1598.
829. Κράτεϊν Vrat. Vind.
830. γενύεσσι Guelph.
834. ἠὲ θυέλλαι vulg. ἠδὲ ex Regg. quatuor sensu postulante receperunt Brunck. et Beck. Saepius jam illas voculas confusas vidimus, ut supra v. 182 et mox v. 1207 in Guelph. confunduntur.
836. ἐναντιόωντος Reg. A.

„ἀλλ' ὥρη δολιχήν τε καὶ ἄσπετον οἶμον ὁδεύειν,
„ὄφρα κασιγνήτας μετελεύσομαι, αἵ μοι ἀρωγοὶ
„ἔσσονται, καὶ νηὸς ὅθι πρυμνήσι' ἀνῆπται,
„ὥς κεν ὑπηῷοι μνησαίατο νόστον ἑλέσθαι.“
  Ἦ καὶ ἀναΐξασα κατ' αἰθέρος ἔμπεσε δίναις
κυανέου πόντοιο· κάλει δ' ἐπαμυνέμεν ἄλλας
αὐτοκασιγνήτας Νηρηΐδας· αἱ δ' ἀΐουσαι
ἤντεον ἀλλήλῃσι· Θέτις δ' ἀγόρευεν ἐφετμὰς
Ἥρης· αἶψα δ' ἴαλλε μετ' Αὐσονίην ἅλα πάσας.
αὐτὴ δ' ὠκυτέρη ἀμαρύγματος ἠὲ βολάων
ἠελίου, ὅτ' ἄνεισι περαίης ὑψόθι γαίης,
σεύατ' ἴμεν λαιψηρὰ δι' ὕδατος, ἔστ' ἀφίκανεν
ἀκτὴν Αἰαίην Τυρσηνίδος ἠπείροιο.
τοὺς δ' εὗρεν παρὰ νηῒ σόλῳ ῥιπῇσί τ' ὀϊστῶν
τερπομένους· ἡ δ' ἆσσον ὀρεξαμένη χερὸς ἄκρης
Αἰακίδεω Πηλῆος· ὁ γάρ ῥά οἱ ἦεν ἀκοίτης,
οὐδέ τις εἰσιδέειν δύνατ' ἔμπεδον· ἀλλ' ἄρα τῷ γε
οἴῳ ἐν ὀφθαλμοῖσιν ἐείσατο, φώνησέν τε.
  „Μηκέτι νῦν ἀκταῖς Τυρσηνίσιν ἧσθε μένοντες·
„ἠῶθεν δὲ θοῆς πρυμνήσια λύετε νηὸς,
„Ἥρῃ πειθόμενοι ἐπαρηγόνι. τῆς γὰρ ἐφετμῆς
„πασσυδίῃ κοῦραι Νηρηΐδες ἀντιόωσιν,
„νῆα διὲκ πέτρας, αἵτε Πλαγκταὶ καλέονται,
„ῥυσόμεναι. κείνη γὰρ ἐναίσιμος ὕμμι κέλευθος.
„ἀλλὰ σὺ μή τῳ ἐμὸν δείξῃς δέμας, εὖτ' ἂν ἴδηαι

838. δολιχόν Guelph.
844. Νηρηϊάδας Vrat. Vind.
845. ἠγόρευεν Vrat. Vind.
846. Αὐσονίαν Reg. A.
847. ἠδὲ Reg. D.
850. ἀκτὴν αὐσονίην Reg. A. — Τυρσηνήδος Vrat.
851. εὗρε Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. D. E. Flor. Ald. Brub. Basil., quod revocarunt Brunckius et Beck.
852. ὀρεξαμένης Reg. A. — χειρὸς Med. Vrat. Vind.
854. In ἔμπεδον offenderunt Facius epist. crit. p. 15 et Matthiae obss. critt. p. 30, quorum uterque ἀμφαδὸν conjicit. In errorem inducti sunt eo, quod ἔμπεδον cum εἰσιδέειν junxerunt, quum jungendum sit cum δύνατο: *neque omnino quisquam eam cernere potuit.*
858. ἐφετμαῖς vulg. ἐφετμῆς Vat. D. Med. Guelph. Vrat. Vind. Regg. quinque, quod propter librorum auctoritatem cum Brunck. et Beck. recepi.
859. πανσυδίῃ vulg. πασσυδίῃ Regg. quinque, quod cum Brunck. et Beck. ex Regg. quinque recepi, vid. ad I, 323.
861. ῥυσσόμεναι vulg., quod placebit Buttmanno secundum ea, quae monuit Lexilog. I p. 66. ῥυσέμεναι Vatt. A. B. C. D. Med. a m. 1. Regg. A. B. C. E. Schol. Paris., quod ferri nequit. ῥυσόμεναι Med. a m. 2. Vrat. Vind., quod cum Brunck. et Beck. recepi. ῥυσάμεναι Reg. D.

„ἀντομένην σὺν τῇσι· νόῳ δ' ἔχε, μή με χολώσῃς
„πλεῖον ἔτ', ᾗ τοπάροιθεν ἀπηλεγέως ἐχόλωσας.“
Ἦ καὶ ἔπειτ' ἀΐδηλος ἐδύσατο βένθεα πόντου·
τὸν δ' ἄχος αἰνὸν ἔτυψεν, ἐπεὶ πάρος οὐκέτ' ἰοῦσαν
ἔδρακεν, ἐξότε πρῶτα λίπεν θάλαμόν τε καὶ εὐνὴν,
χωσαμένη Ἀχιλῆος ἀγαυοῦ νηπιάχοντος.
ἡ μὲν γὰρ βροτέας αἰεὶ περὶ σάρκας ἔδαιεν
νύκτα διὰ μέσσην φλογμῷ πυρός· ἤματα δ' αὖτε
ἀμβροσίῃ χρίεσκε τέρεν δέμας, ὄφρα πέλοιτο
ἀθάνατος καί οἱ στυγερὸν χροῒ γῆρας ἀλάλκοι.
αὐτὰρ ὁ ἐξ εὐνῆς ἀνεπάλμενος εἰσενόησεν
παῖδα φίλον σπαίροντα διὰ φλογός· ἧκε δ' ἀϋτὴν
σμερδαλέην ἐσιδών, μέγα νήπιος· ἡ δ' ἀΐουσα
τὸν μὲν ἄρ' ἁρπάγδην χαμάδις βάλε κεκληγῶτα·
αὐτὴ δὲ πνοιῇ ἰκέλη δέμας ἠΰτ' ὄνειρος
βῆ ῥ' ἴμεν ἐκ μεγάροιο θοῶς, καὶ ἐσήλατο πόντον
χωσαμένη· μετὰ δ' οὔ τι παλίσσυτος ἵκετ' ὀπίσσω.
τῷ μιν ἀμηχανίη δῆσεν φρένας· ἀλλὰ καὶ ἔμπης
πᾶσαν ἐφημοσύνην Θέτιδος μετέειπεν ἑταίροις.
οἱ δ' ἄρα μεσσηγὺς λῆξαν καὶ ἔπαυσαν ἀέθλους
ἐσσυμένως δόρπον τε χαμεύνας τ' ἀμφεπένοντο,
τῆς ἔνι δαισάμενοι νύκτ' ἄεσαν ὡς τοπάροιθεν.
Ἦμος δ' ἄκρον ἔβαλλε φαεσφόρος οὐρανὸν Ἠὼς,
δὴ τότε λαιψηροῖο κατηλυσίῃ Ζεφύροιο
βαῖνον ἐπὶ κληῗδας ἀπὸ χθονός· ἐκ δὲ βυθοῖο

865. *ἐδύσσατο* vulg. *ἐδύσατο* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. A. B. E. Brunck. Beck. *ἐβήσατο* Guelph. Reg. D.

867. *λίπε* Vatt. A. B. C. D., quod proprio Marte recepit Beck.

869. In iis, quae sequuntur, Apollonius imitando expressit Hom. Hymn. in Cer. v. 236 sqq. — Respexit hunc locum Schol. ad Aristoph. Nub 1058. — *σάρκος* ex errore typ. Hoelzlin. Shaw.

870. *μέσιν* Vrat. *μέσην* Vind.

871. *χρίεσκεν* Guelph.

873. *ὅ γ' ἐξ* vulg. *ὅτ' ἐξ* Vat. C. Med. Vrat. Vind. Ejeci particulam a sciolo quodam intrusam ut I, 553 *αὐτὰρ ὁ ἐξ ὑπάτου ὄρεος κίεν.* III, 1317 *αὐτὰρ ὁ εὖ ἐνέδησε λόφους.* 1346 *αὐτὰρ ὁ ἂψ ἐπὶ νῆα πάλιν κίεν.* IV, 127 *αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνατο δειρήν.* — *ἀναπάλμενος* vulg. *ἀνεπάλμενος* ex Guelph. et Reg. D. recte receperunt Brunck. Beck. Legitur idem II, 825 et confirmatur a Quinto Smyrn. I, 140 *ἐξ εὐνῆς ἀνεπᾶλτο.*

875. *ἐσιδὼν* deest in Vrat.

879. *ὀπίσω* Vrat. Vind.

880. *μὲν* pro *μιν* ex quatuor Regg. receperunt Brunck. Beck pessime. — *δῆσε* ex Guelph. Vrat. Vind. Regg. quatuor Brunck. Beck.

884. *τὸ πάρος περ* Vind., sed vulg. in margine.

885. *ἔβαλε* Guelph.

εὐναίας εἷλκον περιγηθέες, ἄλλα τε πάντα
ἅρμενα μηρύοντο κατὰ χρέος· ὕψι δὲ λαῖφος
εἴρυσσαν τανύσαντες ἐν ἱμάντεσσι κεραίης.
νῆα δ' ἐϋκραὴς ἄνεμος φέρεν. αἶψα δὲ νῆσον
καλὴν, ἀνθεμόεσσαν ἐσέδρακον, ἔνθα λίγειαι
Σειρῆνες σίνοντ' Ἀχελωΐδες, ἡδείῃσιν
θέλγουσαι μολπῇσιν, ὅτις παρὰ πεῖσμα βάλοιτο.
τὰς μὲν ἄρ' εὐειδὴς Ἀχελωΐῳ εὐνηθεῖσα
γείνατο Τερψιχόρη, Μουσέων μία· καί ποτε Δηοῦς
θυγατέρ' ἰφθίμην ἀδμῆτ' ἔτι πορσαίνεσκον
ἄμμιγα μελπόμεναι· τότε δ' ἄλλο μὲν οἰωνοῖσιν,
ἄλλο δὲ παρθενικῇς ἐναλίγκιαι ἔσκον ἰδέσθαι.
αἰεὶ δ' εὐόρμου δεδοκημέναι ἐκ περιωπῆς
ἦ θαμὰ δὴ πολέων μελιηδέα νόστον ἕλοντο,
τηκεδόνι φθινύθουσαι· ἀπηλεγέως δ' ἄρα καὶ τοῖς
ἵεσαν ἐκ στομάτων ὄπα λείριον. οἱ δ' ἀπὸ νηὸς
ἤδη πείσματ' ἔμελλεν ἐπ' ἠϊόνεσσι βαλέσθαι,
εἰ μὴ ἄρ' Οἰάγροιο πάϊς Θρηΐκιος Ὀρφεὺς
Βιστονίην ἐνὶ χερσὶν ἑαῖς φόρμιγγα τανύσσας
κραιπνὸν ἐϋτροχάλοιο μέλος κανάχησεν ἀοιδῆς,
ὄφρ' ἄμυδις κλονέοντος ἐπιβρομέωνται ἀκουαὶ
κρεγμῷ· παρθενικὴν δ' ἐνοπὴν ἐβιήσατο φόρμιγξ.
νῆα δ' ὁμοῦ Ζέφυρός τε καὶ ἠχῆεν φέρε κῦμα
πρυμνόθεν ὀρνύμενον· ταὶ δ' ἄκριτον ἵεσαν αὐδήν.
ἀλλὰ καὶ ὧς Τελέοντος ἐῢς παῖς οἶος ἑταίρων

888. πόντῳ pro πάντα Regg. quinque.

890. εἴρυσαν vulg. εἴρυσσαν Guelph. Brunck. Beck. — ἐνὶ μάντεσσι Vrat.

892. Ἀνθεμόεσσαν littera majuscula scribendum videtur, ita enim acceperunt Scholiastae, Hesiodum testem afferentes, et insulam Ἀνθεμοῦσσαν agnoscit Schol. ad Hom. Od. XII, 39.

895. Ἀχελωΐῳ ex Regg. quinque receperunt Brunck. et Beck, quod quamquam ferri potest (vid. ad II, 686) non tamen est quod vulgato praeferatur.

897. θυγατρὶ φθίμην Vat. C. — πορσύνεσκον vulg. πορσένεσκον Guelph. πορσαίνεσκον Med. Vrat. Vind., quod ex Etymol. M. p. 683, 56 (ubi ἀδμῆτα πορσαίνεσκον legitur) reposuit Brunck.

900. περιοπῆς Guelph. Hinc Tryphiod. v. 143 εὐόρμου τετανυσμένον ἐκ περιωπῆς.

907. κραιπνῶν Vind.

908. ἐπιβρομέονται Vatt. A. B. C. D. Guelph. Regg. quatuor. ἐπιβρομέοιντο propter praecedens praeteritum ex conjectura Brunck. Beck., quod falsum esse vel hiatus arguit, qui sic infertur. Non necessariam esse mutationem vidimus ad I, 17.

909. κραγμῷ· παρθενιὴν Vatt. A. B. C. D. κρεσμῷ Vind. Vocabulum κρεγμῷ ex loco nostro laudat Etymol. M. p. 536, 34.

προφθάμενος ξεστοῖο κατὰ ζυγοῦ ἔνθορε πόντῳ
Βούτης, Σειρήνων λιγυρῇ ὀπὶ θυμὸν ἰανθείς·
νῆχε δὲ πορφυρέοιο δι' οἴδματος, ὄφρ' ἐπιβαίη,
σχέτλιος. ἦ τέ οἱ αἶψα καταυτόθι νόστον ἀπηύρων·
ἀλλά μιν οἰκτείρασα θεὰ Ἔρυκος μεδέουσα
Κύπρις ἔτ' ἐν δίναις ἀνερείψατο, καὶ ῥ' ἐσάωσεν
πρόφρων ἀντομένη Λιλυβηΐδα ναιέμεν ἄκρην.
οἱ δ' ἄχεϊ σχόμενοι τὰς μὲν λίπον, ἄλλα δ' ὄπαζον
κύντερα μιξοδίῃσιν ἁλὸς ῥαιστήρια νηῶν.
τῇ μὲν γὰρ Σκύλλης λισσὴ προὐφαίνετο πέτρη·
τῇ δ' ἄμοτον βοάασκεν ἀναβλύζουσα Χάρυβδις·
ἄλλοθι δὲ πλαγκταὶ μεγάλῳ ὑπὸ κύματι πέτραι
ῥόχθεον, ἧχι πάροιθεν ἀπέπτυεν αἰθομένη φλὸξ
ἄκρων ἐκ σκοπέλων πυριθαλπέος ὑψόθι πέτρης.
καπνῷ δ' ἀχλυόεις αἰθὴρ πέλεν· οὐδέ κεν αὐγὰς
ἔδρακες ἠελίοιο. τότ' αὖ λήξαντος ἀπ' ἔργων
Ἡφαίστου θερμὴν ἔτι κήκιε πόντος ἀϋτμήν.
ἔνθα σφιν κοῦραι Νηρηΐδες ἄλλοθεν ἄλλαι
ἤντεον· ἡ δ' ὄπιθεν πτέρυγος θίγε πηδαλίοιο
δῖα Θέτις πλαγκτῇσιν ἐνὶ σπιλάδεσσιν ἐρύσσαι.
ὡς δ' ὁπόταν δελφῖνες ὑπὲξ ἁλὸς εὐδιόωντες
σπερχομένην ἀγεληδὸν ἑλίσσωνται περὶ νῆα,
ἄλλοτε μὲν προπάροιθεν ὁρώμενοι, ἄλλοτ' ὄπισθεν,

913 et 914 in Vatt. A. C. inverso ordine leguntur.

914. Pro *Βούτης* in Regg. A. B. C. E. legitur *μούσης*, in Reg. D. *μούσῃ*.

916. *ἤ κέ οἱ* corrigendum censet Schaefer. Melet. crit. p. 127, sed *ἂν* in ejusmodi dictionibus recte abesse posse vidimus ad I, 197. Simile est quod modo legimus v. 905 *ἔμελλον βαλέσθαι* pro *ἐβάλοντο ἄν*. — *κατ' αὐτόθι* Vat. A. Vind.

918. *αἶτ'* pro *ἔτ'* Guelph. — *ἀνερέψατο* Med. Guelph. Vrat. Vind. hinc corruptum *ἀνετρέψατο* Vatt. A. B. C. D. et edd. veteres. *ἀνερύσατο* Regg. quinque a manu emendatrice, quae ubique in his libris conspicua est. Ex meliorum librorum lectione *ἀνερείψατο* emendavit Pierson. Verisim. p. 215, quod certissimum est et suum fecit Brunckius. Eadem chorda oberratum vidimus I, 214.

920. *ἄλλο δ' ὄπαζων* Vind.

922. *σχύλλης* Ald. Brub. Basil.

930. *σφι* Regg. quatuor, Vrat. Vind., quod recepit Beck.

931. *ὄπισθε* Vatt. C. D. Reg. D. *ὄπιθε* sine libris Brunck. Beck.

932. *πλαγκτῇσι δ' ἐνὶ σπιλάδεσσιν* Regg. A. B. C. D. — *ἔρυσσαν* Reg. B. *ἔρυσαν* Regg. A. C. D. E. Ex malis libris malam lectionem *πλαγκτῇσι δ' ἐνὶ σπιλάδεσσιν ἔρυσσαν* receperunt Brunck. et Beck.

933. *εὐδιόωντος* Reg. B., quod ex conjectura reponendum putaverat Arnald. Lect. gr. p. 243, recte jam refutatus a Dorvillio ad Charit. p. 240 s.

934. *ἑλίσσονται* vulg. *ἑλίσσωνται*, quod necessarium est, praebent Vatt. A. B. C. D. Vrat. Vind. et dederunt Brunck. Beck.

935. *ὁρμώμενοι* Regg. quatuor

ἄλλοτε παρβολάδην, ναύτῃσι δὲ χάρμα τέτυκται·
ὣς αἵ ὑπεκπροθέουσαι ἐπήτριμοι εἱλίσσοντο
Ἀργῴῃ περὶ νηΐ, Θέτις δ' ἴθυνε κέλευθον.
καί ῥ' ὅτε δὴ Πλαγκτῇσιν ἐνιχρίμψεσθαι ἔμελλον,
αὐτίκ' ἀνασχόμεναι λευκοῖς ἐπὶ γούνασι πέζας,
ὑψοῦ ἐπ' αὐτάων σπιλάδων καὶ κύματος ἀγῆς
ῥώοντ' ἔνθα καὶ ἔνθα διασταδὸν ἀλλήλῃσιν.
τὴν δὲ παρηορίην κόπτεν ῥόος· ἀμφὶ δὲ κῦμα
λάβρον ἀειρόμενον πέτραις ἐπικαχλάζεσκεν.
αἵ δ' ὁτὲ μὲν κρημνοῖς ἐναλίγκιαι ἠέρι κῦρον,
ἄλλοτε δὲ βρύχιαι νεάτῳ ὑπὸ πυθμένι πόντου
ἠρήρειντ', ὅθι πολλὸν ὑπείρεχεν ἄγριον οἶδμα.
αἵ δ' ὥστ' ἠμαθόεντος ἐπισχεδὸν αἰγιαλοῖο
παρθενικαί, δίχα κόλπον ἐπ' ἰξύας εἱλίξασαι,
σφαίρῃ ἀθύρουσιν περιηγέϊ· αἵ μὲν ἔπειτα
ἄλλη ὑπὲξ ἄλλης δέχεται καὶ ἐς ἠέρα πέμπει
ὕψι μεταχρονίην· ἡ δ' οὔποτε πίλναται οὔδει·
ὣς αἵ νῆα θέουσαν ἀμοιβαδὶς ἄλλοθεν ἄλλη
πέμπε διηερίην ἐπὶ κύμασιν, αἰὲν ἄπωθεν
πετράων· περὶ δέ σφιν ἐρευγόμενον ζέεν ὕδωρ.
τὰς δὲ καὶ αὐτὸς ἄναξ κορυφῆς ἐπὶ λισσάδος ἄκρης
ὀρθὸς ἐπὶ στελεῇ τυπίδος βαρὺν ὦμον ἐρείσας

male. Non melius est ὀρούμενοι, quod conjecit Wakefield.

937. ἐπίτριμοι Reg. A. — ἑλίσσοντο Med. Vrat. Vind.

938. κελεύθους Regg. quinque, quod male praetulerunt Brunckius et Beckius.

939. ἐνιχρίμπτεσθαι Regg. quinque, quibus obsecutus est Brunck. ut solet. ἐνιχρίμψασθαι Guelph.

943. κόπτε Guelph. Brunck. Beck. — ῥόον Vatt. A. B. C. D. Guelph. Vind.

944. ἐπικαγχλάζεσκεν vulg. ἐπικαχλάζεσκεν Vatt. A. B. C. D. Guelph. Vrat. Vind. Regg. quatuor, Brunck. Beck.

945. κοῦρον Vind.

946. κευθμῶνι πόντου Guelph.

947. ἠρήρειν τὸ δὲ πολλὸν Vatt. C. D. ἠρήρειντο δὲ π. Vat. A. Med. Vrat. Vind. Guelph. ἤρειντο τὸ δὲ π. Flor. — ἄγριον κῦμα Guelph.

950. ἀθύρουσι Vrat. Beck., quod de suo dederat Brunck. — τὴν μὲν vulg., sed ἡ μὲν Vatt. A. B. C. D. Med. Vrat. Vind. corrupte pro αἵ μὲν, quod ipsum exhibet Flor., neque recipere dubitavi propter v. 953, ubi eodem modo: ὣς αἵ ἄλλοθεν ἄλλη πέμπε. Vulgatam peperit fuga hiatus, in quo tamen nulla h. l. offensio est, quum et in pede quarto sit et post interpunctionem.

951. ὑπὲξ Vrat.

952. μεταχθονίην ex solis Regg. A. E. receperunt Brunck. et Beck. male. Vid. ad II, 300.

953. ὣς καὶ Steph. ex conjectura, an ex errore typ. nescio, transiit autem in ed. Hoelzlin. et Shaw.

954. δι' ἠερίην Vind.

955. θέεν vulg., quod sensui non aptum est. ζέεν ex certissima emendatione Facii epist. crit. p. 16 recepi cum Brunck. et Beck.

956. κορυφῆς ἐπελισσάδιος Vat. C.

957. ἐρύσας Guelph. Reg. A.

Ἥφαιστος θηεῖτο, καὶ αἰγλήεντος ὕπερθεν
οὐρανοῦ ἑστηυῖα Διὸς δάμαρ· ἀμφὶ δ' Ἀθήνῃ
βάλλε χέρας, τοῖόν μιν ἔχεν δέος εἰσορόωσαν.
ὅσση δ' εἰαρινοῦ μηκύνεται ἤματος αἶσα,
τοσσάτιον μογέεσκον ἐπὶ χρόνον, ὀχλίζουσαι
νῆα διὲκ πέτρας πολυηχέας· οἱ δ' ἀνέμοιο
αὖτις ἐπαυρόμενοι προτέρω θέον· ὦκα δ' ἄμειβον
Θρινακίης λειμῶνα, βοῶν τροφὸν Ἠελίοιο.
ἔνθ' αἱ μὲν κατὰ βένθος ἀλίγκιαι αἰθυίῃσιν
δῦνον, ἐπεί ῥ' ἀλόχοιο Διὸς πόρσυνον ἐφετμάς.
τοὺς δ' ἄμυδις βληχή τε δι' ἠέρος ἵκετο μήλων,
μυκηθμός τε βοῶν αὐτοσχεδὸν οὔατ' ἔβαλλεν.
καὶ τὰ μὲν ἑρσήεντα κατὰ δρία ποιμαίνεσκεν
ὁπλοτέρη Φαέθουσα θυγατρῶν Ἠελίοιο,
ἀργύρεον χαῖον παλάμῃ ἔνι πηχύνουσα·
Λαμπετίη δ' ἐπὶ βουσὶν ὀρειχάλκοιο φαεινοῦ
πάλλεν ὀπηδεύουσα καλαύροπα. τὰς δὲ καὶ αὐτοὶ
βοσκομένας ποταμοῖο παρ' ὕδασιν εἰσορόωντο
ἄμ' πεδίον καὶ ἕλος λειμώνιον· οὐδέ τις ἦεν
κυανέη μετὰ τῇσι δέμας, πᾶσαι δὲ γάλακτι
εἰδόμεναι, χρυσέοισι κεράασι κυδιάασκον.
καὶ μὲν τὰς παράμειβον ἐπ' ἤματι· νυκτὶ δ' ἰούσῃ
πεῖρον ἁλὸς μέγα λαῖτμα κεχαρμένοι, ὄφρα καὶ αὖτις
Ἠὼς ἠριγενὴς φέγγος βάλε νισσομένοισιν.
Ἔστι δέ τις πορθμοῖο παροιτέρη Ἰονίοιο

960. ἔχε Vrat., quod miror a Beckio non receptum esse.

966. βάνθος Med. a m. 1. βάθος Vrat. a m. 1. Vind.

969. ἔβαλεν Vind.

972. Laudat Etymol. M. p. 807, 44.

974. καλάβροπα vulg., quemadmodum Scholl. legunt etiam in loco Homerico, quem laudant, Il. XXIII, 845. Sed καλαύροπα Med. (cod. Flor. ab Dorvill. ad Char. p. 226.) Vatt. A. B. C. D. Guelph. Vrat. Vind. Reg. D., unde cum Brunck. et Beck. recepi. Vid. Interpp. ad Hesych. s. v. Lennep. ad Coluth. p. 69 et quos laudat Dorvill. l. c.

978. κεράεσι vulg. secunda syllaba contra usum producta, quare Brunckius emendavit χρυσέοις κεράεσσιν, quod recepit etiam Beck., sed libris non adsentientibus, in quibus hae modo sunt varietates: χρυσέοισι κεράεσσι Vatt. A. B. C. D. Med. Vind. χρυσέοις κεράεσσι Reg. E. χρυσείοις κεράεσσιν Reg. D. Praeterea miror, quomodo aures eorum illam lectionem ferre potuerint, qua metrum pessumdatur, rarissime enim meliores poetae in quarti pedis thesi productionem ex positione natam admittunt, vid. ad III, 517. Itaque recte Gerhard. p. 157 κεράασιν scribendum judicat, quae forma, ita ficta ut κεράατος Arat. Phaen. 174. κεράατα Oppian. Cyneg. II, 494, quum insolentior esset, facile adduci potuerunt librarii, ut notiorem reponerent.

981. νεισομένοισιν vulg. ut semper. Correxit Brunck.

ἀμφιλαφὴς πίειρα Κεραυνίῃ εἰν ἁλὶ νῆσος,
ᾗ ὕπο δὴ κεῖσθαι δρέπανον φάτις, ἵλατε Μοῦσαι,
οὐκ ἐθέλων ἐνέπω προτέρων ἔπος, ᾧ ἄπο πατρὸς
μήδεα νηλειῶς ἔταμεν Κρόνος· (οἱ δέ ἑ Δηοῦς
κλείουσιν χθονίης καλαμητόμον ἔμμεναι ἅρπην.
Δηὼ γὰρ κείνῃ ἐνὶ δή ποτε νάσσατο γαίῃ,
Τιτῆνας δ' ἔδαεν στάχυν ὄμπνιον ἀμήσασθαι,
Μάκριδα φιλαμένη.) Δρεπάνη τόθεν ἐκλήϊσται
οὔνομα, Φαιήκων ἱερὴ τροφός· ὣς δὲ καὶ αὐτοὶ
αἵματος Οὐρανίοιο γένος Φαίηκες ἔασιν.
τοὺς Ἀργὼ πολέεσσιν ἐνισχομένη καμάτοισιν
Θρινακίης αὔρῃς ἵκετ' ἐξ ἁλός· οἱ δ' ἀγανῇσιν
Ἀλκίνοος λαοί τε θυηπολίῃσιν ἰόντας
δειδέχατ' ἀσπασίως· ἐπὶ δὲ σφίσι καγχαλάασκεν
πᾶσα πόλις· φαίης κεν ἑοῖς ἐπὶ παισὶ γάνυσθαι.
καὶ δ' αὐτοὶ ἥρωες ἀνὰ πληθὺν κεχάροντο,
τῷ ἴκελοι, οἷόν τε μεσαιτάτῃ ἐμβεβαῶτες
Αἱμονίῃ· μέλλον δὲ βοῇ ἔνι θωρήξεσθαι·
ὧδε μάλ' ἀγχίμολον στρατὸς ἄσπετος ἐξεφαάνθη
Κόλχων, οἳ Πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας
Κυανέας μαστῆρες ἀριστήων ἐπέρησαν.
Μήδειαν δ' ἔξαιτον ἑοῦ ἐς πατρὸς ἄγεσθαι
ἵεντ' ἀπροφάτως, ἠὲ στονόεσσαν ἀϋτὴν
νωμήσειν χαλεπῇσιν ὁμόκλεον ἀτροπίῃσιν,
αὖθί τε καὶ μετέπειτα σὺν Αἰήταο κελεύθῳ.
ἀλλὰ σφέας κατέρυκεν ἐπειγομένους πολέμοιο
κρείων Ἀλκίνοος. λελίητο γὰρ ἀμφοτέροισιν
δηϊοτῆτος ἄνευθεν ὑπέρβια νείκεα λῦσαι.

983. *Κεραυνίῃ* Steph. Hoelzlin. Shaw., quare Palmer. Graec. ant. p. 350 *Κεραυνίῃ* emendandum putavit, sed ita jam in codd. antiquis legitur, a quibus Stephanus, nescio utrum consulto an ex errore, discessit.

984. *δὴ* deest in Vind.

985. *λόγος* pro *ἔπος* Guelph., quod ne quis verum putet propter Arat. Phaen. 637 *Ἄρτεμις ἱλήκοι· προτέρων λόγος, οἵ μιν ἔφαντο*, vetat constructio.

986. *χρόνος* Vind. — *οὐδέ ἑ* Vatt. A. D.

990. *φιλαμένους* Guelph.

994. *ἀγανοῖσιν* vulg. ex errore frequentissimo. *ἀγανῇσι* Vatt. A. B. C. D. *ἀγανῇσιν* Med. Guelph. Vrat. Vind. Regg. B. D. et A. ex correctione, nam in Regg. A. a m. 1. et Regg. C. E. legitur *ἐξ ἁλὸς, ἡ δάμνησιν*.

999. *ἴκελον* Guelph. — *ἐμμαῶτες* Vatt. A. C. *ἐμμεμαῶτες* Vrat. Vind.

1000. *μέλλον τε* Beck. ex sphalmate typ. — *ἐνιθωρήξεσθαι* Vrat., quod voluit Hoelzlin. sine causa. *θωρήξασθαι* Med. a m. 2.

κούρη δ' οὐλομένῳ ὑπὸ δείματι πολλὰ μὲν αὐτοὺς
Αἰσονίδεω ἑτάρους μειλίσσετο, πολλὰ δὲ χερσὶν
Ἀρήτης γούνων ἀλόχου θίγεν Ἀλκινόοιο.
„Γουνοῦμαι, βασίλεια· σὺ δ' ἵλαθι, μηδέ με Κόλχοις
„ἐκδῴης ᾧ πατρὶ κομιζέμεν, εἴ νυ καὶ αὐτὴ
„ἀνθρώπων γενεῆς μία φέρβεαι, οἷσιν ἐς ἄτην
„ὠκύτατος κούφῃσι θέει νόος ἀμπλακίῃσιν.
„ὡς ἐμοὶ ἐκ πυκιναὶ ἔπεσον φρένες, οὐ μὲν ἕκητι
„μαργοσύνης. ἴστω δ' ἱερὸν φάος Ἠελίοιο,
„ἴστω νυκτιπόλου Περσηΐδος ὄργια κούρης,
„μὴ μὲν ἐγὼν ἐθέλουσα σὺν ἀνδράσιν ἀλλοδαποῖσιν
„κεῖθεν ἀφωρμήθην· στυγερὸν δέ με τάρβος ἔπεισεν
„τῆς γε φυγῆς μνήσασθαι, ὅτ' ἤλιτον· οὐδέ τις ἄλλη
„μῆτις ἔην. ἔτι μοι μίτρη μένει, ὡς ἐνὶ πατρὸς
„δώμασιν, ἄχραντος καὶ ἀκήρατος. ἀλλ' ἐλέαιρε,
„πότνα, τεόν τε πόσιν μειλίσσεο· σοὶ δ' ὀπάσειαν
„ἀθάνατοι βίοτόν τε τελεσφόρον ἀγλαΐην τε
„καὶ παῖδας καὶ κῦδος ἀπορθήτοιο πόληος.“
Τοῖα μὲν Ἀρήτην γουνάζετο δακρυχέουσα·
τοῖα δ' ἀριστήων ἐπαμοιβαδὶς ἄνδρα ἕκαστον.
„Ὑμέων, ὦ πέρι δὴ μέγα φέρτατοι, ἀμφί τ' ἀέθλοις

1012. *ἐλίσσετο* Vrat. Vind.
1014. *μηδ' ἐμὲ* Brunck. ut solet. — *με* omittit Guelph. — *Κόλχοισιν* Guelph.
1015. *ἦ νυ* Reg. A. Schol. Paris.
1017. *κούφαισι* vulg. *κούφοισι* Vrat. Vind. *κούφῃσι* Regg. quinque, quod cum Brunck. et Beck. propter lectionem Vrat. recepi, nam *οισι* et *ῃσι* saepissime confundi vidimus.
1018. *ἐμοῦ* Regg. quinque. — *πέσον* Vrat. Vind.
1019. *μαχλοσύνης* Reg. D.
1021. *ἐγὼ* Vrat. Vind. Reg. D.
1022. *ἐφορμήθην* Regg. A. D. E. *ἀφθρμήθην* Reg. B., quod male receperunt Brunck. et Beck. — *δ' ἐμὲ* Brunck.
1023. *τῆσδε* vulg. *τῆς γε* Vatt. A. B. C. D. Vrat. Vind. Regg. A. E., quorum auctoritati obsecutus sum. Saepius haec confunduntur ut III, 500, al.
1025. *ἐλαίερε* Vrat. Vind.
1026. *τεὸν δὲ* vulg. *τε* ex Vatt. A. B. C. D. Vrat. Regg. quinque cum Brunck. Beck. sensus causa recepi. — *σὺ δ'* Med. Vind. *τοὶ δ'* Reg. E.
1029. *δακρυχέουσαν* Guelph.
1030. *ἐτ' ἀμοιβαδὶς* Vatt. A. B. C. D. var. lect. in marg. Vrat. *ἕν' ἀμοιβαδὶς* Vrat. *ἐν' ἀμοιβαδὶς* Vind. *ἐν ἀμοιβαδὶς* Med. a m. 2, quum antea simplex *ἀμοιβαδὶς* fuisset. *ἐναμοιβαδὶς* Guelph., quod receperunt Brunck. et Beck. Sed majori auctoritate nititur vulgata, ad quam ducit etiam illud *ἐτ' ἀμοιβαδίς*. Eam igitur revocavi.
1031. Haec vulgo ita scribuntur: *ὑμέων, ὦ πέρι δή μέγα φέρτατοι, ἀμφί τ' ἀέθλοις οὕνεκεν ὑμετέροισιν ἀτύζομαι*, ad quae explicanda miram constructionem commentus est Brunckius (vel potius non commentus est, sed a Stephano sumsit, cui jam dura et intolerabilis visa est) hanc: *ὦ πέρι δὴ μέγα φέρτατοι, οὕνεκεν ὑμῶν καὶ ἀμφ' ἀέθλοις ὑμετέροις ἀτύζομαι*, quam etiam Beckius in versione latina expressit. Sed quomodo *οὕνεκεν*, si praepositio est, a genitivo suo ita

„οὕνεκεν ὑμετέροισιν ἀτύζομαι, ἧς ἰότητι
„ταύρους τ' ἐζεύξασθε, καὶ ἐκ θέρος οὐλοὸν ἀνδρῶν
„κείρατε γηγενέων, ἧς εἵνεκεν Αἱμονίηνδε
„χρύσεον αὐτίκα κῶας ἀνάξετε νοστήσαντες,
„ἥδ' ἐγώ, ἣ πάτρην τε καὶ οὓς ὤλεσσα τοκῆας,
„ἣ δόμον, ἣ σύμπασαν ἐϋφροσύνην βιότοιο,
„ὕμμι δὲ καὶ πάτρην καὶ δώματα ναιέμεν αὖτις
„ἤνυσα· καὶ γλυκεροῖσιν ἔτ' εἰσόψεσθε τοκῆας
„ὄμμασιν· αὐτὰρ ἐμοὶ ἀπὸ δὴ βαρὺς εἵλετο δαίμων
„ἀγλαΐας· στυγερὴ δὲ σὺν ὀθνείοις ἀλάλημαι·
„δείσατε συνθεσίας τε καὶ ὅρκια, δείσατ' Ἐρινὺν
„Ἱκεσίην νέμεσίν τε θεῶν, ἐς χεῖρας ἰοῦσαν
„Αἰήτεω λώβῃ πολυπήμονι δῃωθῆναι.
„οὐ νηούς, οὐ πύργον ἐπίῤῥοθον, οὐκ ἀλεωρὴν
„ἄλλην, οἰόθι δὲ προτιβάλλομαι ὑμέας αὐτούς.
„σχέτλιοι ἀτροπίης καὶ ἀνηλέες· οὐδ' ἐνὶ θυμῷ
„αἰδεῖσθε ξείνης μ' ἐπὶ γούνατα χεῖρας ἀνάσσης
„δερκόμενοι τείνουσαν ἀμήχανον· ἀλλά κε πᾶσιν
„κῶας ἑλεῖν μεμαῶτες ἐμίξατε δούρατα Κόλχοις
„αὐτῷ τ' Αἰήτῃ ὑπερήνορι· νῦν δὲ λάθεσθε

sejungi possit, ut vel praepositioni *ἀμφί* postponatur, silentio praetermiserunt. Possit sane etiam illud *πέρι* molestum videri, quum sequatur *μέγα φέρτατοι*, et haec difficultas ita removeri, ut interpungatur: *ὑμέων ὦ πέρι δή, μέγα φέρτατοι,* quo facto *περὶ ὑμέων* jungendum foret, quod voluisse etiam videtur Schol., qui dicit: *ἡ περὶ καὶ ἡ ἀμφὶ ἐκ παραλλήλου.* Sed ne ita jungamus vetat locus simillimus IV, 1383 *ὑμέας, ὦ πέρι δὴ μέγα φέρτατοι υἷες ἀνάκτων.* Itaque genitivus *ὑμέων* a verbo *ἀτύζομαι* pendere putandus est, *οὕνεκα* vero est conjunctio: *quoniam*, cujus apodosis sequitur inde a v. 1042 *δείσατε συνθεσίας καὶ ὅρκια.*

1033. *τε ζεύξασθε* Vrat. Vind. *τ' ἐζεύξασθαι* Med.

1034. *κείρετε* vulg. *κείρατε* Guelph., quod necessarium videtur propter praecedentem aoristum, et Schol. legisse videtur, qui interpretatur: *τούς τε ταύρους ἐζεύξατε, καὶ τοὺς γηγενεῖς ἐξεθερίσατε.* Recepi igitur.

1036. *ὤλεσα* Vrat. Vind.

1038. *αὖθις* vulg. *αὖτις* Vatt. A. B. C. D. Vrat. Vind. Regg. B. C. D. E., unde cum Brunck. et Beck. recepi.

1039. *ἐσόψεσθε* Med. Vrat. Vind. *ἐπόψεσθε* Reg. A.

1042. *Ἐρινὺν* Vat. A. Med. Vrat. Vind.

1043. *εἰς* Med. Vrat. Vind.

1044. *δηϊωθῆναι* Med. Vind.

1045. *ἐπίροθον* Brunck. Beck. ex more.

1048. *αἰδεῖσθαι* Med. — *ἐπεὶ* Guelph. — *γούνασι* vulg. *γούνατα* Med. a m. 1. Vrat. Vind. Regg. quinque, quod cum Brunck. et Beckio propter librorum auctoritatem recepi, quum utrumque dici possit.

1049. *καὶ* pro *κε* Med. Vrat. Vind. Flor. Ald. Brub. Basil.

1051. *δ' ἐλάθεσθε* vulg. *δὲ λάθεσθε* Vat. D. Guelph. Vrat. Vind., quod recepi. *δὲ μέθεσθε* Regg. quinque, quod receperunt Brunck. Beck., nimium ut solent libris illis tribuentes, qui glossematibus referti

„ηνορέης, ὅτε μοῦνοι ἀποτμηγέντες ἔασιν.“
Ὣς φάτο λισσομένη· τῶν δ' ὅντινα γουνάζοιτο,
ὅς μιν θαρσύνεσκεν ἐρητύων ἀχέουσαν.
σεῖον δ' ἐγχείας εὐήκεας ἐν παλάμῃσιν
φάσγανά τ' ἐκ κολεῶν· οὐδὲ σχήσεσθαι ἀρωγῆς
ἔννεπον, εἴ κε δίκης ἀλιτήμονος ἀντιάσειεν.
στρευγομένοις δ' ἀν' ὅμιλον ἐπήλυθεν εὐνήτειρα
Νὺξ ἔργων ἄνδρεσσι, κατευκήλησε δὲ πᾶσαν
γαῖαν ὁμῶς· τὴν δ' οὔ τι μίνυνθά περ εὔνασεν ὕπνος.
ἀλλά οἱ ἐν στέρνοις ἀχέων εἱλίσσετο θυμός.
οἷον ὅτε κλωστῆρα γυνὴ ταλαεργὸς ἑλίσσει
ἐννυχίη· τῇ δ' ἀμφὶ κινύρεται ὀρφανὰ τέκνα
χηροσύνῃ πόσιος· σταλάει δ' ὕπο δάκρυ παρειὰς
μυρομένης, οἵη μιν ἐπισμυγερὴ λάβεν αἶσα·
ὣς τῆς ἰκμαίνοντο παρηΐδες· ἐν δέ οἱ ἦτορ
ὀξείῃς εἰλεῖτο πεπαρμένον ἀμφ' ὀδύνῃσιν.
Τὼ δ' ἔντοσθε δόμοιο κατὰ πτόλιν, ὡς τοπάροιθεν,
κρείων Ἀλκίνοος πολυπότνιά τ' Ἀλκινόοιο
Ἀρήτη ἄλοχος κούρης πέρι μητιάασκον
οἷσιν ἐνὶ λεχέεσσι διὰ κνέφας· οἷα δ' ἀκοίτην
κουρίδιον θαλεροῖσι δάμαρ προσπτύσσετο μύθοις.
„Ναὶ φίλος, εἰ δ' ἄγε μοι πολυκηδέα ῥύεο Κόλχων
„παρθενικὴν, Μινύαισι φέρων χάριν. ἐγγύθι δ' Ἄργος
„ἡμετέρης νήσοιο καὶ ἀνέρες Αἱμονιῆες·
„Αἰήτης δ' οὔτ' ἄρ ναίει σχεδὸν, οὐδέ τι ἴδμεν

sunt. Notissimum est Homericum *ἀλκῆς λαθέσθαι*, quod in reliquorum omnium poetarum usum transiit.

1053. *τὸν* pro *τῶν* Reg. A. — *γουνάζοιο* Guelph.

1055. *εὐήχεας* Vind. *ἐϋήκεας* Brunckius ut solet.

1057. *εἴ γε* Guelph. — *ἀντιάσειαν* vulg. *ἀντιάσειεν* Med. a m. 2. et Guelph., quod postulat sensus. *ἀντιάσειε* Brunckius et Beckius.

1061. *ἑλίσσετο* Vrat. Vind.

1062. *οἷόν τε* Flor.

1063. *τῆς* Flor. *τὴν* Reg. D., quod cur praetulerint Brunck. et Beck. unius libri auctoritate, prorsus intelligere non possum.

1064. *σταλάσσει* Guelph.

1065. *μνωομένη* Guelph. *μνωομένης* marg. Reg. B. et Reg. D., quod receperunt Brunck. Beck. Sed vulgata lectio et multo majore auctoritate nititur, et magis poetica est atque significantior, nam recordandi significatio in participio *μυρομένης* jam inest. Altera lectio, quum etiam in Guelph. compareat, fortasse priori recensioni tribuenda est. — *ἐπὶ στυγερὴ* vulg. *ἐπὶ σμυγερὴ* Regg. quinque, Vind. Brunck. Beck. *ἐπισμυγερὴ* Med. Vrat., quos secutus sum.

1072. *κουριδίη* Guelph.

1073. *πολυμηδέα ῥύεω* Vind.

1074. *Μινύεσσι* Flor. Ald. Brub. Basil.

1076. *οὔτε τι* Guelph. Reg. D.

„Αἰήτην, ἀλλ' οἷον ἀκούομεν· ἥδε δὲ κούρη
„αἰνοπαθὴς κατά μοι νόον ἔκλασεν ἀντιόωσα.
„μή μιν, ἄναξ, Κόλχοισι πόροις ἐς πατρὸς ἄγεσθαι.
„ἀάσθη, ὅτε πρῶτα βοῶν θελκτήρια δῶκεν
„φάρμακά οἱ· σχεδόθεν δὲ κακῷ κακὸν, οἷά τε πολλὰ
„ῥέζομεν ἀμπλακίῃσιν, ἀκειομένη ὑπάλυξεν
„πατρὸς ὑπερφιάλοιο βαρὺν χόλον. αὐτὰρ Ἰήσων,
„ὡς ἀΐω, μεγάλοισιν ἐνίσχεται ἐξ ἕθεν ὅρκοις,
„κουριδίην θήσεσθαι ἐνὶ μεγάροισιν ἄκοιτιν.
„τῷ, φίλε, μήτ' οὖν αὐτὸν ἑκὼν ἐπίορκον ὀμόσσαι
„θείης Αἰσονίδην, μήτ' ἄσχετα σεῖο ἕκητι
„παῖδα πατὴρ θυμῷ κεκοτηότι δηλήσαιτο.
„λίην γὰρ δύσζηλοι ἑαῖς ἐπὶ παισὶ τοκῆες·
„οἷα μὲν Ἀντιόπην εὐώπιδα μήσατο Νυκτεύς·
„οἷα δὲ καὶ Δανάη πόντῳ ἔνι πήματ' ἀνέτλη
„πατρὸς ἀτασθαλίῃσι· νέον γε μὲν οὐδ' ἀποτηλοῦ
„ὑβριστὴς Ἔχετος γλήναις ἔνι χάλκεα κέντρα
„πῆξε θυγατρὸς ἑῆς· στονόεντι δὲ κάρφεται οἴτῳ
„ὀρφναίῃ ἐνὶ χαλκὸν ἀλετρεύουσα καλιῇ."
Ὣς ἔφατ' ἀντομένη· τοῦ δὲ φρένες ἰαίνοντο

1077. *ἡ δέ νυ κούρη* ex uno Reg. D. receperunt Brunck. et Beck., cujus rei Beck. hanc adjicit causam, quod virgo non possit hic *δεικτικῶς* dici. Sed Aeetae procul absenti et nunquam viso recte opponitur *ἥδε ἡ κούρη* i. e. quae hic apud nos adest.

1081. *σχεδὸν* Reg. A.

1082. Pro *ἀμπλακίῃσιν* apud Scholl. commemoratur varia lectio *ἀτροπίῃσιν*, quae ad priorem recensionem referenda videtur ut eadem II, 246.

1083. *δεινὸν χόλον* Reg. A.

1084. *ἐνίσχετε* Med.

1086. *αὐτὸς* ex conjectura Brunckius et Beck. pessime, nominativus enim male abundat, *αὐτὸν* opponitur sequenti *παῖδα*, et quod deinde adjicitur nomen *Αἰσονίδην*, est ex usu Homerico, de quo vid. Matthiae gr. gr. T. II p. 869, 10. Simile est, quod supra legimus II, 796. Nominativus *ὁ μὲν* praecedit nomini I, 324 et passim.

1089. *αἰὲν* pro *λίην* Guelph. — *ἑοῖς* Reg. D. *ἑῇς* sine libris Brunck. Beck. — *περὶ παισὶ* Guelph.

1090. *ἐϋώπιδα* Brunck. male. — *δαμήσατο* Reg. A.

1091. *ἰδὲ καὶ Δανάη* Schol. Paris.

1092. *οὐκ* pro *οὐδ'* Schol. Paris. — *ἀπὸ τηλοῦ* Vrat. Brunck. Beck. male.

1095. *χαλὸν* habent Vatt. A. B. C. D. Med. Vind. Deinde *ἀλετρεύοντα* Vatt. A. B. C. D. Med. Vind. Flor. Schol. uterque, apud quem etiam varia lectio *ἀλιτεύοντα* commemoratur. In Vrat. legitur quidem *χαλκὸν ἀλετρεύουσα*, sed utrumque ex rasura. Denique *καλειῇ* Vat. D. Med. Vrat. Vind. Reg. A. Schol. Paris. ut I, 170. *Χαλκόν* vocat Apollonius *τὰς σιδηρᾶς κριθὰς τὰς ποιηθείσας κελεύσει αὐτοῦ*, ut dicit Eustath. ad Od. p. 658 ed. Bas., qui Echeti historiam narrat. Adde Schol. min. ad Od. XVIII, 84.

1096. *ὡς φάτ'* Vat. A. *ὥς φάτ'* Vrat. Vind. Med. Regg. B. E. Flor. *ὥς φάτο* Reg. A. Steph.

ἧς ἀλόχου μύθοισιν, ἔπος δ' ἐπὶ τοῖον ἔειπεν.
„Ἀρήτη, καί κεν σὺν τεύχεσιν ἐξελάσαιμι
„Κόλχους, ἡρώεσσι φέρων χάριν, εἵνεκα κούρης·
„ἀλλὰ Διὸς δείδοικα δίκην ἰθεῖαν ἀτίσσαι.
„οὐδὲ μὲν Αἰήτην ἀθεριζέμεν, ὡς ἀγορεύεις,
„λώϊον· οὐ γάρ τις βασιλεύτερος Αἰήταο.
„καί κ' ἐθέλων ἕκαθέν περ' Ἑλλάδι νεῖκος ἄγοιτο.
„τῷ μ' ἐπέοικε δίκην, ἥτις μετὰ πᾶσιν ἀρίστη
„ἔσσεται ἀνθρώποισι, δικαζέμεν· οὐδέ σε κεύσω.
„παρθενικὴν μὲν ἐοῦσαν, ἑῷ ἀπὸ πατρὶ κομίσσαι
„ἰθύνω· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
„οὐ μιν ἑοῦ πόσιος νοσφίσσομαι· οὐδὲ, γενέθλην
„εἴ τιν' ὑπὸ σπλάγχνοισι φέρει, δηΐοισιν ὀπάσσω."
Ὣς ἄρ' ἔφη· καὶ τὸν μὲν ἐπισχεδὸν εὔνασεν ὕπνος.
ἡ δ' ἔπος ἐν θυμῷ πυκινὸν βάλετ'· αὐτίκα δ' ὦρτο
ἐκ λεχέων ἀνὰ δῶμα. συνήϊξαν δὲ γυναῖκες
ἀμφίπολοι δέσποιναν ἑὴν μέτα ποιπνύουσαι.
σῖγα δ' ἑὸν κήρυκα καλεσσαμένη προσέειπεν,
ᾗσιν ἐπιφροσύνῃσιν ἐποτρυνέουσα μιγῆναι

1099. *λόχους* pro *Κόλχους* Guelph.

1100. *ἀτίσαι* vulg. ut plerumque. *ἀτίσσαι* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. quatuor, Brunck. Beck. *ἀντιάσαι* Guelph.

1102. *Αἰήτεω* Med. Vrat. Vind.

1103. *κε θέλων* Vat. A. Vrat. Vind. — *ἐφ' Ἑλλάδα νεῖκος ἄροιτο* Regg. A. B. C. E., quod receperunt Brunck. Beck. male, nam a sciolo hanc lectionem profectam esse intelligitur ex Reg. D., ubi magis etiam depravata est sic: *ἐς Ἑλλάδα νόστον ἄρατο*, et sensui multo minus apta est, quam vulgata; magna enim Aeetae potestas non tam eo significatur, quod bellum Graeciae minitari, quam eo quod bellum in ipsos Graeciae fines inferre possit, id quod vulgata exprimitur.

1104. *ἐπέηκε* Reg. A.

1105. *κεύθω* Med. Vrat. Vind. Regg. A. B. C. E.

1107. *λέκτρα* Guelph. *λέκτρῳ* Reg. A. — *πορσύνουσαν* Vat. A.

1108. *νοσφίσομαι* Guelph. Vrat. ex ras. Vind. Flor. Ald. Brub. Basil.

1109. *εἰτ' εἰν ὑπὸ* Flor. Ald.

1110. *ἐπὶ σχεδὸν* Vatt. A. D.

1111. *βάλεν* Guelph.

1113. *μεταποιπνύουσαι* vulg., unde verbum inauditum *μεταποιπνύειν* in lexica irrepsit, quod jam dudum merito disparuisset, si animadvertissent editores, jam a Stephano recte monitum esse, *μέτα ποιπνύουσαι* scribendum esse, quod sensu postulante recepi.

1115. *ἐφημοσύνῃσιν* Guelph. marg. Reg. B., quod sensus causa multo deterius, tam exigua auctoritate fultum recepit Brunckius, suadente Piers. Verisim. p. 215. Mox idem *ἐποτρυνέοντα* ex conjectura dedit, quo sensus plane pervertitur: quod quum ipse intelligeret, versu praecedente *προσέειπεν* in *προέπεμψεν* mutandum proposuit. Sed inutiles sunt hae turbae, quum vulg. se optime habeat: *praeconem allocuta est, sua prudentia instigatura Iasonem, ut cum puella rem haberet, neque Alcinoum precibus adiret.* Deinde transitur ut saepe in orationem rectam. Male igitur Beckius signa, quibus Aretes oratio indica-

Αἰσονίδην κούρῃ, μηδ' Ἀλκίνοον βασιλῆα
λίσσεσθαι· τὸ γὰρ αὐτὸς ἰὼν Κόλχοισι δικάσσει,
παρθενικὴν μὲν ἐοῦσαν ἑοῦ ποτὶ δώματα πατρὸς
ἐκδώσειν· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
οὐκέτι κουριδίης μιν ἀποτμήξειν φιλότητος.
 Ὣς ἄρ' ἔφη· τὸν δ' αἶψα πόδες φέρον ἐκ μεγάροιο,
ὥς κεν Ἰήσονι μῦθον ἐναίσιμον ἀγγείλειεν
Ἀρήτης βουλάς τε θεουδέος Ἀλκινόοιο.
τοὺς δ' εὗρεν παρὰ νηῒ σὺν ἔντεσιν ἐγρήσσοντας
Ὑλλικῷ ἐν λιμένι σχεδὸν ἄστεος· ἐκ δ' ἄρα πᾶσαν
πέφραδεν ἀγγελίην· γήθησε δὲ θυμὸς ἑκάστου
ἡρώων· μάλα γάρ σφιν ἑαδότα μῦθον ἔειπεν.
 Αὐτίκα δὲ κρητῆρα κερασσάμενοι μακάρεσσιν,
ἣ θέμις, εὐαγέως ἐπιβώμια μῆλ' ἐρύσαντες,
αὐτονυχὶ κούρῃ θαλαμήϊον ἔντυον εὐνὴν
ἄντρῳ ἐν ἠγαθέῳ, τόθι δή ποτε Μάκρις ἔναιεν,
κούρη Ἀρισταίοιο μελίφρονος, ὅς ῥα μελισσέων
ἔργα πολυκμήτοιό τ' ἀνεύρατο πῖαρ ἐλαίης.
κείνη δὴ πάμπρωτα Διὸς Νυσήϊον υἷα
Εὐβοίης ἔντοσθεν Ἀβαντίδος ᾧ ἐνὶ κόλπῳ
δέξατο καὶ μέλιτι ξηρὸν περὶ χεῖλος ἔδευσεν,
εὖτέ μιν Ἑρμείας φέρεν ἐκ πυρός· ἔδρακε δ' Ἥρη,
καί ἑ χολωσαμένη πάσης ἐξήλασε νήσου.
ἡ δ' ἄρα Φαιήκων ἱερῷ ἐνὶ τηλόθεν ἄντρῳ
νάσσατο, καὶ πόρεν ὄλβον ἀθέσφατον ἐνναέτῃσιν.
ἔνθα τότ' ἐστόρεσαν λέκτρον μέγα· τοῖο δ' ὕπερθεν
χρύσεον αἰγλῆεν κῶας βάλον, ὄφρα πέλοιτο
τιμήεις τε γάμος καὶ ἀοίδιμος. ἄνθεα δέ σφιν

retur, jam v. 1115 praeposuit, quae si omnino poni volebat, post λίσσεσθαι demum locum habere poterant.

1117. ἰὸν Brub. Basil. errore typ. ut videtur.

1119. δώσειν Vatt. A. D.

1120. ἀποτμῆξαι Guelph. Regg. quatuor.

1122. ἀγγείλοιεν Guelph.

1124. εὗρε Vatt. A. B. C. D. Regg. D. E. Flor. Ald. Brub. Basil. Brunck. Beck.

1130. αὐτονυχεὶ Regg. A. E. — ἔντυνον vulg. contra metrum. ἔντυον Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Regg. quatuor, Brunck. Beck.

1134. Νυσσήϊον vulg. Νυσήϊον Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Flor. Ald. Brub. Basil. Brunck. Beck.

1143. τιμήεις ὁ γάμος ex Regg. quatuor receperunt Brunckius et Beckius, sine causa. Vulgatam propter auctoritatem multo majorem revocavi, nam similitudo loci Dionys. Perieg. 1153 χῶρος τιμήεις τε καὶ ἱερός fortuita videtur.

Νύμφαι ἀμεργόμεναι λευκοῖς ἐνὶ ποικίλα κόλποις
ἐσφόρεον· πάσας δὲ πυρὸς ὣς ἄμφεπεν αἴγλη·
τοῖον ἀπὸ χρυσέων θυσάνων ἀμαρύσσετο φέγγος.
δαῖε δ' ἐν ὀφθαλμοῖς γλυκερὸν πόθον· ἴσχε δ' ἑκάστην
αἰδὼς ἱεμένην περ ὅμως ἐπὶ χεῖρα βαλέσθαι.
αἱ μέν τ' Αἰγαίου ποταμοῦ καλέοντο θύγατρες·
αἱ δ' ὄρεος κορυφὰς Μελιτηΐου ἀμφενέμοντο·
αἱ δ' ἔσαν ἐκ πεδίων ἀλσηΐδες. ὦρσε γὰρ αὐτὴ
Ἥρη Ζηνὸς ἄκοιτις Ἰήσονα κυδαίνουσα.
κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κληΐζεται ἄντρον
Μηδείης, ὅθι τούς γε σὺν ἀλλήλοισιν ἔμιξαν,
τεινάμεναι ἑανοὺς εὐώδεας. οἱ δ' ἐνὶ χερσὶν
δούρατα νωμήσαντες ἀρήϊα, μὴ πρὶν ἐς ἀλκὴν
δυσμενέων ἀΐδηλος ἐπιβρίσειεν ὅμιλος,
κράατα δ' εὐφύλλοις ἐστεμμένοι ἀκρεμόνεσσιν,
ἐμμελέως Ὀρφῆος ὑπαὶ λίγα φορμίζοντος
νυμφιδίαις ὑμέναιον ἐπὶ προμολῇσιν ἄειδον.
οὐ μὲν ἐν Ἀλκινόοιο γάμον μενέαινε τελέσσαι
ἥρως Αἰσονίδης, μεγάροις δ' ἔνι πατρὸς ἑοῖο
νοστήσας ἐς Ἰωλκὸν ὑπότροπος· ὣς δὲ καὶ αὐτὴ
Μήδεια φρονέεσκε· τότ' αὖ χρεὼ ἦγε μιγῆναι.

1144. *ἀμαργόμεναι* Guelph. *ἀμελγόμεναι* Regg. quinque, quae frequens est confusio, vid. supra I, 882. cf. Northm. et Wernick. ad Tryphiod. 343. Naek. ad Choeril. p. 154.

1147. *γλυκερὸς πόθος* ex quinque Regg. receperunt Brunck. Beck., quod si vel in optimis libris legeretur, corrigendum foret, non potest enim *δαῖε* passiva vi usurpatum esse, quod putavit Brunckius, sed exemplis adstruere non potuit. Contra quam eleganter ex vulgata lectione dicitur velleris jubar in oculis desiderium accendere! cui elegantiae quomodo frigidam illam et linguae legibus repugnantem lectionem praeferre potuerint illi, non intelligo.

1148. *χέρα* Med.

1150. *Μελετηΐου* Brub. Basil., unde in ed. Hoelzlin. et Shaw. migravit.

1154. *ὅτι* Vrat. — *τούς τε* Guelph.

1155. *ἐϋώδεας* Brunck.

1157. *ἀρίδηλος* vulg., quod sensui repugnare videtur. *ἀΐδηλος* Guelph. Reg. D et Reg. A. ex litura, quod cum Brunck. et Beck. recepi. Similis varietas est apud Hom. Il. II, 318. cf. Buttm. Lexil. I p. 252. — *ὅμιλον* Ald. Brub. Basil.

1158. *κρᾶτα δ' ἐϋφύλλοις* Regg. quinque.

1159. *ὑπὸ* ex conjectura dedit Brunck. male Vid. ad II, 1229. *ὑπαὶ λιγέος* habet etiam Quint. Smyrn. VII, 230 *ὑπαὶ λιγυρῶν* Hesiod. Scut. Herc. 278.

1161. *μενέηνε* ex Regg. A. E. receperunt Brunck. et Beck., duobus iisque malis libris obsecuti, quod improbandum foret, etiamsi non antecederent et sequerentur imperfecta. — *μιγῆναι* pro *τελέσσαι* ex gloss. Guelph. — Versus tres, qui proxime sequuntur, desunt in Guelph.

ἀλλὰ γὰρ οὔ ποτε φῦλα δυηπαθέων ἀνθρώπων
τερπωλῆς ἐπέβημεν ὅλῳ ποδί· σὺν δέ τις αἰεὶ
πικρὴ παρμέμβλωκεν ἐϋφροσύνῃσιν ἀνίη.
τῷ καὶ τοὺς γλυκερῇ περ ἰαινομένους φιλότητι
δεῖμ᾽ ἔχεν, εἰ τελέοιτο διάκρισις Ἀλκινόοιο.
Ἠὼς δ᾽ ἀμβροσίοισιν ἀνερχομένη φαέεσσιν
λῦε κελαινὴν νύκτα δι᾽ ἠέρος· αἱ δ᾽ ἐγέλασσαν
ἠϊόνες νήσοιο καὶ ἑρσήεσσαι ἄπωθεν
ἀτραπιτοὶ πεδίων· ἐν δὲ θρόος ἔσκεν ἀγυιαῖς·
κίνυντ᾽ ἐνναέται μὲν ἀνὰ πτόλιν, οἱ δ᾽ ἀποτηλοῦ
Κόλχοι Μακριδίης ἐπὶ πείρασι χερνήσοιο.
αὐτίκα δ᾽ Ἀλκίνοος μετεβήσατο συνθεσίῃσιν
ὃν νόον ἐξερέων κούρης ὕπερ· ἐν δ᾽ ὅγε χειρὶ
σκῆπτρον ἔχεν χρυσοῖο δικασπόλον, ᾧ ὕπο λαοὶ
ἰθείας ἀνὰ ἄστυ διεκρίνοντο θέμιστας.
τῷ δὲ καὶ ἑξείης πολεμήϊα τεύχεα δύντες
Φαιήκων οἱ ἄριστοι ὁμιλαδὸν ἐστιχόωντο.
ἥρωας δὲ γυναῖκες ἀολλέες ἔκτοθι πύργων
βαῖνον ἐποψόμεναι· σὺν δ᾽ ἀνέρες ἀγροιῶται
ἤντεον εἰσαΐοντες, ἐπεὶ νημερτέα βάξιν
Ἥρη ἐπιπροέηκεν. ἄγεν δ᾽ ὁ μὲν ἔκκριτον ἄλλων

1169. ἢ τελέοιτο Reg. E. et marg. A., quod receperunt Brunck. Beck. male, non enim de eo solliciti erant, quale Alcinoi judicium futurum esset, id enim narraverat praeco, sed an ratum futurum esset, quod Alcinoum promisisse praeco dixerat, quae sollicitudo v. 1203 tollitur.

1170. ἀμβροσίῃσιν vulg. consueto errore. ἀμβροσίοισιν Vatt. A. B. C. D. Med. Guelph. Vrat. Vind. Reg. D. Brunck. Beck. — ἀνερχομένην Ald. Brub. Basil. — φαρέεσσιν var. lect. ap. Schol. Flor., quod eadem quantitate vidimus III, 863.

1173. πεδίον Regg. A. E.

1174. ἀποτηλοῦ scripsi pro vulg. ἀπὸ τηλοῦ.

1175. Μακριδίοις Regg. A. E. — ἐνὶ Brunck. fortasse ex errore typ.

1176. μετεβήσετο vulg., qui error jam saepius observatus est. μετεβήσατο, quod ex ingenio dedit Brunckius, praebent Vatt. C. D.

1177. ἔνθ᾽ ὅγε ex Ald. reliquae edd. usque ad Brunckium, qui librorum omnium et Flor. lectionem revocavit.

1178. ἔχε Guelph. Vrat. Vind. Brunck. Beck. — ᾧ ὕπο πολλοὶ vulg. ᾧ ὑπὸ λαοὶ Flor., quae lectio a nullo editore animadversa est, quamquam unice vera esse videtur. Nam vulg. πολλοί ita ineptum est, ut neminem in eo offendisse maxime mirer; contra λαοί aptissimum, et simillime de hac ipsa Phaeacum urbe dictum Hom. Od. VI, 194 ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν. Jam videat mihi aliquis, quam facile ΥΠΟΛΑΟΙ syllaba ΠΟ male iterata in ΥΠΟΠΟΛΑΟΙ corrumpi potuerit, et vix dubitabit, quin hanc lectionem, in quam jam conjectura incideram, recte receperim. Confirmare eam videtur locus similis, quem legimus supra II, 1027 de rege Mossynoecorum: ἰθείας πολέεσσι δίκας ΛΑΟΙΣΙ δικάζει.

1180. δὲ omittunt tres Regg.

1182. ἔντοθι Vrat.

1185. ἄλλον Flor.

ἀρνειὸν μήλων, ὁ δ' ἀεργηλὴν ἔτι πόρτιν·
ἄλλοι δ' ἀμφιφορῆας ἐπισχεδὸν ἵστασαν οἴνου
κίρνασθαι· θυέων δ' ἀποτηλόθι κήκιε λιγνύς.
αἱ δὲ πολυκμήτους ἑανοὺς φέρον, οἷα γυναῖκες,
μείλιά τε χρυσοῖο καὶ ἀλλοίην ἐπὶ τοῖσιν
ἀγλαΐην, οἵην τε νεόζυγες ἐντύνονται·
θάμβευν δ' εἰσορόωσαι ἀριπρεπέων ἡρώων
εἴδεα καὶ μορφὰς, ἐν δὲ σφίσιν Οἰάγροιο
υἱὸν ὑπαὶ φόρμιγγος ἐϋκρέκτου καὶ ἀοιδῆς
ταρφέα σιγαλόεντι πέδον κροτέοντα πεδίλῳ.
Νύμφαι δ' ἄμμιγα πᾶσαι, ὅτε μνήσαιτο γάμοιο,
ἱμερόενθ' ὑμέναιον ἀνήπυον· ἄλλοτε δ' αὖτε
οἰόθεν οἷαι ἄειδον ἑλισσόμεναι περὶ κύκλον,
Ἥρη, σεῖο ἕκητι· σὺ γὰρ καὶ ἐπὶ φρεσὶ θῆκας
Ἀρήτῃ, πυκινὸν φάσθαι ἔπος Ἀλκινόοιο.
αὐτὰρ ὅγ' ὡς ταπρῶτα δίκης ἀνὰ πείρατ' ἔειπεν
ἰθείης, ἤδη δὲ γάμου τέλος ἐκλήϊστο,
ἔμπεδον ὧς ἀλέγυνε διαμπερές· οὐδέ ἑ τάρβος
οὐλοὸν οὐδὲ βαρεῖαι ἐπήλυθον Αἰήταο
μήνιες, ἀῤῥήκτοισι δ' ἐνιζεύξας ἔχεν ὅρκοις.

1186. ἀεργίλην Regg. quatuor, et contrario vitio πόρτην Guelph.

1188. θυέων τ' vulg. θυέων Reg. B. θυέων δ' Guelph. Vrat., quod ut praestantius recepi: Δ propter sequens Α excidit ut in Reg. B., et deinde τ' male insertum est. — ἄπο τηλόθι Vrat. eodem vitio, quo supra v. 728 ἀπὸ τηλόθι Vatt. A. B. C. D. et Regg. aliquot, quod receperunt Brunck. et Beck. male, ἀποκηκίω nihil est.

1192. θάμβεον ex Regg. A. D. E. male receperunt Brunck. et Beck., quorum ille contractionem pronunciando fieri sed non scriptura exprimi contendit, ineptissime comparans χρυσέῃ et μελισσέων, quorum longe alia est ratio, quum sequatur longa vocalis. Rectius comparare poterat quae attulit Naek. ad Choeril. p. 148, qui tamen de loco nostro fortasse non assensisset Brunckio, si ejus lectionem tam levi auctoritate niti scivisset.

1194. ἐϋκέρκτου Guelph. ἐϋκρεάτου Vat. C.

1195. πέδῳ Vatt. A. B. C. D. Med. Vrat. Vind. Corruptionis ansam dedisse videtur praecedens dativus.

1196. μνήσαιντο vulg. sine sensu. μνήσαιτο, quod ad Orpheum referendum est, ex ingenio bene reposuit Brunck. et recepit Beck. Corrumpi a librariis facile potuit propter praegressum Νύμφαι.

1197. ἀνύπνον Vind.

1198. ἑλισσομέναι περὶ κύκλον hinc sumsit Dionys. Perieg. 841. ἑλισσομένη κατὰ κύκλον habet Oppian. Halieut. I, 257.

1199. σεῖό γ' ἕκητι ex uno Reg. D. receperunt Brunck. et Beck., qui supra v. 1087 σεῖο ἕκητι intactum reliquerant. Cf. quae ad I, 334 monita sunt.

1200. Ἀρήτης vulg. Ἀρήτῃ Guelph., quod recte ex usu Homerico commendat in Appendice Brunckius, collatis Il. I, 55. VIII, 218, quo commotus recepit Beck., de fonte, unde hauserit, silens.

1201. ἀναπείρατ' Vrat.

1205. ἀρήκτοισι Guelph. ut scri-

τῷ καὶ ὅτ' ἠλεμάτως Κόλχοι μάθον ἀντιόωντες,
καὶ σφέας ἠὲ θέμιστας ἑὰς εἴρυσθαι ἄνωγεν,
ἢ λιμένων γαίης τ' ἀποτηλόθι νῆας ἐέργειν,
δὴ τότε μιν βασιλῆος ἑοῦ τρομέοντας ἐνιπὰς
δέχθαι μειλίξαντο συνήμονας· αὖθι δὲ νήσῳ
δὴν μάλα Φαιήκεσσι μετ' ἀνδράσι ναιετάασκον,
εἰσότε Βακχιάδαι, γενεὴν Ἐφύρηθεν ἐόντες,
ἀνέρες ἐννάσσαντο μετὰ χρόνον· οἱ δὲ περαίην
νῆσον ἔβαν· κεῖθεν δὲ Κεραύνια μέλλον Ἀβάντων
οὔρεα Νεσταίους τε καὶ Ὤρικον εἰσαφικέσθαι·
ἀλλὰ τὰ μὲν στείχοντος ἄδην αἰῶνος ἐτύχθη.
Μοιράων δ' ἔτι κεῖσε θύη ἐπέτεια δέχονται
καὶ Νυμφέων Νομίοιο καθ' ἱερὸν Ἀπόλλωνος
βωμοί, τοὺς Μήδεια καθίσσατο. πολλὰ δ' ἰοῦσιν
Ἀλκίνοος Μινύαις ξεινήϊα, πολλὰ δ' ὄπασσεν
Ἀρήτη· μετὰ δ' αὖτε δυώδεκα δῶκεν ἕπεσθαι
Μηδείῃ δμωὰς Φαιηκίδας ἐκ μεγάροιο.
ἤματι δ' ἑβδομάτῳ Δρεπάνην λίπον· ἤλυθε δ' οὖρος
ἀκραὴς ἠῶθεν ὑπὲκ Διός· οἱ δ' ἀνέμοιο
πνοιῇ ἐπειγόμενοι προτέρω θέον. ἀλλὰ γὰρ οὔπω
αἴσιμον ἦν ἐπιβῆναι Ἀχαιΐδος ἡρώεσσιν,
ὄφρ' ἔτι καὶ Λιβύης ἐπὶ πείρασιν ὀτλήσειαν.
Ἤδη μέν ποτε κόλπον ἐπώνυμον Ἀμβρακιήων,

bere debebat Brunck., si sibi constare voluisset. — ἐνὶ ζεύξας vulg. junctim Vatt. C. D. Regg. aliquot, Brunck. Beck.

1207. ἠδὲ Guelph.

1208. ἀπὸ τηλόθι Vatt. A. B. C. D. et aliquot Regg., unde receperunt Brunck. et Beck. sine causa. De Vrat. fallitur Beck.

1209. δὴ τότε δὴ vulg., in quo iteratum δὴ quomodo ferre potuerint editores nescio. Alterum δὴ deest in Flor., μιν ejus loco legitur in Guelph., quod unice verum est. Hoc enim quum pro plurali positum displiceret librariis, ab iis omissum est, cujus rei testimonium praebet Flor., deinde versus explendi gratia δὴ repetitum. Recepi igitur μιν, cui favet etiam sequens ἑοῦ, item pro σφετέρου positum, quamquam μιν etiam pro singulari accipi et ad Alcinoum referri potest pendens a μειλίξαντο. — τρομέοντες vulg. τρομέοντας Med. Guelph. Vrat. Vind. Flor. Brub. Basil., quod ut aptius recepi: *rogaverunt, ut se, quoniam regis sui minas timerent, reciperet.* — ἐνιπτὰς Vat. C.

1210. ἐμειλίξαντο ex uno Reg. D. male recepit Beck. — συνημοσύνας Vrat. Vind.

1212. ἰόντες Flor.

1213. ἐννάσαντο Vrat. Vind.

1217. δέ τ' ἐκεῖσε Guelph.

1219. καθίσατο Vrat. Vind.

1224. ὑπεκδιὸς Vatt. A. B. C. D. ὑπεύδιος Flor., quod ex conjectura editoris natum videtur, qui corruptum ὑπεκδιὸς, quod in codice invenerat, non intelligeret.

1228. ποτὶ κόλπον vulg. inepte, quod tamen nemo editorum animadvertit ante Flanginium, qui recte ποτε reponendum vidit. Animadvertit etiam Hoerstel., qui minus bene τότε e-

ἤδη Κουρῆτιν ἔλιπον χθόνα πεπταμένοισιν
λαίφεσι, καὶ στεινὰς αὐταῖς σὺν Ἐχινάσι νήσους
ἑξείης, Πέλοπος δὲ νέον κατεφαίνετο γαῖα·
καὶ τότ' ἀναρπάγδην ὀλοὴ Βορέαο θύελλα
μεσσηγὺς πέλαγόσδε Λιβυστικὸν ἐννέα πάσας
νύκτας ὁμῶς καὶ τόσσα φέρ' ἤματα, μέχρις ἵκοντο
προπρὸ μάλ' ἔνδοθι Σύρτιν, ὅθ' οὐκέτι νόστος ὀπίσσω
νηυσὶ πέλει, ὅτε τόν γε βιῴατο κόλπον ἱκέσθαι.
πάντη γὰρ τέναγος, πάντη μνιόεντα βυθοῖο
τάρφεα· κωφὴ δέ σφιν ἐπιβλύει ὕδατος ἄχνη·
ἠερίη δ' ἄμαθος παρακέκλιται· οὐδέ τι κεῖσε
ἑρπετὸν οὐδὲ ποτητὸν ἀείρεται. ἔνθ' ἄρα τούς γε
πλημμυρὶς (καὶ γάρ τ' ἀναχάζεται ἠπείροιο
ἦ θαμὰ δὴ τόδε χεῦμα, καὶ ἂψ ἐπερεύγεται ἀκτὰς
λάβρον ἐποιχόμενον) μυχάτῃ ἐνέωσε τάχιστα
ἠϊόνι, τρόπιος δὲ μάλ' ὕδασι παῦρον ἔλειπτο.
οἱ δ' ἀπὸ νηὸς ὄρουσαν, ἄχος δ' ἕλεν εἰσορόωντας

mendavit. Illud cum Beckio recepi.— Ἀμπρακιήων sine codd. dedit Brunckius tanquam antiquiorem formam; cf. Popponis Thucyd. I, 2 p. 140. Sed non est quod propterea Apollonio invitis libris omnibus obtrudatur. Apud Dionys. quidem Perieg. v. 493 libri multi habent Ἀμπρακιήων.

1229. *Κουρίτιν* Vatt. A. B. C. D. Med. Vind. Vrat. a m. 1. Regg. B. D. Ald. Brub. Basil. solenni errore. *Κουρήτων* Guelph. Flor., quae correctio metrica videtur; certe Hermannus quoque ad Orph. p. 708 in producta syllaba postrema offendit, et propterea *λεῖπον* legendum judicavit, sed nihil mutandum est, quum productio illa et in caesura et in nomine proprio sit.

1230. *στενὰς* Guelph.

1232. *τότ' ἄρ' ἁρπάγδην* Reg. D.

1233. *πέλαγός τε* vulg. *πέλαγος δὲ* Med. Reg. A. et alii fortasse Regg., unde Brunck. lectore non monito sed sensu postulante dedit *πέλαγόσδε*, quod ipsum exhibet Vrat. — *λιβυκὸν* Reg. A.

1235. *ἵν' οὐκέτι* vulg., quod ex vocabuli praecedentis syllaba finali natum videtur; nam *ὅτ' οὐκέτι* habent Med. Vrat. Vind. *ὅθ' οὐκέτι* Regg. B. D. E., quod cum Brunck. et Beck. recepi.

1236. *βιαίατο* Regg. quinque, quibus falso Med. adjicit Brunckius.

1237. *μινόεντα* Guelph.

1238. *κουφὴ* ex emendatione Valck. ad Ammon. p. 134 dedit Brunck., quae emendatio non solum necessaria est sed etiam loci elegantiam minuit, eamque a Valckenario prolatam miror, qui ipse *κωφὸν κῦμα* quid sit et eadem pagina et p. 137 sq. optime explicat. — *ἐπικλύει* Vrat. Vind.

1239. *ἠερίη γ' ἄμαθος* Basil. fortasse errore typ., sed inde Hoelzlin. Shaw. *ἤερι ἠδ' ἄμαθος* Reg. A.

1242. *δὴ* omittit Guelph. — *τότε* Vatt. A. B. C. D. — *ἀπερεύγεται* Regg. A. B. E.

1243. *λάβρῳ* Reg. A. — *ἐνέωσεν ἄγεσθαι* Guelph. et var. lect. ap. Schol. Flor., fortasse ex priore recensione.

1244. *τρόπις* Med. a m. 1. — *παῦρον ἔλιπτο* Flor. Ald. Brub. Basil. *παῦρ' ἐλέλειπτο* ex uno Reg. D. receperunt Brunck. et Beck. ut multo elegantius, quam elegantiam non capio. Beckius praeterea falso dicit, olim lectum esse *παῦρα λέλειπτο*, ita enim nusquam legitur.

ἠέρα καὶ μεγάλης νῶτα χθονὸς ἠέρι ἶσα
τηλοῦ ὑπερτείνοντα διηνεκές· οὐδέ τιν' ἀρδμὸν,
οὐ πάτον, οὐκ ἀπάνευθε καταυγάσσαντο βοτήρων
αὔλιον, εὐκήλῳ δὲ κατείχετο πάντα γαλήνῃ.
ἄλλος δ' αὖτ' ἄλλον τετιημένος ἐξερέεινεν.
„Τίς χθὼν εὔχεται ἥδε; πόθι ξυνέωσαν ἄελλαι
„ἡμέας; αἴθ' ἔτλημεν, ἀφειδέες οὐλομένοιο
„δείματος, αὐτὰ κέλευθα διαμπερὲς ὁρμηθῆναι
„πετράων. ἦτ' ἂν καὶ ὑπὲρ Διὸς αἶσαν ἰοῦσιν
„βέλτερον ἦν μέγα δή τι μενοινώωντας ὀλέσθαι.
„νῦν δὲ τί κεν ῥέξαιμεν, ἐρυκόμενοι ἀνέμοισιν
„αὖθι μένειν τυτθόν περ ἐπὶ χρόνον, οἷον ἐρήμη
„πέζα διωλυγίης ἀναπέπταται ἠπείροιο;“
Ὣς ἄρ' ἔφη· μετὰ δ' αὐτὸς ἀμηχανίῃ κακότητος
ἰθυντὴρ Ἀγκαῖος ἀκηχέμενος ἀγόρευσεν·
„Ὠλόμεθ' αἰνότατον δῆθεν μόρον, οὐδ' ὑπάλυξις
„ἔστ' ἄτης· πάρα δ' ἄμμι τὰ κύντατα πημανθῆναι
„τῇδ' ὑπ' ἐρημαίῃ πεπτηότας, εἴ κεν ἄηται
„χερσόθεν ἀμπνεύσειαν· ἐπεὶ τεναγώδεα λεύσσω

1246. ἠέρι δ' ἶσα vulg. Recte vidit Buttm. Lexilog. I p. 122 δ' delendum esse; officit enim sensui et insertum est a librariis ad hiatum vitandum, quem ante ἶσος frequentat Homerus.

1248. κατηυγάσσαντο vulg. καταυγάσαντο Vat. A. καταυγάσσαντο Vat. C. Vrat. Vind. Regg. quatuor, quod cum Brunck. et Beck. recepi. — βοτῆρα quinque Regg., quod Brunckius pro adjectivo eleganter positum ratus, ut βοτῆρα αὔλιον sit pro αὔλιον βοτηρικόν, recepit obsequente Beckio. Jure mireris, Brunckium suorum codicum amore ita obcoecatum fuisse, ut ad tales ineptias descenderit, et vel masculinum βοτῆρα cum neutro αὔλιον jungi posse crediderit. Sed corrector, cui emendationes codicum Regg. debentur, cautior fuit Brunckio, non enim βοτῆρα αὔλιον dedit sed βοτῆρα αὐλίου; sic in Reg. A. certe legi scio, quod celavit Brunckius.

1250. ἄλλος τετιημένον Reg. A..

1255. μενοινόωντας Vatt. A. C. Vrat. Regg. B. E. contra metrum. Vulgatum μενοινώωντας ut formam inusitatam respuens Brunckius formam non minus inusitatam μενοινώοντας recepit ex Regg. A. D., cui obstant eadem, quae supra v. 219 contra eorundem librorum lectionem μοιμώοντες monita sunt. Contra μενοινώωντες ipso illo μαιμώωντες, quod illic verum esse vidimus, se tuetur.

1256. κε Brunck. sine libris et lectore non monito. — ἀνέμοισι Guelph.

1260. ἀκηχεμένοις vulg. ἀκηχέμενος Reg. E., quod sensui aptius cum Brunck. et Beck. recepi. Vulgatam recte monet Brunckius ex librariorum praepostera circa metrum sollicitudine natam esse. — ἀγόρευε Guelph.

1261. ἀλόμεθ' Guelph.

1263. πεπτηῶτας Vrat. Vind. De hoc accusativo, quem praegreditur dativus ἄμμι, vid. quos laudavi ad Aesch. Choeph. 405. — ἤ κεν Vind.

1264. λεύσω Med. a m. 1. et Vrat. a m. 1.

„τῆλε περισκοπέων ἅλα πάντοθεν· ἤλιθα δ' ὕδωρ
„ξαινόμενον πολιῇσιν ἐπιτροχάει ψαμάθοισιν.
„καί κεν ἐπισμυγερῶς διὰ δὴ πάλαι ἥδε κεάσθη
„νηῦς ἱερὴ χέρσου πολλὸν πρόσω· ἀλλά μιν αὐτὴ
„πλημμυρὶς ἐκ πόντοιο μεταχθονίην ἐκόμισσεν.
„νῦν δ' ἡ μὲν πέλαγόσδε μετέσσυται, οἰόθι δ' ἅλμη
„ἄπλοος εἱλεῖται γαίης ὕπερ ὅσσον ἔχουσα.
„τοὔνεκ' ἐγὼ πᾶσαν μὲν ἀπ' ἐλπίδα φημὶ κεκόφθαι
„ναυτιλίης νόστου τε. δαημοσύνην δέ τις ἄλλος
„φαίνοιεν· πάρα γάρ οἱ ἐπ' οἰήκεσσι θαάσσειν
„μαιομένῳ κομιδῆς. ἀλλ' οὐ μάλα νόστιμον ἦμαρ
„Ζεὺς ἐθέλει καμάτοισιν ἐφ' ἡμετέροισι τελέσσαι.“
Ὣς φάτο δακρυόεις· σὺν δ' ἔννεπον ἀσχαλόωντι,
ὅσσοι ἔσαν νηῶν δεδαημένοι· ἐν δ' ἄρα πᾶσιν
παχνώθη κραδίη, χύτο δὲ χλόος ἀμφὶ παρειάς.
οἷον δ' ἀψύχοισιν ἐοικότες εἰδώλοισιν
ἀνέρες εἱλίσσονται ἀνὰ πτόλιν, ἢ πολέμοιο

1265. *ἤλυθα* Flor. Ald. Brub. Basil.

1266. *πολιοῖσιν* vulg., quod ex Flor. fluxit, nam in codd. omnibus legitur *πολιῇσιν*, unde revocavit Brunck. — *ἐπιπροχέοι* Flor. Hinc hortulos suos irrigavit Dionys. Perieg. 203 *ἄμπωτις ξηρῇσιν ἐπιτροχάει ψαμάθοισιν.*

1267. *ἥδ' ἐκεάσθη* Brunck. sine libris et lectore non monito.

1268. *χέρσον* Flor.

1269. *πλημυρὶς* Med. a m. 1. Ejus vocabuli mediam quum aliis locis producat Noster (II, 576 et IV, 1241), hic corripit ad exemplum Homeri Od. IX, 486 *Τὴν δ' αἶψ' ἤπειρόνδε παλιῤῥόθιον φέρε κῦμα, Πλημμυρὶς ἐκ πόντοιο*, qui duo loci ita se invicem tuentur, ut neminis assensum laturus sit Blomfield., qui in Glossar. ad Aesch. Choeph. v. 180 utroque loco *ἐκ* delendum putat. — *μεταχρονίην* Vatt. A. D. Med. Guelph. Vrat. Vind. Regg. A. B. C. D. Ald. Brub. Basil., quod hoc loco non praeferendum est ut aliis, de quibus ad II, 300 monitum est, non enim hic *μεταχθονίην* idem significat quod *μεταχρονίην*, sed id exprimit, quod loco Homerico supra laudato *ἤπειρόνδε*, i. e. *μετὰ χθόνα*, quae significatio in lexicis desideratur. Propterea etiam non is est librorum omnium consensus in *μεταχρονίην*, quem aliis locis observavimus.

1273. *νόστου δαημοσύνην δέ τις* Vatt. A. B. C. D. *νόστου δὲ δαημοσύνην δέ τις* Med. *νόστου δὲ δαημοσύνην γέ τις* Regg. quinque, in quibus omnibus ante *νόστου* interpungitur, perperam. Illud *γε* tamen ex Regg. receperunt Brunck. Beck., quamquam id ipsum perspicue correctori debetur, qui duplex *δέ* ferre non poterat, sed interpunctionem mutandam esse non intelligebat.

1274. *φήνειεν* vulg. *φαίνοιεν* Vatt. A. C. Med. Guelph. Vrat Vind. Flor. Ald. Brub. Basil., quod propter librorum auctoritatem recepi.

1275. *μαιομένων* Med. a m. 1.

1277. *ἔνεπον* Vrat. Vind. — *ἀσχαλόωντες* Flor.

1279. *χύτο καὶ χλόος* Guelph.

1281. *πτολέμοιο* vulg. *πολέμοιο* Vatt. A. B. C. D. Guelph. Vrat. Vind. Regg. quatuor, cod. apud Dorvill. Vann. crit. p. 337, quod propter librorum auctoritatem cum Brunck. et Beck. recepi.

ἢ λοιμοῖο τέλος ποτιδέγμενοι, ἠέ τιν' ὄμβρον
ἄσπετον, ὅστε βοῶν κατὰ μυρία ἔκλυσεν ἔργα,
ἢ ὅταν αὐτόματα ξόανα ῥέῃ ἱδρώοντα
αἵματι, καὶ μυκαὶ σηκοῖς ἔνι φαντάζωνται,
ἠὲ καὶ ἠέλιος μέσῳ ἤματι νύκτ' ἐπάγῃσιν
οὐρανόθεν, τὰ δὲ λαμπρὰ δι' ἠέρος ἄστρα φαείνῃ·
ὣς τότ' ἀριστῆες δολιχοῦ πρόπαρ αἰγιαλοῖο
ἤλυον ἑρπύζοντες. ἐπήλυθε δ' αὐτίκ' ἐρεμνὴ
ἕσπερος· οἳ δ' ἐλεεινὰ χεροῖν σφέας ἀμφιβαλόντες
δακρυόειν ἀγάπαζον, ἵν' ἄνδιχα δῆθεν ἕκαστος
θυμὸν ἀποφθίσειαν ἐνὶ ψαμάθοισι πεσόντες.
βὰν δ' ἴμεν ἄλλυδις ἄλλος ἑκαστέρω αὖλιν ἑλέσθαι·
ἐν δὲ κάρῃ πέπλοισι καλυψάμενοι σφετέροισιν
ἄκμηνοι καὶ ἄπαστοι ἐκείατο νύκτ' ἐπὶ πᾶσαν
καὶ φάος, οἰκτίστῳ θανάτῳ ἔπι. νόσφι δὲ κοῦραι
ἀθρόαι Αἰήταο παρεστενάχοντο θυγατρί.
ὡς δ' ὅτ' ἐρημαῖοι πεπτηότες ἔκτοθι πέτρης
χηραμοῦ ἀπτῆνες λιγέα κλάζουσι νεοσσοί·
ἢ ὅτε καλὰ νάοντος ἐπ' ὀφρύσι Πακτωλοῖο

1282. λιμοῖο Regg. quatuor.

1283. μυρία ἔκλυσεν hiatum efficit, qui etsi fortasse ferri possit ut in pede quarto, tamen quia simplex ἔκλυσεν sensui etiam non satisfacere videtur, malim levissima mutatione scribi μυρί' ἀνέκλυσεν.

1284. ἱδρώωντα Guelph.

1285. μύκας Schol. Paris. παροξυτόνως scribit, probante Schaefero, qui hanc τόνωσιν analogia commendari recte animadvertit, eoque auctore sic βαρυτόνως in Schneideri et Passovii lexicis scribitur. Sed et codices omnes vulgatam τόνωσιν tuentur, et Arcadius de accent. 106 ed. Bark. diserte testatur, μυκή contra similium substantivorum analogiam ὀξύνεσθαι. — φαντάζονται Vatt. A. B. C. D. Vrat. Vind. Regg. C. D., qui merus error est, qualem mox in φαείνῃ observabimus, nam ῥέῃ et ἐπάγῃσιν, in quibus omnes libri consentiunt, conjunctivum unice verum esse docent.

1287. φαείνοι Vatt. A. B. C. D. Vrat. Vind. φαείνει Guelph. Regg. C. D. E.

1289. ἤλυθον vulg. inepte. ἤλυον egregia emendatione reposuit Brunckius. — ἐρυμνὴ Med. a m. 1. Vrat. Vind.

1291. ἕκαστοι Flor.

1292. ἀποφθίσσειαν vulg. ἀποφθείσειαν Med. a m. 1. ἀποφθίσειαν Med. a m. 2. Vatt. A. B. C. D. Guelph. Vrat. Vind. Regg. B. C., quod recte receperunt Brunck. et Beck. ἀποφθίσειεν Regg. A. D. E. perperam.

1293. ἄλλῳ ἑκατέρω Guelph.

1295. νύχθ' ὑπὸ πᾶσαν vulg., quod ex sola Flor. fluxit, nam νύχθ' ἐπὶ πᾶσαν habent Med. Ald. Brub. Basil. νύκτ' ἐπὶ πᾶσαν Vatt. A. B. C. D. Guelph. (teste Hoerstelio) Vrat. Vind. Regg. A. B. C. D. E. Hoc igitur revocavi.

1299. λιγέως vulg. λιγέας Guelph. λιγέα Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. A. B. E., quod recte receperunt Brunck. et Beck. Vulgata aut ex glossemate aut ex metri corrigendi studio nata est. Similia notata sunt ad I, 883.

κύκνοι κινήσουσιν ἑὸν μέλος, ἀμφὶ δὲ λειμὼν
ἑρσήεις βρέμεται ποταμοῖό τε καλὰ ῥέεθρα·
ὣς αἳ ἐπὶ ξανθὰς θέμεναι κονίῃσιν ἐθείρας
παννύχιαι ἐλεεινὸν ἰήλεμον ὠδύροντο.
καί νύ κεν αὐτοῦ πάντες ἀπὸ ζωῆς ἐλίασθεν
νώνυμνοι καὶ ἄφαντοι ἐπιχθονίοισι δαῆναι
ἡρώων οἱ ἄριστοι ἀνηνύστῳ ἐπ᾽ ἀέθλῳ·
ἀλλὰ σφέας ἐλέηραν ἀμηχανίῃ μινύθοντας
ἡρῷσσαι, Λιβύης τιμήοροι, αἵ ποτ᾽ Ἀθήνην,
ἦμος ὅτ᾽ ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα,
ἀντόμεναι Τρίτωνος ἐφ᾽ ὕδασι χυτλώσαντο.
ἔνδιον ἦμαρ ἔην, περὶ δ᾽ ὀξύταται θέρον αὐγαὶ
ἠελίου Λιβύην· αἳ δὲ σχεδὸν Αἰσονίδαο
ἔσταν, ἕλον δ᾽ ἀπὸ χερσὶ καρήατος ἠρέμα πέπλον.
αὐτὰρ ὅγ᾽ εἰς ἑτέρωσε παλιμπετὲς ὄμματ᾽ ἔνεικεν
δαίμονας αἰδεσθείς· αὐτὸν δέ μιν ἀμφαδὸν οἷον
μειλιχίοις ἐπέεσσιν ἀτυζόμενον προσέειπον.
„Κάμμορε, τίπτ᾽ ἐπὶ τόσσον ἀμηχανίῃ βεβόλησαι;
„ἴδμεν ἐποιχομένους χρύσεον δέρας· ἴδμεν ἕκαστα
„ὑμετέρων καμάτων, ὅσ᾽ ἐπὶ χθονὸς, ὅσσα τ᾽ ἐφ᾽ ὑγρὴν
„πλαζόμενοι κατὰ πόντον ὑπέρβια ἔργα κάμεσθε.

1301. *κινήσωσιν* vulg. conjunctivo male posito. *κινήσουσιν* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. A. B. E., unde restituerunt Brunckius et Beckius.

1303. *ὣς οἳ — θέμενοι — παννύχιοι* Flor.

1304. *παννυχίας* Vat. A. D. — *ἰάλεμον* Guelph. Schol. Paris., quod male probat Piers. ad Moer. p. 190.

1306. *νώνυμοι* Vatt. A. B. C. D. Vrat. a m. 1. Regg. quatuor. — *ἐπιχθονίῃσι* Reg. A.

1307. *ἡρώων ὄχ᾽ ἄριστοι* legendum suspicatur Piers. ad Moer. p. 195, cujus suspicionis causam non video. — *ἀνηνύτῳ* Vrat. a m. 1. Vind. — *ὑπ᾽ ἀέθλῳ* vulg., quod ex Flor. fluxit, nam in codd. omnibus legitur *ἐπ᾽ ἀέθλῳ*, quod revocarunt Brunck. et Beck.

1308. *ἐλέαιρον* Guelph.

1311. *ἀντώμεναι* Vrat.

1312. *ὀξύτατοι* Med. Guelph. Vrat.

1315. *παλιμπεμπὲς* Guelph.

1316. *αὐταὶ* ex conjectura Brunckius et Beck. male. Nulla est enim causa, quare subjectum tanta vi per *αὐταί* exprimi debeat, contra *αὐτόν* recte dictum est: *ipsum eum*, quamquam oculcs averterat, *allocutae sunt.*

1317. *προσέειπεν* Med. a m. 1.

1318. *ἔτι* vulg., cui hic prorsus non est locus, quare non dubito, quin scripserit poeta *ἐπὶ τόσσον*, quo usus est III, 1146, idque in textum recipere eo minus dubitavi, quod in eandem conjecturam incidisse video Spitznerum Obss. in Quint. Smyrn. p. 252. Confusione vocularum *ἔτι* et *ἐπὶ* nihil frequentius.

1319. *δέρος* Med. a m. 1. Vrat. Regg. A. C.

1320. *ὅσσ᾽* Vrat. Vind. — *χθόνα* Regg. A. E.

1321. *ἔργα ἐκάμεσθε* Reg. A. *ἔργ᾽ ἐκάμνεσθε* Reg. E. Hinc *ἔργ᾽ ἐκάμεσθε* dederunt Brunck. et Beck. reliquis omnibus libris obstrepentibus. Vid. ad II, 1072.

„οἰοπόλοι δ' εἰμὲν χθόνιαι θεαὶ αὐδήεσσαι,
„ἡρῷσσαι, Λιβύης τιμήοροι ἠδὲ θύγατρες.
„ἀλλ' ἄνα· μηδέ τι τοῖον ὀϊζύων ἀκάχησο·
„ἄνστησον δ' ἑτάρους. εὖτ' ἂν δέ τοι Ἀμφιτρίτη
„ἅρμα Ποσειδάωνος ἐΰτροχον αὐτίκα λύσῃ,
„δή ῥα τότε σφετέρῃ ἀπὸ μητέρι τίνετ' ἀμοιβὴν,
„ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ὔμμε φέρουσα·
„καί κεν ἔτ' ἠγαθέην ἐς Ἀχαιΐδα νοστήσαιτε.“
Ὣς ἄρ' ἔφαν, καὶ ἄφαντοι ἵν' ἔσταθεν ἔνθ' ἄρα ταί γε
φθογγῇ ὁμοῦ ἐγένοντο παρασχεδόν. αὐτὰρ Ἰήσων
παπτήνας ἀν' ἄρ' ἕζετ' ἐπὶ χθονὸς ὧδέ, τ' ἔειπεν.
„Ἵλατ' ἐρημονόμοι κυδναὶ θεαί· ἀμφὶ δὲ νόστῳ
„οὔτι μάλ' ἀντικρὺς νοέω φάτιν. ἦ μὲν ἑταίρους
„εἰς ἓν ἀγειράμενος μυθήσομαι, εἴ νύ τι τέκμωρ
„δήοιμεν κομιδῆς· πολέων δέ τε μῆτις ἀρείων.“
Ἦ καὶ ἀναΐξας ἑτάρους ἐπὶ μακρὸν ἄϋτει,
αὐσταλέος κονίῃσι, λέων ὥς, ὅς ῥά τ' ἀν' ὕλην
σύννομον ἣν μεθέπων ὠρύεται· αἱ δὲ βαρείῃ

1322. *χθόνιοι* vulg., cujus corruptionis ansam praebuisse videtur praecedens *οἰοπόλοι. χθόνιαι* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. quinque, Brunck. Beck. — Comma ante *αὐδήεσσαι* posuit Beck.

1323. *ἡρῷσαι* Vrat. Flor. Ald. — Etymol. M. 759, 1 *τιμήοροι, ἥρωες καὶ ἔφοροι.*

1324. *μηδὲ τοὶ τοίων* Reg. A. *μηδ' ἔτι τοῖον* Regg. C. E., quod receperunt Brunck. et Beck., neque ego spernerem, si in melioribus libris reperiretur, sed sic non praeferendum est vulgatae, quae et ipsa non mala est.

1327. *τείνετ'* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. A. E. ex frequente errore.

1328. *ὧν ἕνεκά με* Reg. A. *ὧν ἔκαμε* Regg. duo, quod receperunt Brunck. et Beck. ex more.

1329. *καὶ μὲν* Flor. — *ἔτ' ἐπ'* Vind.

1331. *γείνοντο* suprascr. *γίνοντο* Guelph.

1332. *ἀνά ῥ' ἕζετ'* vulg. *ἀνάῤῥ' ἕζετ'* Ald. *ἂν ἄρ' ἕζετ'* Vatt. A. B. C. D. et Regg. aliquot. *ἀν' ἄρ' ἕζετ'* Vrat., quod recepi, ut saepissime apud Homerum legitur *κατ' ἄρ' ἕζετο*, nunquam *κατά ῥ' ἕζετο.*

1333. *κυδναὶ* Vatt. A. B. C. D., quorum auctoritate formam rariorem, a librariis saepe obliteratam, pro vulg. *κυδραὶ* recepi. cf. Ruhnk. ep. crit. p. 167.

1334. *ἄντικρυς* ex conjectura Brunck. Beck. male. Vid. ad III, 493.

1336. *δήωμεν* vulg. perperam. *δήιμεν* a m. 1. *δηΐωμεν* a m. 2. Med. *δηΐομεν* Vatt. A. B. C. D. *δήομεν* Reg. D. *δηίομεν* Regg. A. C. E. In quibus *δήοιμεν* latere perspicuum est, quod restituit Brunck. — *δέ τι μῆτις ἀρίστη* Guelph.

1338. *κονίῃ* Reg. A.

1339. *βαρείᾳ* vulg. *βαρεῖαι* Regg. quatuor, unde Brunck. ex conjectura dedit *βαθεῖαι.* Duabus enim de causis vulgatam damnat, primum quod *βαρύς* non aptum sit leonis rugitui epithetum, deinde *βαρείῃ* scribere debuisset poeta. Prius nihili est, alterum recte monet. Sed *βαθεῖαι* ferri nequit, primum enim contra epicorum morem est illa ad-

φθογγῇ ὑποτρομέουσιν ἀν' οὔρεα τηλόθι βῆσσαι·
δείματι δ' ἄγραυλοί τε βόες μέγα πεφρίκασιν,
βουπελάται τε βοῶν· τοῖς δ' οὔ νύ τι γῆρυς ἐτύχθη
ῥιγεδανὴ ἑτάροιο φίλους ἐπικεκλομένοιο.
ἀγχοῦ δ' ἠγερέθοντο κατηφέες· αὐτὰρ ὁ τούς γε
ἀχνυμένους ὅρμοιο πέλας μίγα θηλυτέρῃσιν
ἱδρύσας, μυθεῖτο πιφαυσκόμενος τὰ ἕκαστα.
„Κλῦτε, φίλοι· τρεῖς γάρ μοι ἀνιάζοντι θεάων,
„στέρφεσιν αἰγείοις ἐζωσμέναι ἐξ ὑπάτοιο
„αὐχένος ἀμφί τε νῶτα καὶ ἰξύας, ἠΰτε κοῦραι,
„ἔσταν ὑπὲρ κεφαλῆς μάλ' ἐπισχεδόν· ἂν δ' ἐκάλυψαν
„πέπλον ἐρυσσάμεναι κούφῃ χερὶ, καί μ' ἐκέλοντο
„αὐτόν τ' ἔγρεσθαι ἀνά θ' ὑμέας ὄρσαι ἰόντα·
„μητέρι δὲ σφετέρῃ μενοεικέα τῖσαι ἀμοιβὴν,
„ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ἄμμε φέρουσα,
„ὁππότε κεν λύσῃσιν ἐΰτροχον Ἀμφιτρίτη
„ἅρμα Ποσειδάωνος. ἐγὼ δ' οὐ πάγχυ νοῆσαι
„τῆσδε θεοπροπίης ἴσχω πέρι. φάν γε μὲν εἶναι
„ἡρῷσσαι, Λιβύης τιμήοροι ἠδὲ θύγατρες,
„καὶ δ' ὁπόσ' αὐτοὶ πρόσθεν ἐπὶ χθονὸς ἠδ' ὅσ' ἐφ' ὑγρὴν

jectivi collocatio, deinde *βῆσσαι* adjectivo non eget, sed *φθογγὴ* aegre epitheto caret. Itaque correxi *βαρείῃ*, quod propter praecedens *αἱ* primum in *βαρεῖαι* corruptum est ut in Regg., deinde in *βαρεία*. — *σύννομόν* de avibus hoc sensu dixit Aristoph. Av. 209, de hominibus Soph. Oed. Col. 333.

1340. *οὖσσαι* pro *βῆσσαι* Guelph.

1341. *γε* pro *τε* Reg. A. — *πεφρίκασσι* Guelph.

1342. *τις γῆρυς* Guelph.

1343. *φίλοις* vulg. *φίλους* Med. a m. 2. Guelph. Vrat. Reg. B. Flor., quod suadente Brunckio in Appendice recte recepit Beck.

1346. *πιφασκόμενος* Regg. quatuor ut saepius.

1349. *ἰξύος* vulg. *ἰξύας*, quod conjectura assecutus erat Arnald. Lect. gr. p. 243, praebent Vatt. A. B. C. D. Med. Vrat. Vind., unde receperunt Brunck. et Beck. *ἰξίας* Reg. B.

1350. *ἐπὶ κεφαλῆς* Vatt. A. B. C. D., de quo nescio quid judicandum sit. — *μάλα σχέδον* Reg. A. — *ἐκ δ' ἐκάλυψαν* ex uno Reg. D. receperunt Brunck. et Beck., nescio quo jure.

1352. *ἡμέας ὦρσαι* Reg. A. — *ἰόντας* Vind.

1353. *μενοηκέα* Brub. Basil., quod transiit in ed. Hoelzlin. Shaw., quamquam jam correctum est in ed. Steph. — *τῖσεν* Guelph.

1354. *ἔκαμε* Vrat. Vind. Regg. duo, Brunck. Beck. ut v. 1328.

1355. *δὴ* pro *κεν* Guelph. Flor. Ald. Brub. Basil.

1357. *τῆς γε* vulg. *τῆσδε* Vatt. A. B. C. D. Vrat. Vind. Regg. quinque, quod cum Brunck. et Beck. recepi. — *ἴσχω* omittunt Flor. Ald. Brub. Basil.

1359. *καί ῥ' ὁπόσ'* Guelph. — *ἐφ' ὑγρῆς* Guelph. Reg. A. Flor. Steph., sed quamquam *ἐπὶ χθονὸς* praecedit, et sensus hic quoque genitivum postulare videtur, accusativus tamen non minus quam v. 1320 retinendus est ex usu Homeri, qui nunquam alio casu quam accusativo

„ἔτλημεν, τὰ ἕκαστα διΐδμεναι εὐχετόωντο.
„οὐδ' ἔτι τάσδ' ἀνὰ χῶρον ἐσέδρακον, ἀλλά τις ἀχλὺς
„ἠὲ νέφος μεσσηγὺ φαεινομένας ἐκάλυψεν."
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐθάμβεον εἰσαΐοντες.
ἔνθα τὸ μήκιστον τεράων Μινύαισιν ἐτύχθη.
ἐξ ἁλὸς ἤπειρόνδε πελώριος ἔκθορεν ἵππος,
ἀμφιλαφής, χρυσέῃσι μετήορος αὐχένα χαίταις·
ῥίμφα δὲ σεισάμενος γυίων ἄπο νήχυτον ἅλμην
ὦρτο θέειν, πνοιῇ ἴκελος πόδας. αἶψα δὲ Πηλεὺς
γηθήσας ἑτάροισιν ὁμηγερέεσσι μετηύδα.
„Ἅρματα μὲν δὴ φημὶ Ποσειδάωνος ἔγωγε
„ἤδη νῦν ἀλόχοιο φίλης ὑπὸ χερσὶ λελύσθαι·
„μητέρα δ' οὐκ ἄλλην προτιόσσομαι ἠέ περ αὐτὴν
„νῆα πέλειν· ἢ γὰρ κατὰ νηδύος ἄμμε φέρουσα
„νωλεμὲς ἀργαλέοισιν ὀϊζύει καμάτοισιν.
„ἀλλά μιν ἀστεμφεῖ τε βίῃ καὶ ἀτειρέσιν ὤμοις
„ὑψόθεν ἀνθέμενοι ψαμαθώδεος ἔνδοθι γαίης
„οἴσομεν, ᾗ προτέρωσε ταχὺς πόδας ἤλασεν ἵππος.
„οὐ γὰρ ὅ γε ξηρὴν ὑποδύσεται· ἴχνια δ' ἡμῖν
„σημανέειν τιν' ἔολπα μυχὸν καθύπερθε θαλάσσης."

ἐφ' ὑγρήν utitur, etiam ubi genitivum exspectaveris ut Il. X, 27 τοὶ δὴ ἔθεν εἵνεκα πουλὺν ἐφ' ὑγρὴν Ἤλυθον ἐς Τροίην. Od. XX, 98 εἴ μ' ἐθέλοντες ἐπὶ τραφερήν τε καὶ ὑγρὴν Ἤγετ' ἐμὴν ἐς γαῖαν.

1361. οὐδέ τι vulg. οὐδ' ἔτι ex Vind. recte restituerunt Brunck. et Beck. — πη ἀχλὺς Reg. D.

1364. περάων Vind. — Μινύεσσιν vulg. Μινύῃσιν Vatt. A. C. Med. a m. 2. Guelph. Μινύαισιν Med. a m. 1. Vrat. Vind. Regg. quinque, Brunck. Beck.

1365. ἄνθορεν vulg. ἔνθορεν Reg. A. ἔκθορεν Vatt. A. B. C. D. Med. Vrat. Vind., quod quamquam improbante Dorvill. ad Charit. p. 329 recte propter librorum auctoritatem recepit Beck.

1366. ἀμφιλαφής quid sit explicat Wernick. ad Tryph. p. 116. — Posteriorem versus partem imitati sunt Nonn. Dionys. I, 318 ἀμφιλαφὴς δεδόνητο παρήορος αὐχένι χαίτη. V, 189 παρήορον αὐχένι κούρης. X, 205 ἐπήορον αὐχένι χαίτην. et Tryphiod. v. 67 μετήορος αὐχένι κυρτῷ.

1369. ὁμηγυρέεσσι Vatt. C. D.

1371. φίλοις Flor.

1372. προτιόσσομ' Flor. Ald. Steph.

1373. ἢ γὰρ ex Regg. A. D. E. receperunt Brunck. et Beck., sed multo aptius est vulgatum ᾗ γὰρ, quo aptam esse suam interpretationem Peleus affirmat. — αἰὲν ἔχουσα ἡμέας ἀργαλέοισιν Guelph. ἄμμε φέρουσα ἡμέας ἀργαλέοισιν Vatt. A. D. Med. Vrat. Vind. Reg. B. Flor. Ald. Brub. Basil. Perspicuum est in Guelph. prioris recensionis lectionem nobis servatam esse, in ceteris libris partem ejus male mixtam cum posteriore.

1375. ἀτειρέσσιν Flor. Ald.

1378. ὑποδύσσεται vulg. ὑποδύσεται Med. Vrat. Vind. Regg. quatuor, Brunck. Beck.

1379. σημενέειν Guelph. — τὶς Reg. A. — χυμὸν Vat. C. μυχῶν suspicatur Steph., quod non aptum foret. — κατύπερθε Vat. C.

Ὣς ηὖδα· πάντεσσι δ' ἐπήβολος ἥνδανε μῆτις.
Μουσάων ὅδε μῦθος· ἐγὼ δ' ὑπακουὸς ἀείδω
Πιερίδων, καὶ τήνδε πανατρεκὲς ἔκλυον ὀμφὴν
ὑμέας, ὦ πέρι δὴ μέγα φέρτατοι υἷες ἀνάκτων,
ᾗ βίῃ, ᾗ ἀρετῇ Λιβύης ἀνὰ θῖνας ἐρήμους
νῆα μεταχρονίην, ὅσα τ' ἔνδοθι νηὸς ἄγεσθε,
ἀνθεμένους ὤμοισι φέρειν δυοκαίδεκα πάντα
ἤμαθ' ὁμοῦ νύκτας τε. δύην γε μὲν ἢ καὶ ὀϊζὺν
τίς κ' ἐνέποι, τὴν κεῖνοι ἀνέπλησαν μογέοντες;
ἔμπεδον ἀθανάτων ἔσαν αἵματος, οἷον ὑπέσταν
ἔργον ἀναγκαίῃ βεβιημένοι. αὐτὰρ ἐπιπρὸ
τῆλε μάλ' ἀσπασίως Τριτωνίδος ὕδασι λίμνης
ὡς φέρον, ὡς εἰσβάντες ἀπὸ στιβαρῶν θέσαν ὤμων.
Λυσσαλέοις δ' ἤπειτ' ἴκελοι κυσὶν ἀΐσσοντες
πίδακα μαστεύεσκον· ἐπὶ ξηρὴ γὰρ ἔκειτο

1380. *ἐπίκλοπος* legendum conjicit Matthiae obss. critt. p. 30 inepte et contra Apollonii usum.

1381. *ὑπάκουον* Vatt. C. D.

1382. *αὐδήν* pro *ὀμφήν* Reg. D. ex glossemate.

1384. *ᾗ τ' ἀρετῇ* Brunck. Beck. particula ex Brunckii conjectura inserta, ob molliorem sonum ut dicit, sed ita, ut infringatur orationis vis. — *δίνας* Regg. A. E.

1385. *μεταχθονίην* vulg. *μεταχρονίην* Vatt. A. D. Med. Guelph. Vrat. Vind. Regg. quatuor, Ald. Brub. Basil., quod revocavi. — *ὅσσα* Guelph. — *ἄγεσθαι* Vatt. A. B. C. D. Guelph. Vrat. Vind. Regg. quatuor, ex solenni errore.

1386. *ἐνθεμένοις* Guelph.

1388. *ἀνέτλησαν* vulg. *ἀνέπλησαν* Vatt. A. B. C. D. Med. Guelph. Regg. quatuor, Ald. Brub. Basil., quod et exquisitius et majore auctoritate nixum recepi cum Brunck. et Beck. Eandem varietatem Brunckius laudat ex Oppian. Halieut. I, 708. cf. Wessel. ad Herod. p. 731.

1389. *αἶσαν* Reg. A.

1390. *βεβολημένοι* ex Regg. quatuor receperunt Brunck. et Beck. male. Ob id ipsum, quod saepe hoc participio utitur noster, hic rejiciendum est, eo facilius enim librariis in mentem venire poterat, ut usitatius participium sufficerent in locum ejus, quod semel tantum III, 1249 legitur.

1391. *οἴδμασι* ex Regg. A. C. E. recepit Brunck. obsequente Beckio. *ἔνδοθι* Reg. D. Vulgatam Brunckius ex glossemate natam putat, nos contra scimus Regios illos codices glossematis et correctionibus refertos esse. In iisdem libris saepius *οἴδματα* pro *ὕδατα* etc. scriptum est ut supra v. 608, infra v. 1601.

1392. *φέρων* Reg. A. — Posterius *ὡς* omittunt Vatt. A. D. Med. a m. 1. Regg. A. D.

1394. *ξηρῇ* vulg., propterea *ἔκειντο* Flor. et *δίψῃ* Flor. Ald. Brub. Basil. Sed *ξηρή* recte scriptum est in marg. Reg. A., unde receperunt Brunck. et Beck. Brunckius praeterea in *ἔκειτο* offendit, cujus loco *ἔτειρε* aut simile quid malle se dicit, non intellectus a Wernickio ad Tryph. p. 343. Id enim minime ignoravit Brunckius, recte dici: *ἡ δίψα ἐπίκειταί τινι sitis urget aliquem;* nostro vero loco dictum est: *ἡ δίψα ἐπέκειτο δυηπαθίῃ accedebat ad aerumnam*, sed et hoc *ἐπίκεισθαι* recte significare nemo dubitare potest. Brunckius *ἐπὶ* non cum *ἔκειτο* junxisse videtur. Veram et lectionem et constructionem invenerat jam Stephanus.

δίψα δυηπαθίῃ τε καὶ ἄλγεσιν, οὐδὲ μάτησαν
πλαζόμενοι· ἶξον δ' ἱερὸν πέδον, ᾧ ἔνι Λάδων
εἰσέτι που χθιζὸν παγχρύσεα ῥύετο μῆλα
χώρῳ ἐν Ἄτλαντος, χθόνιος ὄφις· ἀμφὶ δὲ Νύμφαι
Ἑσπερίδες ποίπνυον, ἐφίμερον ἀείδουσαι.
δὴ τότε δ' ἤδη τῆμος ὑφ' Ἡρακλῆϊ δαϊχθεὶς
μήλειον βέβλητο ποτὶ στύπος· οἰόθι δ' ἄκρῃ
οὐρῇ ἔτι σκαίρεσκεν· ἀπὸ κρατὸς δὲ κελαινὴν
ἄχρις ἐπ' ἄκνηστιν κεῖτ' ἄπνοος· ἐκ δὲ λιπόντων
ὕδρης Λερναίης χόλον αἵματι πικρὸν ὀϊστῶν,
μυῖαι πυθομένοισιν ἐφ' ἕλκεσι τερσαίνοντο.
ἀγχοῦ δ' Ἑσπερίδες κεφαλαῖς ἐπὶ χεῖρας ἔχουσαι
ἀργυφέας ξανθῇσι λίγ' ἔστενον· οἱ δὲ πέλασσαν
ἄφνω ὁμοῦ· ταὶ δ' αἶψα κόνις καὶ γαῖα κιόντων
ἐσσυμένως ἐγένοντο καταυτόθι. νώσατο δ' Ὀρφεὺς
θεῖα τέρα, τὰς δέ σφι παρηγορέεσκε λιτῇσιν.
„Δαίμονες ὦ καλαὶ καὶ ἐΰφρονες, ἵλατ' ἄνασσαι,
„εἴτ' οὖν οὐρανίαις ἐναρίθμιοί ἐστε θεῇσιν,
„εἴτε καταχθονίαις, εἴτ' οἰοπόλοι καλέεσθε
„Νύμφαι· ἴτ' ὦ Νύμφαι, ἱερὸν γένος Ὠκεανοῖο,

1395. *οὐδὲ μάτησαν* Vrat. Vind., quod recepi pro vulg. *οὐδ' ἐμάτησαν.* Vid. ad II, 1072.

1400. *δὴ τότε γ' ἤδη κεῖνος* vulg. *δὴ τότε δὴ τῆμος* Vatt. A. C. Med. Vrat. Reg. A., quod a librariis profectum esse non potest; horum igitur vestigia secutus dedi *δὴ τότε δ' ἤδη τῆμος*, nam *δέ* pro vulg. *γε* necessarium est, *τῆμος* autem est *hodie* ut IV, 252 et refertur ad *χθιζὸν* v. 1307, quod quum non intelligerent librarii et abundare *τῆμος* post *τότε* putarent, in *κεῖνος* mutarunt, ut I, 182 *τῆνος* pro *κεῖνος* in Guelph. vidimus.

1401. *μείλιον* Med. Guelph. Flor. Ald. Brub. Basil. *μήλινον* Reg. A.

1402. *ἄκρῃ οὐρῇ* ex Regg. quatuor receperunt Brunck. et Beck. sine causa. — *ἐπὶ* Guelph. — *σπαίρεσκεν* ex conjectura Brunck. Beck. sine causa; *σκαίρεσκεν*, ejusdem originis vocabulum, de caudae motu non minus apte dicitur. Eodem Quintus Smyrnaeus utitur loco simili VIII, 321 *ὃς δ' ἔτι ποσσὶν Ὄρθος ἀνεσκαίρεσκε.*

1403. *ἄϋπνω* pro *ἄπνοος* Reg. A.

1404. *πικρῶν* Vrat.

1406. *κεφαλῆς* sine libris et lectore non monito Brunck. Beck.

1407. *λίγα στένον* Guelph. — *οἱ δ' ἐπέλασσαν* Vatt. A. B. C. D. Vrat. Regg. tres, Brunck. Beck. Vid. ad II, 1072.

1410. *στὰς* ex Regg. quatuor et mox *σφε* ex conjectura dedit Brunckius, quem sequitur Beck. male: illud *στάς* prorsus otiosum est, vulgata autem optime se habet, *σφι* ad heroes referendum est, quorum utilitati consulens. Deas illas propitias reddere conabatur

1411. *εὔφρονες* vulg. *ἐΰφρονες* Vrat. Regg. quatuor (et alii fortasse libri, talia enim enotari non solent), Brunck. Beck.

1412. *οὐρανίης* et v. seq. *καταχθονίης* sine libris et lectore non monito Brunck. Beck.

„δείξατ' ἐελδομένοισιν ἐνωπαδὶς ἄμμι φανεῖσαι
„ἤ τινα πετραίην χύσιν ὕδατος, ἤ τινα γαίης
„ἱερὸν ἐκβλύοντα, θεαὶ, ῥόον, ᾧ ἀπὸ δίψαν
„αἰθομένην ἄμοτον λωφήσομεν. εἰ δέ κεν αὖτις
„δή ποτ' Ἀχαιΐδα γαῖαν ἱκώμεθα ναυτιλίῃσιν,
„δὴ τότε μυρία δῶρα μετὰ πρώτῃσι θεάων
„λοιβάς τ' εἰλαπίνας τε παρέξομεν εὐμενέοντες."
Ὣς φάτο λισσόμενος ἀδινῇ ὀπί· ταὶ δ' ἐλέαιρον
ἐγγύθεν ἀχνυμένους· καὶ δὴ χθονὸς ἐξανέτειλαν
ποίην πάμπρωτον· ποίης γε μὲν ὑψόθι μακροὶ
βλάστεον ὅρπηκες· μετὰ δ' ἔρνεα τηλεθάοντα
πολλὸν ὑπὲρ γαίης ὀρθοσταδὸν ἠέξοντο.
Ἑσπέρη αἴγειρος πτελέη δ' Ἐρυθηῒς ἔγεντο,
Αἴγλη δ' ἰτείης ἱερὸν στύπος. ἐς δέ νυ κείνων
δενδρέων, οἷαι ἔσαν, τοῖαι πάλιν ἔμπεδον αὔτως
ἐξέφανεν, θάμβος περιώσιον, ἔκφατο δ' Αἴγλη
μειλιχίοις ἐπέεσσιν ἀμειβομένη χατέοντας.
„Ἦ ἄρα δὴ μέγα πάμπαν ἐφ' ὑμετέροισιν ὄνειαρ
„δεῦρ' ἔμολεν καμάτοισιν ὁ κύντατος, ὅστις ἀπούρας
„φρουρὸν ὄφιν ζωῆς, παγχρύσεα μῆλα θεάων
„οἴχετ' ἀειράμενος· στυγερὸν δ' ἄχος ἄμμι λέλειπται.
„ἤλυθε γὰρ χθιζός τις ἀνὴρ ὀλοώτατος ὕβριν

1415. δείξατε ἐλδομένοισιν Guelph.
1417. ὡς pro ᾧ male Regg. A. C. E. — ἄπο Flor. Ald. Paris. Brub. Basil. male.
1418. καὶ pro κεν Vatt. A. D. Med. Vrat. Vind. Regg. quatuor ex solenni errore; vid. ad I, 663. — αὖθις vulg. αὖτις Vrat. Reg. A. et plures fortasse Regg., nam Brunck. tacite hoc reposuit.
1421. λοιβάς τε Med. Vrat.
1422. λισσόμενός τ' Regg. A. E. ex praepostera metri correctione ut solet in his libris. — ἐλέηραν ex conjectura Brunck. Beck. propter temporum rationem, sed iidem mox imperfecta βλάστεον et ἠέξοντο intacta reliquerunt. Omnino saepius jam apud Nostrum observavimus hunc liberiorem ab aoristo ad imperfectum et ab hoc ad illum transitum, in quo mox offendit Brunckius, mox non offendit; cf. I, 642. II, 838. 926. IV, 73. 127. 738. 1161. 1739.
1425. Observanda est forma imperfecti ἐβλάστεον, qua tueri licebit praesens βλαστοῦσι apud Aesch. Choeph. 582, quod in βλάστουσι mutari voluit Buttm. Gr. maj. II p. 91. — τηλεθάωντα Flor. Ald. Brub. Basil. τηλεθέοντα Reg. A. τηλεθόωντα Reg. E., quod receperunt Brunck. et Beck. Sed apud Homerum quoque, etsi τηλεθόωντα est Od. VII, 114. XIII, 196, τηλεθάοντας legitur Il. XXII, 423. Itaque non est quod unius libri auctoritate a vulg. recedamus.
1427. Ἐρυθρηῒς Regg. A. E.
1428. ἰτύης Reg. A. et alii Regg.
1429. ῥοιαὶ Guelph.
1433. ἔμολε ex Regg. tribus Brunck. Beck.
1435. ὤχετ' Vatt. A. B. C. D. — ἀειρόμενος vulg. ἀειράμενος Vatt. A. B. C. D. Med. a m. 1. Vrat. Vind. Regg. aliquot, Ald. Brub. Basil. Brunck. Beck.
1436. ὀλοότατος Vrat. Vind.

„καὶ δέμας· ὄσσε δέ οἱ βλοσυρῷ ὑπέλαμπε μετώπῳ·
„νηλής· ἀμφὶ δὲ δέρμα πελωρίου ἕστο λέοντος
„ὠμόν, ἀδέψητον· στιβαρὸν δ' ἔχεν ὄζον ἐλαίης
„τόξα τε, τοῖσι πέλωρ τόδ' ἀπέφθισεν ἰοβολήσας.
„ἤλυθε δ' οὖν κἀκεῖνος, ἅτε χθόνα πεζὸς ὁδεύων,
„δίψῃ καρχαλέος· παίφασσε δὲ τόνδ' ἀνὰ χῶρον
„ὕδωρ ἐξερέων, τὸ μὲν οὔ ποθι μέλλεν ἰδέσθαι.
„ἥδε δέ τις πέτρη Τριτωνίδος ἐγγύθι λίμνης,
„τὴν ὅγ' ἐπιφρασθεὶς ἢ καὶ θεοῦ ἐννεσίῃσιν
„λὰξ ποδὶ τύψεν ἔνερθε· τὸ δ' ἀθρόον ἔβλυσεν ὕδωρ.
„αὐτὰρ ὅγ' ἄμφω χεῖρε πέδῳ καὶ στέρνον ἐρείσας
„ῥωγάδος ἐκ πέτρης πίεν ἄσπετον, ὄφρα βαθεῖαν
„νηδὺν, φορβάδι ἶσος ἐπιπροπεσὼν, ἐκορέσθη.
Ὣς φάτο· τοὶ δ' ἀσπαστὸν, ἵνα σφίσι πέφραδεν Αἴγλη
πίδακα, τῇ θέον αἶψα κεχαρμένοι, ὄφρ' ἐπέκυρσαν.
ὡς δ' ὁπότε στεινὴν περὶ χηραμὸν εἱλίσσονται
γειομόροι μύρμηκες ὁμιλαδὸν, ἢ ὅτε μυῖαι
ἀμφ' ὀλίγην μέλιτος γλυκεροῦ λίβα πεπτηυῖαι
ἄπλητον μεμάασιν ἐπήτριμοι· ὣς τότ' ἀολλεῖς

1437. βροσσυρῷ Vrat. βλοσσυρῷ Vind.

1438. νηλέες emendat Matthiae obss. crit. p. 31, quod ad ὄσσε referatur, perperam. — πελώριον Vrat. Regg. tres.

1441. ἤλυθεν οὖν Vatt. A. B. C. D. fortasse recte.

1442. καρφαλέος Vrat. Vind. Flor. Hom. Il. XXI, 541 δίψῃ καρχαλέοι. Nonn. Dionys. XXIX, 299 δίψῃ καρχαλέῃ κεκαφηότας, ubi Graef. minus bene καρφαλέῃ dedit, quamquam XIV, 426 scripserat λαίλαπα καρχαλέης ἀποσείεται αὐτίκα δίψης et XLII, 91 χείλεσι καρχαλέοισι.

1444. ἤδη δέ τις Vatt. A. B. C. D. ἦν δ' ἄρα τις Regg. quinque, ed. Paris., unde receperunt Steph. et Brunck., male, debebat enim esse ἔστι δ' ἄρα τις. Pejus etiam Hoelzlin. et Shaw. dederunt ᾗδε δέ τις, quod putant pro τῇδε poni potuisse. Optime se habet vulgata, nam in ἥδε inest loci significatio ut Theocrit. XXV, 18 αὖλις δέ σφισιν ἥδε τεῆς ἐπιδέξια χειρός. cf. Schaef. Melett. p. 77 sq.

1445. αἰνεσίῃσι edd. veteres.

1447. πόδας pro πέδῳ Regg. A. E.

1450. τοῖς Vind. — ἔνθα pro ἵνα Reg. A.

1451. ὄφρ' ἐπίκηρος Vatt. C. D.

1452. χειραμὸν Reg. A.

1453. γειοτόροι Guelph. teste Brunck. γειοτόμοι teste Hoerstelio, quod verum est, sic enim et in Flor. legitur. Itaque in Brunckii editione fortasse merum est sphalma typogr., quod in errorem induxit et Gerhard. p. 58 et Schaeferum ad Gregor. Cor. p. 518. Similiter βωλοτόμοι μύρμηκες vocantur a Philippo Thessal. LXXIII. — μύρμακες Guelph. — ἤυτε μυῖαι Vrat. Vind. Flor. Brub. Basil.

1455. ἄπληκτον vulg. absurde, quare Rutgersius ἄλληκτον, Arnaldus Lect. gr. p. 244 ἄπληστον emendandum judicarunt, sed ἄπλητον Reg. E. ἄπλητον Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. quatuor, quod recte receperunt Brunck. et Beck. — μεμάασσιν Guelph.

πετραίῃ Μινύαι περὶ πίδακι δινεύεσκον.
καί πού τις διεροῖς ἐπὶ χείλεσιν εἶπεν ἰανθείς.
„Ὦ πόποι, ἦ καὶ νόσφιν ἐὼν ἐσάωσεν ἑταίρους
„Ἡρακλέης δίψῃ κεκμηότας. ἀλλά μιν εἴ πως
„δήοιμεν στείχοντα δι' ἠπείροιο κιόντες.
Ἦ, καὶ ἀμειβομένων οἵτ' ἄρμενοι ἐς τόδε ἔργον,
ἔκριθεν ἄλλυδις ἄλλος ἐπαΐξας ἐρεείνειν.
ἴχνια γὰρ νυχίοισιν ἐπηλίνδητ' ἀνέμοισιν
κινυμένης ἀμάθου. Βορέαο μὲν ὡρμήθησαν
υἷε δύω πτερύγεσσι πεποιθότε· ποσσὶ δὲ κούφοις
Εὔφημος πίσυνος, Λυγκεύς γε μὲν ὀξέα τηλοῦ
ὄσσε βαλεῖν· πέμπτος δὲ μετὰ σφίσιν ἔσσυτο Κάνθος.
τὸν μὲν ἄρ' αἶσα θεῶν κείνην ὁδὸν ἠνορέη τε
ὦρσεν, ἵν' Ἡρακλῆος ἀπηλεγέως πεπύθοιτο,
Εἰλατίδην Πολύφημον ὅπῃ λίπε· μέμβλετο γάρ οἱ
οὗ ἕθεν ἀμφ' ἑτάροιο μεταλλῆσαι τὰ ἕκαστα.
ἀλλ' ὁ μὲν οὖν Μυσοῖσιν ἐπικλεὲς ἄστυ πολίσσας
νόστου κηδοσύνῃσιν ἔβη διζήμενος Ἀργὼ
τῆλε δι' ἠπείροιο· τέως δ' ἐξίκετο γαῖαν
ἀγχιάλων Χαλύβων, τόθι μιν καὶ Μοῖρ' ἐδάμασσεν.

1456. *πίδακος ὕδωρ πετραίης* habet Quint. Smyrn. III, 576.

1459. *κεκμηκότας* vulg. *κεκμηότες* Med. *κεκμηότας* Vatt. A. B. C. D. Guelph. Regg. quatuor, Brunck. Beck. ut III, 234.

1460. *δήωμεν* Guelph. Flor. — *στείχοντες* Reg. A. *στείχωμεν* in marg. — *κυόντες* Flor. Ald.

1461. *οἵ γ' ἄρμενοι* vulg. *οἵ θ' ἄρμενοι* Med. Guelph. Flor. Ald. Brub. Basil. *οἵτ' ἄρμενοι* Vatt. A. D. Vrat. Vind. Regg. quinque, Brunck. Beck.

1462. Vulgo commate post *ἔκριθεν* posito jungitur: *οἵ τ' ἄρμενοι ἔκριθεν*, et deinde *ἐρέεινεν* legitur in Med. Ald. Brub. Basil., *ἐρέεινον* in Vatt. B. C. Guelph. Flor. Steph. Hoelzlin. Shaw., quod ignorasse videtur Wolf. praef. ad Hom. Il. p. LVIII. Sed *ἐρεείνειν* praebent Vatt. A. D. Vrat. Vind. Regg. quinque, quod recte receperunt Brunck. et Beck., sic enim sensus praestantior est; nam primum ex vulg. *ἔκριθεν* male se habet, quum delectos quosdam esse poeta dicere noluerit, deinde in *ἐρέεινεν* vel *ἐρέεινον* prolepsis foret, quum postea sequatur *ὡρμήθησαν*.

1463. *ἐπηκυλινδεῖτ'* Brub. Basil. Hoelzlin. *ἐπηλίνδετ'* Med. Ald. Flor. Steph., qui *ἐπηλίνδοντ'* suspicatur. *ἐπηλίνδητ'*, quod a Camerario correctum commemorat Hoelzlin., praebent Vatt. A. B. C. D. Guelph. Vrat. Vind. Regg. A. B. C. E. Schol. Paris., unde recte receperunt Brunck. et Beck. *ἐπηλινδοῖτ'* Reg. D. — *ἀνέμοισιν* Med. Vrat.

1465. *πεποιθότες* Guelph. Vrat. Vind. Flor. — *ποσσί τε* vulg. male. *ποσσὶ δὲ* Vatt. A. B. C. D. Med. Vrat. Regg. quatuor, Brunck. Beck.

1470. *μέμφετο* Reg. A.

1473. *ἐμήσατο διζήμενος* Regg. A. C. E., unde Brunckius conjecit antiquiorem lectionem fuisse *ἐμήσατο διζέμεν*, sed nata videtur ex frequentissima litterarum *μ* et *β* confusione, *ἐβήσατο* vero librariorum sapientiae debetur.

1475. *ὅθι* scribi jubet Hermannus

καί οἱ ὑπὸ βλωθρὴν ἀχερωΐδα σῆμα τέτυκται
τυτθὸν ἁλὸς προπάροιθεν. ἀτὰρ τότε γ' Ἡρακλῆα
μοῦνον ἀπειρεσίης τηλοῦ χθονὸς εἴσατο Λυγκεὺς
τὼς ἰδέειν, ὥς τίς τε νέῳ ἐνὶ ἤματι μήνην
ἢ ἴδεν, ἢ ἐδόκησεν ἐπαχλύουσαν ἰδέσθαι.
ἐς δ' ἑτάρους ἀνιὼν μυθήσατο, μή μιν ἔτ' ἄλλον
μαστῆρα στείχοντα κιχησέμεν· οἱ δὲ καὶ αὐτοὶ
ἤλυθον Εὔφημός τε πόδας ταχὺς υἷέ τε δοιὼ
Θρηΐκίου Βορέω, μεταμώνια μοχθήσαντες.
Κάνθε, σὲ δ' οὐλόμεναι Λιβύῃ ἔνι Κῆρες ἕλοντο.
πώεσι φερβομένοισι συνήντεες· εἵπετο δ' ἀνὴρ
αὐλείτης, ὅ σ' ἑῶν μήλων πέρι, τόφρ' ἑτάροισιν
δευομένοις κομίσειας, ἀλεξόμενος κατέπεφνεν
λᾶϊ βαλών· ἐπεὶ οὐ μὲν ἀφαυρότερός γε τέτυκτο
υἱωνὸς Φοίβοιο Λυκωρείοιο Κάφαυρος
κούρης τ' αἰδοίης Ἀκακαλλίδος, ἥν ποτε Μίνως
ἐς Λιβύην ἀπένασσε θεοῦ βαρὺ κῦμα φέρουσαν,
θυγατέρα σφετέρην· ἡ δ' ἀγλαὸν υἱέα Φοίβῳ
τίκτεν, ὃν Ἀμφίθεμιν Γαράμαντά τε κικλήσκουσιν.
Ἀμφίθεμις δ' ἄρ' ἔπειτα μίγη Τριτωνίδι Νύμφῃ·
ἡ δ' ἄρα οἱ Νασάμωνα τέκεν κρατερόν τε Κάφαυρον,

ad Hymn. Hom. in Ven. 158, quia *τόθι* a poetis Alexandrinis poni non soleat nisi aut ad hiatum vitandum et syllabam producendam, aut, quod ad Orph. Arg. 631 dixerat, post vocalem longam. Sed ut concedam semper *τόθι* dici, ubi illarum causarum una adsit, non sequitur, non posse etiam adhiberi sine illis causis. Nostro certe loco librorum omnium consensus hoc probare videtur. Itaque nihil mutavi. Nam cum *τόθι* posuerint post longam vocalem vel dipthongum, ubi Homerus semper *ὅθι* posuit, quidni etiam post syllabam longam consonante terminatam?

1477. *αὐτὰρ* Vrat. Vind.

1478. *τῆλε* Flor.

1479. Virgil. Aen. VI, 453 *qualem primo qui surgere mense Aut videt aut vidisse putat per nubila Lunam.*

1482. *ὡς δὲ καὶ αὐτοὶ* ex Regg. quatuor receperunt Brunck. et Beck. cum sensus detrimento; non enim reliqui ita redierunt ut Lynceus, conspecto Hercule.

1484. *Βορέου* Vatt. A. D. — *μοχθίζοντες* vulg. *μοχθίσαντες* Reg. D. *μοχθήσοντε* Reg. B. *μοχθήσαντε* Guelph. Vrat. Vind. *μοχθήσαντες* Vatt A. D. Med. Regg. A. E., quod cum Brunck. et Beck. recepi.

1485. *οὐλόμενε* Vrat.

1487. *αὐλήτης* Regg. quatuor. — *ὃς ἑῶν* vulg., quod bene correxit Brunck., quum pronomen *σέ* aegre desideretur. — *ὄφρ'* Guelph. Flor. vid. ad III, 807.

1488. *μετέπεφνε* Vat. D.

1489. *οὔ μιν* vulg. sine sensu. *οὐ μὲν* ex Regg. A. C. E. reposuit Brunck. Jam saepius *μὲν* et *μὶν* permutata observavimus ut II, 8. III, 725. IV, 673. 880. 1508. 1718.

1491. *Ἀκακαλίδος* Guelph.

1495. *ἔπειτ' ἐμίγη* Brunck. sine libris ne monito quidem lectore.

ὃς τότε Κάνθον ἔπεφνεν ἐπὶ ῥήνεσσιν ἑοῖσιν.
οὐδ' ὅγ' ἀριστήων χαλεπὰς ἠλεύατο χεῖρας,
ὡς μάθον οἷον ἔρεξε. νέκυν δ' ἀνάειραν ὀπίσσω
πευθόμενοι Μινύαι, γαίῃ δ' ἔνι ταρχύσαντο
μυρόμενοι· τὰ δὲ μῆλα μετὰ σφέας οἵ γ' ἐκόμισσαν.
"Ενθα καὶ Ἀμπυκίδην αὐτῷ ἐνὶ ἤματι Μόψον
νηλειὴς ἕλε πότμος· ἀδευκέα δ' οὐ φύγεν αἶσαν
μαντοσύναις· οὐ γάρ τις ἀποτροπίη θανάτοιο.
κεῖτο δ' ἐπὶ ψαμάθοισι μεσημβρινὸν ἦμαρ ἀλύσκων
δεινὸς ὄφις, νωθὴς μὲν ἑκὼν ἀέκοντα χαλέψαι·
οὐδ' ἂν ὑποτρέσσαντες ἐνωπαδὶς ἀΐξειεν.
ἀλλὰ μὲν ᾧ ταπρῶτα μελάγχιμον ἰὸν ἐνείη
ζωόντων, ὅσα γαῖα φερέσβιος ἔμπνοα βόσκει,
οὐδ' ὁπόσον πήχυιον ἐς "Αϊδα γίγνεται οἶμος,
οὐδ' εἰ Παιήων, εἴ μοι θέμις ἀμφαδὸν εἰπεῖν,
φαρμάσσοι, ὅτε μοῦνον ἐνιχρίμψῃσιν ὀδοῦσιν.
εὖτε γὰρ ἰσόθεος Λιβύην ὑπερέπτατο Περσεὺς
Εὐρυμέδων (καὶ γὰρ τὸ κάλεσκέ μιν οὔνομα μήτηρ)

1497. *ἐπιῤῥήνεσσιν* vulg. ut semper. Correxit jam Stephanus, ut in Regg. A. C. E. scriptum invenit Brunck.

1498. *οὐδ' ἄρ'* Reg. A.

1500. *πυθόμενοι* vulg. contra metrum, *πευθόμενοι* Regg. quinque, ed. Paris. Steph. Brunck. Beck. — *γαίῃ τ' ἔνι* Brunck. sine libris, neque monito lectore, secutus tamen est Beck.

1501. Vulgo versus praecedentis fine interpungitur, et deinde legitur *μυρόμενοι δὲ τὰ μῆλα*, inepte. Vera lectio Hoelzlini emendationi debetur, quam cum Brunck. et Beck. recepi. Corruptionis causa fuit prava interpunctio, quum enim *μυρόμενοι τὰ δὲ μῆλα* scriptum invenirent librarii, *δὲ* ut saepissime transposuerunt, ne tertio loco collocatum esset. — *κατὰ σφέας* Guelph.

1505. *κεῖθι* Guelph. — *ἀλύσκον* Vind.

1507. *οὐδὲν* pro *οὐδ' ἂν* Reg. A.

1508. *ἀλλά κεν* vulg., sed particulae *κεν* hic locus non est, quod neminem editorum animadvertisse miror. *ἀλλά μιν* praebent. Vatt. C. D., unde *ἀλλὰ μὲν* reposui, haec enim modo v. 1489 permutata vidimus. — *μελάγχυμον* ed. Paris. Steph. Shaw.

1509. *βόσκειν* Vatt. C. D.

1510. *οὐδ' ὅσσον* ex uno Reg. D. receperunt Brunck. et Beck. nescio qua causa, nam alteram formam et apud Homerum legerant et apud Nostrum supra v. 1359. — *γίνεται* Med. Vrat. Regg. aliquot. *γίνεθ'* Guelph.

1511. *οὐδ' ἢν* vulg. *οὐδ' ἢ* Regg. A. E. *οὐδ' εἰ* Vatt. A. D. Med. Guelph. Vrat. Vind. Regg. B. C. D. Flor. Ald. Brub. Basil., quod recte revocarunt Brunck. et Beck., quorum ille recte monet, *εἰ* a sciolo propter sequens *εἰ* mutatum esse.

1512. *φαρμάσσῃ* vulg. propter vulgatum *ἢν* versu praecedente, sed *φαρμάσσοι* Vat. C. Med. Guelph. Vrat. Vind. Flor. Ald. Brub. Basil. et inde Brunck. Beck. — *ἐνιχρήμψῃσιν* Flor. Ald. Brub. Basil.

1514. *καλέεσκε* Vrat. Vind. Regg. quatuor, unde Brunckius melius legi posse dicit: *τόδε γὰρ καλέεσκέ μιν*, sed alteram formam post Clark. ad Il. XV, 338 recte tuetur Schaef. ad Schol. Apollon. p. 175.

Γοργόνος ἀρτίτομον κεφαλὴν βασιλῆϊ κομίζων,
ὅσσαι κυανέου στάγες αἵματος οὖδας ἵκοντο,
αἳ πᾶσαι κείνων ὀφίων γένος ἐβλάστησαν.
τῷ δ' ἄκρην ἐπ' ἄκανθαν ἐνεστηρίξατο Μόψος
λαιὸν ἐπιπροφέρων ταρσὸν ποδός· αὐτὰρ ὁ μέσσην
κερκίδα καὶ μυῶνα, πέριξ ὀδύνῃσιν ἑλιχθεὶς,
σάρκα δακὼν ἐχάραξεν. ἀτὰρ Μήδεια καὶ ἄλλαι
ἔτρεσαν ἀμφίπολοι· ὁ δὲ φοίνιον ἕλκος ἄφασσεν
θαρσαλέως, ἕνεκ' οὔ μιν ὑπέρβιον ἕλκος ἔτειρεν·
σχέτλιος· ἦ τέ οἱ ἤδη ὑπὸ χροῒ δύετο κῶμα
λυσιμελὲς, πολλὴ δὲ κατ' ὀφθαλμῶν χέετ' ἀχλύς.
αὐτίκα δὲ κλίνας δαπέδῳ βεβαρηότα γυῖα
ψύχετ' ἀμηχανίῃ· ἕταροι δέ μιν ἀμφαγέροντο
ἥρως τ' Αἰσονίδης, ἀδινῇ περιθαμβέες ἄτῃ.
οὐδὲ μὲν οὐδ' ἐπὶ τυτθὸν ἀποφθίμενός περ ἔμελλεν
κεῖσθαι ὑπ' ἠελίῳ. πύθεσκε γὰρ ἔνδοθι σάρκας
ἰὸς ἄφαρ, μυδόωσα δ' ἀπὸ χροὸς ἔῤῥεε λάχνη.
αἶψα δὲ χαλκείῃσι βαθὺν τάφον ἐξελάχαινον

1516. *κυάνεαι* Regg. quatuor.

1521. *αὐταὶ* ex conjectura reposuit Brunck. pro *ἄλλαι*, quod ipsi absurdum videtur, et secutus est Beckius. Sed *ἄλλαι* pro *αἱ ἄλλαι* positum est (vid. ad I, 910) et *Μήδεια καὶ αἱ ἄλλαι ἀμφίπολοι* est nota illa loquendi ratio, qua jam Homerus utitur, ut locis simillimis Od. VI, 84 *ἅμα τῇγε καὶ ἀμφίπολοι κίον ἄλλαι.* II, 411 *μήτηρ δ' ἐμὴ οὔτι πέπυσται Οὐδ' ἄλλαι δμωαί.* cf. Heind. ad Plat. Gorg. 64. Boeckh. ad Plat. Min p. 146. Creuzer. Meletem. I p. 87. Erf. et Elmsl. ad Soph. Oed. R. v. 7. Fritzsch. Quaest. Lucian. p. 54 sqq.

1523. *ἐπεὶ οὔ μιν* Vrat. (ubi in marg. *γρ. ἕνεκα*) marg. Vind. marg. Reg. B. et var. lect. apud Schol. Paris., quod receperunt Brunck. et Beck. Sed cum haec lectio tam exigua auctoritate firmetur, *ἐπεὶ* ex glossemate natum videtur, Apollonius vero credendus est *ἕνεκα* pro conjunctione usurpasse ad exemplum Callimachi, quem id fecisse testatur Ammonius s. v. *οὕνεκα.* Alios locos, quibus *ἕνεκα quia* significat, habet Gerhard. p. 55. — *ἄλγος* pro *ἕλκος* ex conjectura dedit Brunck., quem sequitur Beck., sine causa. Nam in negligentiore ejusdem verbi, quod modo praecessit, repetitione non offendendum esse supra vidimus ad I, 234, *ὑπέρβιον* vero adverbialiter accipiendum est, quod vidit etiam Schol. Paris., quo facto sensus idem exit, quem emendatione sua efficere voluit Brunckius: *quia non magnopere ei vulnus dolebat.*

1525. *κέχυτ' ἀχλύς* Regg. quatuor. — Varro Atacinus ap. Serv. ad Virg. Aen. X, 396 ita reddidit: *Semianimesque micant oculi lucemque requirunt.*

1527. *ἀμηχανίῃς* Flor. — *δέ οἱ* Reg. A.

1528. *ἀδινοὶ* Reg. A.

1531. *ἔῤῥεεν ἄχνη* ex uno Reg. D. receperunt Brunck. et Beck. male. *Ἄχνη* quomodo de putrifica uligine dici possit, prorsus non intelligo, neque illa *ἀπὸ χροὸς* sed *ἐκ χροὸς* fluere dici debebat. Pilorum vero defluvium saepe tanquam summae putredinis signum commemoratur. Praeterea vulgatam tuetur etiam Etymol. M. p. 533, 26.

1532. *ἐλάχαινον* Vrat. Vind.

ἑσσυμένως μακέλῃσιν· ἐμοιρήσαντο δὲ χαίτας
αὐτοὶ ὁμῶς κοῦραί τε, νέκυν ἐλεεινὰ παθόντα
μυρόμενοι· τρὶς δ' ἀμφὶ σὺν ἔντεσι δινηθέντες
εὖ κτερέων ἴσχοντα, χυτὴν ἐπὶ γαῖαν ἔθεντο.
'Αλλ' ὅτε δή ῥ' ἐπὶ νηὸς ἔβαν πρήσοντος ἀήτεω
ἂμ πέλαγος νοτίοιο, πόρους τ' ἀπετεκμήραντο
λίμνης ἐκπρομολεῖν Τριτωνίδος, οὔ τινα μῆτιν
δὴν ἔχον, ἀφραδέως δὲ πανημέριοι φορέοντο.
ὡς δὲ δράκων σκολιὴν εἱλιγμένος ἔρχεται οἶμον,
εὖτέ μιν ὀξύτατον θάλπει σέλας ἠελίοιο·
ῥοίζῳ δ' ἔνθα καὶ ἔνθα κάρη στρέφει, ἐν δέ οἱ ὄσσε
σπινθαρύγεσσι πυρὸς ἐναλίγκια μαιμώωντι
λάμπεται, ὄφρα μυχόνδε διὰ ῥωχμοῖο δύηται·
ὣς Ἀργὼ λίμνης στόμα ναύπορον ἐξερέουσα
ἀμφεπόλει δηναιὸν ἐπὶ χρόνον. αὐτίκα δ' Ὀρφεὺς
κέκλετ' Ἀπόλλωνος τρίποδα μέγαν ἔκτοθι νηὸς
δαίμοσιν ἐγγενέταις νόστῳ ἔπι μείλια θέσθαι.
καὶ τοὶ μὲν Φοίβου κτέρας ἵδρυον ἐν χθονὶ βάντες·
τοῖσιν δ' αἰζηῷ ἐναλίγκιος ἀντεβόλησεν
Τρίτων εὐρυβίης, γαίης δ' ἀνὰ βῶλον ἀείρας
ξείνι' ἀριστήεσσι προΐσχετο φώνησέν τε.

1537. ἔβησαν Reg. A. — πρήσσοντος vulg. πρήσοντος Regg. quatuor. πρόσοντος Guelph., quod et Schol. Paris. legisse videtur, qui interpretatur πρόσειν τὸ φυσᾷν. Brunckius et Beckius ex conjectura dederunt πρήθοντος, quod probari nequit. Dedi πρήσοντος ut supra IV, 819, quod tamen hic minus etiam quam illic pro futuro haberi potest. Itaque aut hic quoque πρήσαντος corrigendum est aut Apollonius credendus erit praesente πρήσω vel πρήσσω de venti flatu usus esse, quod hic codicum consensus duobus locis observatus fere suadere possit.

1538. πόρον vulg. πόρω Flor. πόρους Vatt. A. D. Guelph. Vrat. Vind. Reg. B., quod cum Brunck. et Beck. recepi, quamquam utraque lectio pari fere auctoritate nititur. — ἀπετεκμαίροντο vulg. ἀποτεκμήραντο Guelph. (teste Hoerstel., nam Brunck. ἀπετεκμήροντο enotavit) ἀπετεκμήραντο Vat. C. Med. Vrat. Vind. Reg. B. Flor., quod cum Brunck. et Beck. recepi, quamquam et hic res dubia est; vid. supra ad v. 1422.

1540. φέροντο Guelph.

1541. δράσων Vind. — Imitari videtur Hesiodum ap. Strab. IX p. 424 καί τε δι' Ὀρχομένου εἱλιγμένος εἶσι δράκων ὥς, quemadmodum aut Hesiodum aut Nostrum Dionys. Perieg. 123 ὡς δὲ δράκων βλοσυρωπὸς ἑλίσσεται κ. τ. λ.

1542. Homerus Il. XIV, 345 de sole loquens: ὀξύτατον φάος.

1544. σπινθάρυγες Flor. σπινθαρίγεσι Ald. — μαιμώοντι vulg. μαιμόωντι Reg. D. μαιμώωντι Guelph., quod recepi. Vid. ad IV, 219.

1549. γηγενέταις Regg. A. C. E. — ἐπιμείλια Regg. aliquot, Flor. Ald. Brub. Basil.

1552. γαῖαν Flor. Ald. Brub. Basil.

„Δέχθε, φίλοι· ἐπεὶ οὐ περιώσιον ἐγγυαλίξαι
„ἐνθάδε νῦν παρ' ἐμοὶ ξεινήϊον ἀντομένοισιν.
„εἰ δέ τι τῆσδε πόρους μαίεσθ' ἁλος, οἷά τε πολλὰ
„ἄνθρωποι χατέουσιν ἐπ' ἀλλοδαπῇ περόωντες,
„ἐξερέω. δὴ γάρ με πατὴρ ἐπιΐστορα πόντου
„θῆκε Ποσειδάων τοῦδ' ἔμμεναι. αὐτὰρ ἀνάσσω
„παραλίης, εἰ δή τιν' ἀκούετε νόσφιν ἐόντες
„Εὐρύπυλον Λιβύῃ θηροτρόφῳ ἐγγεγαῶτα."
῝Ως ηὔδα· πρόφρων δ' ὑπερέσχεθε βώλακι χεῖρας
Εὔφημος, καὶ τοῖα παραβλήδην προσέειπεν.
„Ἀπίδα καὶ πέλαγος Μινώϊον εἴ νύ που, Ἥρως,
„ἐξεδάης, νημερτὲς ἀνειρομένοισιν ἔνισπε.
„δεῦρο γὰρ οὐκ ἐθέλοντες ἱκάνομεν, ἀλλὰ βαρείαις
„χρίμψαντες γαίης ἐπὶ πείρασι τῆσδε θυέλλαις
„νῆα μεταχρονίην ἐκομίσσαμεν εἰς τόδε λίμνης

1554. δέχθαι Vrat.

1557. ἐν ἀλλοδαπῇ sine libris nec monito lectore Brunck., quem non minus tacite sequitur Beck.

1560. παῤῥαλίης vulg. παραλίης Guelph. Reg. E., quod recte receperunt Brunck. et Beck. Hujus vocabuli prorsus eadem est ratio, quae adverbii συνεχέως, quod I, 1271. II, 189 invenimus. Παραλίην habet etiam Dionys. Perieg. v. 253, ubi male et contra meliorum librorum auctoritatem adhuc παῤῥαλίην scribitur.

1561. θηροτρόφον Guelph. μηλοτρόφῳ var. lect. ap. Schol. Paris. Similiter Λιβύην μηλοτρόφον vocat Pythia apud Herodot. IV, 155. 157, sed vulgatam lectionem confirmat versio Varronis Atacini apud Philargyr. ad Virg. Georg. III, 176 *feta feris Libye.*

1564. Ἀτθίδα vulg. Ἀπίδα var. lect. ap. Schol. Flor., contra Schol. Paris. inepte dicit τὸ δὲ Ἀτθίδα σημαίνει τὴν Ἄπιδα; male uterque de insula prope Cretam sita accipit. Vulgatum Ἀτθίδα ex mero errore natum videtur, prorsus enim intelligi non potest, quam ob rem de Attica interroget Euphemus, quam ne petebant quidem heroes. Contra plerique Peloponnesii erant, et in Peloponnesum ut proxime redeuntibus sitam Graeciae terram tendebant; de ea ipsos sciscitari docet v. 1570. 1577, eamque designat Ἀπίς, forma rarior pro usitatiore Ἀπία, quam quum non intelligerent librarii, Ἀτθίδα scripserunt. De ipsa vero vocabuli forma minime dubitandum est, quum a Steph. Byz. s. v. Ἀπία diserte commemoretur, et sic ab Eratosthene eam regionem nominatam esse narretur. Itaque recepi lectionem praestantiorem.

1566. βορείαις Guelph., quod placet Hoerstelio.

1567. ἐνὶ Vatt. C. D. Med. Vrat. Vind. Regg. quinque, quod Brunck. et Beck. receperunt, sed vulgatam, quae pari fere auctoritate nititur, commendat et sensus praestantia, non enim *in* finibus terrae procellas passi erant, et Apollonii usus, qui ἐπὶ πείρασι dixit II, 365. III, 679. IV, 1175. 1227. 1597. ἐνὶ πείρασι semel tantum I, 81, ubi de iis sermo est, quae in media regione facta sunt. — ταῖς δὲ Vrat.

1568. μεταχθονίην vulg., sed μεταχρονίην Vatt. A. D. Med. Guelph. Vrat. Vind. Regg. A. B. C. D. et E. a m. 2. Ald. Brub. Basil., quod revocare non dubitavi; vid. ad II, 300. — ἐκομίσαμεν Vrat. Vind. — ἐς Vrat. Vind., quod tacite dedit Brunck.

„χεῦμα δι' ἠπείρου βεβαρημένοι· οὐδέ τι ἴδμεν,
„πῇ πλόος ἐξανέχει Πελοπηΐδα γαῖαν ἱκέσθαι."
Ὣς ἄρ' ἔφη· ὁ δὲ χεῖρα τανύσσατο, δεῖξε δ' ἄπωθεν
φωνήσας πόντον τε καὶ ἀγχιβαθὲς στόμα λίμνης·
„Κείνη μὲν πόντοιο διήλυσις, ἔνθα μάλιστα
„βένθος ἀκίνητον μελανεῖ· ἑκάτερθε δὲ λευκαὶ
„ῥηγμῖνες φρίσσουσι διαυγέες· ἡ δὲ μεσηγὺ
„ῥηγμίνων στεινὴ τελέθει ὁδὸς ἐκτὸς ἐλάσσαι.
„κεῖνο δ' ὑπηέριον θείην Πελοπηΐδα γαῖαν
„εἰσανέχει πέλαγος Κρήτης ὕπερ· ἀλλ' ἐπὶ χειρὸς
„δεξιτερῆς, λίμνηθεν ὅτ' εἰς ἁλὸς οἶδμα βάλητε,
„τόφρ' αὐτὴν παρὰ χέρσον ἐεργμένοι ἰθύνεσθε,
„ἔστ' ἂν ἄνω τείνῃσι· περιῤῥήδην δ' ἑτέρωσε
„κλινομένης χέρσοιο, τότε πλόος ὔμμιν ἀπήμων
„ἀγκῶνος τετάνυσται ἀπὸ προὔχοντος ἰοῦσιν.
„ἀλλ' ἴτε γηθόσυνοι, καμάτοιο δὲ μή τις ἀνίη
„γιγνέσθω νεότητι κεκασμένα γυῖα μογῆσαι."
Ἴσκεν ἐϋφρονέων· οἱ δ' αἶψ' ἐπὶ νηὸς ἔβησαν
λίμνης ἐκπρομολεῖν λελιημένοι εἰρεσίῃσιν.
καὶ δὴ ἐπιπρονέοντο μεμαότες· αὐτὰρ ὁ τείως
Τρίτων ἀνθέμενος τρίποδα μέγαν εἴσατο λίμνην

1570. ἐξανάγει Reg. D. ἐξενάγει Reg. A. ἐξενέγει Reg. C.
1571. ἄποθεν Vind. Schol. Paris. ἄπωθεν Med. Vrat.
1575. ἠδὲ pro ἡ δὲ Ald. Brub. Basil. Hoelzlin. — μεσσηγὺ Med. Guelph. Vrat. Vind.
1577. ὑπ' ἠέριον Vatt. A. C. Vrat.
1581. περιρήδην Brunck. Beck. ut solent.
1583. τετάνυσται ἰθὺς ἀπὸ προὔχοντος Vatt. C. D. Med. Guelph. Vrat. Vind. Regg. quinque. Ex qua lectione quum syllabae duae redundarent, ἀπὸ omissum est in Vatt. A. B. Flor. Ald. Brub. Basil. Steph. Hoelzlin. Shaw. Sed Brunckius recte vidit ἰθὺς potius ejiciendum esse, quia propter primae syllabae quantitatem metro repugnat. At quaeritur, quomodo illud ἰθὺς, quod ferri nullo modo potest, in libros irrepserit, cujus rei causam invenire non possum, nisi forte ΙΘΥΣ ex ΙΟΥΣ natum est, ut antiqua lectio fuisse videatur: τετάνυσται ἰοῦσιν ἀπὸ προὔχοντος.
1584. μήτις Flor.
1585. γινέσθω vulg., quod ex Regg. C. E. correxit Brunck.
1587. λελιημένη Vind.
1588. ἐπιπονέοντο Vrat. Vind. — αὐτὰρ ὅγ' ὤμοις ex conjectura dedit Brunck., quae neque probabilis est, nemo enim dixerit, quomodo ὤμοις in τείως mutari potuerit, neque necessaria; nam neque τείως otiosum et ineptum est ut putat Brunck., sed significat: interea dum illi navem conscendebant et provehebantur, neque dativus ὤμοις tantopere desideratur; quum enim Brunckius dicit, ἀναθέσθαι ab Apollonio nunquam nisi adjecto dativo usurpari, male cepit locum IV, 1376, ubi dativus ὤμοις non a participio ἀνθέμενοι pendet, neque obstat quidquam, quominus ἀναθέσθαι τι in universum significet: sarcinam sublatam ferre.

εἰσβαίνειν· μετὰ δ' οὔ τις ἐσέδρακεν, οἷον ἄφαντος
αὐτῷ σὺν τρίποδι σχεδὸν ἔπλετο. τοῖσι δ' ἰάνθη
θυμὸς, ὅ δὴ μακάρων τις ἐναίσιμος ἀντεβόλησεν.
καί ῥά οἱ Αἰσονίδην μήλων ὅ τι φέρτατον ἄλλων
ἤνωγον ῥέξαι καὶ ἐπευφημῆσαι ἑλόντα.
αἶψα δ' ὅγ' ἐσσυμένως ἐκρίνατο, καί μιν ἀείρας
σφάξε κατὰ πρύμνης, ἐπὶ δ' ἔννεπεν εὐχωλῇσιν.
„Δαῖμον, ὅ τις λίμνης ἐπὶ πείρασι τῇσδε φαάνθης,
„εἴτε σύ γε Τρίτων, ἅλιον τέρας, εἴτε σε Φόρκυν,
„ἢ Νηρῆα θύγατρες ἐπικλείουσ' ἁλοσύδναι,
„ἵλαθι καὶ νόστοιο τέλος θυμηδὲς ὄπαζε.“
Ἦ ῥ', ἅμα δ' εὐχωλῇσιν ἐς ὕδατα λαιμοτομήσας
ἧκε κατὰ πρύμνης· ὁ δὲ βένθεος ἐξεφαάνθη
τοῖος ἐὼν, οἷός περ ἐτήτυμος ἦεν ἰδέσθαι.
ὡς δ' ὅτ' ἀνὴρ θοὸν ἵππον ἐς εὐρέα κύκλον ἀγῶνος
στέλλῃ, ὀρεξάμενος λασίης εὐπειθέα χαίτης,
εἶθαρ ἐπιτροχάων. ὁ δ' ἐπ' αὐχένι γαῦρος ἀερθεὶς
ἕσπεται, ἀργινόεντα δ' ἐνὶ στομάτεσσι χαλινὰ
ἀμφὶς ὀδακτάζοντι παραβλήδην κροτέονται·
ὣς ὅγ' ἐπισχόμενος γλαφυρῆς ὁλκήϊον Ἀργοῦς

1593. *Αἰσωνίδην* Vrat. *Αἰσονίδη* Reg. D.

1594. *ἐπευφήμησαν* Vatt. A. B. C. D. Med. Vrat. Vind. male.

1595. *ἐῢ κρίνατο* ex conjectura Brunck. *ἐπεκρίνατο* ex Reg. D. Beck., uterque sine causa et contra metrum.

1596. *σφάξαι* Med. et Vrat. ex ras.

1597. *τῇσδ' ἐφαάνθης* ex Regg. A. E. receperunt Brunck. et Beck.

1598. *εἴτε σε Τρίτων'* Vatt. C. D. Med. Vrat. Vind. Regg. quatuor, quod sensus causa praestat, sed contra metrum peccat, nisi quis libri primi v. 267 in auxilium vocare, eumque vicissim ex hoc loco firmamentum accipere dicere velit. *εἴτε σέ γε* Reg. A. male. — *Φόρκον* ex uno Reg. B. receperunt Brunck. et Beck. sine causa, immo ex hoc, qui nostro loco est, librorum consensu, probabilius fit, quod ad v. 828 hujus libri legendum proposui *Φόρκυι* pro *Φόρκῳ*.

1601. *ἢ ἅμα καὶ εὐχωλῇσιν* in Guelph. legi narrat Brunck., unde meliorem lectionem *ἢ καὶ ἅμ' εὐχωλῇσιν* erui posse putat. Sed Hoerstelius in illo libro *ἢ ῥα καὶ εὐχωλῇσιν* legi testatur, eique fere majorem fidem tribuo. — *οἴδματα* ex Regg. A. C. D. E. receperunt Brunck. Beck., sed in his libris hanc vocem saepius a sciolo, qui poetam corrigere volebat, repositam esse ad v. 1391 monitum est.

1602. *βένθος* Guelph.

1603. *ἐτήτυμον* Flor.

1604. *ἐπ' εὐρέα* Vrat. Vind. Regg. quinque, quod neque optimorum librorum auctoritate commendatur, neque sensui aptum est, receptum tamen a Brunck. et Beck.

1605. *στέλλει* vulg. *στέλλῃ* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. quatuor, Brunck. Beck. — *ἐύπειθέα* Brunck. Beck.

1606. *ἐπὶ τροχάων* Vatt. A. D. — *ἐπ'* omittunt Guelph. Flor. Ald. Brub. Basil.

1607. *ἐπὶ στομάτεσσι* Vatt. C. D. Med. Vrat. Vind. Ald. Regg. quatuor, vix recte.

ἦγ' ἄλαδε προτέρωσε. δέμας δέ οἱ ἐξ ὑπάτοιο
κράατος ἀμφί τε νῶτα καὶ ἰξύας ἔστ' ἐπὶ νηδὺν,
ἀντικρὺ μακάρεσσι φυὴν ἔκπαγλον ἔϊκτο·
αὐτὰρ ὑπαὶ λαγόνων δίκραιρά οἱ ἔνθα καὶ ἔνθα
κήτεος ὁλκαίη μηκύνετο· κόπτε δ' ἀκάνθαις
ἄκρον ὕδωρ, αἵτε σκολιοῖς ἐπὶ νειόθι κέντροις,
μήνης ὡς κεράεσσιν ἐειδόμεναι, διχόωντο.
τόφρα δ' ἄγεν, τείως μιν ἐπιπροέηκε θαλάσσῃ
νισσομένην· δῦ δ' αἶψα μέγαν βυθόν· οἱ δ' ὁμάδησαν
ἥρωες, τέρας αἰνὸν ἐν ὀφθαλμοῖσιν ἰδόντες.
ἔνθα μὲν Ἀργῷός τε λιμὴν καὶ σήματα νηὸς
ἠδὲ Ποσειδάωνος ἰδὲ Τρίτωνος ἔασιν
βωμοί· ἐπεὶ κεῖν' ἦμαρ ἐπέσχεθον. αὐτὰρ ἐς ἠῶ
λαίφεσι πεπταμένοις αὐτὴν ἐπὶ δεξί' ἔχοντες

1612. *ἄντικρυς* Brunck. ex conjectura, non magis necessaria quam v. 1334.

1613. *ὑπὲκ* ex uno Reg. D. receperunt Brunck. et Beck. male: *ὑπό* recte hoc sensu cum genitivo struitur, v. Herm. ad Eur. Hec. 53, et statim v. 1646 ita recurrit. De *ὑπαί* vid. ad II, 1229. — *δικραίρα οἱ* vulg. male et contra metrum, sed *δίκραι ῥά οἱ* Vatt. A. D. Reg. E. *δίκραιρά οἱ* Vrat. Vind. Regg. C. D., quod recepi, debet enim vocabulum propter sequens *οἱ* postremam syllabam brevem habere, neque, nisi hoc esset, in *ᾰ* desinere posset, cf. Spitzner. de vers. her. p. 26 sqq. p. 33. Sed dum de accentu silent viri docti, in vocabuli significatione nescio quomodo offenderunt; et primum quidem Heringa Observ. c. XIII, cum cauda *δίκραιρα* ei *durius dictum* videretur, *δικραία* emendavit, quo, ut de metrico vitio taceam, nescio quid profecerit, hoc enim idem significat quod *δίκραιρα*, et rem minus etiam apte exprimit, quum non tota cauda bifida fuerit, sed extrema tantum ejus pars. Brunckius autem, quum et in Regg. codd. illas lectiones invenisset, quibus supra ad accentum corrigendum usus sum, et in ed. Paris. *δικρὰ ῥά οἱ,* quod merum est vitium typographicum, *δίκρη ῥά οἱ* emendavit et in textum recepit, sequente Beckio, quod, ut vocabuli formam non morer, postquam Schaef. praef. ad Apollon. p. XV ejus patrocinium suscepit, in eandem reprehensionem incurrit, in quam Heringae conjectura, nam eundem sensum, quem vulg., eumque minus apte exprimit. Non praetermittendum est, hac Brunckii emendatione versum etiam hiulcum reddi, quod teretes ejus aures non sensisse miror.

1614. *ἀλκαίη* Vatt. A. B. Flor. Steph. Hoelzlin. Ox. In reliquis libris omnibus *ὁλκαίη* legitur, quod recte praetulerunt Brunck. et Beck. Fortasse et hoc ex iis est, quae in priore recensione ad exemplum Callimachi scripta postea mutavit poeta, nam Callimachus teste Schol. *ἀλκαίην* a leone ad alia animalia transtulerat, cf. Ruhnk. ad Callim. fragm. p. 547 sq. — *ἀκάνθας* Med. a m. 1. Vind. et ut videtur Vrat. a m. 1.

1617. *ἄγε* ex Flor. Brunck. Beck. ut solent. — *ἐπιπροέθηκε* Vatt. C. D.

1618. *νεισομένην* vulg. *νισσομένην* Guelph. Vrat. Vind. Reg. D. Brunck. Beck. — *μέσον βύθον* Guelph.

1619. *ἐπ' ὀφθαλμοῖσιν* vulg. errore frequentissimo. *ἐν ὀφθαλμοῖσιν* Guelph. Brunck. Beck. ex notissimo usu Homerico.

1623. *λαίφεσσι* Flor. Ald. — *αὐτὴν* omittit Guelph.

γαῖαν ἐρημαίην πνοιῇ Ζεφύροιο θέεσκον.
ἦρι δ' ἔπειτ' ἀγκῶνά θ' ὁμοῦ μυχάτην τε θάλασσαν
κεκλιμένην ἀγκῶνος ὑπὲρ προὔχοντος ἴδοντο.
αὐτίκα δὲ Ζέφυρος μὲν ἐλώφεεν, ἤλυθε δ' αὔρη
ἀργέσταο Νότου· κεχάροντο δὲ θυμὸν ἰωῇ.
ἦμος δ' ἠέλιος μὲν ἔδυ, ἀνὰ δ' ἤλυθεν ἀστὴρ
αὔλιος, ὅς τ' ἀνέπαυσεν ὀϊζυροὺς ἀροτῆρας,
δὴ τότ' ἔπειτ' ἀνέμοιο κελαινῇ νυκτὶ λιπόντος
ἱστία λυσάμενοι περιμήκεά τε κλίναντες
ἱστὸν ἐϋξέστῃσιν ἐπεῤῥώοντ' ἐλάτῃσιν
παννύχιοι καὶ ἐπ' ἦμαρ, ἐπ' ἤματι δ' αὖτις ἰοῦσαν
νύχθ' ἑτέρην. ὑπέδεκτο δ' ἀπόπροθι παιπαλόεσσα
Κάρπαθος· ἔνθεν δ' οἵ γε περαιώσεσθαι ἔμελλον
Κρήτην, ἥτ' ἄλλων ὑπερέπλετο εἰν ἁλὶ νήσων.
Τοὺς δὲ Τάλως χάλκειος ἀπὸ στιβαροῦ σκοπέλοιο
ῥηγνύμενος πέτρας εἶργε χθονὶ πείσματ' ἀνάψαι,
Δικταίην ὅρμοιο κατερχομένους ἐπ' ἰωγήν.
τὸν μὲν χαλκείης μελιηγενέων ἀνθρώπων
ῥίζης λοιπὸν ἐόντα μετ' ἀνδράσιν ἡμιθέοισιν
Εὐρώπῃ Κρονίδης νήσου πόρεν ἔμμεναι οὖρον
τρὶς περὶ χαλκείοις Κρήτην ποσὶ δινεύοντα.
ἀλλ' ἤτοι τὸ μὲν ἄλλο δέμας καὶ γυῖα τέτυκτο
χάλκεος ἠδ' ἄῤῥηκτος· ὑπαὶ δέ οἱ ἔσκε τένοντος
σύριγξ αἱματόεσσα κατὰ σφυρόν· αὐτὰρ ὁ τήν γε

1628. πρυμνήταο Νότου Guelph. Flor. fortasse ex priore recensione, quamquam hoc venti epitheton, per se sane aptum, alibi me legere non memini. — χάροντο Med. a m. 1. κεχάρηντο Vatt. C. D. κεχάραντο Reg. B. χήραντο Regg. A. C. D. E., quod perperam receperunt Brunck. et Beck. — In ridiculum errorem inciderunt Hoelzlin. et Beck., qui in versionibus latinis ἰωῇ acceperunt de clamore, quo gaudium suum testati sint heroes, quum vertere deberent: *laetati sunt venti flatu*, hoc enim significat ἰωή ut Il. 276. XI, 308.

1634. ἰοῦσι vulg. sine sensu. ἰοῦσιν Med. Vrat. ἰοῦσαν Regg. A. D. E., quod recte receperunt Brunck. et Beck.

1635. δ' omittunt Vatt. A. D.

1637. νῆσον Vind.

1638. Τάλλως Med. a m. 1.

1639. πίσματ' Med.

1640. ἐπιωγήν Schol., unde receperunt Hoelzlin. Shaw. Brunck. Beck. Sed quamquam ita etiam in Vatt. A. B. legitur, non video causam a reliquorum omnium librorum lectione recedendi, praesertim quum praepositio hic non bene abesse posse videatur, Homerus autem uno loco, quo hoc vocabulo utitur, Od. V, 404, pluralem ἐπιωγαί posuerit, in quo eum secutus est Oppian. Halieut. II, 550, et simplex ἰωγή eodem sensu legatur Od. XIV, 533.

1644. ποσσὶ Vrat. Vind. ποσὶν Med.

1647. Vulgatum αὐτὰρ ὁ τήν γε λεπτὸς ὑμὴν κ. τ. λ., quod in textu exhibui, sensu caret, quare Brun-

λεπτὸς ὑμὴν ζωῆς ἔχε πείρατα καὶ θανάτοιο.
οἱ δὲ δύῃ μάλα περ δεδμημένοι αἶψ' ἀπὸ χέρσου
νῆα περιδδείσαντες ἀνακρούεσκον ἐρετμοῖς.
καί νύ κ' ἐπισμυγερῶς Κρήτης ἑκὰς ἠέρθησαν
ἀμφότερον δίψῃ τε καὶ ἄλγεσι μοχθίζοντες,
εἰ μή σφιν Μήδεια λιαζομένοις ἀγόρευσεν.
„Κέκλυτέ μευ. μούνη γὰρ ὀΐομαι ὔμμι δαμάσσειν
„ἄνδρα τὸν, ὅστις ὅδ' ἐστὶ, καὶ εἰ παγχάλκεον ἴσχει
„ὃν δέμας, ὁππότε μή οἱ ἐπ' ἀκάματος πέλοι αἰών,
„ἀλλ' ἔχετ' αὐτοῦ νῆα θελήμονες ἐκτὸς ἐρωῆς
„πετράων, εἵως κεν ἐμοὶ εἴξειε δαμῆναι."
Ὣς ἄρ' ἔφη· καὶ τοὶ μὲν ὑπὲκ βελέων ἐρύσαντο
νῆ' ἐπ' ἐρετμοῖσιν, δεδοκημένοι ἥντινα ῥέξοι
μῆτιν ἀνωΐστως· ἡ δὲ πτύχα πορφυρέοιο
προσχομένη πέπλοιο παρειάων ἑκάτερθεν
βήσατ' ἐπ' ἰκριόφιν· χειρὸς δέ ἑ χειρὶ μεμαρπὼς
Αἰσονίδης ἐκόμιζε διὰ κληῗδας ἰοῦσαν.
ἔνθα δ' ἀοιδῇσιν μειλίσσετο, μέλπε δὲ Κῆρας

ckius ex conjectura dedit *τῆς γε*, quod recepit etiam Beck., sed verborum *ὁ τῆς γε λεπτὸς ὑμὴν*, maxime articuli *ὁ* collocatio epicum poetam prorsus dedecet, neque *ὑμήν* recte dici potest *πείρατα ἔχειν*, sed *ὁ* ad Talum referri debet. Itaque poetae manum levissima mutatione restituere posse mihi videor scribendo: *αὐτὰρ ὁ τήν γε, λεπτοσύνην, ζωῆς ἔχε πείρατα καὶ θανάτοιο*, *sed hic venam illam, tenuissimam* (ab adjectivo *λεπτόσυνος*), *mortis vitaeque terminum habuit*, ut Meleag. Carm. XXI *ἐν σοί μοι ζωῆς πείρατα καὶ θανάτου.* Vitium jam antiquum est, nam Schol. illud *ὑμήν* agnoscere videtur. In textu autem nihil mutare ausus sum.

1649. *δεδηγμένοι* Guelph.

1650. *περιδείσαντες* ex more Brunckius et Beck. Legitur sic in Vat. A. — *ἀνεκρούεσκον* ex Regg. quatuor Brunck. Beck. vid. ad I, 1074.

1651. *καὶ νύκτ'* Flor. Ald. Brub. Basil. — *ἐπὶ σμυγερῶς* Reg. A.

1652. *ἀμφοτέροις* Guelph.

1653. *σφι* ex Regg. D. E. Brunckius et Beck. — *λιλαιομένοις* Flor.

1654. *δαμάσσαι* Reg. D.

1656. *ὑπ' ἀκάματος* Steph. fortasse errore typoth. — *πέλει* vulg. *πέλοι* ex Med. et Regg. C. D. recte receperunt Brunck. et Beck., nescit enim Medea, utrum immortalis sit nec ne.

1659. *ἐρύοντο* Guelph. Flor.

1660. *ἐρετμοῖσι* Vatt. C. D. Med. Vrat. Vind. Regg. C. D. E. Brunck. Beck. — *ῥέξει* Guelph. *ῥέξει* Vat. D. Med. Reg. B. Flor. Ald. Brub. Basil. Sed vulgata ut librorum auctoritate ita sensus praestantia commendatur.

1663. *βήσετ'* Regg. A. D. ut saepe.

1664. *ἐκόμιζεν* Med. Vrat. — *κληῗδος* vulg. ut I, 358. Correxit Brunck.

1665. *ἐνθ' ἀοιδῇσιν* Guelph. — *ἀοιδῇσι* Vatt. A. B. C. D. Regg. C. D. E. Brunck. Beck. — *θέλγε* vulg. *μέλπε* Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. A. B. C. D Ald. Brub. Basil., quod et aptius et majore auctoritate firmatum recte receperunt Brunck. et Beck. Vulgata, quae ex Guelph. et Flor. fluxit, fortasse prioris recensionis est. — *τε* pro *δέ* malim, quod sensus postulare videtur

θυμοβόρους, Ἀΐδαο θοὰς κύνας, αἳ περὶ πᾶσαν
ἠέρα δινεύουσαι ἐπὶ ζωοῖσιν ἄγονται.
τὰς γουναζομένη τρὶς μὲν παρεκέκλετ᾽ ἀοιδαῖς,
τρὶς δὲ λιταῖς· θεμένη δὲ κακὸν νόον ἐχθοδοποῖσιν
ὄμμασι χαλκείοιο Τάλω ἐμέγηρεν ὀπωπάς·
λευγαλέον δ᾽ ἐπί οἱ πρῖεν χόλον, ἐκ δ᾽ ἀΐδηλα
δείκηλα προΐαλλεν ἐπιζαφελὸν κοτέουσα.
Ζεῦ πάτερ, ἦ μέγα δή μοι ἐνὶ φρεσὶ θάμβος ἄηται,
εἰ δὴ μὴ νούσοισι τυπῇσί τε μοῦνον ὄλεθρος
ἀντιάει, καὶ δή τις ἀπόπροθεν ἄμμε χαλέπτει.
ὣς ὅγε χάλκειός περ ἐὼν ὑπόειξε δαμῆναι
Μηδείης βρίμῃ πολυφαρμάκου. ἂν δὲ βαρείας
ὀχλίζων λάϊγγας ἐρυκέμεν ὅρμον ἱκέσθαι,
πετραίῳ στόνυχι χρίμψε σφυρόν· ἐκ δέ οἱ ἰχὼρ
τηκομένῳ ἴκελος μολίβῳ ῥέεν· οὐδ᾽ ἔτι δηρὸν
εἱστήκει προβλῆτος ἐπεμβεβαὼς σκοπέλοιο.
ἀλλ᾽ ὥς τίς τ᾽ ἐν ὄρεσσι πελωρίη ὑψόθι πεύκη,
τήντε θοοῖς πελέκεσσιν ἔθ᾽ ἡμιπλῆγα λιπόντες
ὑλοτόμοι δρυμοῖο κατήλυθον· ἡ δ᾽ ὑπὸ νυκτὶ

1668. *παρακέκλετ᾽* Med.

1669. *ἐχθοδαποῖσιν* Vatt. A. B. C. D. Med. Guelph. Ald. Brub. Basil. forsitan recte, si cum *ἀλλοδαπός* et similibus contuleris.

1670. *ὄμμασι* deest in Guelph.

1671. *λευγαλέος δέ οἱ πρίεν χόλος* corrupte Etymol. M. p. 688, 8. — *πρῖε* Brunck. Beck. ex more. De vocabuli significatione, in qua haesitavit Brunckius, v. Lobeckius ad Soph. Aj. 1019. Buttm. Lexilog. II p. 256. — *ἐν δ᾽ ἀΐδηλα* Flor.

1672. *δίκηλα* Regg. quinque, Vrat. *ἔκκηλα* Vind. — *ἐπὶ ζαφελὸν* Vatt. C. D. *ἐπιζάφελον* male Brunck.

1673. *θάμβος ἐνὶ φρεσσὶν* Vatt. A. B. C. D. *θάμβος ἐνὶ φρεσὶν* Vrat. Vind. *θάμβος ἐνὶ φρεσὶ* Med. Reg. A., quam varietatem nescio unde natam dicam.

1674. *λυγρὸς* pro *μοῦνον* ex uno Reg. D. Brunck. et Beck., quem librum optimum dicit Beck., quum pessimum dicere deberet. Illud *μοῦνον* ad sensum necessarium esse intellexit Brunck. et in versione expressit Beck., sed elegantius supprimi et huc e glossemate invectum putant. Nescio qualis sit elegantia, ex qua illud vocabulum omittitur, in quo rei cardo versatur et quo demto sensus mancus evadit.

1676. *χάλκεος* Vind.

1677. *βριμῇ* Vrat. — *ἐν δὲ* Regg. A. E. ed. Paris. Steph. — Prius hemistichium corrupte laudat Etymol. M. p. 214, 10 *Μηδείης ποτὲ βρίμη φαρμάκου.*

1678. *ὀχθίζων* Vat. D. — *ὅρκον* Med.

1679. Corrupte laudat Apollonii nomine non addito Etymol. M. p. 728, 32 *πτερέῳ στόνυχι τρίψε σφυρόν.* — *πετραίη* Guelph. — *σχεδὸν* pro *σφυρὸν* Guelph. Flor.

1680. *μολύβδῳ* Regg. A. C. E. *μολύβῳ* ed. Paris. Steph., quod male receperunt Brunck. et Beck. v. Hom. Il. XI, 234. — *οὐδέ τι* vulg., quod tacite correxit Brunck.

1681. Similiter Quint. Smyrn. V, 51 *εἱστήκει φοίνικος ἐπεμβεβαυῖα κατ᾽ ἄκρης.*

1682. Comparatio ducta est ex Hom. Il. XIII, 389 sqq.

1683. *ἤν τε* Flor. — *θοῇς* Vat. C.

ῥιπῇσιν μὲν πρῶτα τινάσσεται, ὕστερον αὖτε
πρυμνόθεν ἐξεαγεῖσα κατήριπεν· ὣς ὅγε ποσσὶν
ἀκαμάτοις τείως μὲν ἐπισταδὸν ἠωρεῖτο,
ὕστερον αὖτ' ἀμενηνὸς ἀπείρονι κάππεσε δούπῳ.
κεῖνο μὲν οὖν Κρήτῃ ἐνὶ δὴ κνέφας ηὐλίζοντο
ἥρωες· μετὰ δ' οἵ γε νέον φαέθουσαν ἐς ἠῶ
ἱρὸν Ἀθηναίης Μινωΐδος ἱδρύσαντο,
ὕδωρ τ' εἰσαφύσαντο καὶ εἰσέβαν, ὥς κεν ἐρετμοῖς
παμπρώτιστα βάλοιεν ὑπὲρ Σαλμωνίδος ἄκρης.
Αὐτίκα δὲ Κρηταῖον ὑπὲρ μέγα λαῖτμα θέοντας
νὺξ ἐφόβει, τήν πέρ τε Κατουλάδα κικλήσκουσιν·
νύκτ' ὀλοὴν οὐκ ἄστρα διΐσχανεν, οὐκ ἀμαρυγαὶ
μήνης· οὐρανόθεν δὲ μέλαν χάος ἠέ τις ἄλλη
ὠρώρει σκοτίη μυχάτων ἀνιοῦσα βερέθρων.
αὐτοὶ δ', εἴτ' Ἀΐδῃ, εἴθ' ὕδασιν ἐμφορέοντο,
ἠείδειν οὐδ' ὅσσον· ἐπέτρεψαν δὲ θαλάσσῃ
νόστον, ἀμηχανέοντες, ὅπῃ φέροι. αὐτὰρ Ἰήσων
χεῖρας ἀνασχόμενος μεγάλῃ ὀπὶ Φοῖβον ἄϋτει,
ῥύσασθαι καλέων· κατὰ δ' ἔῤῥεεν ἀσχαλόωντι
δάκρυα· πολλὰ δὲ Πυθοῖ ὑπέσχετο, πολλὰ δ' Ἀμύκλαις,
πολλὰ δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσειν.
Λητοΐδη, τύνη δὲ κατ' οὐρανοῦ ἵκεο πέτρας

1685. ῥιπαῖσι Regg. tres. ῥιπῇσι Vat. D., quod dederunt Brunck. et Beck. ex more. — πρώτιστα Guelph. Flor.

1686. ἐξαγεῖσα Guelph.

1689. ἐνὶ pro vulg. ἔνι scripsi, ut cum ηὐλίζοντο jungatur ut I, 94.

1691. ἱερὸν Med. Guelph.

1695. Versum laudat Suidas s. v. κατουλάς.

1696. Vulgo versus praecedentis fine commate, post ὀλοήν puncto distinguitur, ut νύκτ' ὀλοήν epexegesis sit ad κατουλάδα, quod scholiastae foret, non poetae. Delevi punctum, ut accusativus a διΐσχανεν pendeat, quod flagitat sensus. — δὲ ἴσχανεν Vatt. A. B. C. D. δὴ ἴσχανεν Vrat. — οὐδ' ἀμαρυγαὶ vulg. sed, quod majorem vim habet, οὐκ ἀμαρυγαὶ Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. quinque, Brunck. Beck.

1697. μελάγχροος vulg. μέγα χάος Vatt. A. B. C. D. Reg. D. μελάγχαλος Guelph. μέλαν χάος Vrat. Vind. Regg. A. B. C. E. Flor., quod e cod. restituerat jam Dorvill. Obss. Misc. vol. IV p. 5 s. et recte receperunt Brunck. et Beck. — ἠέ τις Ἄιδου correxit Hemsterhus. ap. Piers. Verisim. p. 216. ἤ τις ἀϊδνὴ emendavit et in textu scripsit Brunck., uterque sine causa, modo ne quis vulgatam inepte cum Hoelzlino et Beckio ita interpretetur, ut ἄλλη oppositum sit praecedenti οὐρανόθεν, *alia, quae non coelitus demissa est caligo.* Immo ἄλλη σκοτίη est *alter Tartarus, altera inferorum caligo,* ut ἄλλη Κύπρις ἄνασσα *altera Venus* ap. Musaeum de Her. et Leandr. v. 33.

1699. φορέοντο Guelph.

1701. ὅποι Reg. A.

1706. οὐρανὸν Flor. — ἵκετο Vind.

ῥίμφα Μελαντίους ἀριήκοος, αἵτ' ἐνὶ πόντῳ
ἧνται· δοιάων δὲ μιῆς ἐφύπερθεν ὀρούσας,
δεξιτερῇ χρύσειον ἀνέσχεθες ὑψόθι τόξον·
μαρμαρέην δ' ἀπέλαμψε βιὸς περὶ πάντοθεν αἴγλην.
τοῖσι δέ τις Σποράδων βαιὴ ἀπὸ τόφρ' ἐφαάνθη
νῆσος ἰδεῖν ὀλίγης Ἱππουρίδος ἀντία νήσου,
ἔνθ' εὐνὰς ἐβάλοντο καὶ ἔσχεθον· αὐτίκα δ' Ἠὼς
φέγγεν ἀνερχομένη· τοὶ δ' ἀγλαὸν Ἀπόλλωνι
ἄλσει ἐνὶ σκιερῷ τέμενος σκιόεντά τε βωμὸν
ποίεον· Αἰγλήτην μὲν ἐϋσκόπου εἵνεκεν αἴγλης
Φοῖβον κεκλόμενοι· Ἀνάφην δέ τε λισσάδα νῆσον
ἴσκον, ὃ δὴ Φοῖβός μιν ἀτυζομένοις ἀνέφηνεν.
ῥέξον δ' ὅσσα περ ἄνδρες ἐρημαίῃ ἔνι ῥέξειν
ἀκτῇ ἐφοπλίσσειαν· ὃ δὴ σφέας ὁππότε δαλοῖς
ὕδωρ αἰθομένοισιν ἐπιλλείβοντας ἴδοντο
Μηδείης δμωαὶ Φαιηκίδες, οὐκ ἔτ' ἔπειτα
ἴσχειν ἐν στήθεσσι γέλω σθένον, οἷα θαμειὰς

1707. *Μελαντείους* habet Etymol. M. p. 142, 54.

1708. *ἧντ' αἰδιάζων* Vind.

1709. *ἐνέσχεθεν* Guelph.

1710. *μαρμαρέη — αἴγλη* Regg. quatuor (*μαρμαρέην — αἴγλη* Reg. A.), quod recepit Brunckius, *βιὸς* hujus lectionis gratia in *βιοῦ* mutans; sed et deteriorum librorum haec est lectio, et minus poetica, et ad *βιὸς*, in quo libri omnes consentiunt, mutandum cogit, et *ἀπολάμπειν* cum accusativo jungunt hujus aetatis poetae.

1712. *ὑπουρίδος* Guelph. — *ἐγκόθι νήσου* Guelph. non pro *ἐγγύθι*, ut putat Brunck., sed pro *ἀγχόθι*, quemadmodum legitur in Flor. Non erat tamen, quod *ἀγχόθι* in textum reciperet Beck. *probante*, ut ait, *Ruhnkenio* ep. crit. p. 315, qui id ne voluisse quidem videtur. Pluribus jam hujus quarti libri locis observavimus, in Guelph. et Flor. proprias quasdam lectiones reperiri, quae non aliunde sunt notae, sed non idcirco in textum continuo recipiendas, fortasse ex priore recensione oriundas.

1714. *φεῦγεν* vulg. inepte *φέγγεν* Vatt. A. B. C. D. Guelph. Vrat. Vind. Regg. quinque, Brunck. Beck.

1715. *σκιόεντα* cum et per se cum *βῶμον* non bene coeat et propter praecedens *σκιερῷ* displiceat, probabilis est conjectura viri docti in Ephem. Jenens. 1814 p. 269 emendantis *θυόεντα*, coll. Hom. Il. *θ*, 48. *ψ*, 148. Od. *θ*, 363.

1718. *μὲν* vulg. inepte *μιν* Vat. C., quod ex conjectura reponendum esse viderat Steph., quo auctore reposuit Brunck. Jam saepius *μέν* et *μίν* confusa vidimus. vid. supra ad v. 1489.

1719. *οἷά κεν* Guelph. (silente Hoerstelio), unde *ὅσσα κεν* emendandum judicavit Brunck., et in textu dedit Beck. sine causa. De *ἂν* omisso jam supra sermo fuit ad I, 480.

1720. *ἐφοπλίσειαν* Guelph.

1721. *αἰθομένοισι* Med. *αἰθομένοις* Guelph. — *ἐπὶ λείβοντας* Reg. B. *ἐπιλείβοντας* Regg. A. C. D. E., quod receperunt Brunck. et Beck. ex more; vid. ad I, 1133.

1722. *οὐκέτ'* vulg. *οὐκ ἔτ'* Vrat. Vind., quod tacite dedit Brunckius, quemadmodum apud Homerum scribitur *οὐκ ἔτ' ἔπειτα* Il. II, 379, quamquam *οὐκέτ' ἔπειτα* XII, 73.

1723. *ἐνὶ* Med. Vrat. Vind. — *γέλων* Vatt. A. B. C. D. et Regg. A. C. E., ex quibus recepit Brunck. et

αἰὲν ἐν Ἀλκινόοιο βοοκτασίας ὁρόωσαι.
τὰς δ' αἰσχροῖς ἥρωες ἐπεστοβέεσκον ἔπεσσιν
χλεύῃ γηθόσυνοι· γλυκερὴ δ' ἀνεδαίετο τοῖσιν
κερτομίη καὶ νεῖκος ἐπεσβόλον. ἐκ δέ νυ κείνης
μολπῆς ἡρώων νήσῳ ἔνι τοῖα γυναῖκες
ἀνδράσι δηριόωνται, ὅτ' Ἀπόλλωνα θυηλαῖς
Αἰγλήτην Ἀνάφης τιμήορον ἱλάσκονται.
Ἀλλ' ὅτε δὴ κἀκεῖθεν ὑπεύδια πείσματ' ἔλυσαν,
μνήσατ' ἔπειτ' Εὔφημος ὀνείρατος ἐννυχίοιο,
ἁζόμενος Μαίης υἷα κλυτόν. εἴσατο γάρ οἱ
δαιμονίη βῶλαξ ἐπιμάστιος ᾧ ἐν ἀγοστῷ
ἄρδεσθαι λευκῇσιν ὑπαὶ λιβάδεσσι γάλακτος,
ἐκ δὲ γυνὴ βώλοιο πέλειν ὀλίγης περ ἐούσης,
παρθενικῇ ἰκέλη· μίχθη δέ οἱ ἐν φιλότητι
ἄσχετον ἱμερθείς· ὀλοφύρετο δ' ἠΰτε κούρην
ζευξάμενος, τὴν αὐτὸς ἑῷ ἀτίταλλε γάλακτι·
ἡ δέ ἑ μειλιχίοισι παρηγορέεσκεν ἔπεσσιν·

cum Brunckio Beck., sed hac attica forma abstinuit et Homerus et ceteri poetae epici, et ut *γέλω*, in melioribus certe libris habet Hom. Od. XVIII, 349. XX, 8. 346, ita Noster dicit *ἱδρῶ* II, 87. IV, 656. *ἥρω* II, 766. *Μίνω* III, 1107. — *θαμιὰς* Vind.

1724. *βουκτασείας* Vind.

1725. *ἐπεστομέεσκον* Vatt. A. D. Regg. A. C. Schol. Paris. ex frequentissima litterarum *β* et *μ* confusione, *ἐπιστομέεσκον* Reg. B. a m. 1. *ἐπιστοβέεσκον* Reg. D., quod ex hoc uno libro recepit Brunck. vid. ad I, 1074. — *ἐπέεσσιν* Vrat. Vind.

1726. *ἀνεδαίετο μέσσῳ* Guelph. Flor. vid. quae ad v. 1712 monita sunt.

1729. *δηριόωντες* Vind.

1730. *ἱλάσκωνται* Vatt. A. B. C. D. Vrat. Vind. Reg. B. perperam.

1731. *πίσματ'* Med. a m. 1.

1735. *ὑπὸ* Regg. A. C. E., unde receperunt Brunck. et Beck. Secutus sum optimorum librorum auctoritatem, vid. ad II, 1229.

1738. *κούρῃ* suprascr. *ν* Vrat. *κούρῃ* Reg. A. *κούρῃ* Regg. C. D. E., unde Brunckius dedit *ὀλοφύρετο δ' ἠΰτε κούρῃ, ζευξάμενος*. Sed ut taceam, heroe non satis dignam esse hanc comparationem, ipsa comparatio non recte potest ita nude institui, quasi puellae omnes et semper flerent. Comparat quidem Hom. Il. XVI, 7. *τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠΰτε κούρη*, sed ibi subjiciuntur *ἥθ' ἅμα μητρὶ κ. τ. λ.* quae flendi causam continent. Addere poterat ex Nostro I, 269. *κλαίουσ' ἀδινώτερον, ἠΰτε κούρη*, sed ibi quoque sequuntur, quae causam indicent. Teneo igitur vulgatam hoc sensu: *lamentabatur ut qui puellam secum junxisset, quam* etc., qui sensus confirmatur v. 1742 *οὐ κούρῃ*, quamquam fateor me aliorum locorum non meminisse, quibus *ἠΰτε* cum participio *ut qui, quippe qui* significet.

1739. *τὴν δ' αὐτὸς* vulg. puncto praecedente, male; *δ'* omittunt Guelph. Flor. Regg. quatuor, quos recte secutus est Brunck. — *ἀτίτηλε* ex conjectura Brunck. Beck. Jam saepius vidimus Brunckium imperfecta sine causa in aoristos mutare.

1740. *ἐπέεσσιν* Vrat. Vind.

„Τρίτωνος γένος, εἰμὶ, τεῶν τροφὸς, ὦ φίλε, παίδων,
„οὐ κούρη· Τρίτων γὰρ ἐμοὶ Λιβύη τε τοκῆες.
„ἀλλά με Νηρῆος παρακάτθεο παρθενικῇσιν
„ἂμ πέλαγος ναίειν Ἀνάφης σχεδόν· εἶμι δ' ἐς αὐγὰς
„ἠελίου μετόπισθε τεοῖς νεπόδεσσιν ἑτοίμη.“
Τῷ δ' ἄρ' ἐπὶ μνῆστιν κραδίῃ βάλεν ἔκ τ' ὀνόμηνεν
Αἰσονίδην· ὁ δ' ἔπειτα θεοπροπίας Ἑκάτοιο,
θυμῷ πεμπάζων, ἀνενείκατο φώνησέν τε.
„Ὦ πόποι, ἦ μέγα δή σε καὶ ἀγλαὸν ἔμμορε κῦδος.
„βώλακα γὰρ τεύξουσι θεοὶ πόντονδε βαλόντι
„νῆσον, ἵν' ὁπλότεροι παίδων σέθεν ἐννάσσονται
„παῖδες· ἐπεὶ Τρίτων ξεινήϊον ἐγγυάλιξεν
„τήνδε τοι ἠπείροιο Λιβυστίδος. οὔ νύ τις ἄλλος
„ἀθανάτων, ἢ κεῖνος, ὅ μιν πόρεν ἀντιβολήσας.
Ὣς ἔφατ'· οὐδ' ἁλίωσεν ὑπόκρισιν Αἰσονίδαο
Εὔφημος· βῶλον δὲ θεοπροπίῃσιν ἰανθεὶς
ἧκεν ὑποβρυχίην. τῆς δ' ἔκτοθι νῆσος ἀέρθη
Καλλίστη, παίδων ἱερὴ τροφὸς Εὐφήμοιο,
οἳ πρὶν μέν ποτε δὴ Σιντηΐδα Λῆμνον ἔναιον,
Λήμνου τ' ἐξελαθέντες ὑπ' ἀνδράσι Τυρσηνοῖσιν
Σπάρτην εἰσαφίκανον ἐφέστιοι· ἐκ δὲ λιπόντας
Σπάρτην Αὐτεσίωνος ἐῢς παῖς ἤγαγε Θήρας
Καλλίστην ἐπὶ νῆσον· ἀμείψατο δ' οὔνομα Θήρης

1741. θεῶν Guelph. — φίλαι Vind.

1743. ἀλλ' ἐμὲ Brunck. ex more, sine libris nec monito lectore. — παρακάτθετο vulg. sine sensu. παρακάτθεο ex emendatione Piersoni Verisim. p. 217. dederunt Brunck. et Beck., sed id ipsum perspicue exhibent Guelph. et ed. Flor., quam si accuratius inspexissent editores, conjectura non opus fuisset.

1744. αὐτὰς Ald. Brub. Basil.

1745. μετόπισθεν Med. Vrat. — τεοῖσι Med. a m. 1. Flor.

1746. ἐπιμνῆστιν Vrat. — κραδίη vulg. inepte. κραδίῃ Vatt. C. D. ut correxit Brunck.

1747. Αἰσονίδη Vrat. Vind. Αἰσονίδῃ Vatt. A. D. Med. Guelph. — θεοπροπίης Guelph.

1749. ὦ πέπον Guelph., de qua lectione v. Gerhard. p. 58 sq.

1751. εὐνάσσονται vulg. ἀνάσσονται Guelph. ἐννάσονται Vrat. Vind. ἐννάσσονται Vatt. A. B. C. D. Med. Regg. quinque, Brunck. Beck., quod jam conjectura assecutus erat Piers. Verisim. p. 217.

1753. οὐδέ τις vulg. οὔ νύ τις Vatt. A. B. C. D. Med. Vrat. Vind. Regg. quinque, quod recte praetulerunt Brunck. et Beck.

1759. Σιντιάδα vulg. Correxit Brunck. ex I, 608, ubi Σιντιήδα in Vind. invenimus simili errore scriptum.

1760. Λήμνου δ' ἐξελαθέντες sine libris dedit Brunck. et lectore non monito. Secutus est Beck., sine causa. — Τυῤῥήνοισι Reg. A.

1761. ἐσαφίκανον Vrat. Vind.

1762. Θήρης Regg. A. D. E.

1763. Hunc versum omittit Guelph. propter homoeoteleuton, quo minus

ἐξ ἔθεν. ἀλλὰ τὰ μὲν μετόπιν γένετ᾽ Εὐφήμοιο.
Κεῖθεν δ᾽ ἀπτερέως διὰ μυρίον οἶδμα λιπόντες
Αἰγίνης ἀκτῇσιν ἐπέσχεθον· αἶψα δὲ τοί γε
ὑδρείης πέρι δῆριν ἀμεμφέα δηρίσαντο,
ὅς κεν ἀφυσσάμενος φθαίη μετὰ νῆάδ᾽ ἱκέσθαι.
ἄμφω γὰρ χρειώ τε καὶ ἄσπετος οὖρος ἔπειγεν.
ἔνθ᾽ ἔτι νῦν πλήθοντας ἐπωμαδὸν ἀμφιφορῆας
ἀνθέμενοι κούφοισιν ἄφαρ κατ᾽ ἀγῶνα πόδεσσιν
κοῦροι Μυρμιδόνων νίκης πέρι δηριόωνται.
Ἵλατ᾽ ἀριστήων μακάρων γένος· αἵδε δ᾽ ἀοιδαὶ
εἰς ἔτος ἐξ ἔτεος γλυκερώτεραι εἶεν ἀείδειν
ἀνθρώποις. ἤδη γὰρ ἐπὶ κλυτὰ πείραθ᾽ ἱκάνω
ὑμετέρων καμάτων· ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος
αὖθις ἀπ᾽ Αἰγίνηθεν ἀνερχομένοισιν ἐτύχθη,
οὔτ᾽ ἀνέμων ἐριῶλαι ἐνέσταθεν· ἀλλὰ ἕκηλοι
γαῖαν Κεκροπίην παρά τ᾽ Αὐλίδα μετρήσαντες
Εὐβοίης ἔντοσθεν, Ὀπούντιά τ᾽ ἄστεα Λοκρῶν,
ἀσπασίως ἀκτὰς Παγασηΐδας εἰσαπέβητε.

versum omissum probare debebat Pierson. Verisim. p. 217.

1765. De adverbio *ἀπτερέως* longa est disputatio Wernickii ad Tryphiod. v. 85, qui nostro loco vertit: *tarde*. Contra Scholl. interpretantur *τάχιστα*, recte, est enim i. q. *ἰσοπτέρως, ὁμοπτέρως*, ut explicat Schol. ad Lycophr. 623. Illud *tarde* sensus loci non fert. *Ἀπτερέως* ex Hesiodo laudat Etymol. M. p. 133, 4 et p. 183, 24, ubi Apollonii nomen restituendum judicat Ruhnk. epist. crit. p. 189.

1766. *ἀκταῖσιν* Med. a m. 1. Vrat. Vind. *ἀκτῖσιν* Guelph.

1767. *δηριόωντο* Guelph. Flor.

1771. *ἐνθέμενοι* vulg. Ex ingenio restituit Brunckius, quod sensus postulat. Saepissime *εν* et *αν* in compositis permutata supra observavimus ut I, 62. 358. 1125. II, 628. III, 1298. 1320. IV, 188. 708. 1365. 1778.

1775. *ἀνθρώποισι δὴ* Vatt. A. D. Med. *ἀνθρώποισιν δὴ* Vrat. Vind.

1777. *αὖτις* Brunck. ex Vind. ut videtur (nam sic in Vrat. legitur), sed lectore non monito et sine causa. — *ἀνερχομένων* Reg. A.

1778. *ἀνέσταθεν* vulg. *ἐνέσταθεν* Vatt. C. D. Med. Vrat. Reg. B., quod cum Brunck. et Beck. recepi, quamquam utraque lectio sensui apta est, ut in tanta permutationis facilitate (v. ad v. 1771) optio difficilis sit.

1779. *γαίην* vulg. *γαῖαν* Med. Vrat. ut jam dudum scribere editores debebant.

1781. Versum omittit Med. — *ἀσπασίας* Guelph.

APOLLONII RHODII

ARGONAUTICA.

AD FIDEM LIBRORUM MANUSCRIPTORUM ET EDITIONUM ANTIQUARUM RECENSUIT, INTEGRAM LECTIONIS VARIETATEM ET ANNOTATIONES ADIECIT, SCHOLIA AUCTA ET EMENDATA INDICESQUE LOCUPLETISSIMOS ADDIDIT

AUGUSTUS WELLAUER.

VOLUMEN SECUNDUM.

LIPSIAE

SUMTIBUS ET TYPIS B. G. TEUBNERI

MDCCCXXVIII.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

V. 1. *Ἀρχόμενος.* Ἀπὸ περιεκτικοῦ ῥήματος ἡ μετοχὴ ἐσχημάτισται. Περιεκτικὰ δέ εἰσιν[a]) ὅσα δρᾶσιν καὶ πάθος ἐμφαίνουσιν[b])· οἷον Βιάζομαι, Δωροῦμαι, Σφαγιάζομαι. Οὕτω καὶ τὸ Ἄρχομαι. Τὸ μέν τι σημαίνει[c]), ἀπὸ σοῦ τὴν ἀρχὴν ποιοῦμαι. ἔθος γὰρ ἀπὸ θεῶν προοιμιάζεσθαι [ὡς Ἄρατος]·

Ἐκ Διὸς ἀρχώμεσθα

τὸ δέ τι σημαίνει[d]), ἐξουσιαζόμενος[e]) ὑπὸ σοῦ, οἷον ἐνθουσιῶν. Παραπλησίως γὰρ τοῖς μαινομένοις οἱ ποιηταὶ ἐνθουσιῶσιν[f]). Ἔνιοι δὲ καὶ ἀντὶ τοῦ ἀρξάμενος κεῖσθαι φασὶ τὸ ἀρχόμενος. Ὁ οὖν λόγος, ἀρχαιρεσιασθεὶς ὑπὸ σοῦ[g]), εἰς μνήμην ἄξω τὰ ἔνδοξα τῶν Ἀργοναυτῶν[h]) ἔργα.

[*Παλαιγενέων.* Διαφέρει τὸ παλαιὸν τοῦ ἀρχαίου. Τὸ μὲν παλαιὸν πᾶν καὶ ἀρχαῖον. τὸ δὲ ἀρχαῖον οὐ πᾶν παλαιόν. Τὸ γὰρ[i]) ἀρχαῖον σημαίνει καὶ τὸ ἀρχῆς ἔχεσθαι.]

V. 4. *Ἀργώ.* Ὁ μὲν Ἀπολλώνιος καλεῖ τὴν Ἀργὼ ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος· Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ. Ταύτην δέ φασι πρώτην ναῦν γενέσθαι (μακράν). Ἄλλοι δὲ λέγουσι, Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου, πρῶτον κατασκευάσαι· ὅθεν καὶ Δαναῒς ἐκλήθη.

Εὔζυγον, ἤγουν εὐκάθεδρον.

V. 5. *Τοίην γὰρ Πελίης.* Τὸ *τοίην* τίθεται καὶ ἀνταποδοτικῶς καθ᾽ ὁμοίωσιν πρὸς τὰς παραβολάς·

Οἵη γὰρ[k]) φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν[l]).

καὶ ἀναφορικῶς·

Ἀλλὰ καὶ ὧς τοίη περ ἐοῦσα[m]).

Νῦν[n]) δὲ δύναται μὲν ἐπὶ θαυμασμοῦ κεῖσθαι τοῦ κατὰ ἀνείρεσιν[o]) λόγου· δύναται δὲ καὶ κατὰ ἀναφορὰν πρὸς τὰ ἐπιφερόμενα[p]).

a) Sic Paris. Vulg. ἐστιν. b) σημαίνουσιν P. c) τὸ μέντοι σημαινόμενον P. d) κατ᾽ ἄλλο δὲ σημαινόμενον P. e) ἀρχαιρεσιαζόμενος P. f) ἐνθουσιάζουσι P. g) Sic recte P. Vulg. ἀρξάμενος ἀπὸ σοῦ. h) Sic P. Vulg. Ἀργοναυτικῶν. i) μὲν teste Ruhnk. k) γε P. περ edd. Homeri. l) Hom. Il. VI, 146. m) Hom. Il. III, 159. n) Τοῦτο P. o) τὴν αἵρεσιν P. p) ἀναφορὰν τὴν ἔπειτα φερομένην.

[Φάτις δὲ καὶ φήμη ἐπειδὰν ἐπὶ μέλλοντος λέγωνται, πρόῤῥησίν τινα σημαίνουσιν [q]).]

V. 9. (Ἄναυρον λέγει τὸν χείμαῤῥον. Οἱ γὰρ ἐξ ὑετῶν συνιστάμενοι ποταμοὶ οὕτω καλοῦνται.) [Ἄναυρος λέγεται ὁ χείμαῤῥος ποταμός.]

V. 11. Προχοῇσι. Τῶν ποταμῶν οἱ συμβάλλοντες τόποι τῇ θαλάσσῃ [r]), προχοαὶ λέγονται. Ὡς Ὅμηρος·

Ὡς δ' ὅτ' ἐπὶ προχοῇσι [διϊπετέος] [s]).

V. 14. Ἥρης δὲ Πελασγίδος. Ὁμηρικῶς τὴν Ἥραν Πελασγίδα εἶπεν, ἐκ τῆς Θεσσαλικῆς χώρας. Πελασγοὶ γὰρ ἐλέγοντο οἱ τὴν Φθιωτικὴν κατῴκουν, ὥς φησιν Ὅμηρος·

Νῦν δ' αὖ τοὺς ὅσσοι τὸ [t]) Πελασγικὸν Ἄργος ἔναιον [u]).

ἀφορίζων αὐτὸ τῆς Πελοποννήσου, ἣν Ἀχαϊκὸν Ἄργος καλεῖ.

V. 23. Πρῶτά νυν Ὀρφῆος. Ἡρόδωρος δύο εἶναι Ὀρφεῖς φησίν· ὧν τὸν ἕτερον συμπλεῦσαι τοῖς Ἀργοναύταις. Φερεκύδης ἐν τῇ ς̄, Φιλάμμωνα φησὶ καὶ οὐκ Ὀρφέα συμπεπλευκέναι· εἶναι δὲ Ὀρφέα, κατὰ μὲν Ἀσκληπιάδην, Ἀπόλλωνος καὶ Καλλιόπης· κατὰ δὲ ἐνίους, Οἰάργου καὶ Πολυμνίας. Ζητεῖται δὲ, διὰ τί Ὀρφεὺς ἀσθενὴς ὢν συνέπλει τοῖς ἥρωσιν. Ἢ ὅτι [v]) μάντις ὢν ὁ Χείρων ἔχρησε, μὴ [ἄλλως] δύνασθαι τὰς Σειρῆνας παρελθεῖν αὐτοὺς Ὀρφέως μὴ συμπλέοντος [w]). Οὕτως [x]) Ἡρόδωρος.

V. 25. Πιμπληΐδος. Πιμπληῒς [y]) χωρίον κατὰ Πιερίαν. Οἱ δὲ, ὄρος Θρᾴκης. Οἱ δὲ, κρήνην καὶ κώμην τῆς Πιερίας.

V. 27. Θέλξαι. Ἀπατῆσαι καὶ τέρψαι. Τάσσεται [z]) δὲ ἡ λέξις ἐπὶ τῆς μετὰ βλάβης ἀπάτης. Νῦν δὲ ὑπερβολικῶς κεῖται.

Ἀοιδάων δὲ ἐνοπῇ, [ἀντὶ τοῦ] τῇ τῶν ᾠδῶν εὐρυθμίᾳ. (Οὐκ εὖ δέ· ἡ γὰρ ἐνοπὴ καὶ ἐπὶ θορύβου τίθεται.) [Λέγεται δὲ ἐνοπὴ καὶ ὁ θόρυβος.]

V. 29. Θρηϊκίης ζώνης. Ζώνη ἐστὶν [a]) ὀρεινὸς τόπος [b]) οὕτω καλούμενος [ἐν Θρᾴκῃ]. καὶ πόλις ὁμώνυμος, ὥς φησι Νίκανδρος.

V. 30. Ἑξείης στιχόωσιν [c]). Στοιχηδὸν [d]) εἰσὶ καὶ ἑξῆς πυκναί.

V. 31. Πιερίηθεν. Πιερία ὄρος Θρᾴκης, ἐν ᾧ διέτριβεν Ὀρφεύς. (Φησὶ δὲ Ἡρόδωρος, ὅτι παρῄνεσεν ὁ Χείρων τῷ Ἰάσονι, ὅπως τὸν Ὀρφέα σὺν τοῖς Ἀργοναύταις παραλάβῃ.)

[V. 34. Τὸ δὲ Βιστωνίδι κοιρανέοντα γράφεται καὶ Βιστωνίτας κοιρανέοντα [e]).]

q) Haec in codice male post sequens scholion leguntur. r) *Οἱ τόποι, καθ' οὓς οἱ ποταμοὶ συμβάλλονται τῇ θαλάσσῃ* P. s) Il. XVII, 263. t) *Οἱ δ' αὐτοὶ ὅσσοι τε* P. u) Il. II, 681. v) Sic P. Vulg. *ἢ* deest; liquet ante haec verba *ἢ* cum alia aliqua causa, quae Orpheum commoverit, excidisse. w) *εἰ μὴ Ὀρφεὺς αὐτοῖς συμπλεύσειε.* P. x) *Ταῦτα δέ φησιν* P. y) Sic recte P. Vulg. *Πιμπλιάς*. z) *τίθεται* P. a) *ἐνταῦθα* P. b) *ὄρος καὶ τόπος* male P. c) *στιχόωντο* P. d) *στιχηδόν* P. e) In cod. hoc scholion male ad v. 29 refertur.

V. 36. *Ἀπιδανοῖο.* Ἀπιδανὸς καὶ Ἐνιπεὺς, ἀμφότεροι Θεσσαλίας ποταμοί. Τὸ δὲ Φυλλεῖον, ὄρος Μακεδονίας. Ἡ δὲ Πιρεσία[f]), χώρα, ἢ πόλις· ἧς ἐγγὺς ἦν τὸ Φυλλεῖον.

V. 40. *Λάρισσαν δ' ἐπὶ τοῖσι.* Λάρισσαν τὴν Θεσσαλικὴν λέγει, ἣν ἔκτισεν Ἀκρίσιος· ἥτις ὠνομάσθη ἀπὸ Λαρίσσης τῆς[g]) Πελασγοῦ, ὥς φησιν Ἑλλάνικος. Εἰσὶ δὲ Λάρισσαι τρεῖς· ἀρχαιοτάτη μὲν ἡ Ἀργειῶτις, ἥτις[h]) ἐστὶν αὐτὴ ἡ ἀκρόπολις· δευτέρα δὲ, ἡ ἐν τῷ Πελασγικῷ τῆς Θεσσαλίας, ἣν Ὅμηρος Ἄργισσαν φησὶ[i]), πλησίον οὖσα[k]) τῆς Γυρτώνης, ἧς νῦν ὁ Ἀπολλώνιος μέμνηται. Ἔστι δὲ καὶ [ἑτέρα Λάρισσα] περὶ Τροίαν[l]), ἧς Ὅμηρος μνημονεύει [ἐν Καταλόγῳ λέγων] Φῦλα Πελασγῶν, [οἳ Λάρισσαν ἔναιον[m])]

Τὸν δὲ *Πολύφημον*, Ἐλάτου παῖδα εἶπεν Ἀπολλώνιος· Ἰσοκράτης δὲ καὶ Εὐφορίων, Ποσειδῶνος.

V. 41. Οἱ δὲ *Λαπίθαι* ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης νύμφης ὠνομάσθησαν.

V. 45. *Οὐδὲ μὲν Ἴφικλος.* Ἴφικλος υἱὸς ἦν Φυλάκου καὶ Κλυμένης τῆς Μινύου. Τοῦτον Ἡσίοδος ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησὶ, Δημάρατος δὲ ἐπὶ τῆς θαλάσσης. Ἐπισημαίνεσθαι δ' ἄξιον, ὡς οὔτε Ἡσίοδος οὔτε Φερεκύδης φησὶ συμπεπλευκέναι τοῖς Ἀργοναύταις Ἴφικλον.

Τὸ δὲ *Οὐ δηρὸν* [*ἐλέλειπτο*], ἀντὶ τοῦ τάχιστα [ἀφίκετο], ὁ τρόπος ἀντίφρασις.

V. 46 sq. Ἰστέον δὲ ὅτι Φερεκύδης μὲν συμφωνεῖ Ἀπολλωνίῳ, λέγοντι Ἀλκιμέδην μητέρα εἶναι Ἰάσονος, τὴν Φυλάκου θυγατέρα· Ἡρόδωρος δὲ Πολυφήμην φησὶν εἶναι τὴν Ἰάσονος μητέρα, θυγατέρα δὲ Αὐτολύκου. Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν, Θεογνήτην τὴν Λαοδίκου μητέρα Ἰάσονος γεγονέναι φησίν.

(*Κασιγνήτην γὰρ ὄπυιεν.* Διὰ τοῦ παρεπομένου τὸ προηγούμενον δηλοῖ, τὸ ἐγεγαμήκει. ἤτοι ἀπὸ τῶν ὠπῶν ἐσχηματισμένης τῆς λέξεως, ὅ ἐστιν ὀφθαλμῶν· ὁ ὄπτων καὶ ἐπιτηρῶν· ἢ ἀπὸ τῆς ὀπὸς τῆς φωνῆς, διὰ τὰς τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας ὁμιλίας· ἀφ' οὗ καὶ ὄαροι αἱ γυναῖκες.) [Τὸ δὲ *ὀπύειν* ἐσχημάτισται ἢ ἀπὸ τῶν ὠπῶν, τῶν ὀφθαλμῶν, κατὰ συστολὴν, ἢ ἀπὸ τοῦ ὀπῶ, τὸ ἐπιτηρῶ, ἢ ἀπὸ τῆς ὀπὸς, τῆς φωνῆς, ᾗ χρῶνται πρὸς τὰς συνουσίας τῶν γυναικῶν οἱ ἄνδρες.]

V. 49. *Οὐδὲ Φεραῖς Ἄδμητος.* Αἱ Φεραὶ ὠνομάσθησαν ἀπὸ Φέρητος τοῦ Κρηθέως, τοῦ Ἀδμήτου πατρός.

Εὐῤῥήνεσσι δὲ, ἀντὶ τοῦ πολυπροβάτοις.

V. 50. Τὸ δὲ *Χαλκωδόνιον*, ὄρος ὑπεράνω Φερῶν.

V. 51. (*Οὐδ' Ἀλόπῃ μίμνον.* Θεσσαλίας πόλις, ἢ Μαγνησίας.)

f) Πειρεσιά P. g) θυγατρὸς addit P. h) ἥτις addidi e P. Vulg. male abest. i) Il. II, 738. k) οὖσα addidi ex P. l) περί που τὴν Τρωάδα P. m) Il. II, 840.

Πολυλήϊοι (δὲ, ἤτοι ἀπὸ τοῦ ληΐου, τοῦ σιτοφόρου πεδίου· ἢ ἀπὸ τῆς λείας· ὅπερ βέλτιον.) [Τοὺς υἱοὺς τοῦ Ἑρμοῦ πολυληΐους φησὶν, ἢ διὰ τὸ πολυφόρον εἶναι τὴν χώραν, ἐν ᾗ κατῴκουν, ἢ διὰ τὴν πολλὴν λείαν, ὃ καὶ βέλτιον.] Ἐπιφέρει γὰρ [n]), *Δεδαῶτε δόλους* [o]). Ἱστοροῦνται δὲ ἄϋπνοι καὶ δεινοὶ καὶ φερέπονοι.

V. 54. *Αἰθαλίδης.* Κύριον, πατρωνυμικοῦ τύπον ἔχον.

Ἀμφρύσοιο. [Ὁ δὲ Ἀμφίῤῥυσος ποταμὸς Θεσσαλίας.] Γράφεται καὶ [Ἀμβίῤῥυσος] διὰ τοῦ β, (ὡς Διονύσιος. Ἔστι δὲ ποταμὸς Θεσσαλίας. Προπαροξύνεται δὲ, ὡς [p]) ἐν τῇ η τῆς καθόλου.)

V. 57. *Γυρτῶνα Κόρωνος.* Ἣν Ὅμηρος φησὶ Γυρτώνην. Ἔστι δὲ πόλις Θεσσαλίας, ἢ Περαιβίας [q]). [Οὕτως Ἴδας [r]) φησίν.] Ὠνομάσθη δὲ ἀπὸ Γυρτώνης τῆς Φλεγύου. Ὁ δὲ Κόρωνος, υἱός ἐστι Καινέως. Μυθολογοῦσι δὲ τὸν Καινέα πρότερον γεγονέναι γυναῖκα, εἶτα Ποσειδῶνος αὐτῇ πλησιάσαντος, μεταβληθῆναι εἰς ἄνδρα. Τοῦτο γὰρ ἤτησε καὶ ἀτρωσίαν. Ἤρισε δὲ καὶ Ἀπόλλωνι, καὶ ἐνικήθη. Οὗτος ἐκέλευε τοὺς παριόντας [s]) ὀμνύναι εἰς [t]) τὸ δόρυ αὐτοῦ. Ἔνθεν ἡ παροιμία, τὸ Καινέως δόρυ. Τινὲς δέ φασι, Καινέα συμπλεῦσαι τοῖς Ἀργοναύταις, (οὐ Κόρωνον.) Ὁ δὲ Ἀπολλώνιος παρὰ Πινδάρου εἴληφε, λέγοντος, Ὁ δὲ χλωρῆς ἐλάτησι τυπεὶς ᾤχετο [u]) Καινεὺς, σχίσας ὀρθῷ ποδὶ γᾶν. Τοῦτο δὲ αὐτῷ συνέβη διὰ τὸ μήτε θύειν, μήτε εὔχεσθαι τοῖς θεοῖς [v]), ἀλλὰ τῷ ἑαυτοῦ δόρατι. Διὸ Ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς Κενταύρους, οἵτινες κατὰ γῆν αὐτὸν ὠθοῦσιν.

V. 65. *Μόψος Τιταρήσιος.* Ἀμπύκου υἱὸς ὁ Μόψος, τοῦ Τιτάρωνος, μητρὸς δὲ Χλωρίδος.

V. 67 sq. *Ἄγχι δὲ λίμνης Ξυνιάδος.* Ξυνιὰς λίμνη τῆς Θεσσαλίας. Τινὲς δὲ πόλιν παρακειμένην τῇ Βοιβηΐδι λίμνῃ. Ἀπὸ δὲ τῆς πόλεως εἴρηκε Ξυνιάδα, ἐπειδὴ πλησίον αὐτῆς ἐστὶν ἡ πόλις. Οἱ δέ φασι Ξυνιάδα εἰρῆσθαι διὰ τὸ ξυνὸν εἶναι τὸ κοινόν· ταύτην δὲ, κοινὴν εἶναι Θεσσαλίας καὶ Βοιωτίας.

Κτιμένην Δολοπηΐδα. Κτιμένη πόλις τῆς Θεσσαλίας. Δολοπηΐδα δὲ τὴν Θεσσαλίαν εἶπε. Δόλοπες γὰρ ἔθνος Θεσσαλίας. Ὅμηρος·

Ναῖον δ' ἐσχατιὴν Φθίης [w]), Δολόπεσσιν ἀνάσσων [x]).

V. 69. *Ἐξ Ὀπόεντος.* Ὀποῦς πόλις τῆς Λοκρίδος, ἀπὸ Ὀπόεντος τοῦ Ἠλείου. Ὅμηρος [ἐν νεῶν [y]) Καταλόγῳ]·

Οἳ Κῦνον τ' ἐνέμοντ' [z]) Ὀπόεντά τε Καλλίαρόν τε [a]).

Μενοιτίου δὲ καὶ Σθενέλης Πάτροκλος.

n) ἐπάγει δὲ P. minus bene. o) εὖ δεδαῶτες δόλον P. p) Excidit Herodiani nomen. q) κατὰ δὲ ἑτέρους Περαιβοίας P. r) Οὕτω Σουΐδας egregie emendat vir doctus in Ephem. Jen. 1814 p. 270. s) τοὺς ὑπ' αὐτὸν P. t) εἰς addidi ex P. u) ᾤχετ' εἰς (ἐς Ruhnk.) χθόνα. P. reliquis omissis. v) Hunc ordinem verborum ex P. restitui. Vulgo τοῖς θεοῖς post θύειν legitur. w) ναῖεν δ' ἐσχατιὴν γαίης P. x) Il. IX, 484. y) νηῶν teste Ruhnk. z) οἳ Κύντον ἐνέμοντο P. a) Il. II, 531.

V. 71. *Καὶ ἀλκήεις Ἐριβώτης.* (Ἰσχυρός. Παραγώγως δὲ ἐσχημάτισται παρὰ τὴν ἀλκὴν, ὡς φωνήεις παρὰ τὴν φωνήν.) Ἡρόδωρος ἐν τοῖς Ἀργοναυτικοῖς τοῦτον Εὐρυβάτην καλεῖ, (καί φησιν αὐτὸν Τελέοντος υἱόν.) Ἄκτορος δὲ υἱοὶ, Μενοίτιος καὶ Ἶρος. Τούτων δὲ υἱοὶ, Μενοιτίου μὲν, Πάτροκλος, Ἴρου δὲ, Εὐρυτίων.

V. 75. *Καὶ ἐπαΐξαι.* Ἀντὶ τοῦ ἐπιδιῶξαι. Περιττὸν μὲν τὸ *μετόπισθεν.* Λείπει δὲ ὁ καί· ἵν' ᾖ, καὶ ὅτε κλίνωσι φάλαγγας, εἰς φυγὴν τρέψειαν [b]).

V. 77. *Κάνθος κίε.* Τὸν Κάνθον καὶ ὁ Κλέων καταλέγει. Ἔστι δὲ Κανήθου υἱὸς, ἀφ' οὗ ὄρος [Κάνηθον] ἐν Βοιωτίᾳ. Ὁ δὲ ἦν Ἄβαντος παῖς, ἀφ' οὗ οἱ Εὐβοεῖς Ἄβαντες.

V. 81. *Δηωθῆναι.* Κοινότερον νῦν δηωθῆναι τὸ φθαρῆναι. Ἑξῆς δὲ ὁ ποιητὴς, ὡς δυσφορῶν ἐπὶ τῇ ἀπωλείᾳ τῶν ἡρώων, ἐπιφωνεῖ, *Ὡς οὐκ ἀνθρώποισι κακ.* [c]).

(V. 82. *Ὡς οὐκ ἀνθρώποισιν.* Ὁ δὲ νοῦς, Οὐδέν ἐστι μέγιστον κακὸν οὗ ἄνθρωπος ἀποτυγχάνει. Ἔδει οὖν διὰ τοῦ α, ἀπαυρεῖν. Ἢ ὅτι οὐδὲν κακὸν μέγιστον ὃ μὴ ἀνθρώποις εὐχερὲς ἐπαυρεῖν, ὅ ἐστιν ἐπιτυχεῖν.)

V. 85. *Δύσιές τε καὶ ἀντολαί.* Τοσοῦτον φησὶ κεχωρισμένους τῆς τῶν Κόλχων χώρας, ὅσον τῶν ἀνατολῶν αἱ δύσιες ἀφεστήκασιν. Ἐπεὶ ἡ μὲν Λιβύη πρὸς δύσιν, ἡ δὲ Κολχὶς πρὸς ἀνατολήν.

V. 87. *Οἰχαλίης ἐπίουροι.* Οἱ τῆς Ἀντιόπης παῖδες. Οἰχαλίαν δὲ οἱ μὲν νεώτεροι ἐν Εὐβοίᾳ φασὶν εἶναι, Ὅμηρος δὲ ἐν τῷ Πελασγικῷ Ἄργει καταλέγει [d])·

Οἵ τ' ἔχον [e]) Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχαλιῆος [f]).

Οἱ δὲ ὁμώνυμον φασίν [g]).

(V. 90. Τὸ δὲ, *Οὐ μὲν,* ἀντὶ τοῦ οὐ μήν.)

V. 91. *Οὐδ' ὁμόθεν.* Οὐδ' ἐκ τοῦ αὐτοῦ τόπου. Διῳκίσθησαν γὰρ διὰ τὸν Φώκου φόνον· καὶ ὁ μὲν ἐν Σαλαμῖνι κατῴκησεν, ἣν ἔφη νῆσον Ἀτθίδα [h])· ὁ δὲ ἐν Φθίᾳ, ὁ Πηλεύς.

[*Ἀφραδίᾳ* δὲ, τῇ ἀνοίᾳ ἢ κακομηχανίᾳ.]

V. 95. *Τοῖς δ' ἔπι Κεκροπίηθεν* [i]). Ἀντὶ τοῦ, σὺν τούτοις ἀπὸ τῆς Ἀττικῆς [k]). Κεκροπία [l]) γὰρ λέγεται ἡ Ἀττικὴ, ἀπὸ Κέκροπος τοῦ βασιλεύσαντος.

V. 96. Ἕτερος δέ ἐστιν ὁ *Τελέων* οὗτος, ὁ Βούτου πατὴρ, παρὰ τὸν πρότερον εἰρημένον τοῦ Ἐριβώτου [m]) πατέρα.

Εὐμελίης δὲ, ὁ πολεμικὸς, (ἀπὸ τῆς μελίας.)

b) ὥστε παρέλκει τὸ μετόπισθεν. συνυπακούεται δὲ καὶ ὁ καὶ, ἵν' ᾖ, ὅτε κλίνει φάλαγγας, ἤγουν εἰς φυγὴν τρέψειεν. c) ἐπιφέρει, ὡς οὐκ ἔστι μέγιστον κακὸν, οὗ μὴ ἐπαυρεῖν τοῖς ἀνθρώποις συμβαίνει P. d) Ὅμηρος δὲ ἐν νεῶν Καταλόγῳ δοκεῖ ἐν τῷ Πελασγικῷ Ἄργει αὐτὴν καταλέγειν, λέγων· P. e) οἳ δ' ἔχον P. f) Il. II, 730. g) δοκεῖ δὲ ὁμώνυμος εἶναι. P. h) ᾤκησε πλησίον τῆς Ἀττικῆς. P. i) Τοῖσι δ' ἐπὶ Κεκροπήϊος P. k) Κεκροπίας P. l) Κεκροπὶς P. m) Εὐρυβώτου P.

V. 97. *Ἄλκων.* Ἄλκωνα τὸν Φαλήρου πατέρα Πρόξενος φησὶν υἱὸν Ἐρεχθέως [n]). Φυγεῖν δὲ αὐτὸν λέγει ἀπὸ τῆς Ἀττικῆς μετὰ τῆς θυγατρὸς Χαλκιόπης [o]) εἰς Εὔβοιαν· ἐξαιτοῦντος δὲ τοῦ πατρὸς οὐκ ἐκδοῦναι τοὺς Χαλκιδέας.

V. 99. Τὸ δὲ *Τηλύγετον*, ἐνταῦθα οὐ τὸν μονογενῆ (πρόσκειται γὰρ, καὶ μοῦνον ἐόντα) ἀλλὰ καταγηράσαντι αὐτῷ γενόμενον. Οἱ γὰρ τοιοῦτοι τῶν παίδων εἰσὶ προσφιλεῖς.

V. 101. *Θησέα δ' ὅς πέρι πάντας.* Θησεὺς καὶ Πειρίθους, ὁ μὲν, ἐκ Διὸς, ὁ δὲ, ἐκ Ποσειδῶνος ὢν [p]) ἐφαμίλλους ἐποιοῦντο τὰς πράξεις. Καὶ ὁ μὲν Θησεὺς τῆς Ἑλένης ἐρασθεὶς, ἔσχεν συμπράττοντα αὐτῷ τὸν Πειρίθουν· ὁ δὲ Πειρίθους [μετὰ ταῦτα] τὴν Περσεφόνην ἁρπάσαι βουληθεὶς, ἀναγκαίως εἶχε τὸν Θησέα ἑπόμενον. Καὶ δὴ διὰ Ταινάρου εἰς ᾅδου κατελθόντες, καὶ ἐπί τινος πέτρας [q]) καθεσθέντες, αὖθις ἀναστῆναι οὐ δεδύνηνται. Ἡρακλῆς δὲ ὕστερον κατελθὼν ἐπὶ τὸν Κέρβερον, τὸν μὲν Θησέα ἀπέσωσεν, ὡς μὴ ἑκοντὶ κατελθόντα· τὸν δὲ Πειρίθουν εἴασεν, ἐπειδὴ προαιρέσει ἰδίᾳ κατῆλθεν. Ἐπεστράτευσαν δὲ κατὰ τῆς Τροιζῆνος οἱ Διόσκουροι διὰ τὴν ἀδελφὴν, Θησέως ὄντος ἐν ᾅδου· καὶ πορθήσαντες, ἔλαβον αἰχμάλωτον Αἴθραν τὴν Θησέως μητέρα.

V. 102. *Ταιναρίην.* Φερεκύδης ἐν τῇ θ [r]) φησὶν, ὅτι Ἔλατος ὁ Ἰκάρου γαμεῖ Ἐριμήδαν τὴν Δαμασίκλου. Τούτου δὲ γίνεται Ταίναρος· ἀφ' οὗ Ταίναρον καλεῖται ἡ πόλις, καὶ ἡ ἄκρα, καὶ ὁ λιμήν.

V. 103. *Κεινὴν ὁδόν.* Γράφεται καὶ *κείνην*. *Κεινὴν* μὲν, ἤγουν κενὴν καὶ ματαίαν· *κείνην* δὲ, ἀναφορικῶς.

Τὴν δὲ ἀνδρίαν ἑκατέρου τῶν ἡρώων διασαφῶν ὁ Ἀπολλώνιος, φησὶν, ὅτι εἴπερ συνέπλευσαν ἀμφότεροι τοῖς Ἀργοναύταις, ἔπαυσαν ἂν αὐτοὺς μεγάλων μόχθων. (Τίθησι δὲ καὶ τὴν αἰτίαν τοῦ μὴ συμπλεῦσαι αὐτούς.)

V. 105. [*Τῖφυς δ' Ἀγνιάδης.* Σῖφας, πόλις Βοιωτίας. Ἀπολλώνιος δὲ τοὺς Σιφαεῖς τῶν Θεσπιέων φησίν. Ὁ δὲ Φερεκύδης Ποντέα [s]) ἱστορεῖ τὸν Τῖφυν εἶναι. Δίσχηλος δὲ τὸν Τῖφυν ἐν τῇ Ἀργοῖ Ἶφυν καλεῖ [t]).]

V. 106. *Προδαῆναι.* Προμαθεῖν. Ἀρίστου γὰρ αὕτη τέχνη κυβερνήτου. Ὁ δὲ λόγος, Ἀγαθὸς μὲν καὶ ἡμέρας τῷ ἡλίῳ, νυκτὸς δὲ πρός τινα τῶν ἀστέρων τὸν καιρὸν τοῦ πλοῦ τεκμήρασθαι [u]).

V. 109. *Τριτωνίς.* Τρίτωνες τρεῖς, Βοιωτίας, Θεσσαλίας, Λιβύης· ἐν δὲ τῷ κατὰ Λιβύην ἐτέχθη ἡ Ἀθηνᾶ.

n) Εὐρυσθένους P. o) Χαλκίππης P. p) ὢν recte P. Vulgo οἷς. q) τόπου P. r) ἐν τῷ ῆ P. s) Ποτνιέα corrigit Müller. Orchom. p. 264. t) Non dubito quin legendum sit Αἰσχύλος — ἐν Ἀργείοις. u) Ἔπαινος δὲ μέγας κυβερνήτου προμαθεῖν τοὺς μέλλοντας πνεύσειν ἀνέμους, καὶ τὴν μὲν ἡμέραν ὑπὸ τοῦ ἡλίου, τὴν δὲ νύκτα ὑπὸ τῶν ἀστέρων τὰ περὶ τοὺς ἀνέμους τεκμήρασθαι P.

V. 115. *Ἀραιθυρέηθεν ἵκανεν* [v]). Πόλις Πελοποννήσου ἡ Ἀραιθυρέα, ἐν ὁρίοις τῆς Σικυῶνος κειμένη· ἡ νῦν ὀνομαζομένη Φλιοῦσα [w]), ἀπὸ Φλιοῦντος τοῦ Διονύσου καὶ Χθονοφύλης. Καὶ αὐτὸς δὲ Διόνυσος Φλυοῦς ὠνομάζετο, ἀπὸ τοῦ φλύειν τὸν οἶνον, ὅ ἐστιν εὐθηνεῖν.

V. 117. *Ἀσωποῖο.* Ἀσωπὸς ποταμὸς Θηβῶν [x]), ἔχων τὰς πηγὰς ἐν Ἀραιθυρέᾳ. Ἐκεραυνώθη δὲ ὑπὸ Διὸς διώκων αὐτὸν, διὰ τὸ ἡρπακέναι τὴν θυγατέρα αὐτοῦ Αἴγιναν, ὡς καὶ Καλλίμαχος φησίν.

V. 118. *Ἀργόθεν αὖ Ταλαός.* Ἀμυθάονος, τοῦ Κρηθέως, τοῦ Αἰόλου, τοῦ Ἕλληνος, τοῦ Διὸς καὶ Δορίππης [y]), γίνεται Μελάμπους, ὥς φησι Δηριχίδας [z]). Κληθῆναι δὲ αὐτὸν οὕτως διὰ τὸ τεκοῦσαν τὴν μητέρα ἐκθεῖναι αὐτὸν εἰς σύνδενδρον τόπον· τοὺς δὲ πόδας μελανθῆναι τῷ ἡλίῳ, ἀσκίους ὄντας. Ἐν δὲ ταῖς καλουμέναις μεγάλαις Ἠοίαις λέγεται, ὡς ἄρα Μελάμπους [φίλος ὢν τῷ Ἀπόλλωνι] ἀποδημῶν κατέλυσε παρὰ Πολυφάτῃ· θύοντος δ' ἐκείνου [βοῦν] δράκων ἀνερπύσας [a]) κατέφαγε τὸν [τοῦ Πολυφάτου] θεράποντα. [Χαλεπήνας δὲ ὁ βασιλεὺς ἀποκτείνει τὸν δράκοντα.] Ἀναιρεθεὶς δὲ ἐτάφη ὑπὸ Μελάμποδος. Τὰ δὲ ἔκγονα αὐτοῦ ἐκτραφέντα, καὶ περιλείχοντα τὰ ὦτα τοῦ Μελάμποδος, ἐνέπνευσαν αὐτῷ τὴν μαντικήν. Φωραθέντα δ' ἐπὶ κλωπείᾳ τῶν βοῶν Ἰφίκλου τοῦ Φυλάκου, καὶ συλληφθέντα ὑπ' αὐτοῦ τὸν Μελάμπουν, ἐπειδὴ [b]) τὸ στέγος ἔμελλεν ὅσον οὔπω πεσεῖσθαι τῆς οἰκίας, κατανενοηκότα ὑπὸ μαντικῆς, ἐν δεσμωτηρίῳ κατεχόμενον, εἰπεῖν τῇ θεραπαίνῃ [τοῦ Ἰφίκλου]. Ὁ δὲ Ἴφικλος, μαθὼν τὸ πρόῤῥημα, αὐτός τε ἀπαλλάττεται τοῦ δεινοῦ, καὶ Μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς, ἃς ἀφίκετο κλέψαι.

V. 122. *Οὐδὲ βίην.* Ὁ ἑξῆς λόγος οὕτως· ἐπειδὴ ἤκουσε πλεῖν τοὺς Ἀργοναύτας ὁ Ἡρακλῆς, νεωστὶ διεληλυθὼς τὸ Ἄργος [c]), καθ' ἣν ὁδὸν ἐκόμιζε τὸν κάπρον ζῶντα ἐκ τοῦ Ἐρυμάνθου ὄρους, ὅπου κατὰ τὰς βήσσας [d]) ἐνέμετο Λαμπείας τε καὶ Ἐρυμάνθου, ἦλθεν ὡς Ἰάσονα, [ἐπειδὴ ἀπεθήκατο τὸν κάπρον ἐπὶ τῆς ἀγορᾶς τῶν Μυκηναίων]. Λάμπεια, ὄρος Ἀρκαδίας, ἀφ' οὗ καὶ ποταμὸς ῥεῖ Ἐρύμανθος.

V. 125. *Νεῖον ἀπ' Ἀρκαδίης.* Προπερισπωμένως ἀντὶ τοῦ νεωστί· ὀξυτόνως δὲ σημαίνει [e]) γῆν [ἠροτριασμένην].

Λυγκήϊον, [εἰ μὲν οὕτω γράφεται,] ἀπὸ Λυγκέως τοῦ βασιλεύσαντος Ἄργους. Ἐὰν δὲ Λυρκήϊον [f]), ἀπὸ ὄρους Ἀργείου ἀκουστέον, ἀφ' οὗ ὁ Ἴναχος καταφέρεται ποταμός.

v) Φλοίας δ' αὖ ἐπὶ τοῖσιν P. w) Φλυοῦσα et mox Φλυοῦντος P. x) Βοιωτίας. y) Δωρίππης P. z) Διρυχίας P. Videtur legendum Διευχίδας. a) Sic recte P. Vulgo ἀνερπίσας. b) Praeeunte P. delevi γὰρ, quod vulgo hic legitur, et sustuli punctum ante ἐπειδή. c) ἤδη ἀμείψας καὶ κατελθὼν εἰς τὸ Ἄργος P. d) ἐν ταῖς βήσσαις καὶ τοῖς κοιλώμασι P. e) Addidi ex P. f) Λυκήϊον male P.

V. 127. [Λάμπεια ὄρος ἐστὶν Ἀρκαδίας, ὥσπερ καὶ ὁ Ἐρύμανθος, ἀφ' οὗ καὶ ποταμὸς ῥεῖ Ἐρυμάνθιος.] Τῖφος. Τῖφος ὁ κάθυγρος τόπος.

V. 128 sq. (Περὶ δὲ τοῦ κάπρου καὶ Ἡρόδωρος φησὶν, ὅτι ἐπὶ τὰς πύλας τῶν Μυκηνῶν κομίσας αὐτὸν ἀπέθετο.)

Ἰλλόμενον δὲ, δεδεμένον.

Διὰ δὲ τοῦ ἀπεθήκατο τοῦ βαστάζοντος ἐπιδείκνυται ἡ δύναμις, (ὅτι εὐχερῶς.)

V. 131. Ὕλας. Ἡρακλέους ἐρώμενος, υἱὸς Θειοδάμαντος [g]) τοῦ Δρύοπος. Οὕτω Μνασέας. Ἑλλάνικος δὲ Θειομένητα Θειοδάμαντος καλεῖ.

V. 132. Φύλακος. Ἰωνικῶς ὁ φύλακος ἀντὶ [h]) τοῦ φύλαξ. [Τὰς γὰρ γενικὰς οὗτοι εὐθείας ποιοῦσιν], ὥσπερ καὶ τοῦ μάρτυρος [ὁ μάρτυρος, τοῦ φύλακος ὁ φύλακος]. Ὀξυτονητέον τὴν πρώτην, [ἀλλ' οὐ τὴν τελευταίαν,] Ἡρωδιανὸς δὲ τὴν τελευταίαν ὀξύνει.

Φορεὺς δὲ, ὁ φέρων.

V. 134. Ναύπλιος. Ἀπόγονος τοῦ ἀρχαίου [i]), τοῦ Ποσειδῶνος υἱοῦ καὶ Ἀμυμώνης τῆς Δαναοῦ.

V. 136. Προῖτον δὲ λέγει, τὸν Βελλεροφόντου ἐχθρὸν [γεγονότα δι' Ἄντειαν τὴν γυναῖκα, ὥς φησιν Ὅμηρος [k]).]

V. 139. Ἴδμων δ' ὑστάτιος. Χαμαιλέων φησὶ, τὸν Θέστορα Ἴδμονα (παρὰ τοῖς ἀρχαίοις) καλεῖσθαι διὰ ἐμπειρίαν. Ἄλλοι φασὶ καὶ Θέστορα συμπλεῦσαι τοῖς Ἀργοναύταις· Δηΐοχος δὲ καὶ Ἀμφιάραον. Ὁ δὲ Ἴδμων, ὡς ἱστορεῖ Φερεκύδης, παῖς ἦν Ἀστερίας τῆς Κορώνου καὶ Ἀπόλλωνος· οὗ, καὶ Λαοθόης [l]), Θέστωρ· τοῦ δὲ Κάλχας. (Ἀναιρεῖται δὲ Ἴδμων ἐν Μαριανδυνίᾳ ὑπὸ κάπρου.) Οὗτος δὲ Ἄβαντος φησὶ νομισθῆναι τὸν Ἴδμονα. Συμματυρεῖ δὲ αὐτῷ καὶ Ἡρόδωρος [m]). [Τὸ δὲ, μή οἱ ὁ δῆμος καὶ τὰ ἑξῆς, ἀντὶ τοῦ, ἵνα μὴ μέμψαιτο αὐτοῦ τὸ κλέος.]

V. 143. Αἰολίδησιν. Αἰόλου γὰρ τοῦ Ἕλληνος Κρηθεὺς καὶ Ἀθάμας. Κρηθέως δὲ [Ἀμυθάων καὶ] Αἴσων. (Αἴσονος δὲ ὁ Ἰάσων.) Ἄβας δὲ Μελάμποδος ἦν τοῦ Ἀμυθάονος, τοῦ Κρηθέως, τοῦ Αἰόλου.

V. 146. Αἰτωλίς [n]). Εἰκότως Αἰτωλὶς ἡ Λήδα, ἐπεὶ Αἰτωλὸς ὁ Θέσπιος. Καὶ εἴρηκεν ἀπὸ τῆς χώρας [o]), ὡς εἴτις τὸν Συρακούσιον, Σικελὸν [εἴποι, ἢ τὸν Ῥωμαῖον Ἰταλόν]. Ὁ δὲ Ἴβυκος Πλευρωνίαν φησὶν, Ἑλλάνικος δὲ Καλυδωνίαν. Ἦν δὲ Θεσπίου θυγάτηρ τοῦ βασιλέως τῆς Αἰτωλίας, Ἄρεως υἱοῦ καὶ Ἀνδροδίκης. Γλαύκου δὲ αὐτὴν τοῦ Σισύφου, (ἐκ πατρὸς,) ἐν Κορινθιακοῖς λέγει Εὔμηλος καὶ Παντειδυίας μητρὸς, ἱστορῶν ὅτι τῶν ἵππων ἀπολομένων, ἦλθεν εἰς Λακεδαίμονα ὁ Γλαῦκος [κατὰ ζήτη-

g) Θεοδάμαντος vulgo male. h) Vulgo male ἀπὸ. i) Vulgo Ἀρχαίου. Correxi ex P., ubi sic legitur: ὁ Ναύπλιος οὗτος ἀπὸ τοῦ παλαιοῦ Ναυπλίου κατάγεται. k) Il. VI, 160. l) Λαοθείας P. m) Ἡρόδοτος male P. n) Καὶ μὲν Αἰτωλίς. P. o) ἀπὸ μέρους P.

σιν αὐτῶν], καὶ ἐκεῖ ἐμίγη Παντειδυίᾳ, ἣν ὕστερον γήμασθαι Θέσπιον [p]). Τὴν δὲ Λήδαν, οὖσαν Γλαύκου, κληθῆναι Θεσπίου. (Αἰτωλὶς δὲ, ἤτοι διὰ τὴν χώραν, ἢ ἀπὸ Αἰτωλοῦ τοῦ ἥρωος.) Φερεκύδης δ' ἐν τῇ β, ἐκ Λαοφόντης τῆς Πλευρῶνος Λήδαν καὶ Ἀλθαίαν Θεσπίῳ γενέσθαι φησίν. (Ὅτι δὲ Γλαύκου ἐστὶ θυγάτηρ καὶ Ἀλθαίας, αἰνίττεται, λέγων, Τοὺς τέκε θυγάτηρ Γλαύκῳ μάκαιρα.) Φασὶ τὸν μὲν Πολυδεύκη, ἐκ Διός· τὸν δὲ Κάστορα, ἐκ Τυνδάρεω [συλλαβεῖν τὴν Λήδαν].

V. 149. Τηλυγέτους δὲ νῦν ἀντὶ τοῦ ἀγαπητούς. Ὅμηρος δὲ τοὺς ἐν γήρᾳ γενομένους [τινί].

V. 151 sq. (Ἀρήνηθεν ἔβαν) οἱ Ἀφαρητιάδαι [q]). Φερεκύδης τὴν μητέρα τῶν περὶ Ἴδαν [r]), Ἀρήνην φησὶν, ἀφ' ἧς ἡ πόλις· Πείσανδρος, Πολυδώραν· Θεόκριτος, Λαοκόωσαν [s]). Οὗτοι δὲ συνήκμαζον τοῖς Διοσκούροις.

Ἀρήνη δὲ, πόλις Πελοποννήσου, (πλησίον Πύλου.) [ἧς μέμνηται] καὶ Ὅμηρος [λέγων]·

Οἳ δὲ Πύλον τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινήν [t]).

(Πύλος δὲ αὕτη ἡ Νέστορος, ἣ καὶ ἀμμώδης.)

V. 156. Σὺν δὲ Περικλύμενος. Νηλεὺς ἔσχε παῖδας, ἐκ μὲν Χλωρίδος, Νέστορα, Περικλύμενον, Χρόμιον· ἐκ δὲ διαφόρων γυναικῶν [u]), Ταῦρον [v]), Ἀστέριον, Λυκάονα, Δηΐμαχον [w]), Εὐρύβιον, Ἐπιλέοντα [x]), Φράσιν, Ἀντιμένη, [Εὐαγόραν]. Ὡς δὲ Ἀσκληπιάδης φησὶ, (καὶ Ἀλάστορα.) Καὶ ὁ ποιητής·

Δώδεκα γὰρ [y]) Νηλῆος ἀμύμονος υἱέες ἦμεν [z]).

Ὅτι Νηλέως παῖς Περικλύμενος, δῆλον. Φησὶ γὰρ ὁ ποιητής·

Νέστορά τε, Χρόμιόν τε, Περικλύμενόν τ' ἀγέρωχον [a]).

Τοῦτον δὲ ὡς ἔγγονον αὐτοῦ ὁ Ποσειδῶν (Νηλεὺς γὰρ Ποσειδῶνος) ἄλλοις τε ἐκόσμησε, καὶ ἐχαρίσατο αὐτῷ εἰς πάντα μεταβάλλεσθαι. Ὡς καὶ ὁ Εὐφορίων·

Ὅς ῥά τε [b]) πᾶσιν ἔϊκτο, θαλάσσιος [c]) ἠΰτε Πρωτεύς.

Ἀναιρεῖ δὲ αὐτὸν Ἡρακλῆς εἰς μυῖαν μεταβληθέντα ἐν τῷ πρὸς Πυλίους πολέμῳ, κατὰ συμβουλὴν Ἀθηνᾶς τῷ ῥοπάλῳ πλήξας ἐμπαγέντα, ὥσπερ μέλισσαν τῷ κέντρῳ. Ἡσίοδος δὲ μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ [d]) τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωϊ. Τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι, τῆς Ἀθηνᾶς ὑποδειξάσης. Φησὶ δὲ οὕτως·

— Περικλύμενόν τ' ἀγέρωχον,
ὄλβιον [e]), ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων

p) Sic recte P. Vulgo Θεσπίῳ. Ex illo Ruhnk. enotavit Θέστιον et mox Θεστίου et Θεστίῳ. q) Οἵ τ' Ἀφαρητιάδαι P. r) Λυγκέως καὶ Ἴδου P. s) Λαοκοσσᾶν P. t) Il. II, 591. u) ἐκ δὲ Φάρης P. consentiente Eudocia p. 333, quae scholiastam exscripsit. v) Σκύρος P. et Eudocia. Cum nostro consentit Apollod. I, 9, 9. w) Δόμαχος male P. x) Ἐπιμένης P. qui Apollodoro est Ἐπίδαος. y) μὲν P. z) Il. XI, 692. a) Od. XI, 285. b) ὅς δὴ P. c) θαλάσσῃ τ' P. d) ἐπικαθεσθῆναι τῷ ζυγῷ P. e) ὄλβια P.

παντοῖ'. ἄλλοτε μὲν γὰρ [f]) ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετὸς, ἄλλοτε δ' αὖτε πελέσκετο [g]), θαῦμα ἰδέσθαι,
μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων [h]) ἀγλαὰ φῦλα,
ἄλλοτε [i]) δεινὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα [k])
παντοῖ', οὐκ ὀνομαστὰ, τά μιν [l]) καὶ ἔπειτα δόλωσεν [m])
βουλῇ [n]) Ἀθηναίης.

V. 162. Οἳ Τεγέην. Τεγέα πόλις Ἀρκαδίας.

Κλῆρον δὲ, τὴν βασιλείαν τοῦ Ἀφείδαντος. Ὁ δὲ [o]) Ἀλεὸς ἱστορεῖται Ἀφείδαντος υἱὸς εἶναι τοῦ Ἀρκάδος. (Ἀφείδας δὲ ὁ Ἀρκάδος ἀρχαῖος ἥρως ἐβασίλευσε Τεγέας· ἀφ' οὗ καὶ ἡ χώρα Ἀρκαδία.)

Δύο δέ εἰσι Κηφεῖς· ὁ μὲν, Ἀλεοῦ, οὗ μνημονεύει Ἀπολλώνιος· ὁ δὲ ἕτερος, οὗ μνημονεύει Ἑλλάνικος ἐν τῷ περὶ Ἀρκαδίας.

V. 164. Ἀγκαῖος. Λυκούργου καὶ Ἀντινόης Ἀγκαῖος καὶ Ἐπίοχος. Τιμᾶται δὲ [ὁ Λυκοῦργος] παρ' Ἀρκάσιν, (ὥς φησιν Ἀριστομένης.) Μνημονεύει καὶ Ὅμηρος τούτου τοῦ Λυκούργου·

— τὸν Λυκόοργος [p]) ὑποφθὰς
δουρὶ μέσον περόνησε [q]).

Καὶ ἄγεται μωλεία ἑορτὴ παρ' Ἀρκάσιν, ἐπειδὴ Λυκοῦργος λοχήσας κατὰ τὴν μάχην εἷλεν Ἐρευθαλίωνα [r]). Μῶλος δὲ ἡ μάχη.

V. 168. Βῆ δ' ὅγε Μαιναλίης. Μαίναλον, ὄρος Ἀρκαδίας καὶ πόλις, ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, οὗ πατὴρ Λυκάων.

V. 170. Καλιῇ δὲ, ἀντὶ τοῦ οἰκίᾳ. Κυρίως δὲ ἡ ἐκ κάλων κατεσκευασμένη [οἰκία], κάλα δὲ τὰ ξύλα. Ξυλίναις γὰρ ἐχρῶντο τὸ παλαιὸν οἰκίαις, λίθων μηδέπω ἐπινοηθέντων.

V. 172. Βῆ δὲ καὶ Αὐγείης. Οὗτος λόγῳ μὲν ἦν Ἡλίου, τῇ δὲ ἀληθείᾳ Φόρβαντος, ἐκ τῆς Νηλέως Ὑρμίνης. Οἱ δὲ αὐτὴν Νυκτέως, οἱ δὲ Ἐπόχου θυγατέρα φασίν. Ἐδόκουν δὲ ἀκτῖνες ἀπολάμπειν αὐτοῦ τῶν ὀφθαλμῶν. Τούτου τῶν βοσκημάτων ὁ Ἡρακλῆς τὴν κόπρον ἐκάθηρεν.

V. 176. Ἀστέριος δέ. Ἀστέριον τὸν Ἀστερίωνα λέγει, ἀπὸ Ὑπερησίου βασιλέως τῆς Ἀχαΐας. Καὶ πόλις Ὑπερησία. Ὅμηρος·

Οἳ θ' Ὑπερησίην [s]).

V. 177. Πελλήνης. Ἡ Ἀχαϊκὴ Πελλήνη διὰ τοῦ ε· ἡ δὲ ἑτέρα, ἡ τῆς Ἀρκαδίας, διὰ τοῦ α γράφεται Παλλήνη. Ἀχαῒς δὲ, μέρος τῆς Θεσσαλίας, (ἧς ἡ Πελλήνη.)

V. 179. Ταίναρον [t]). Ἀκρωτήριον τῆς Λακωνικῆς, ἀπὸ Ταινάρου τοῦ Ποσειδῶνος.

V. 181. Εὐρώπη Τιτυοῖο. Τοῦ Ἐλάρης παιδός [u]). Οὗτος δὲ ἐν ᾅδου τετιμώρηται, διὰ τὸ ἐν Πυθῶνι στελλομένην κα-

f) τε P. g) πολέσκετο P. h) μελισσάων P. i) δὲ addit P. k) Vocem δῶρα lacuna absorpsit in P., quae in margine expletur voce αὐτός. l) μὲν P. m) δόλωσαν P. n) ἐν βουλῇσιν P. Omnia in P. deteriora. o) Ex P. Vulgo γάρ. p) Λυκοῦργος P. q) Il. VII, 144. r) Εὐρεθ. s) Il. II, 573. Correxi ex P. Vulgo Ὑπερασίου, Ὑπερασία et Ὑπερασίην. t) Ταίναρον αὖ ἐπὶ τοῖσιν. P. u) Τιτυὸς Γῆς ἦν υἱός. P.

τασχεῖν τὴν Λητώ. (Ὡς καὶ Ὅμηρος· Τιτυὸν Γαίης υἱόν [v]).) Ὁ δὲ Εὐφορίων [w]) Ἀρτέμιδος φησὶν αὐτὸν ἧφθαι, καὶ διὰ τοῦτο τιμωρεῖσθαι.

V. 184. Διερῇ. Διερὴ κυρίως ἡ ἐκ Διὸς γινομένη κάθυγρος γῆ. Ἐξ οὗ καὶ διαίνω τὸ βρέχω. Εἴληπται παρὰ τὸ Ὁμηρικόν·

Αἳ δ' ὅτε δὴ σκιρτῷεν (ἐπὶ ζείδωρον ἄρουραν [x])),

καὶ τὰ ἑξῆς.

V. 185. Καὶ δ' ἄλλω δύο παῖδε. Ὁ μὲν Ἀγκαῖος, υἱὸς, Ἀστυπαλαίας γὰρ ἦν τῆς Φοίνικος καὶ Ποσειδῶνος· Ἐργῖνος δὲ, ἀπόγονος. Κλυμένου [y]) γὰρ ἦν τοῦ Πρέσβωνος, καὶ Βουζύγης [z]) τῆς Λύκου.

V. 186. Ὁ δὲ Μίλητος, ἀφ' οὗ καὶ ἡ πόλις Μίλητος, Εὐξανθίου [a]) τοῦ Μίνωος [b]) ἦν. Οἱ δέ φασιν αὐτὸν Ἀπόλλωνος καὶ Ἀρείας τῆς Κλεόχου. Ἐκλήθη δὲ Μίλητος, ὅτι ἐκρύβη ὑπὸ τῆς μητρὸς ἐν μίλακι. Καὶ Ἀριστόκριτος φησὶν, ὅτι Ἀρεία θυγάτηρ ἐγένετο Κλεόχου, ἧς καὶ Ἀπόλλωνος γενέσθαι βρέφος, καὶ τοῦτο ἐκτεθῆναι [c]) εἰς μίλακα. Τὸν δὲ Κλεόχον ἀνελέσθαι, καὶ ὀνομάσαι ἀπὸ τῆς μίλακος Μίλητον. Τοῦτον δὲ ἀνδρωθέντα, καὶ φθονούμενον ὑπὸ τοῦ Μίνωος, ἀναχωρῆσαι εἰς τὴν Σάμον· ἀφ' οὗ καὶ τόπος ἐστὶν [ἐκεῖ] Μίλητος· καὶ ἀπὸ τῆς Σάμου μεταβὰς εἰς τὴν Καρίαν, ἔκτισε πόλιν, Μίλητον ἀφ' ἑαυτοῦ καλέσας. [Μαρτυρεῖ δὲ καὶ Ἡρόδωρος [d]).] Οἱ δέ φασιν ὑπὸ Σαρπηδόνος τοῦ [Εὐρώπης καὶ] Διὸς Μίλητον κτισθῆναι, (ὀνομασθεῖσαν ἀπὸ τῆς ἐν Κρήτῃ.) Ὀνομασθῆναι δὲ αὐτὴν πρῶτον λέγουσι Πιτυοῦσσαν, οἱ δὲ Ἀστερίαν, εἶτα Ἀνακτόριον, εἶτα Μίλητον.

V. 187. Ὁ δ' Ἰμβρασίης. Τὴν Σάμον φησίν. Ἴμβρασος γὰρ ποταμὸς Σάμου, ὃς μετεκλήθη Παρθένιος, διὰ τὸ ἐκεῖ παρθένον οὖσαν τετράφθαι τὴν Ἥραν [e]). Καὶ Καλλίμαχος μέμνηται. Ὁ δὲ Ταῤῥαῖος οὕτως, Παρθενία δὲ ἡ Σάμος ἀπὸ Παρθενίας τῆς Σάμου γυναικὸς ὠνομάσθη.

V. 188. Παρθενίης Ἀγκαῖος. Ἀριστοτέλης φησὶ περὶ Ἀγκαίου, ὅτι φιλογέωργος ὢν, καὶ φυτεύων ἀμπελῶνα, βαρὺς ἐπέκειτο τοῖς οἰκέταις. Εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. Ὁ δὲ Ἀγκαῖος, ἐπειδὴ ὁ καρπὸς ἐφθάκει, χαίρων ἐτρύγα, καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. Μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι, ὑπεμίμνησκεν αὐτὸν τοῦ λόγου. Ὁ δὲ ἔφη, Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. Τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλλων, ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον. Ὁ δὲ Ἀγκαῖος, ἀποβαλὼν τὴν πόσιν, ἐπὶ

v) Τιτυὸν Γαιήϊον υἱόν. Od. VII, 324. w) Οἱ δὲ P. x) Il. XX, 226. y) Περικλυμένου male P. z) Sic P. Vulgo Βουζίγης. a) Vulgo Εὐξαντίου. P. ἐξ Ἀκτίου. Correxi ex Apollod. III, 1, 2. b) Sic recte P. Vulgo Μίκωνος. c) ἐκτραφῆναι P. ἐκριφῆναι suspicatur Schaefer. d) Sic correxi codicis lectionem Ἡρόδοτος, quae nomina iam supra confusa vidimus. e) Ἰμβρασία δὲ καὶ ἡ Σάμος, καὶ ἡ Ἥρα ἀπὸ Ἰμβράσου ποταμοῦ ῥέοντος ἐν Σάμῳ. Καὶ ἀπ' ἐκείνου καὶ ἡ Σάμος καὶ ἡ Ἥρα Παρθενία. P.

τὸν σῦν ὥρμησε· καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησεν. Ὅθεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τὶ πραττόντων [, Πολλὰ μεταξὺ κύλικός τε καὶ χειλέων ἄκρων]. Καὶ Φερεκύδης ἐν τῇ η̄ φησὶ τὸν Ἀγκαῖον ὑπὸ τοῦ Καλυδωνίου συὸς (πληγέντα τὸν μηρὸν) ἀποθανεῖν [f]).

V. 193. Ἀλλά ἑ θῆσσα. Θῆσσα ἡ δούλη. Ἀθηναῖοι δὲ καὶ τὰς πενιχρὰς γυναῖκας θήσσας λέγουσιν· ἀπὸ τοῦ θητεύειν ἐπὶ μισθῷ, διὰ τὸ ἐνδεεῖς εἶναι τῶν ἐπιτηδείων. Καὶ ὥσπερ τῷ Κρὴς παράκειται τὸ Κρῆσσα, οὕτω καὶ τῷ θὴς, θῆσσα.

[V. 195. Τὸ δὲ κουρίζων ἐνταῦθα ἀντὶ τοῦ κοῦρος ὤν. Ἀλλαχοῦ δὲ ἀντὶ τοῦ κούρους τρέφειν.]

V. 201. Ἴφικλος. [Μήτρως τοῦ Μελεάγρου ὁ Ἴφικλος, ὅτι] Ἀλθαία [, ἡ τοῦ Μελεάγρου μήτηρ,] καὶ Ἴφικλος ἀδελφοὶ ἐκ Δηϊδαμείας τῆς Περιήρους.

V. 202. Ὠλενίοιο. Ὠλένιον τὸν Λέρνον λέγει ἀπὸ Ὠλένου τῆς Αἰτωλίας [g]). Ὅμηρος·

Οἳ Πλευρῶν' ἐνέμοντο καὶ Ὤλενον [h]).

[Ἔστι δὲ καὶ ἑτέρα Ὤλενος [i]), πόλις Ἀχαΐας.]

V. 204. Σιφλός. ἀντὶ τοῦ κεκακωμένος. Οἱ δὲ τὸν κακόποδα καὶ ἐπιμωμητὸν ἀπέδοσαν. Σίφλος δὲ ὁ μῶμος.

V. 207. Ἐκ δ' ἄρα Φωκήων. Οἱ Φωκεῖς ἐκλήθησαν ἀπὸ Φώκου τοῦ Αἰακοῦ [k]).

Τὸν δὲ Ἴφιτον γενεαλογοῦσι Ναυβόλου [l]) καὶ Περινείκης [m]) τῆς Ἱππομάχου.

V. 209. Ἡ δὲ Πυθώ, πόλις Φωκίδος, ἔνθα τὸ μαντεῖον· ἀπὸ τοῦ πυνθάνεσθαι τῶν μαντείων οὕτω κληθεῖσα, ἢ ἀπὸ τοῦ ἐκεῖ σεσῆφθαι τὸν δράκοντα.

V. 211. Ζήτης αὖ Κάλαΐς τε. Τούτους ἐκ διαφόρων τόπων συμπλεῦσαι τοῖς Ἀργοναύταις φασίν. Οἱ μὲν γὰρ ἐκ Θράκης, ὡς Ἀπολλώνιος· Ἡρόδωρος δὲ, ἐκ Δαυλίδος· Δοῦρις δὲ, ἐξ Ὑπερβορέων. Καταλέγει δὲ τούτους καὶ Ἀντίμαχος. Φανόδικος δὲ ἐν ᾱ Δηλιακῶν ἐξ Ὑπερβορέων [φησὶν] αὐτοὺς ἐλθεῖν ἐπὶ τὸν πλοῦν.

V. 212. Τὴν δὲ Ὠρείθυιαν [n]) Σιμωνίδης (ἀπὸ Βριλισσοῦ [o])) φησὶν ἁρπαγεῖσαν, (ἐπὶ τὴν Σαρπηδονίαν πέτραν τῆς Θράκης) ἐνεχθῆναι. Ἔστι γὰρ καὶ τῆς Κιλικίας ὁμώνυμος [ταύτῃ πέτρα], ὡς Καλλισθένης. Στησίχορος δὲ ἐν τῇ Γυριονίδι [p]), καὶ νῆσόν τινα ἐν τῷ Ἀτλαντικῷ πελάγει Σαρπηδονίαν φησί. Περὶ

f) Eadem res, sed verbis omnibus fere diversis narratur in P. Varietatem non operae pretium est enotare, quum sensus sit idem. g) Sic recte P. Vulgo Ὤλενοι τῆς Ἀχαΐας δύο. h) Il. II, 639. i) Cod. Ὠλένη, quod correxi. cf. Steph. Byz. s. v. k) Αἰόλου male P. l) Ναυλόχου male P. m) Περινθήκης male P. n) Sic recte P. Vulgo Ὠρείθυιαν. o) Ἰλισσοῦ legendum esse putaverat Heyn. ad Apollod. III, 15, 2, sed perspicuum est Βριλησσοῦ veram esse lectionem, in quam incidit etiam Naek. ad Choeril. p. 153. p) Γηρυονίδι P. vel teste Ruhnk. Γηριονίδι.

δὲ τῆς Θρᾳκίας Σαρπηδονίας πέτρας, ὅτι πρὸς τῷ Αἵμῳ ὄρει ἐστὶ, Φερεκύδης φησὶ, περὶ τῆς ἁρπαγῆς ἱστορῶν τῆς Ὠρειθυίας. Χοιρίλος δὲ ἁρπασθῆναι φησὶν αὐτὴν ἄνθη ἀμέλγουσαν q) ὑπὸ τὰς τοῦ Κηφισσοῦ πηγάς. Ἡσαγόρας r) δὲ ἐν τοῖς Μεγαρικοῖς τὸν τὴν Ὠρείθυιαν ἁρπάσαντα Βορέαν, υἱὸν Στρυμόνος φησὶν, οὐχὶ δὲ τὸν ἄνεμον. Ἡ δὲ Ὠρείθυια, Ἐρεχθέως θυγάτηρ, ἣν ἐξ Ἀττικῆς ἁρπάσας ὁ Βορέας ἤγαγεν εἰς Θρᾴκην, κἀκεῖσε συνελθὼν ἔτεκε Ζήτην καὶ Κάλαϊν, ὡς Σιμωνίδης ἐν τῇ ναυμαχίᾳ. Φινεὺς δὲ Κλεοπάτραν τὴν Ὠρειθυίας πρώτην ἔγημεν. Μετὰ ταῦτα δὲ Ἰδαίαν s) τὴν Δαρδάνου· ἥτις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς προγόνους, λέγω δὴ τοὺς ἀπὸ Κλεοπάτρας υἱοὺς, ἐπειρᾶτο τυφλῶσαι αὐτούς. Οἱ δὲ, ὅτι ὁ πατὴρ ἐτύφλωσεν αὐτοὺς, διαβαλλούσης τῆς μητρυιᾶς πρὸς αὐτόν. Κέκροπος δὲ, Κρέουσα, Ὠρείθυια, Πρόκρις. Ὠρειθυίας δὲ καὶ Βορέου, Χιόνη, Χθονία, Κλεοπάτρα, Ζήτης καὶ Κάλαϊς. (Ὁ δὲ Βορέας ἰδὼν Ὠρείθυιαν παίζουσαν ἐν τῷ Ἰλισσῷ, ἠράσθη αὐτῆς· ἐξ ἧς οὗτοι.)

V. 214. Κεκροπίηθεν. Ἡ ἀκρόπολις τῆς Ἀττικῆς Κεκροπία ἐκαλεῖτο τοπρότερον.

V. 216. Σαρπηδονίην ὅθι. Πόλις τῆς Θρᾴκης t) ἀπὸ Σαρπηδόνος τοῦ τῆς Θρᾴκης βασιλέως, ἀδελφοῦ Πόλτυος. Τὰ δὲ ἐφεξῆς προσέθηκεν, ἐπεὶ καὶ ἑτέρα ἐστὶ Σαρπηδονία πέτρα τῆς Κιλικίας.

V. 218. Λυγαίοις. Σκοτεινοῖς, κατὰ μετωνυμίαν. Λύγος γὰρ τὸ σκότος, ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ, ὅπερ ἐστὶ πυκνὸν καὶ δασύ.

V. 219. Ἐπ' ἀκροτάτοισι (ποδῶν). Τοῖς σφυροῖς, ἢ τοῖς ἀστραγάλοις.

Ἐρεμνὰς δὲ, ἤτοι κατὰ συγκοπὴν ἐρεβενάς. τοῦτ' ἔστι καταπληκτικάς. Σκοτεινὰς κυρίως, ἐξ οὗ μελαίνας.

V. 221. Φολίδεσσι. Ταῖς στίξεσι, τοῖς ποικίλμασι τῶν πτερῶν.

V. 222. Κράατος ἐξ ὑπάτοιο. Ἄκρας κεφαλῆς. Ὁ δὲ λόγος, Ἔσειον ἐρεμνὰς πτέρυγας κινούμενοι, καταπληκτικὰς τοῦ ἰδέσθαι.

V. 224. Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάϊς. Ἄκαστος Πελίου υἱὸς ἔγημεν Κρηθηΐδα, ἢ, (ὥς τινες,) Ἱππολύτην. Ἡ δὲ, Πηλέως ἐρασθεῖσα, αὐτὴ, ὡς ἀπετύγχανε δεομένη, προλαβοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὡς πειραθέντα αὐτῆς. Ὁ δὲ, ἐξαγαγὼν τὸν Πηλέα ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον, κατέλιπεν αὐτὸν ἄοπλον ἐν τῷ Πηλίῳ, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. Ἐπιστὰς δὲ ὁ Ἑρμῆς, ἢ, ὥς τινες, Χείρων, ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μά-

q) ἐκλέγουσαν P. cf. Naeke p. 154. Versum Choerili ita restituit Hermannus in censura libri Naekiani: ἄνθε' ἀμέργουσαν πηγὰς ὑπὸ Κηφισσοῖο. r) Ἡραγόρας P. Ἡγησαγόρας ex loco nostro laudat Voss. de histor. gr. p. 370. Fort. Ἰσαγόρας. s) Εἰδυῖαν male P. vid. Heyn. ad Apollod. III, 15, 3. t) sic recte P. Vulgo Ἀττικῆς.

χαιραν, ἢ τά τε ἐπιόντα τυγχάνων [u]) τῶν θηρίων ἀνήρει, καὶ εἰς τὴν πόλιν ἐπανελθὼν, τήν τε Ἀκάστου γυναῖκα, καὶ αὐτὸν, ὥς φασι τινὲς, ἀνεῖλε τὸν Ἄκαστον.

(Εἰ δὲ ἐπὶ κίνδυνον αὐτοὺς ἔπεμπεν ὁ Πελίας, διὰ τί ὁ υἱὸς αὐτοῦ ἐξήρχετο; Καὶ οὗτος μέν φησιν, ἄκοντος τοῦ πατρός· Δημάγητος δὲ, ὅτι ἐκέλευσεν ὁ Πελίας τὴν Ἀργὼ ἀραιοῖς γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ αὐτούς· ὁ δὲ Ἄργος τοὐναντίον πεποίηκεν. Τὸ δὴ πιστὸν ἔχων παρὰ τοῦ τέκτονος ὁ Ἄκαστος ἐπέβη. Διὰ τοῦτο ὁ ποιητὴς φησὶν Ἀθηνᾶς ὑποθημοσύνῃσι γενέσθαι αὐτήν.) [Διαπορεῖται δὲ, διὰ τί εἰς κίνδυνον πέμπων ὁ Πελίας Ἰάσονα, εἴασε τὸν υἱὸν ἀπελθεῖν. Δημάγητος οὖν φησὶν, ὅτι ὁ Πελίας ἐπέταξεν ἀραιοῖς γόμφοις παγῆναι τὴν Ἀργὼ, ἵνα τάχιον διαφθαρῇ· Ἄργος δὲ τοὐνάντιον ἰσχυροτάτοις γόμφοις Ἀθηνᾶς ὑποθημοσύναις συνέπηξεν. Τὸ πιστὸν οὖν ὁ Ἄκαστος ἔχων παρὰ τοῦ Ἄργου αὐτός τε ἔπλει ἄκοντος τοῦ πατρὸς καὶ ὁ Ἄργος σὺν αὐτῷ. Ταῦτα δὲ δοκεῖ καὶ ὁ Ἀπολλώνιος αἰνιττόμενος λέγειν, ὅτι οὐκ ἤθελε μιμνάζειν ἐν δώμασι πατρὸς ἔῆος, ὡς δηλονότι τοῦ πατρὸς πείθοντος μένειν. Καὶ τὸ εὐθὺς δὲ προσθεῖναι τὸν Ἄργον δήλωμα τούτου ἐστίν.]

(V. 226. *Ἄργος τε θεᾶς.* Διὰ τὸ τὴν Ἀργὼ κατασκευάσαι Ἀθηνᾶς προνοίᾳ.)

V. 230. *Ἐπεὶ Μινύαο θυγατρῶν.* Ὁ γὰρ Μινύας πολλὰς εἶχεν θυγατέρας. Καὶ γὰρ ὁ Ἰάσων Ἀλκιμέδης ἐστὶ τῆς Κλυμένης [v]), τῆς Μινύου θυγατρός. Στησίχορος Ἐτεοκλυμένης φησίν. Φερεκύδης δὲ, Ἀλκιμέδης (τῆς Φυλάκου). Ἡσιόνης δὲ τῆς Δαναοῦ καὶ Διὸς γίνεται Ὀρχομενός· ἀφ' οὗ καὶ ἡ πόλις Ὀρχομενὸς καλεῖται. Ὀρχομενοῦ δὲ καὶ Ἑρμίππης τῆς Βοιωτοῦ γίνεται Μινύας ἐπίκλησιν, φύσει δὲ Ποσειδῶνος, ὃς οἰκεῖ ἐν Ὀρχομενῷ· ἀφ' οὗ ὁ λαὸς Μινύαι ἐκλήθησαν. Ἐκ δὲ Μινύου καὶ Κλυτοδώρας γίνεται Πρέσβων καὶ Περικλυμένη καὶ Ἐτεοκλυμένη. Ἐκ δὲ Φανοσύρας τῆς Παίονος καὶ Μινύου πάλιν Ὀρχομενὸς καὶ Διοχθώνδης [w]) καὶ Ἀθάμας. Ὁ δὲ Σκήψιος Δημήτριος φησὶ τοὺς περὶ τὴν Ἰωλκὸν οἰκοῦντας Μινύας προσαγορεύεσθαι.

V. 238. *Παγασαί.* Ἀκρωτήριον Μαγνησίας [x]). Ὠνομάσθη δὲ ἀπὸ τοῦ ἐκεῖ πεπῆχθαι τὴν Ἀργώ. Ὁ δὲ Σκήψιος, ἀπὸ τοῦ πηγαῖς περιῤῥέεσθαι τοὺς τόπους. Ἔστι δὲ [ἐν αὐτῷ] καὶ Παγασαίου Ἀπόλλωνος ἱερόν.

V. 240. *Ἀστέρες ὣς νεφέεσσι.* Πρὸς τὸ γένος καὶ τὴν τύχην καὶ τὴν ἀνδρίαν ἀπιδὼν, ἀστέρας μὲν τοὺς ἥρωας φησὶ, νεφέλας δὲ, τὸν δημοτικὸν ὄχλον.

V. 242. *Πόθι τόσσον ὅμιλον.* Οὐχ ὑγιῶς τὸ *πόθι.* Ἔστι γὰρ τῆς ἐν τόπῳ σχέσεως δηλωτικόν. [ἐνταῦθα δὲ καταχρηστικῶς τὴν εἰς τόπον σχέσιν δηλοῖ.]

V. 243. Τὸ δὲ, *ἔκτοθι βάλλει,* ἀντὶ τοῦ ἀποστέλλει.

u) τυγχάνων recte abest a P., fortasse ex varia lectione τυγχάνοντα ortum. v) Ἀλιμένης τῆς Περικλυμένης male P. w) Διοχθώνας P. x) Θεσσαλίας P.

Παναχαιΐδα δὲ τὴν Θεσσαλίαν φησὶν, ὅτι αὕτη πρώτη ἐκλήθη Ἀχαΐα, ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου.

V. 244. *Πυρὶ δηώσειαν.* Συμφλέξειαν. Ἢ πολεμήσειαν, καταστρέψειαν.

Δόμους δὲ, τὴν χώραν, τὴν γῆν, συνεκδοχικῶς.

V. 246. *Ἀλλ' οὐ φυκτὰ κέλευθα.* Ἀλλ' οὐκ ἐκφεύξιμος αὐτοῖς ἡ ὁδός· κατ' ἀνάγκην γάρ ἐστιν· οὐδὲ ἄπρακτος ὁ ἆθλος· ἀνύσουσι γὰρ ῥαδίως. Οἷον εὐκατορθώτως. Ἢ, οὐ φυκτὰ καὶ οὐκ εὔπλοα, διὰ τοὺς ἐν μέσῳ κινδύνους.

Πόνος δ' ἄπρηκτος ἰοῦσιν. Ἤγουν ἐν τῷ πλῷ ὁ κίνδυνος. Ἢ κατὰ κοινοῦ τὸ, οὐ· ἵνα ᾖ, ἀλλ' οὐ φυκτὰ κέλευθα, οὐδὲ ὁ πόνος ἄπρακτος· πρὸς τὸ, Αὐτῆμαρ δὲ δόμους ὀλοῷ πυρὶ δηώσειαν Αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρος ἐγγυαλίξῃ. Οἱ δὲ οὕτως, ἄπρηκτος, δύσπρακτος, δυσεργὴς, δυσκατόρθωτος.

[*Ἀλλ' οὐ φυκτά.* Τοῦτο διχῶς. Εἰ γὰρ ἐπὶ τὸν Ἰάσωνα ἀναφέρειν δεῖ, οὕτως· ἀλλ' οὐκ ἦν τῷ Ἰάσωνι φυγεῖν τὸν πλοῦν, οὐδὲ ἄπρακτον ἐᾶσαι τὸ κελευσθέν. Εἰ ἐπὶ τὸν Αἰήτην, οὕτως· ἀλλ' οὐκ ἔστι τῷ Αἰήτῃ φυγεῖν τὴν ἀπόδοσιν τοῦ δέρματος, οὐδὲ τὸν πόνον ἄπρακτον ποιῆσαι τῶν Ἀργοναυτῶν.]

V. 249. *Νόστοιο τέλος θυμηδές.* Θυμῆρες. Καὶ τοῦτο ὡς πρὸς γυναικείαν φύσιν. Ἄγαν θαυμαστῶς πρὸς τὰς φύσεις καὶ τοὺς λόγους ἀμφοτέρων ἀνέπλασεν. Τοῖς μὲν γὰρ ἀνδράσιν, ἐπεὶ θρασυτέρα ἡ φύσις, ἄνυσιν καὶ τέλος τῶν μελλόντων εἰσάγει· ταῖς δὲ γυναιξὶν, ἐπεὶ ἀσθενέστεραι, εὐχὰς καὶ ἱκεσίας ποιεῖ. Τοιαῦται γὰρ ἐπὶ τῶν μεγάλων καὶ φοβερῶν πραγμάτων αἱ γυναῖκες.

V. 251. *Δειλὴ Ἀλκιμέδη.* Ἐπίπονε. Ὁ δὲ νοῦς, εἰ καὶ ὀψὲ, ὅμως δ' οὖν ἦλθε καὶ σοὶ κακὸν, Ἀλκιμέδη (λείπει δὲ ἡ διὰ πρόθεσις) καὶ οὐ διετέλεσας λαμπρῶς τὸν βίον αὐχοῦσα ἐπὶ τοιούτῳ υἱῷ.

V. 253. *Ἦτέ οἱ ἦεν.* Πρὸ τοῦ τὸν ἆθλον ἐπιστῆναι. [Πρὸς τὸν Αἴσονα ὁ λόγος. Ὄντως, φησὶ, βέλτιον ἦν σοι πρὸ τοῦ πλοῦ τοῦ Ἰάσονος ἐλυσθέντα καὶ ἐντυλιχθέντα ἐν τοῖς κτέρεσι καὶ ἐνταφιασμοῖς κεῖσθαι νειόθι τῆς γῆς, ἤγουν ἐν τῷ ἐνδοτάτῳ τῆς γῆς τόπῳ, νήϊδα καὶ ἄπειρον ὄντα τῶν κακῶν ἄθλων τῶν ἐσομένων τῷ Ἰάσονι.]

(V. 255. *Κακῶν δὲ,* ἤτοι τῶν ἰδίων, ἢ τῶν μελλόντων ἐπιτελεῖσθαι τοῖς Ἀργοναύταις.)

V. 256. *Ὡς ὄφελεν καὶ Φρίξον.* Λέγεται γὰρ, ὅτι τῆς Ἕλλης καταπεσούσης ἀγωνιῶντι τῷ Φρίξῳ κατὰ Διὸς βούλησιν ἐφθέγξατο θαρσύνων αὐτὸν ὁ κριὸς, διασώσειν αὐτὸν εἰς τὴν Σκυθίαν. Τοῦτο δὲ αὐτὸ [y]) τῇ Ἀλκιμέδῃ ἔμελλε κακὸν γενέσθαι, τοῦ υἱοῦ ἐκεῖσε στελλομένου. Ὅτι δὲ ἐλάλησεν ὁ κριὸς, καὶ Ἑκαταῖος φησίν. Ἔνιοι δέ φασιν, αὐτὸν ἐπὶ κριοπρῴρου [z]) σκάφους πλεῦσαι. Διονύσιος δὲ ἐν β Κριὸν φησὶ Φρίξου τροφέα γενέσθαι, καὶ

y) αὐτὸ pro vulg. αὐτῇ ex P. dedi. z) κριομόρφου P.

συμπεπλευκέναι αὐτῷ εἰς Κόλχους. (Διὸ καὶ μεμύθευται τὰ περὶ τῆς τοῦ κριοῦ θυσίας αὐτόθι.)

V. 260. Ἐπὶ προμολῆσι. Τῇ ἐξόδῳ τῶν ἀριστέων. Ἀπὸ τοῦ εἰς τοὔμπροσθεν μολεῖν. Ἐντεῦθεν καὶ τὰς πρώτας προβάσεις τῶν ὀρῶν προμολὰς λέγουσι.

V. 262. (Βεβολημένη. Λύπῃ βλαβεῖσα, ἢ δυσθυμοῦσα.)

Ὀξὺ δ' ἑκάστην. Μετενήνεκται ἀπὸ τῶν κατὰ τὴν ἀφήν. Ὡς παρ' Ὁμήρῳ·

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ [a]) βέλος ὀξὺ [b]).

V. 263. Ἄχος δέ ἐστι σύγχυσις ψυχῆς, λύπη ἐπιτεταμένη. Σαφὲς δὲ ἐκ τοῦ λέγειν τὸν ποιητήν·

Ἡ δ' ἄχεϊ οὗ παιδὸς ἀπέφθιτο [c]).

V. 264. Ἐντυπὰς ἐν λεχέεσσιν. Ἄγαν περιεσφιγμένος, ὡς πάντα τὰ μέλη ἐκτυποῦσθαι ἐκ τῆς σφίγξεως. Ὅμηρος [ἐν ω Ἰλιάδος]·

Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος [d]).

Ἐντυπὰς δὲ λέγεται καὶ ὁ περιβεβλημένος κατὰ τῆς ὄψεως, οὕτως ὡς καὶ τὸν τύπον [τοῦ προσώπου] διὰ τοῦ ἱματίου θεωρεῖσθαι.

V. 267. Κατηφέες. Κατάστυγνοι διὰ τὴν λύπην.

Τὸ δὲ ἠείροντο, παθητικὸν ἀντὶ ἐνεργητικοῦ κεῖται τοῦ ἤειρον.

V. 268. Ἐπεχεύατο. Ἀντὶ τοῦ ἐπέθηκεν, ἐπέβαλεν.

V. 269. Ἀδινώτερον ἠΰτε κούρη. Ὅμοιον τὸ σχῆμα τῷ,

— μελάντερον ἠΰτε πίσσα [e]).

Τὸ γὰρ συγκριτικὸν ἔλαβεν ἀντὶ τοῦ ἀπολελυμένου.

Ἠΰτε κούρη. Ἀκαταλλήλως τὴν παραβολὴν τέθεικεν. Ὑποτίθεται γὰρ γραῦν μὲν τὸν Ἰάσονα, κόρην δὲ τὴν μητέρα. Ἔδει δέ, φησὶ, κατὰ τὸ ἐναντίον ταῦτα τάξαι. Ἀλλ' ἐροῦμεν, ὅτι προσφόρως ὑπόκειται ὁ Ἰάσων, οὐ κατὰ τὴν ἡλικίαν, ἀλλὰ κατὰ τὴν γηροκομίαν τῇ μητρί. Καὶ γὰρ ἡ γραῦς τὴν κόρην ἀνατρέφει, ὡς ἡ μήτηρ, πρός τε τὸ ἀφερέπονον, διὰ τὴν ἡλικίαν· καὶ γὰρ τὸ γῆρας καὶ ἡ βραχεῖα ἡλικία παρεοίκασι· καὶ πρὸς τὸ χρήζειν τῆς τρεφούσης. Μητρυιὰ δὲ ὥσπερ ἀπηνὴς ἐπικειμένη ἐστὶν ὁ Πελίας. [Τὸ δὲ παράδειγμα καταλλήλως ἔχει. Οὐ γὰρ τοῦτο μόνον ὁρᾶν δεῖ, ὅτι τὰς ἡλικίας ἐναντίως ἔλαβε, τὴν μὲν Ἀλκιμέδην, γραῦν οὖσαν, ἀπεικάσας κόρῃ, τὸν δὲ Ἰάσονα νέον γρηΐ. Οὐ γὰρ πρὸς τὰς ἡλικίας ἀφορᾶν δεῖ, ἀλλὰ πρὸς τὰ συμβεβηκότα τοῖς προσώποις· ταῦτα γὰρ παραβάλλομεν. Ἄλλως τε καὶ τρόπον τινὰ ὁ Ἰάσων γρηΐ ἔοικεν πρὸς τὴν Ἀλκιμέδην· ὡς γὰρ τῇ γραΐ προσήκει τρέφειν τὴν ἑαυτῆς παῖδα, κούρην οὖσαν, οὕτω καὶ τῷ Ἰάσονι προσήκει γηροκομεῖν τὴν μητέρα.]

a) ἔχει P. b) Il. XI, 269. c) Od. XV, 357. ἔφθιτο P. d) Il. XXIV, 163. e) Il. IV, 277.

V. 271. Τὸ δὲ κηδεμονῆες κατὰ πλεονασμὸν, ἀπὸ τοῦ κηδεμόνες. Οὕτω δὲ λέγονται οἱ κατὰ γάμον οἰκεῖοι, οἱ κηδεσταὶ καὶ κηδόμενοι.

(Ἧι οὐκ εἰσίν. Τοῦτο καὶ πρὸς τὴν Ἀλκιμέδην, ᾗ οὐκ εἰσὶν ἄλλοι παῖδες.)

V. 272. (Βίοτον βαρύν. Λείπει τὸ οὖσα. Ὑπὸ μητρυιὰν οὖσα, κακὴν ζωὴν διάγει. Τίθεται γὰρ τὸ βίοτος καὶ ἐπὶ τῆς ζωῆς, ὡς νῦν, καὶ ἐπὶ τοῦ πλούτου.)

Τὸ δὲ ἠγηλάζει, καὶ ἠγηλάσκει, κατὰ τοῦ αὐτοῦ πράγματος κεῖται. Δηλοῖ δὲ τὸ ἐπὶ τῷ αὐτῷ τόπῳ διατρίβειν καὶ ἐνέχεσθαι, καὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι. [Παραπλήσια δὲ τούτοις τὸ ἠλάσκειν καὶ ἠλασκάζειν, πλὴν ὅτι τὸ μὲν ἠλάσκειν ἀμετάβατον·] (Ἐπὶ γὰρ τῶν μυιῶν φησὶν Ὅμηρος·)

Αἵ τε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσι [f]).

(καί·) [τὸ δὲ ἠλασκάζειν μεταβατικόν·]

— — ὅπη κεῖνος ἐμὸν μένος ἠλασκάζει [g]).

V. 275. Ἐκφλύξαι. Ἀντὶ τοῦ εἰπεῖν. Φλύζειν δὲ κυρίως τοὺς λέβητας φαμὲν καιομένους, ἀναβάλλειν τῇ θερμότητι τὸ ὕδωρ.

Περισπᾶται δὲ τὸ ὀρεχθεῖν, ὡς ποιεῖν. Ἔστι δὲ μύκημα [h]) φωνῆς ἀνάρθρου. Ὅμηρος·

— πολλοὶ [i]) μὲν βόες ὀρέχθεον [k]).

Δεῖ δὲ μᾶλλον ἀκούεσθαι ἐπὶ τοῦ στένειν, ἀλλὰ καὶ ἐπὶ τοῦ τραχύνεσθαι. Ὅμηρος·

— — — (ἐν) ἄλγεσι θυμὸν ὀρέχθων [l]).

Ἔοικε δὲ τὸ μὲν περισπώμενον εἶναι διὰ τοῦ ο· τὸ δὲ βαρύτονον, διὰ τοῦ ε, ἐρέχθω.

[V. 283. Τὸ δὲ πέσσειν ἀντὶ τοῦ ἔχειν.]

(V. 284. Ἀχαιϊάδεσσιν. Ταῖς Θεσσαλαῖς, ἀπὸ Ἀχαιοῦ τοῦ Φθίου. Ὅμηρος·

Μυρμιδόνες δὲ καλεῦντο, καὶ Ἕλληνες, καὶ Ἀχαιοί [m]).

V. 285. Δμωὶς ὅπως. Ἐν τῇ προεκδόσει οὕτως ἔχει·

Δμωὶς ὅπως κεν ἑοῖσι βιώσομαι [n]) ἐν μεγάροισιν.

Καὶ τὸ ἑξῆς οὕτως, ὀϊζυρὴ ἀχέεσσι δυσάμμορος. Εὕρηται δὲ καὶ οὕτως·

Σεῖο πόθῳ φίλε κοῦρε δυσάμμορος·

V. 287. [Τὸ δὲ] ᾧ ἔπι μούνῳ [o]). Ἐπὶ ἄῤῥενος δεῖ νοεῖν. Εἶχε γὰρ καὶ ἀδελφὴν Ἰάσων Ἱππολύτην, (ὡς φησὶν Ἴβυκος.)

V. 288. Μίτρην πρῶτον ἔλυσα. [Λέγεται μὲν καὶ φυσικῶς· λύσις γάρ ἐστιν ἡ κύησις· λέγεται δὲ καὶ καθ' ἱστορίαν.]

f) Il. II, 470. g) Od. IX, 457. ἠλασκάζειν ἐμὸν μένος P. h) μίμημα P. i) πολλὸν P. k) Il. XXIII, 30. l) Od. V, 83. m) Il. II, 684. n) κενεοῖσι βείομαι P. o) Sic recte P. Vulgo verba ᾧ ἔπι μούνῳ cum versu praecedente junguntur.

Λύουσι γὰρ τὰς ζώνας αἱ πρώτως τίκτουσαι, καὶ ἀνατιθέασιν Ἀρτέμιδι. Ὅθεν καὶ Λυσιζώνου [p]) *Ἀρτέμιδος ἱερὸν ἐν Ἀθήναις.*

V. 292. *Κινύρετο. Ἐθρήνει. Κυρίως δὲ κινύρεσθαι ἐστὶν ἐπὶ βοός. Καὶ εἴρηται παρὰ τὸ κινεῖν τὴν οὐρὰν ἐν τῷ μυκᾶσθαι. Καὶ Ἀπίων δὲ εὑρὼν τὴν ἐτυμολογίαν παρὰ Ἀπολλοδώρῳ ταύτην, ὅτι ταῦρος λέγεται παρὰ τὸ τείνειν τὴν οὐρὰν, μετέθηκε τὴν εὕρεσιν τῆς ἐτυμολογίας.*

(V. 293. *Ἐπισταδόν. Ἐφεστηκυῖαι.*)

V. 296. *Ὧδε λίην. Πάνυ τετηρημένως. Ἀδύνατον γὰρ μητέρα εἰς τοσοῦτον κίνδυνον ἐξιόντος τοῦ παιδὸς μὴ κλαίειν.* [*Ἀλγεῖν μὲν οὐ κωλύει μητέρα οὖσαν· τὸ δὲ λίαν ἀλγεῖν ἀποτρέπει.*]

Ἐπεὶ οὐ μέν. Πρὸς τὸ παρ' Ὁμήρῳ,

Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο [q]).

V. 297. *Ἀλλ' ἔτι κεν. Πρὸς τὸ Ὁμηρικὸν καὶ τοῦτο,*

— — *πρὶν καὶ κακὸν ἄλλο πάθησθα* [r]).

Ἄροιο. Λάβοις [s]). *Ὅθεν καὶ τὸν Ἄρη τινὲς ἐτυμολογοῦσιν, ἀπὸ τοῦ λαμβάνειν, καὶ ὠφελεῖσθαι ἐν πολέμῳ.* (*Ὁ δὲ λόγος, ἐπὶ κακῷ κακὸν ἀποίσῃ* [t]).)

V. 299. *Ἀνιάζουσά περ. Ὁ περ σύνδεσμος τίθεται πολλάκις ἀντὶ τοῦ γε, καὶ δή. Οὕτως Ἀρίσταρχος ἀπέδωκεν. Ἐν γὰρ τῷ, — Μηδ' οὕτως ἀγαθός περ ἐὼν, τὸν περ μεταλαμβάνει εἰς τὸν δή· ἀγαθὸς δὴ ὤν. καὶ τὸ, — φυγόντι περ αἰπὺν ὄλεθρον,* [*ἀντὶ τοῦ*] *φυγόντι δή.* [*Ἢ οὖν καὶ ἐνταῦθα τὸν περ μεταλαμβάνειν δεῖ εἰς τὸν δὴ,*] *ἢ τὸ ἑξῆς οὕτως, τῶν μοῖραν* [*καίπερ*] *κατὰ θυμὸν ἀνιάζουσα, ὅμως τλῆθι φέρειν.*

V. 302. *Ἔχρη. Ἀντὶ τοῦ ἐχρησμῴδησε* [u]) (*περὶ τῆς ναυτιλίας.*) [*Ἔστι δὲ ἀπὸ τοῦ χράω, χρῶ.*]

(*Ἀτὰρ μετέπειτά γ'. Ἐπὶ δὲ τοῖς προειρημένοις, τῇ τε Ἀθηνᾷ καὶ ταῖς θεοπροπίαις ἔτι θάρσει, καὶ ἐπὶ τῇ τῶν ἀριστέων ἀρωγῇ, τοῦτ' ἔστι βοηθείᾳ.*)

V. 303. *Ἀλλὰ σὺ μέν. Παρὰ τὸ Ὁμηρικὸν,*

Ἀλλ' εἰς οἶκον ἰοῦσα [v]).

V. 304. *Μηδ' ὄρνις. Πάλιν* [*παρὰ*] *τὸ Ὁμηρικὸν,*

— *μηδέ μοι αὐτὴ*
ὄρνις [*ἐνὶ μεγάροισι κακὸς πέλευ* [w])].

V. 305. *Κεῖσε δ' ὁμαρτήσουσιν. Τὸ κεῖσε, εἰς τὴν Κολχίδα, ἢ εἰς τὸν λιμένα. Τὸ δὲ ὁμαρτεῖν, ἐνταῦθα μὲν τὸ ἀκολουθεῖν, ἀλλαχοῦ δὲ καὶ τὸ ὁμοῦ τυχεῖν.*

Ἔται δὲ ἀντὶ τοῦ ἑταῖροι. Οὐκ ἔστι δὲ συνώνυμος ἡ λέξις, κατὰ ἀποκοπὴν δὲ ἐξενήνεκται. (*Πρῶτος δὲ Ὅμηρος κέχρηται, λέγων,*

— *κασίγνητοί τε ἔται τε* [x]).

p) Sic P. Vulgo *λυσιζώνης*. q) Il. XXIV, 524. *πρῆξις κρυεροῖο πολέμοιο* P. r) Il. XXIV, 551. s) Sic recte P. Vulgo *λάβῃς*. t) Ita emendavi vulg. *ἀποίσῃς*. u) *ἐχρησμοδότει* P. v) Il. VI, 490. w) Il. XXIV, 219. x) Il. XVI, 456.

Διὸ καὶ κατὰ τὸ πλεῖστον ἐκ πλήρους ἐκφέρεται·

Οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι [y]).)

V. 306. Προτέρωσε. Ἀντὶ τοῦ εἰς τοὔμπροσθεν. Ὅμηρος·

Οὐδ' ἄρα [z]) μοι προτέρω νῆες κίον [a]).

V. 307. (Οἷος δ' ἐκ νηοῖο. Οἰκεία ἡ παραβολή. Ὅ,τε γὰρ Ἰάσων νέος, καὶ ὁ Ἀπόλλων νέος.)

V. 308. Δῆλον ἀν' ἠγαθέην. Δῆλος μία τῶν Κυκλάδων νήσων, ἱερὰ Ἀπόλλωνος· ἡ πρὶν μὲν Ἄδηλος [b]), ὕστερον δὲ Ἀστερία, διὰ τὸ σχῆμα· πάλιν δὲ Ὀρτυγία, ἀπὸ τῆς ἀδελφῆς τῆς Λητοῦς.

Ἠὲ Κλάρον. Κλάρος πόλις πλησίον Κολοφῶνος, ἱερὰ Ἀπόλλωνος. Καὶ χρηστήριον τοῦ θεοῦ ὑπὸ Μαντοῦς τῆς Τειρεσίου θυγατρὸς καθιδρυμένον, ἢ ὑπὸ [c]) Κλάρου τινὸς ἥρωος [d]), ὡς Θεόπομπος. Νέαρχος [e]) δέ φησιν, ὅτι κατὰ κλῆρον ὁ Ἀπόλλων ἔλαχε τὴν πόλιν, καὶ ἀπὸ τοῦ κλήρου οὕτως αὐτὴν ὠνομάσθαι. Οἱ δὲ τὴν Θηβαΐδα γεγραφότες φασὶν, ὅτι ὑπὸ τῶν Ἐπιγόνων ἀκροθίνιον ἀνετέθη Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα· καὶ κατὰ χρησμὸν Ἀπόλλωνος ἐξερχομένη περιέπεσε Ῥακίῳ τῷ Λέβητος υἱῷ, Μυκηναίῳ [f]) τὸ γένος· καὶ γημαμένη αὐτῷ, τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσειεν, συναπῆλθεν ἐκείνῳ εἰς Κολοφῶνα. Κἀκεῖ δυσθυμήσασα, ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν. Διόπερ ὠνομάσθη Κλάρος, ἀπὸ τῶν δακρύων. Συγγενὲς γὰρ τῷ λ τὸ ρ· ὡς ὑδρηλοὶ, ἀντὶ τοῦ ὑδρηροί. Λέγεται δὲ καὶ κρήνην ἀναβλύσαι ἀπὸ τῶν δακρύων Μαντοῦς κατὰ Κλάρον, καὶ μαντεῖον ἐκεῖ Ἀπόλλωνος αὐτὴν καταστῆσαι. Ὁ δὲ Ῥάκιος οὕτως ὠνομάζετο διὰ τὴν πενιχρότητα καὶ κακοειμονίαν. Οἱ δὲ Κλάρον φασὶ κληθῆναι διὰ τὸ κληρώσασθαι ἐκεῖ Ποσειδῶνα καὶ Ἄρην.

V. 311. (Κεκλομένων ἄμυδις. Πάντων ὁμοῦ κελευομένων καὶ ἐπευφημούντων.)

Τῷ δὲ ξύμβλητο. Τοῦτο ξύμβολον ἀγαθὸν, ὅτι τε γεραιὰ καὶ ὅτι ἱέρεια ἡ Ἰφιάς.

V. 312. [Ἀρήτειρα δὲ καὶ ἱέρεια, ἀπὸ τοῦ ἀρητὴρ, ὥσπερ ἀπὸ τοῦ σωτὴρ σώτειρα. Ἐν δὲ τῷ πολιήοχος ἐπεντέθη τὸ η.]

(V. 313. Οὐδ' ἔτι φάσθαι. Προσληπτέον τὸν καί. Ὅμως δὲ καὶ λαλῆσαι προθυμουμένη, οὐκ ἔφθασε. Τὸ γὰρ ἔμπης νῦν ἀντὶ τοῦ ὅμως.

V. 319. Δειδέχατ'. Ἐδεξιοῦντο, ἢ προσεδέχοντο.)

V. 322. Καταβλώσκοντας. Κατερχομένους, καταμολίσκοντας [καὶ κατὰ συγκοπὴν καταμόλσκοντας]. Τὸ β ἀντὶ τοῦ μ. Συγγενὲς γὰρ τὸ β τῷ μ. Ὅθεν καὶ ὁ ψωμὸς, βλωμὸς, ἀπὸ τοῦ βλώσκειν διὰ τοῦ λαιμοῦ, ὅ ἐστι κατέρχεσθαι. Καὶ πίτυν βλωθρὴν (Ὅμηρος [g]),) τὴν ἄχρι τοῦ αἰθέρος μολίσκουσαν.

y) Od. V, 141. z) Οὐ γάρ P. a) Od. IX, 64. b) ἄδηλος P. c) ὑπὸ P. Vulgo utroque loco ἀπὸ. d) Κλάρου τοῦ Ἄλωος P. e) Κλέαρχος P. vix rectius. f) Sic P. Vulg. Μηκυναίῳ. g) Il. XIII, 390.

V. 324. *Δέρμα δ' ὁ μέν.* Σύνηθες τοῖς ἥρωσι τὸ δερματοφορεῖν.

V. 401. *Εὐστείρης.* Εὐτρόπιδος.

Οἰήϊα δὲ, τὰ πηδάλια, οἷον οἰήσια, ἐπειδὴ οἰήσεως χρεία τῷ κυβερνήτῃ. Οἱ δὲ γλωσσογράφοι τοὺς οἴακας. [Λέγεται δὲ οὕτως ἀπὸ τοῦ οἴειν, τοῦ κομίζειν· κομιστικὰ γὰρ τὰ πηδάλια.]

V. 403. *Νήεον αὐτόθι.* Ὠικοδόμουν, κατεσκεύαζον. Ἀπὸ τῆς τῶν λίθων συνθέσεως, ἥ ἐστι νήησις. Ἢ ἐσώρευον. Ἔνθεν καὶ νηδύς· καὶ ναῦς, ἐν ᾗ σωρεύεται ὁ φόρτος.

Ἐπακτίου. Ἐπάκτιος, ὁ ἐν τῇ ἀκτῇ τιμώμενος.

V. 406. *Τείως δ' αὖτ' ἀγέληθεν.* Ἐν τοσούτῳ ἐν ὅσῳ ταῦτα ἐποίουν.

Ἡ δὲ *πρὸ* πρόθεσις νῦν ἐστι τόπου h) δηλωτική· ἀντὶ τοῦ, εἰς τοὔμπροσθεν. Ὡς τὸ,

(Ἐκ δ') ἄγαγε πρὸ φόωσδε i).

V. 407. *Δύω βόε.* Εἰκότως ἐπὶ δυσὶ προσηγορίαις, Ἀκτίου Ἐμβασίου τε, δύο βοῦς ἄγουσιν.

(V. 408. *Κουρότεροι.* Ἐπεὶ ἴσως ἀεὶ νέος ὁ θεὸς, καὶ οἱ τῶν ἑταίρων νεώτεροι τὴν θυσίαν ἐπιτελοῦσιν. Καὶ Ὅμηρος, ἐπὶ τῆς τῶν νέων θυσίας,

Κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο k).

Ἤτοι οὖν συγκριτικῶς ἐστὶν, ἢ πρωτοτύπως.)

V. 409. *Χέρνιβα.* *Χέρνιβας* μὲν οἷς τὰς χεῖρας νίπτουσιν· *οὐλοχύτας* δὲ οἱ μὲν τὰ κανὰ, ἐπεὶ δι' αὐτῶν φέρεται τὰ πρὸς θυσίαν· οἱ δὲ τὰς κριθὰς, ἐπειδὴ οὐλὰς ἐνέβαλλον τοῖς βωμοῖς.

V. 411. *Αἰσωνίδα.* Αἰσωνὶς l) πόλις τῆς Μαγνησίας, ἀπὸ [Αἴσωνος] τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρος φησὶ (καὶ Φερεκύδης).

V. 413. *Ἄνυσιν καὶ πείραθ' ὁδοῖο.* *Ἄνυσιν*, τὴν ἐνέργειαν, ἢ τὴν ταχυτῆτα. (Ὅμηρος·

Οὐκ ἀνύω φθονέουσα m).)

Πείραθ' ὁδοῦ, αὐτὸν τὸν πλοῦν καὶ τὸ πέρας τῆς ὁδοῦ.

V. 414. *Ἐπαίτιος.* [Ἢ πρὸς τὸ δοθὲν μάντευμα τῷ Ἰάσονι ἀναφέρειν δεῖ, ἢ πρὸς τὸ δοθὲν τῷ Πελίᾳ.] (Διὰ τὸ χρησμῳδῆσαι τῷ Πελίᾳ. Ῥητορικῶς δὲ, ὥσπερ αἰτίῳ γενομένῳ τοῦ πλοῦ τῷ θεῷ, καὶ τὸ πᾶν πρᾶγμα ἀνατίθησιν, ὥσπερ οἰκεῖον.)

V. 416. *Ἑλλάδα.* Ἑλλάδα οἱ μὲν τὴν Φθίαν φασὶ συνωνύμως· ἡμεῖς δὲ χώραν ὑπολαμβάνομεν εἶναι Ἑλλάδα, οὐ μέντοι γε τὴν αὐτὴν τῇ Φθίᾳ. Ἐνταῦθα δὲ καὶ ὅλην τὴν Ἑλλάδα.

V. 419. *Ὀρτυγίην.* Περὶ τῆς Ὀρτυγίας Φανόδικος ἐν τοῖς Δηλιακοῖς ἱστόρηκεν· καὶ Νίκανδρος ἐν τρίτῃ Αἰτωλικῶν, ἐκ τῆς ἐν Αἰτωλίᾳ Ὀρτυγίας φησὶ τὴν Δῆλον ὀνομασθῆναι, γράφων τάδε·

h) *κινήσεως* P.
k) Il. I, 470.
i) Il. XIX, 118.
l) Sic P. Vulgo *Αἰσονίδα. Αἰσονὶς.*
m) Il. IV, 56.

Οἱ δ' ἐξ Ὀρτυγίης Τιτηνίδος ὁρμηθέντες.

Οἱ μὲν, τὴν Ἔφεσον· οἱ δὲ, τὴν πρότερον Δῆλον καλουμένην· ἄλλοι δὲ, τὴν ὁμοτέρμονα Σικελίας νῆσον. ὅθεν Ὀρτυγίαι πᾶσαι βοῶνται [n]). Καὶ ἡ Δῆλος οὖν οὐχ, ὡς μεμύθευται, ἀπὸ τῆς Ἀστερίας μεταμορφώσεως τῆς Λητοῦς ἀδελφῆς [Ὀρτυγία ὠνομάσθη, ἀλλ' ἀπὸ τῆς ἐν Αἰτωλίᾳ Ὀρτυγίας, ἀφ' ἧς καὶ αἱ λοιπαὶ πᾶσαι ὠνομάσθησαν.] („ἀλλὰ καθὸ πᾶσαι αἱ Ὀρτυγίαι ἀποικίαι εἰσὶ τῆς κατ' Αἰτωλίαν Ὀρτυγίας.)

V. 421. *Ἐπίβαθρα.* Ἐπιβατήρια.

Χάριν δὲ, μισθὸν νυνὶ, ὑπὲρ τοῦ ἐπιβῆναι νῦν πρῶτον τῆς νεώς.

Προτεθείμεθα. Ἀντὶ τοῦ ποιοῦμεν. Θεῖναι γὰρ τὸ ποιῆσαι.

V. 424. [Τὸ δὲ εὐδιᾶν, τὸ μετ' εὐδίας πλεῖν.]

V. 425. *Προχύτας.* Οἱ μὲν τὰς κριθὰς, οἱ δὲ τὸ ὕδωρ, ὃ εἰώθασιν ἐμβάλλειν εἰς τὸ οὖς τοῦ ἱερείου, (ἐπὶ τοῦ ἐπινεύειν τὸ ἱερεῖον. Λείπει δὲ ἡ σύν.)

V. 426. *Τὸ ζώσασθαι,* ἀντὶ τοῦ ἀναθεῖναι, ἢ ἑτοιμασθῆναι. Σημαίνει δὲ καὶ τὸ ὁπλίσασθαι.

V. 430. *Χαλκείῳ πελέκει.* Ἀπολλώνιός φησιν ἐν πρώτῳ τῶν ὑπομνημάτων τὸν σίδηρον ὑπὸ τῶν ἀρχαίων χαλκὸν λέγεσθαι· ἀγνοῶν ὅτι μηδέπω εὑρεθέντος σιδήρου, χαλκῷ ἐχρῶντο. Ὡς καὶ Ἡσίοδός φησί·

Χαλκῷ δ' εἰργάζοντο, μέλας δ' οὐκ ἔσκε σίδηρος [o]).

V. 431. *Περιῤῥηδὴς κεράεσσιν.* Ἐπὶ πρόσωπον μεθ' ὁρμῆς κατενεχθείς. ἐπιῤῥαγεὶς εἰς τοὔμπροσθεν, ἢ ἐπενεχθείς. Ὡς καὶ παρὰ τῷ ποιητῇ,

περιῤῥηδὴς δὲ τραπέζῃ
κάππεσεν [p])·

(ὁ Εὐρύμαχος.) ἀντὶ τοῦ περιφερόμενος. Τὸ κατὰ κύκλον πεσεῖν, οὕτω λέγεται [q]). (Νῦν δὲ, ἀντὶ τοῦ ἐπενεχθεὶς εἰς τὸ ἔμπροσθεν.)

V. 434. *Δημῷ.* Τῷ ἐπίπλῳ, ᾧ [r]) ἐνειλοῦσι τὰ ἱερεῖα, ἵνα εὐκαέστατα ὦσι.

V. 436. *Θηεύμενος.* Τὸ θηεῖσθαι Ὅμηρος ἐπὶ τοῦ θαυμάζειν τίθησιν, θηήσαντες ἔλαφον. Ὁ δὲ Ἀπολλώνιος ἐπὶ τοῦ βλέπειν.

V. 438. *Πορφυρέαις.* Πορφυριζούσαις. Ταῖς τοῦ πυρὸς καμπαῖς καὶ εἰλήσεσιν οἷον πορφυριζούσαις. Ἐναργὴς δὲ ἡ φράσις.

Ἑλίκεσσιν. Ταῖς τοῦ καπνοῦ συστροφαῖς.

(V. 441. *Κῶας ἄγοντας.* Ἔδει ἄγουσιν εἰπεῖν, πρὸς τὸ ὑμῖν. Καὶ ὁ ποιητὴς δὲ,

n) *Σικελίην* et *βοάωνται* P. hoc recte, est enim fragmentum poetae, ita restituendum:

ὁμοτέρμονα νῆσον
Σικελίῃ, ὅθεν Ὀρτυγίαι πᾶσαι
βοάωνται.

o) Op. et D. 151. p) Od. XXII, 84. q) *Ἀντίμαχος δὲ τὸ κατὰ κύκλον πεσεῖν οὕτω φησὶ λέγεσθαι.* P. Antimachi nomen ex omisso Eurymachi natum videtur. r) Addidi ᾧ, a syllaba praecedente absorptum.

Αἰεί τοι φίλον ἐστὶν, ἐμεῦ ἄπο νόσφιν ἐόντα [s]).

V. 444. *Ἀσίδος.* Ἡ Ἀσία ὠνομάσθη ἀπὸ Ἀσίας τῆς Προμηθέως μητρὸς καὶ Ἄτλαντος. Οἱ δὲ ἀπὸ τοῦ πολλὴν ἄσιν ἔχειν.

V. 445. *Ὧδε κακοῖς δεδαώς.* Οὐκ ἐν τοῖς καθόλου, ἀλλ' ἐν τοῖς ἐμοῖς βλαβεροῖς. Ὑπερβατὸν δέ ἐστι, καὶ πλεονάζει ὁ καὶ σύνδεσμος. Λείπει δὲ ἡ ἐξ πρόθεσις. Καὶ ἐνήλλακται γενικὴ ἀντὶ δοτικῆς. Ἔστι δὲ καὶ τὸ ῥῆμα συντελικὸν, ἀντὶ τοῦ ἐξῆλθον. Ὁ δὲ λόγος οὗτος, ἔμπροσθεν ἐκ κακῶν οἰωνῶν ἐγνωκὼς τὸν ἐμαυτοῦ μόρον, ἐξῆλθον ἐκ τῆς πατρίδος, ἵνα ὑμῖν συμπλεύσας κλέος ἀπενέγκωμαι.

V. 446. *Ὄφρ' ἐπιβαίην.* Ὑπερβατόν ἐστι. Τὸ δὲ ἑξῆς, ὄφρ' ἐπιβαίην νηὸς, ἐπιβάντι δὲ τῆς νηὸς ἡ εὐδοξία τοῖς οἴκοις λίποιτο.)

V. 450. *Σταθερόν.* Ἀντὶ τοῦ καυματηρὸν καὶ θερμόν. Λέγει δὲ τὴν μεσημβρίαν, (ἐκ τοῦ συμβαίνοντος· ἐπειδὴ μεσουρανήσας ὁ ἥλιος θερμαίνει πάντα, διὰ τὸ πανταχόθεν ἐπίσης ἀπέχειν τῶν ὑποκειμένων.) Ἢ διὰ τὸ ἑστηκέναι. (Ἧττον γὰρ δοκεῖ τότε κινεῖσθαι ὁ ἥλιος.)

V. 454. (*Πολιοῦ.* Διὰ τὸ λευκαίνεσθαι ὑπὸ τῶν κυμάτων κλυζόμενον.)

Φυλλάδα δὲ, τὴν στιβάδα τῶν φύλλων.

V. 456. *Λαρόν.* Παρὰ τὸ λίαν ἀρηρός. Ἢ παρὰ τὸ λῶ τὸ θέλω πεποίηται. Ἡσίοδος δέ φησι λαροῖς ποσὶ [t]), τοῖς κατ' ὄψιν ἡδέσιν.

V. 459. *Ἑψιόωνται.* Παρὰ τὴν ἑψίαν, ἥ ἐστι διὰ λόγων παιδιὰ, οἷον ἐπεσία [u]) τὶς οὖσα, παρὰ τὸ ἔπος. Διὸ καὶ ψιλοῦται. (Ὅτε δὲ δασύνεται, ἀντὶ τοῦ ἀκολουθοῦσιν.)

(*Ἄατος.* Ἡ ἄγαν βλαπτική. Τὸ γὰρ α τὸ πρῶτον, ἐπίτασίς ἐστιν. Ὡς ἀχανὲς καὶ ἀτενές.)

V. 461. *Πορφύρεσκεν.* Ἀντὶ τοῦ κατὰ βάθους ἐνεθυμεῖτο. Πορφύρα γὰρ, εἶδος ἰχθύος ἐν βάθει τῆς θαλάσσης εὑρισκόμενον. Ἐμερίμνα γοῦν καὶ τὸν τῆς γῆς καὶ τὸν θαλάσσης κίνδυνον.

V. 468. *Ζεὺς τόσον* [v]). Περὶ τοῦ Κύκλωπος Ὅμηρος·

Οὐδ' ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην [w]).

Διὰ τούτων αὐτοῦ ἡ ὑπερηφανία δηλοῦται. Καὶ Ὅμηρος δὲ ἀσεβῆ αὐτόν λέγει·

— καί ῥα ἄνακτος ἐναντίον εἵλετο [x]) *τόξον* [y]).

V. 471. *Τοῖόν μ' Ἀρήνηθεν.* Ἀρήνη πόλις Πελοποννήσου· νῦν δὲ Ἱεράνα λέγεται, ὥς φησι Πείσανδρος.

[Τὸ *ἀοσσητὴρ*, ἀντὶ τοῦ βοηθός.] Φησὶ δὲ ὑπερηφάνως, ὡς οὐ φέρεις με σύμπλουν, ἀλλὰ βοηθόν.

V. 473. *Χαλίκρητον* [z]). Τὸν ἄκρατον, τὸν χαλῶντα τὰς

s) Il. I, 541. t) λαροὺς πόδας P. u) ἐποσεσία P. v) τόσσον P. w) Od. IX, 277. x) εἵλκετο P. y) Il. IX, 559. z) χαλίκρατον P.

φρένας. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Αἰσχύλος δὲ καὶ τὰς Βάκχας χαλιμίας [a]) φησὶ λέγεσθαι.

V. 475. Ἴδμων δέ. Οἰκείως τὸν Ἴδμονα, ὡς μάντιν ὄντα, ποιεῖ ἐναντιούμενον τῷ Ἴδᾳ ἐχθρῷ ὄντι Ἀπόλλωνι.

V. 478. Οἰδάνει. Ἐπαίρει, μετεωρίζει, θρασύνει, ἐνεργητικῶς. Ἡ δὲ μεταφορὰ ἀπὸ τῆς θαλάσσης, ὅταν ἄρξηται μετεωρίζεσθαι. [Ἐξ οὗ καὶ οἶδμα τὸ κῦμα. Σημαίνει οὖν τὸ μετεωρίζειν καὶ αὐξάνειν καὶ θρασύνειν.]

V. 481. Ἐπιφλύειν μακάρεσσι. Τὸ ἐπιφλύειν ἀντὶ τοῦ φλυαρεῖν καὶ λοιδορεῖν.

V. 482. Ἀλωϊάδας. Τὴν περὶ τούτων ἱστορίαν καὶ Ὅμηρος οἶδεν. Ἐρατοσθένης δὲ γηγενεῖς αὐτοὺς φησί· διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ [Ἰφιμεδείας] τῆς Ἀλωέως γυναικὸς, μυθευθῆναι, ὡς Ἀλωέως εἰσὶν υἱοί. Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν· ταῖς δὲ ἀληθείαις, Ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτούς. Καὶ Ἄλον πόλιν Αἰτωλίας [b]) ὑπὸ τοῦ πατρὸς [c]) αὐτῶν ἐκτίσθαι· ἧς Ὅμηρος μνημονεύει,

— οἵ τ' Ἄλον εἶχον [d]).

[Τὸ δὲ οὐδ' ὅσσον, ἀντὶ τοῦ, οὐδ' ὀλίγον.]

V. 485. Ἐκ δὲ γέλασσεν [e]). Καὶ τοῦτο κουφότητος σημεῖον· εἴγε καὶ Ἰσοκράτης φησὶ, Μήτε γέλωτα προπετῆ στέργε.

V. 486. Κερτομίοισιν. Εἰρωνευτικοῖς, τὸ κέαρ τέμνειν καὶ λυπεῖν δυναμένοις.

Ἐπιλλίζων δὲ τοῖς ὀφθαλμοῖς, ἐπιμωκώμενος. Ἔπιλλοι γὰρ οἱ στραβοί.

V. 487. Ἄργει νῦν. Δι' ἀμφοτέρων ἐπισκώπτει τὸν Ἴδμονα· πρῶτον μὲν, ὡς ἀτεχνῆ μάντιν· δεύτερον δὲ, ὡς μέγα φρονοῦντα ἐπὶ Ἀπόλλωνι τῷ πατρὶ, ὡς μέγα δυναμένῳ τοὺς αὐθάδεις καθαιρεῖν. Τοῦτο δὲ μετὰ ἀπειλῆς δρᾷ λοιδορῶν.

V. 491. Χρειώ. Δηλοῖ καὶ τὸ κατὰ χρείαν καὶ μοῖραν λεγόμενον, καὶ τὸ μέλλον.

Μεταμώλιον δὲ, μεταμελείας ἄξιον. Γράφεται δὲ καὶ μεταμώνιον· ὅ ἐστι μάταιον, μετὰ ἀνέμων φερόμενον. Ἀπὸ γενικῆς πληθυντικῆς γίνεται κτητικὸς τύπος εἰς ος, τῷ ι παραληγόμενος· οἷον Ἄμμων, [Ἄμμωνος,] Ἀμμώνιος· Ἀνέμων, Ἀνεμώνιος.

V. 492. Χώετ' ἐνιπτάζων. Ἐχολοῦτο καὶ ὠργίζετο κακολογῶν καὶ μεμφόμενος.

V. 495. Λαιῇ. Κατ' εὐφημισμὸν, τῇ ἀριστερᾷ.

Πείραζεν [f]) δὲ, ἀντὶ τοῦ ἥρμοττεν.

Περιττὴ δὲ ἡ ἀνά. Τὸ γὰρ ἑξῆς, καὶ Ὀρφεὺς δέ. Εἰ μὴ ὅτι ἐκ τῆς ἀνὰ τὸ ἀναστὰς λέγει· ἀναστὰς δὲ καὶ ὁ Ὀρφεύς. [Ἡ ἀνὰ ἢ περισσὴ, ἢ ἀντὶ τοῦ ἀνέστη.]

a) χαλίδας P. Hinc Χαλιμάδας legendum esse recte suspicatur Naek. ad Choeril. p. 217, qui etiam λέγεσθαι in γενέσθαι mutandum putat.

b) ἐν Θεσσαλίᾳ P. c) ἐπ' ὀνόματι τοῦ πατρὸς P. d) Il. II, 682. e) ἐκ δ' ἐγέλασσε P. f) ἐπήραζεν P.

Ὅρα δὲ τὸ τῆς μουσικῆς χρήσιμον, εἴγε τὰς στασεις καὶ τὰς φιλονεικίας καταπαύει.

V. 496. Ἤειδεν δ' ὡς γαῖα. [Ἡ τοῦ Ὀρφέως ᾠδὴ φυσιολογίαν περιέχει.] Τὴν πρώτην σύγχυσιν τῶν στοιχείων ᾄδειν βούλεται, ὡς ἔκ τινος φιλονεικίας τὸ ἴδιον ἕκαστον μετέσχεν, καὶ τάξιν ἔλαβεν. Οἰκεία δὲ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἡ ᾠδή g)· (ὅτι πρέπον ἐστὶ τῆς μάχης παύσασθαι, καὶ εἰς τὴν οἰκείαν διάθεσιν ἐπανιέναι.) [δικαιοσύνην γὰρ παιδεύει, καὶ μὴ συγκεχυμένως, εἴτουν ἀκόσμως ζῆν, ἀλλ' εὐπρεπῶς καὶ κοσμίως.]

V. 498. Νείκεος ἐξ ὀλοοῖο. Ἐμπεδοκλῆς φησὶν, ὅτι συγκεχυμένων ἁπάντων τοπρότερον, νεῖκος καὶ φιλία παραπεμφθέντα τὴν διάκρισιν ἐποιήσαντο· χωρὶς δὲ τούτων οὐδὲν δύναται γενέσθαι. Ὧι ἕπεται, ὡς εἰκὸς, μηδὲ ἀπολωλέναι. Ὁ δὲ Θαλῆς ἀρχὴν ὑπεστήσατο πάντων τὸ ὕδωρ, λαβὼν παρὰ τοῦ ποιητοῦ λέγοντος,

Ἀλλ' ὑμεῖς μὲν (πάντες) ὕδωρ καὶ γαῖα γένοισθε h).

Καὶ Ζήνων δὲ [ὁ Στωϊκὸς] τὸ παρ' Ἡσιόδῳ i) χάος, ὕδωρ εἶναι φησίν· οὗ συνιζάνοντος, ἰλὺν γίνεσθαι· ἧς πηγνυμένης, ἡ γῆ στερεμνιοῦται. Τρίτον δὲ ἔρωτα γεγονέναι (καθ' Ἡσίοδον), ἵνα τὸ πῦρ παραστήσῃ· πυρωδέστερον γὰρ πάθος ἔρως. Ἀναξαγόρας δὲ μύδρον εἰπὼν τὸν ἥλιον, φησὶν, ἐξ οὗ τὰ πάντα γίνεται k). Διὸ καὶ Εὐριπίδης γνώριμος αὐτῷ γεγονὼς χρυσέαν βῶλον τὸν ἥλιον εἶπε. Τὴν δὲ σελήνην ὁ αὐτὸς Ἀναξαγόρας χώραν πλατεῖαν ἀποφαίνεται, ἐν ᾗ δοκεῖ ὁ Νεμαῖος λέων πεπτωκέναι.

V. 501. Οὔρεα. Δοῦρις φησὶ τοὺς ὑπὸ τῶν Γιγάντων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας, γενέσθαι νήσους· τοὺς δὲ εἰς τὴν γῆν, ὄρη.

V. 509. Δικταῖον. Τὸ Κρητικὸν, ἔνθα ἀνετράφη ὁ Ζεὺς, ὡς καὶ Καλλίμαχος ἱστορεῖ.

V. 513. Τοὶ δ' ἄμοτον l). Ἀντὶ τοῦ ἀμότως καὶ ἀκορέστως. Ὁ δὲ νοῦς, Λήξαντος δὲ τῆς ᾠδῆς m), ἀπλήρωτοι αὐτῆς ὄντες ἔτι, προετετάκεισαν τὰς κεφαλὰς, ἀνατετακότες τὰ ὦτα, καὶ ἠρεμοῦντες ἐν ἡσυχίᾳ· τοιαύτῃ ἡδονῇ συνείχοντο.

V. 515. Κηληθμῷ. Ἐν δὲ τῇ προεκδόσει μετὰ τοῦτο γέγραπται·

Ἦμος δὲ τριτάτη φάνη ἠὼς n), τῇ δ' ἐπὶ νύκτα o)
βουθύσιον p) Ἑκάτοιο κατ' αὐτόθι δαινυμένοισι,
τῆμος ἄρ' ἐκ Διόθεν πνοιὴ πέσεν. ὦρτο δέ Τῖφυς
κεκλόμενος βαίνειν ἐπὶ σέλμασι. τοὶ q) δ' ἀΐοντες
[ἰθὺς ἔβαινον].

(Ἑξῆς δὲ τῶν ἐκκειμένων,)

σμερδαλέον δὲ λιμήν.

V. 516. Οὐδ' ἐπιδὴν μετέπειτα. Οὕτως ἀναστρεπτέον

g) ἡ φυσιολογία P. h) Il. VII, 99. i) Sic P. Vulg. Ἡσιόδου. k) ἐξ αὐτοῦ πάντα γεγονέναι. P. l) Τοῦ δ' ἄμοτον. P. m) τοῦ Ὀρφέως P. n) ὁδὸς P. o) νυκτὶ P. p) βουθυσίην P. q) σέλμασιν. οἱ P.

τὴν φράσιν, Ἔπειτα οὐκ ἐπιδὴν οὐδὲ μετὰ χρόνον κεράσαντες, ἀντὶ τοῦ, εὐθέως καὶ μετ' ὀλίγον [ὑπέχεον ταῖς γλώσσαις].

V. 517. Ἡι θέμις. Ὅτι ἔθος ἦν τοῖς παλαιοῖς κρατῆρα κιρνᾶν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ Ἑρμῇ, καὶ ἐπισπένδειν οἶνον. Καὶ ἴσως φυσικῶς. Ἐπεὶ γὰρ Ἑρμῆς λόγος εἶναι παραδέδοται, ὄργανον δὲ αὐτοῦ ἡ γλῶσσα, ἥτις ὕπνου ἐπιπεσόντος ἠρεμεῖ, εἰκότως τῷ Ἑρμῇ αὐτὴν θύουσιν. Καὶ Ὅμηρος [r])·

Γλώσσας δ' ἐν πυρὶ βάλλον [s]).

Διευχίδας [t]) δὲ ἐν τοῖς Μεγαρικοῖς ἱστορεῖ, ὅτι Ἀλκάθους [u]) ὁ Πέλοπος διὰ τὸν Χρυσίππου φόνον φυγαδευθεὶς ἐκ Μεγάρων, ἀπήρχετο κατοικήσων εἰς ἑτέραν πόλιν. Καὶ δὴ περιπεσὼν λέοντι λυμαινομένῳ τὰ Μέγαρα, ἐφ' ὃν καὶ ἕτεροι ἦσαν ἀπεσταλμένοι ὑπὸ τοῦ βασιλέως τῶν Μεγάρων, καταγωνίζεται τοῦτον· καὶ τὴν γλῶτταν αὐτοῦ [ἀποτεμὼν καὶ] εἰς πήραν θέμενας, ἐπανῆλθεν αὖθις εἰς τὰ Μέγαρα. Καὶ ἀπαγγελλόντων τῶν ἀπεσταλμένων ἐπὶ τὴν θήραν, ὅτι αὐτοί εἰσιν οἱ κατηγωνισμένοι [v]) τὸ θηρίον, προσκομίσας τὴν πήραν, ἤλεγξεν αὐτούς. Διόπερ θύσας τοῖς θεοῖς ὁ βασιλεὺς, τὸ τελευταῖον τὴν γλῶσσαν ἐπέθηκεν τοῖς βωμοῖς· καὶ ἀπὸ τότε ἔθος τοῦτο διέμεινεν Μεγαρεῦσι. Φιλόχορος δὲ ἐν τῷ περὶ θυσιῶν φησὶν, ὅτι [ἡ γλῶττα] τὸ κάλλιστον τοῦ σώματος καὶ πρωτεῦόν ἐστι. (Καὶ Ὅμηρος [w])·

Ἀλλ' ἄγε τάμνετε γλώσσας.

ἀντὶ τοῦ παύετε τοὺς λόγους.)

V. 526. Ἐν γάρ οἱ δόρυ. Πιθανῶς ἐκ τῆς Δωδωνίδος φησὶ δρυὸς τὸ ξύλον εἶναι ἐν τῇ Ἀργοῖ τὸ φωνῆεν, ἐπεὶ καὶ αὐτὴ ἐφθέγγετο, ὥς φησιν Ὅμηρος [x])·

— — ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο βουλὴν ἐπακούσοι [y]).

V. 528. Οἱ δ' ἀνὰ σέλματα. Τὰς τῶν ἐρετῶν καθέδρας, τὰ σελιδώματα. Καθόλου δὲ τὸ πλατὺ ξύλον σέλμα λέγεται καὶ σελίδωμα. Ὅθεν καὶ τὰς σελίδας τῶν ῥαψῳδιῶν διὰ τὸ πλάτος φαμέν.

V. 533. Ποσσὶν ὑπεκλύσθη [z]). Καὶ αὐτῷ ἐπικαθεσθέντι κάτωθεν παρὰ τοῖς ποσὶ μᾶλλον ἐπεκλύσθη [z]) ἡ τρόπις τῆς νεὼς, καὶ ἐν βάθει τῆς θαλάσσης ἐγένετο, τῷ βάρει τοῦ ἥρωος.

V. 537. (Ἤ που ἐν Ὀρτυγίῃ. Ἐν τῇ Δήλῳ. Τὸ δὲ ἑξῆς οὕτως, Καθάπερ ἠΐθεοι ἐν Δελφοῖς, ἢ ἐν Δήλῳ, ἢ ἐν Ἰσμηνῷ περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος χορὸν στήσαντες, πρὸς τὸ τῆς κιθάρας μέλος ἡρμοσμένως κροτοῦσιν τοῖς ποσίν· οὕτω καὶ οὗτοι, τῇ τοῦ Ὀρφέως κιθάρᾳ κηλούμενοι, σφοδρότερον πρὸς τὴν κωπηλασίαν ἤεσαν.) Τὸ δὲ ἑξῆς, [τὸ ῥήσσωσιν, ἀντὶ τοῦ κτυποῦσι. Σύν-

r) Od. III, 341. s) βάλλομεν P. t) Sic P. Διρηχίδας vulg. Vid. Schol. ad I, 118. u) Ἀλκάνθους P. v) καταγωνισάμενοι P. fortasse rectius. w) Od. III, 332. x) Od. XIV, 327. y) βοὴν ἐπακούσῃ P. z) ὑπεκλάσθη P.

απτε δὲ αὐτὸ τῷ ὁμαρτῇ,] ὁ μ α ρ τ ῇ ῥ ή σ σ ω σ ι ν. Ἡ δὲ ὑπὸ πρόθεσις παρῆκται ὡς παρ' Ὁμήρῳ[a]),

— — — ὑπαὶ πόδα νείατον Ἴδης.

Ἰ σ μ η ν ο ῖ ο. Ἰσμηνὸς, ποταμὸς Βοιωτίας· ἀφ' οὗ, Ἰσμηνίου Ἀπόλλωνος ἱερόν.

(V. 542. Κ ή κ ι ε ν ἅ λ μ η. Ἀνεδίδοτο καὶ ἀνεπήδα ἑκατέρωθεν τῆς νεὼς ἡ θάλασσα.)

V. 543. Μ ο ρ μ ύ ρ ο υ σ α. Δεινῶς ταρασσομένη καὶ κινουμένη φοβερῶς. (Ἐν δὲ τῇ προεκδόσει,

Μορμύρουσα τύπῃσιν ἐρισθενέων μένει ἀνδρῶν.)

V. 545. Τ ε ύ χ ε α. Εἰς κόσμον τῆς νεὼς εἰώθασιν ὅπλα περιτιθέναι.

Μ α κ ρ α ὶ δ' α ἰ έ ν. Ὁ νοῦς, ἐλευκαίνετο δὲ τὸ ὕδωρ, καθάπερ ἀτραπὸς διὰ χλοηφοροῦντος πεδίου. Ἢ ἄλλως, ὡς δήλη ἐστὶν ἡ ὁδὸς πεδίου μεταξὺ χλοηφόρου, οὕτω καὶ ὁ τύπος τῆς νεὼς ἐφαίνετο.

V. 547. Π ά ν τ ε ς δ' ο ὐ ρ α ν ό θ ε ν. Διὰ τούτου ἐβεβαιώσατο καὶ τοὺς θεοὺς σκοπεῖν καὶ θαυμάζειν τὸν πλοῦν. Οὐ γὰρ ἁπλῶς τινὲς ναῦται ἦσαν, ἀλλ' ἡμίθεοι.

V. 551. Τὸ δὲ νῆα ὑπὸ Ἀθηνᾶς εἰργασμένην, πρὸς πᾶν θαῦμα κεῖται.

Ἰ τ ω ν ί δ ο ς. Γράφεται καὶ Τ ρ ι τ ω ν ί δ ο ς. Ἰτωνίας[b]) δὲ Ἀθηνᾶς ἐστὶν ἱερὸν ἐν Κορωνείᾳ τῆς Βοιωτίας. Ὁ μέντοι Ἀπολλώνιος οὐκ ἂν λέγοι τὴν Ἀθηνᾶν ἐπὶ κατασκευῇ τῆς Ἀργοῦς ἀπὸ τῆς ἐν Ἰτωνίᾳ κλήσεως[c]), μᾶλλον δὲ ἀπὸ Θεσσαλικῆς Ἰτωνίας, περὶ ἧς Ἑκαταῖος μὲν ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν λέγει· Ἀρμενίδας δὲ ἐν τοῖς Θηβαϊκοῖς[d]), Ἀμφικτύονος υἱὸν Ἴτωνον[e]) ἐν Θεσσαλίᾳ γεννηθῆναι, ἀφ' οὗ Ἴτων πόλις, καὶ Ἰτωνὶς Ἀθηνᾶ. Μέμνηται καὶ Ἀλέξανδρος ἐν πρώτῳ Καρικῶν ὑπομνημάτων[f]).

V. 554. Π ο λ ι ῇ δ' ἐ π ὶ κ ύ μ α τ ο ς ἀ γ ῇ. Τῷ αἰγιαλῷ, ἔνθα τὰ κύματα περιάγνυται.

Σουΐδας ἐν Θεσσαλικοῖς φησὶν Ἰξίονος υἱὸν εἶναι Χείρωνα, ὥσπερ καὶ τοὺς λοιποὺς τῶν Κενταύρων. Ὁ δὲ τὴν Γιγαντομαχίαν ποιήσας, φησὶν ὅτι ὁ Κρόνος μεταμορφωθεὶς εἰς ἵππον ἐμίγη Φιλύρᾳ τῇ Ὠκεανοῦ· διόπερ ἱπποκένταυρος ἐγεννήθη ὁ Χείρων. Τούτου δὲ γυνὴ Χαρικλώ. Εἰκότως δὲ παρεισήνεγκεν εἰκόνα τοῦ Χείρωνος, καὶ ὅτι φιλάνθρωπος[g]), καὶ ὅτι δικαιότατος Κενταύρων· καὶ διὰ τὴν οἰκειότητα τὴν εἰς τὸν Ἰάσονα. Παρ' αὐτοῦ γὰρ ἔμαθε τὴν ἰατρικήν. Ὅθεν καὶ Ἰάσων ἐκλήθη, παρὰ τὴν ἴασιν.

V. 558. Π η λ ε ί δ η ν Ἀ χ ι λ ῆ α. Ἠκολούθησεν Ἀπολλώνιος τοῖς μεθ' Ὅμηρον ποιηταῖς, ὑπὸ Χείρωνος λέγων τὸν Ἀχιλλέα τραφῆναι. Ὅμηρος δὲ οὐδὲν τοιοῦτον λέγει. Διαπεφωνήκασι δὲ

a) Il. II, 824. b) Ἰτωνίδος P. c) ἀπὸ τῆς ἐν Κορωνείᾳ Ἰτωνίδος P. d) Ἀρμενίδης ἐν τοῖς Μεγαρικοῖς P. Ἀντιμενίδης legendum putat Voss. de hist. gr. p. 334. e) Ἴτωνα P. Vulgatam tuetur Steph. Byz. s. Ἴτων. f) ἀπομνημονευμάτων P. g) φιλαλήθη P.

καὶ περὶ τῆς αὐτοῦ μητρός. Ἐκεῖνος γὰρ πανταχοῦ Θέτιδος αὐτὸν ἀποφαίνεται. [οἱ δὲ μεθ' Ὅμηρον ἄλλοι ἄλλως περὶ αὐτοῦ ἀποφαίνονται [h]).] (Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ δευτέρῳ τῶν Νόστων κατὰ λέξιν λέγων. * Σουΐδας γὰρ καὶ Ἀριστοτέλης οἱ περὶ Εὐβοίας πεπραγματευμένοι, καὶ ὁ τοὺς Φρυγίους λόγους γράψας, καὶ Δαΐμαχος καὶ Διονύσιος ὁ Χαλκιδεὺς, οὐ τὴν περὶ Ἀχιλλέως διεσπαρμένην ἀφῆκαν ἡμῖν ἐπὶ χώρας δόξαν· ἀλλὰ τοὐναντίον οἱ μὲν ἐκ Θέτιδος αὐτὸν νομίζουσι γεγονέναι τῆς Χείρωνος, Δηΐμαχος δὲ ἐκ Φιλομήλης τῆς Ἄκτορος. Ἄλλοι δ' ἄλλως περὶ αὐτοῦ ἀποφαίνονται.)

[V. 559. *Οἱ δ' ὅτε δή.* Περιηγῆ μὲν λιμένα φησὶ τὸν κυκλοτερῆ καὶ καμπὰς ἔχοντα.]

V. 563. *Μεσόδμη.* Ἡ ἱστοδόκη, ὅπου τίθεται ὁ ἱστὸς, καὶ κλίνεται.

V. 564. *Προτόνους δὲ*, τὰ ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ ἐπὶ τὴν πρῴραν καὶ τὴν πρύμναν ἐκτεινόμενα σχοινία.

V. 565. *Ἠλακάτη* δὲ λέγεται τὸ λεπτότατον καὶ ἀκρότατον [i]) μέρος τοῦ ἱστοῦ, κατὰ Ἐρατοσθένην, ὑπὲρ ὃ ἐστὶ τὸ καρχήσιον.

V. 566. *Ἰκρίον δὲ*, οἱ μὲν μέρος τοῦ ἱστοῦ λέγουσι· βέλτιον δὲ νοεῖν ἰκρίον τὴν καλουμένην κεραίαν, ἧς τὰ ἄκρα, ἀκρότερα [k]) λέγονται. Λέγεται δὲ ἰκρία καὶ τὰ σανιδώματα, οἷς οἱ πάσσαλοι πρόσκεινται.

V. 567. *Περόνας δὲ* τοὺς πασσάλους τοὺς ἐπὶ τῶν σανιδωμάτων, ἢ τοὺς καλουμένους τροχοὺς, οἷς τὰ σχοινία δεσμεύουσι.

Κάλωας δὲ τὰ σχοινία, νῦν μὲν οἷς ὁ ἱστὸς ἰσχυρὸς ποιεῖται ἀφ' ἑκατέρου τοῦ πλευροῦ τῆς νεώς· καὶ καθόλου δὲ πᾶν σχοινίον κάλως λέγεται. Διὸ καὶ διαιροῦντες αὐτοὺς, οἷς μὲν κατάγεται τὸ ἱστίον, μεσουρίας λέγουσιν· οἷς δὲ ἰσχυροποιεῖται ὁ ἱστὸς ἐξ ἑκατέρου μέρους ἐπὶ τὴν [l]) πρῴραν, προτόνους· τοὺς δὲ κατὰ τὰς γωνίας, πόδας· ἐφεξῆς δὲ τούτων πρόποδας· μεθ' οὓς εἰσὶν οἱ καλούμενοι τέρθριοι· εἶτα οὓς λέγουσι μέσους. [Ὁ δὲ κάλως κλίνεται διχῶς· ὁ κάλως τοῦ κάλω, καὶ ὁ κάλως τοῦ κάλωος, ὡς ἐνταῦθα.]

Διακριδὸν δὲ, ἀντὶ τοῦ διωρισμένως καὶ ἐκτεταγμένως [m]).

Ὅταν οὖν λέγῃ ἐπὶ τὴν ἠλακάτην ἐρύσαι τὰ λίνα, τοῦτο φησὶν, ὅτι μέχρι τοῦ ἀκροτάτου μέρους τοῦ ἱστοῦ ἀνείλκυσαν τὰ ἱστία.

Ἰστέον ὅτι Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ, μέρη ταῦτα φησὶν ἱστοῦ, Πτέρνη, Θωράκιον, Ἠλακάτη, Καρχήσιον, Κεραία, Ἰκρίον.

V. 568. *Τίσαιον δὲ*, ἀκρωτήριον Θεσσαλίας. Οἱ δὲ, Θεσπρωτίας.

h) Haec vocabula in cod. sequitur lacuna, quae incipit a voce λάθος. i) ἀνώτατον var. lect. in P. k) ἀκρόκερα P. l) πρύμναν καὶ τὴν excidisse videtur Schaefero. m) ἐκτεταμένως P.

V. 569. (Εὐθήμονι. Εὖ διατεθειμένῃ, εὐρύθμῳ, εὐποιήτῳ. Θεῖναι γὰρ τὸ ποιῆσαι.) [Εὐθήμονα δέ φησιν τὴν ᾠδὴν διὰ τὸ εὖ διατιθέναι τὰς τῶν ἀκουόντων ψυχάς.]

[V. 570. Νηοσόον δέ φησι τὴν Ἄρτεμιν, ἢ διὰ τὸ σώζειν τὰς ναῦς, ἢ διὰ τὸ σεύειν καὶ κινεῖν αὐτάς.]

V. 571. Τὴν Ἄρτεμιν ὑμνεῖ διὰ τὸ τὸν τόπον ἱερὸν αὐτῆς εἶναι.

V. 574. (Ἄπλετοι. Ἀπροσπέλαστοι, μεγάλοι.)

Διασκαίροντες καὶ διανηχόμενοι.

Διὰ δὲ τοῦ ἄμμιγα [n]) τὸ τοῦ μέλους θελκτικὸν σημαίνει. Οἷον οἱ μηκέτι ἑαυτοὺς βλάπτοντες, ἀλλὰ μεθ' ἡσυχίας ἑπόμενοι.

V. 578. Νόμιον μέλος. Ποιμενικὸν, παρὰ τοὺς νομέας. Ἢ νόμιον μέλος, ὕμνος παρὰ τοῖς ἀρχαίοις οὕτω λεγόμενος.

V. 580. Ἠερίη πολυλήϊος. Ἡ Θεσσαλία, παρὰ τὸ μέλαιναν εἶναι τὴν γῆν [o]). Οὕτω γὰρ καὶ τὴν Αἴγυπτον ἠερίαν φασίν. Ἢ ἠερία ἀντὶ τοῦ πρωΐα [p]), ἀπὸ τοῦ ἦρι. [Πρωϊνὴ δὲ ἀντὶ τοῦ [q]) ὀνόματος ἀντὶ ἐπιῤῥήματος.]

Πελασγῶν. Τῶν Θεσσαλῶν, ἀπὸ Πελασγοῦ τοῦ Ἰνάχου. Ἢ ἀπὸ Πελασγῶν, ἔθνους βαρβαρικοῦ, οἰκήσαντος τὴν Θεσσαλίαν καὶ τὸ Ἄργος [καὶ ἄλλας οὐκ ὀλίγας χώρας]. Ἢ ἀπὸ Πελασγοῦ τοῦ Ποσειδῶνος υἱοῦ καὶ Λαρίσσης. Στάφυλος δὲ ὁ Ναυκρατίτης Πελασγὸν φησὶν Ἀργεῖον τὸ γένος, μετοικῆσαι δὲ εἰς Θεσσαλίαν, καὶ ἀπ' αὐτοῦ Πελασγίαν τὴν Θεσσαλίαν κληθῆναι. Ὅτι δὲ καὶ αὐτοὶ οἱ Ἀργεῖοι ἐκαλοῦντο Πελασγοὶ, Σοφοκλῆς ἐν Ἰνάχῳ φησί. Καὶ οἱ Τυρσηνοὶ δὲ, Πελασγοί.

V. 581. Ἐρίπνας. Ἀποῤῥῶγας κολώνης, σπήλαια κρημνώδη. Λέγουσι δὲ οὕτω καὶ τὰς οἰκίας, ἀπὸ τοῦ ἐρηρεῖσθαι. Ἐρίπνη δὲ λέγεται ἐπὶ τοῦ ἀκρωτηρίου, παρὰ τὸ ἄγαν πνέεσθαι.

V. 582. Σηπιάς. Ἀκρωτήριον ἐν Ἰωλκῷ, οὕτω καλούμενον διὰ τὸ τὴν Θέτιν ἐνταῦθα εἰς σηπίαν μεταβληθῆναι, διωκομένην ὑπὸ Πηλέως.

V. 583. Εἰναλίη Σκίαθος. Ἡ παραθαλασσία. Νῆσος γὰρ ἡ Σκίαθος τῆς Θεσσαλίας, ἐγγὺς Εὐβοίας· (ἧς καὶ Σιμωνίδης μέμνηται.)

V. 584. Πειρεσιαὶ δὲ, πόλις Μαγνησίας· Μάγνησα δὲ, πόλις τῇ χώρᾳ ὁμώνυμος, ἄγαν εὔδιος καὶ παραθαλάσσιος.

Μάγνησα [r]). Τὴν Μαγνησίαν λέγει τὴν κατὰ Θεσσαλίαν. Ἔστι γὰρ καὶ ἑτέρα Μαγνησία περὶ Ἔφεσον, ἐκτισμένη ὑπὸ Λευκίππου [s]) τοῦ Καρὸς, μετοικήσαντος ἐκεῖ σὺν Μάγνησι τοῖς ἐκ Κρήτης.

Μάγνησά θ' ὑπεύδιος. Ὁ νοῦς, οὐ τραχεῖά τις οὐδὲ πετρώδης, ἀλλ' ὁμαλή τις καὶ εὔδιος.

V. 587. Καί μιν κυδαίνοντες. Τὸν Δόλοπα. Ὁ δὲ Δόλοψ, Ἑρμοῦ υἱὸς, ὃς ἐν Μαγνήσῃ τῇ πόλει ἀπώλετο, καὶ αὐ-

n) ἔμμιγε P. o) Sic ed. princeps. τὴν εἶναι γῆν ed. Steph. errore typ. p) πρωϊνή P. q) πρωΐ, τεθέντος τοῦ excidisse videtur Schaefero. r) Μάγνησσα P. et sic deinceps per σσ. s) Μάγνητος P.

τόθι τάφον παρὰ τῷ αἰγιαλῷ ἔσχεν, ὡς Κλέων ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν. Τοῖς μὲν οὖν κατοιχομένοις ὡς περὶ ἡλίου δυσμὰς ἐναγίζουσι, τοῖς δὲ Οὐρανίδαις ὑπὸ τὴν ἕω, ἀνατέλλοντος τοῦ ἡλίου.

[Τὸ μὲν ἔκελσαν ἀντὶ τοῦ ὥρμησαν.] Ἔντομα δὲ τὰ σφάγια, κυρίως τὰ τοῖς νεκροῖς ἐναγιζόμενα, διὰ τὸ ἐν τῇ γῇ αὐτῶν ἀποτέμνεσθαι τὰς κεφαλάς. Οὕτω γὰρ θύουσι τοῖς χθονίοις· τοῖς δὲ οὐρανίοις ἄνω ἀναστρέφοντες τὸν τράχηλον σφάζουσιν. Ὅμηρος [t])·

Αὖ ἔρυσαν μὲν πρῶτα.

Ἄλλοι δὲ ἔντομα, φασὶν, [ἤγουν εὔνουχα· εὔνουχα δὲ] τοῖς τεθνεῶσιν ἐνάγιζον, ὡς ἄγονα τοῖς ἀγόνοις· τοῖς δὲ οὐρανίοις θεοῖς ἔνορχα ἔθυον.

V. 588. [Τὸ δὲ ἔκειαν, ἀντὶ τοῦ ἔθυσαν.] Λείπει δὲ ἡ παρὰ πρόθεσις· ἵν' ᾖ, ἔθυον τῷ Δόλοπι παρὰ τῷ οἴδματι τῆς θαλάσσης.

V. 589. Ἐλινύεσκον. Περὶ τὸ αὐτὸ διέτριβον. Ἢ ἐστρεύγοντο, ἐμποδιζόμενοι τῆς ὁδοῦ.

V. 592. Μελίβοιαν. Πόλιν Θεσσαλίας.

V. 594. Ὁμόλην. Ὁμόλη ὄρος Θεσσαλίας οὕτω καλούμενον, ἢ πόλις Θρᾴκης.

(V. 595. Οὐδ' ἔτι δηρόν. Ὁ λόγος, οὐκ ἔμελλον μετὰ πολὺ παρέρχεσθαι τὰ ῥεύματα τοῦ ποταμοῦ.)

V. 596. Τὸ δὲ ὑπεκβαλεῖν, τὸ ἀμεῖψαι τὰ ῥεῖθρα τοῦ Ἀμύρου ποταμοῦ σημαίνει.

Ἀμύροιο ῥέεθρα. Ἄμυρος Θεσσαλίας ποταμὸς ἐκρέων, μετὰ τὴν Μελίβοιαν κείμενος· προσαγορευόμενος ἀπὸ Ἀμύρου τοῦ υἱοῦ Ποσειδῶνος. Ἔστι δὲ καὶ πόλις αὐτόθι [οὕτω καλουμένη].

V. 597. Εὐρυμένας δὲ φάραγγας [u]), τὰς εἰς τὸ πλάτος ἀνεῳγμένας.

V. 598. Ὄσσης. Ὄσσα ὄρος πρὸς τῷ τέλει τῆς Θεσσαλίας, μεθ' ὃ διαδέχεται ἡ Μακεδονία.

V. 599. Κλίτεα δὲ, τὰς ἀνακλίσεις τῶν ὀρῶν καὶ βάσεις.

Παλλήνη δὲ, ὄρος [v]) Θρᾴκης καὶ πόλις, ὅθεν ἦν Πρωτεύς [w]).

Κανάστρα [x]) δὲ ἀκρωτήριον τῆς Παλλήνης.

Ὄλυμποι δέ εἰσιν ἕξ· Μακεδονίας, Θεσσαλίας [y]), ἐν ᾧ καὶ Ὀλύμπια φησὶν Ἀπολλόδωρος ἄγεσθαι, Μυσίας, Κιλικίας, Ἤλιδος, Ἀρκαδίας.

V. 601. Ἄθω. Ἄθως ὄρος Θρᾴκης ὑψηλότατον. Ἡ δὲ διάνοια, ἅμα δὲ τῇ ἡμέρᾳ ὁ Ἄθως αὐτοῖς ἀνεφάνη, ἀπέχων τῆς Λήμνου τοσοῦτον, ὅσον ἂν ναῦς πλέουσα ἀπὸ ἠοῦς μέχρι μεσημβρίας πλοῦν διανύσῃ. Καὶ τοσοῦτον, φησὶν, ἀπέχουσαν τὴν Λῆμνον ὅμως σκιάζει διὰ τὸ ὕψος παρακλίναντος τοῦ ἡλίου. Οὐ μόνον δὲ, ἀλλὰ καὶ μέχρι Μυρίνης. Πόλις δέ ἐστιν ἡ Μυρίνη πρὸς

t) Il. I, 459. u) φάλαγγας P. v) χώρα P. w) Ὀρφεύς P. recte, ut videtur. x) Κάναστρον P. rectius, cf. Steph. Byz. s. v. y) Θ. M. P.

τῷ τέλει τῆς Λήμνου. Δίπολις γάρ ἐστιν ἡ Λῆμνος· ἔχει γὰρ Ἡφαιστίαν καὶ Μυρίνην. Ἐκλήθη δὲ ἀπὸ Μυρίνης τῆς Θόαντος γυναικὸς, Κρηθέως δὲ θυγατρός.

(V. 604. Καὶ ἐσάχρι. Περιττὸς ὁ καὶ σύνδεσμος.)

V. 608. Σιντηΐδα. Ἐπιθετικῶς Σιντηῒς ἡ Λῆμνος. Τυρσηνοὶ γὰρ αὐτὴν πρῶτοι ᾤκησαν, βλαπτικώτατοι ὄντες. Ἢ τὴν ὑπὸ τῶν βαρβάρων οἰκισθεῖσαν. Καὶ Ὅμηρος [z])·

Ὤιχετο δ' ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους.

Ἑλλάνικος δέ φησι Σίντιας ὀνομασθῆναι τοὺς Λημνίους, διὰ τὸ πρώτους ὅπλα ποιῆσαι πολεμικὰ πρὸς τὸ σίνεσθαι τοὺς πλησίον καὶ βλάπτειν.

V. 609. Ἔνθ' ἄμυδις. Αἱ Λήμνιαι γυναῖκες ἐπιπολὺ τῶν τῆς Ἀφροδίτης τιμῶν κατολιγωρήσασαι, καθ' ἑαυτῶν τὴν θεὸν ἐκίνησαν. Πάσαις γὰρ δυσοσμίαν ἐνέβαλεν, ὡς μηκέτι αὐτὰς τοῖς ἀνδράσιν ἀρέσκειν. Τῶν δὲ πρὸς Θρᾷκας ἐχόντων πόλεμον, καὶ πολλάκις [a]) ἐκεῖθεν αἰχμαλώτους λαμβανόντων, καὶ ἀποστρεφομένων τὰς γνησίας γαμετὰς, κατὰ τὴν τῆς θεοῦ ὀργὴν, ἐψηφίσαντο αἱ γυναῖκες νύκτωρ τοὺς ἄνδρας ἀνελεῖν. Καὶ οὐ μόνον τοῦτο ἐποίησαν, ἀλλὰ καὶ τὰς αἰχμαλώτους ἀνεῖλον. Δείσασαι δὲ, μὴ οἱ παῖδες ἀνδρωθέντες τιμωρήσωνται αὐτὰς, πᾶν ὁμοῦ τὸ ἄρσεν γένος ἀνεῖλον.

V. 613. Ἀντιπέρηθεν [b]). Ἐξεναντίας. (Οὕτω γὰρ κεῖται ἡ Θρᾴκη τῆς Λήμνου.)

Ληΐδας, τὰς αἰχμαλώτους.

V. 615. Ἄτισσαν [c]). Οὐκ ἐτίμησαν.

Ἰστέον δὲ, ὅτι τῶν ἄλλων ἱστορούντων, ὅτι κατὰ χόλον τῆς Ἀφροδίτης αἱ Λημνιάδες δύσοσμοι ἐγένοντο, Μυρτίλος [d]) (ἐν πρώτῳ Λεσβικῶν) διαφέρεται, καί φησι τὴν Μήδειαν παραπλέουσαν, διὰ ζηλοτυπίαν ῥῖψαι εἰς τὴν Λῆμνον φάρμακον, καὶ [ἐξ ἐκείνου] δυσοσμίαν γενέσθαι ταῖς γυναιξίν· εἶναί τε μέχρι τοῦ νῦν κατ' ἐνιαυτὸν ἡμέραν τινὰ, ἐν ᾗ διὰ τὴν δυσωδίαν ἀποστρέφονται τὰς γυναῖκας ἄνδρες τε καὶ υἱεῖς.

V. 620. Οἴη δ' ἐκ πασέων. Εἰκότως ἡ Ὑψιπύλη οὐκ ἀπέκτεινε τὸν πατέρα· πρῶτον μὲν, διότι πατὴρ ἦν, ἔδωκε τὴν ὀφειλομένην τῷ Θόαντι σωτηρίαν· δεύτερον δὲ, διὰ τὴν ἡλικίαν· καὶ [τρίτον] ὅτι οὐκ αἴτιος ἦν αὐτὸς οὐδὲ συνεργὸς (τῆς τῶν ἄλλων Λημνιάδων ἀσελγείας.) [τοῦ πρὸς τὰς γυναῖκας τῶν ἀνδρῶν μίσους.]

V. 623. Ἐς Οἰνοίην ἐρύσαντο. [Οἰνοίην λέγει τὴν Οἰνόην.] (Εἴληφε τὴν ἱστορίαν παρὰ Θεολύτου.)

V. 624. Σίκινος [e]) δέ ἐστι νῆσός τις πρὸ τῆς Εὐβοίας, (τὸ πρότερον Οἰνοίη καλουμένη, διὰ τὸ εἶναι αὐτὴν ἀμπελόφυτον.) Μνημονεύει δὲ τῆς μετονομασίας Ξεναγόρας, λέγων ὅτι μετωνομάσθη ἀπὸ Σικίνου υἱοῦ Θόαντος καὶ Νηΐδος νύμφης. [Ἐκεῖσε γὰρ

z) Od. VIII, 294. a) πολλὰς P. c) ἄτισαν P. d) Μυρτῖλος P. fortasse rectius. b) ἀντιπερρη P. e) Σύκινος P.

ἐῤῥίφη ἡ λάρναξ ὑπὸ τῆς θαλάσσης, ἣ περιτυχόντες ἁλιεῖς, οὓς νῦν ἐπακτῆρας καλεῖ, σημαίνει δὲ ἡ λέξις καὶ τοὺς κυνηγοὺς, ἔσωσαν τὸν Θόαντα.] Ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη, καὶ Κλέων ὁ Κουριεὺς [f]) ἱστορεῖ, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς, δεικνὺς ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος.

(V. 625. Ἐπακτῆρες. Ἀντὶ τοῦ ἁλιεῖς. Ἐπὶ νήσου κυνηγοὺς οὐ δεῖ λέγειν.)

V. 627. Ταῖσι δὲ βουκολίαι τε. Λοιπὸν γὰρ διὰ τὸ ἀνδρῶν πολὺν χρόνον στερίσκεσθαι τὴν νῆσον, ἡ πεῖρα αὐτὰς καὶ εἰς ἀνδρεῖον μετέβαλεν βίον καὶ ἐπιτήδευμα.

V. 631. Ἦ θαμὰ δὴ πάπταινον. Ὁ ἦ σύνδεσμος ἰσοδυναμεῖ τῷ δή. Ὥστε κεῖσθαι τὸν δὴ σύνδεσμον, ὡς παρ' Ὁμήρῳ [g]),

Ἦ δὴ λοίγια [ἔσσεται ἔργα].

ἐκ παραλλήλου.

(V. 633. Τῷ καὶ ὅτ'. Ἔλεγον γὰρ αὐτοὺς ὡς εἰς πόλεμον ἐλήλυθον.

V. 634. Μυρίνης. Μυρίνη πόλις τῆς Λήμνου, ἧς καὶ ἀνωτέρω μέμνηται.)

V. 636. Θυάσιν ὠμοβόροις. Μαινάσιν. Ἔνθεν καὶ τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην [h])· ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένας. Ἄλλως. Μαινάσι, βάκχαις. καὶ ὡς Σεμέλη, Θυώνη, παρὰ τὸ θύειν καὶ ὁρμᾷν. μαινομέναις.

Τὸ δὲ ὠμοβόροις, ὅτι πολλάκις τῇ μανίᾳ κατασχεθεῖσαι καὶ ὠμοσπάρακτα ἐσθίουσιν, (ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις φησίν.)

V. 637. Θοαντιάς. Δύο τύποι εἰσὶ τῶν θηλυκῶν πατρωνυμικῶν. Ὁ μὲν εἰς ας, οἷον Πελιάς· ὁ δὲ εἰς ις, οἷον Πελοπίς. Καὶ ταῦτα δὲ εἰς ας μεταβάλλει τὴν τελευταίαν, παρεντιθεμένου τοῦ ῑ, ἵνα μὴ εἴη κακόφωνα. [Ἐπένθεσίς ἐστι τοῦ ᾱ. Τὸ γὰρ κύριον Θοαντίς.]

V. 640. Τείως δ' αὖτ'. Ἐν τοσούτῳ ἐν ὅσῳ αὗται ὡπλίζοντο. (Ἐπεκτέταται δὲ τὸ τέως, κείμενον ἀντὶ τοῦ ἕως. ἕως δή.)

V. 643. Σφωϊτέροιο. Ἀκαίρως τῷ δυϊκῷ ἐχρήσατο ἀντὶ ἑνικοῦ.

V. 645. Ἀπροφάτους. Ἀπροσφωνήτους. Ἀπροφασίστους.

Ἐπιδέδρομε λήθη. Ὅτι λέγονται οἱ τεθνηκότες λήθην τῶν γεγονότων αὐτοῖς ἐν τῇ ζωῇ λαμβάνειν. Οὗτος οὖν (φησὶ) καὶ τεθνηκὼς εἰς λήθην οὐκ ἔπεσεν· ἀλλὰ καὶ μετεμψυχωθεὶς, κατὰ τὸν Φιλοχόρου [i]) λόγον, ᾔδει τίς ἦν [πρὸ τοῦ τεθνηκέναι] (διὰ

f) Κλέων οἰκουριεὺς P. g) Il. I, 573. h) ἐνθουσιᾷν P. et sic deinde. i) τῶν φιλοσόφων vulg. Φιλοχώρου P., unde illud ex coniectura dedi. Nominum Φιλόχορος et φιλόσοφος confus. exemplum praebet Siebelis fragm. Philoch. p. 106.

τὰς τοῦ Ἑρμοῦ βουλάς.) Φερεκύδης δέ φησιν, ὅτι δῶρον εἶχε παρὰ τοῦ Ἑρμοῦ ὁ Αἰθαλίδης, τὸ τὴν ψυχὴν αὐτοῦ ποτὲ μὲν εἰς ᾅδου [κατιοῦσαν διατρίβειν ἐκεῖ], ποτὲ δὲ [ἐπανιοῦσαν εἰς τὸ σῶμα] ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις εἶναι. [Διὸ καὶ ἑτερήμερος κήρυξ λέγεται, διὰ τὸ μίαν μὲν ἡμέραν ὑπὸ τὸν ᾅδην, μίαν δ' αὖ ὑπὲρ τὴν γῆν διάγειν.] Φασὶ δὲ τοῦτον τὸν Αἰθαλίδην (οἱ Πυθαγορικοὶ, τῆς ψυχῆς οὔσης ἀφθάρτου, κατὰ μὲν τοὺς Τρωϊκοὺς χρόνους ἀναβιώσαντα,) Εὔφορβον [k]) εἶναι τὸν Πάνθου· ἔπειτα ἐκ τούτου Πύῤῥον [l]) τὸν Κρῆτα· εἶτα Ἠλεῖόν τινα, οὗ τὸ ὄνομα ἀγνοεῖται· μετὰ ταῦτα αὐτὸν τὸν Πυθαγόραν. (Πυθαγόρας δὲ, ἐν τῷ [m]) μεταλλοιοῦσθαι τὰς ψυχὰς καὶ παρεισδύνειν εἰς ἕτερα σώματα, φησὶν ὅτι γένοιτο μὲν πρῶτον Αἰθαλίδης, εἶτα Εὔφορβος Τρὼς, εἶτα Ἑρμοῦ υἱὸς καὶ Σαμίας ἑταίρας, καὶ Πυθαγόρας. τὴν δὲ μνήμην αὐτῷ παρέπεσθαι τῷ κεχαρίσθαι Ἑρμῆν τῷ Αἰθαλίδῃ υἱῷ ὄντι.)

V. 646. Μεμόρηται. Κατὰ ἔκθλιψιν τοῦ ι. Ἔστι γὰρ μεμοίρηται, ἀντὶ τοῦ κεκλήρωται.

V. 647. Αἰθαλίδης δὲ, κήρυξ τῶν Ἀργοναυτῶν ἑτερήμερος, ὥς φησιν· ὥστε μίαν μὲν ὑπὸ τὸν ᾅδην, μίαν δὲ ὑπὸ τὴν ἡμέραν διάγειν [n]).

V. 650. Μειλίξατο. Παρεκάλεσεν [o]). Ἔπεισε τῷ λόγῳ, συνετὸς ὤν. Καὶ γέγονε παρὰ τὸ Ὁμηρικὸν [p]),

Ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.

V. 651. Ἤματος ἀνυμένοιο [q]). Τῆς ἡμέρας ἐπὶ δύσιν ἀνυμένης.

V. 652. Πείσματα. Τὰ τῆς πρώρας σχοινία. Ὁ δὲ λόγος, καίτοι τῇ πνοῇ οὔσῃ τῇ Βορέου ἐπιτηδείᾳ [r]) τοῖς Ἀργοναύταις πρὸς τὸν πλοῦν, ὅμως οὐκ ἔλυσαν τὰ σχοινία.

V. 659. Λαρόν. Ἡδὺν, ἀπολαυστικόν. (Παρὰ τὸ λῶ πεποίηται, ὃ σημαίνει τὸ θέλω.)

Ἤϊα δὲ νῦν, ἐφόδια, βρώματα.

(V. 660. Μηδ' ἄμμε. Δῶμεν αὐτοῖς χρείας, ἵνα ἐκτὸς τῶν πύργων μένωσιν ἀπρόσοδοι πρὸς ἡμᾶς· μήπως διὰ τὴν τῶν ἐπιτηδείων ἀνάγκην καὶ χρείαν, εἰσιόντες εἰς τὴν πόλιν, ἀκριβῶς τὰ καθ' ἡμᾶς μάθωσιν.)

V. 664. Ἡμετέρη μὲν νυν. Κατ' ἔγκλισιν τὸ νυν ἀναγνωστέον. Οὐ γὰρ δηλοῖ χρόνον, ἀλλ' ἴσον ἐστὶ τῷ δή. (Ἐκτατέον δὲ διὰ τὸ μέτρον.)

(V. 665. Ὑμέων δ' εἴτις. Παρὰ τὸ Ὁμηρικὸν [s]),

Νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσπῃ.)

V. 669. Ῥικνοῖσι. Ῥυσοῖς. Ἡ δὲ λέξις παρὰ Καλλιμάχῳ·

Ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν.

k) Ἔφορβον P. l) Πύρον P. m) περὶ τοῦ excidisse videtur. n) Haec quomodo corrigenda sint ex iis, quae supra ex P. leguntur, facile intelligitur. o) ἐκήλησε P., unde fortasse supra legendum παρεκήλησε, quo verbo lexica carent. p) Il. XV, 207. q) ἀνομένοιο P. r) Legendum καίπερ τῆς πνοῆς οὔσης τῆς Βορέου ἐπιτηδείας. s) Il. XIV, 107.

(*Διασκευάζει δὲ Ὁμηρικῶς τὴν γραῦν οὕτως,*
Ὃς δὴ γήραϊ κυφὸς ἔην t).)

V. 672. *Ἐπιχνοάουσαι* u). Ὡς χνοῦν ἔχουσαι τὰς λευκὰς φυομένας τρίχας.

V. 674. *Μόλις.* Κακῶς διὰ τοῦ λ. Ἔδει γὰρ διὰ τοῦ γ, μόγις, παρὰ τὸν μόγον.

V. 677. *Ἐπαυρέσθαι.* Ἐὰν μὲν παροξυτόνως, ἔσται ἀόριστος, ἀντὶ τοῦ ἀπολαῦσαι· ἐὰν δὲ προπαροξυτόνως, παρατατικὸς, ἀντὶ τοῦ ἀπολαύειν.

(V. 681. *Ἄλλα δ' ὀπίσσω.* Πολλὰ δὲ κακὰ χείρονα μάχης καὶ πολέμου ἔσται.

V. 684. *Ἄγονοι.* Ἄσπερμοι, διὰ τὸ ἀνδρὶ μὴ συνεῖναι.)

Διὰ δὲ τοῦ ἐπιθέτου τοῦ γήρως τὸν λόγον ἐπιπλεῖον ἐκάκωσε, στυγερὸν γῆρας εἰπών.

V. 685. *Βώσεσθε.* Ἀντὶ τοῦ βιώσεσθε. (Ὁ δὲ νοῦς, Αἱ δὲ νεώτεραι πῶς βιώσεσθε καὶ ζήσεσθε, ὅταν γηράσητε; τῶν μὲν παλαιοτέρων παρελθουσῶν, ὑμῶν δὲ λοιπὸν μὴ δυναμένων ἐργάζεσθαι; ἢ αὐτόματοι οἱ βόες ἀροτριάσουσι καὶ θερίσουσι τοῦ ἔτους περιερχομένου, μηδενὸς ἀνθρώπου ἐπικειμένου τῷ ἔργῳ;)

V. 688. *Καὶ πρόκα.* Εὐθέως. (Γράφεται καὶ *περιτελλομένου ἔτεος.*

V. 689. (*Ἡ μὲν ἐγών.* Ἐν ἤθει λέγει ταῦτα.)

Εἰ καὶ πεφρίκασσιν v). Οἷον φοβοῦνται ἐπ' ἐμὲ αἱ Κῆρες ἐλθεῖν, νῦν ὅμως ἀποθανοῦμαι. Λέγει δὲ τῷ ὑπεργεγηρακέναι.

V. 692. *Αὔτως ἣ θέμις.* Οὕτως ὡς προσῆκον ἐστίν.

V. 694. *Ἐπήβολος.* Ἐπιτυχὴς καὶ κυρία ἐπὶ τύχῃ τῶν κακῶν. Ἢ ἀντὶ τοῦ δεσπόζουσα καὶ συμφέρουσα.

V. 695. *Ληΐδα.* Καταχρηστικῶς τὰ χρήματα· κυρίως δὲ τὰ ἐκ λαφυραγωγίας.

V. 696. *Ἄστυ.* Ἐτυμολογεῖ Εὔμολπος τὴν λέξιν, ἄστυ λέγων παρὰ τὸ ἵστασθαι. Ἐπὶ μετεώρου γὰρ κεῖνται αἱ πόλεις.

[V. 699. *Ὑποβλήδην* κυρίως σημαίνει, ἐπειδὰν λέγοντός τινος ἕτερος περικόψας τὸν ἐκείνου λόγον λέγῃ. Καὶ ὑποβάλλειν ἐπὶ τοῦ αὐτοῦ. Ἔστι δ' ὅτε τὸ ὑποβάλλειν σημαίνει τὸ ἐνίστασθαι καὶ ἐναντιοῦσθαι. Ἐνταῦθα δὲ τὸ ὑποβλήδην ἀντὶ τοῦ λάθρα συναινεῖν κεῖται.]

V. 700. *Ἧδε μενοινή.* Ἀντὶ τοῦ βουλή. (Ἀστείως δὲ, ἐπεὶ αὐτῇ ἤρεσε τὰ λεχθέντα, ἵνα μὴ ὥσπερ ἀκολασίαν κατηγορῆται, τὴν κοινὴν πασῶν ἐπικαλεῖται μαρτυρίαν.)

V. 701. *Μετὰ νῆα καὶ ἄγγελον.* Ἀντὶ τοῦ ἐπὶ τὴν ναῦν. Περιττὸς δὲ ὁ *καὶ* σύνδεσμος.

V. 703. *Ὄρσο μοι Ἰφινόη.* Τὸ ἑξῆς, Ὄρσο μοι Ἰφινόη τοῦδ' ἀνέρος ἀντιόωσα, ὅστις στόλου ἡγεμονεύει, ἡμέτερόνδε μολεῖν.

t) Od. II, 16. u) ἐπιχνοάζουσαι. P. v) πεφρίκασι P.

Τὸ δὲ *ἀντιόωσα*, ἀντὶ τοῦ ἀντιάσουσα, οἷον ἀξιώσουσα, τουτέστι δεησομένη. [Οὕτως γὰρ καταλλήλως λέγομεν· Ὄρσο ποιήσουσα, ἀλλ' οὐχὶ ποιοῦσα.]

V. 704. *Στόλος* δέ ἐστιν ἐπὶ πρᾶξιν τινὰ πορευόμενον πλῆθος, εἴτε ἐπὶ νεῶν, εἴτε καὶ πεζῇ. Καὶ σχεδὸν ἐπὶ πάσης ὁρμῆς καὶ μείζονος παρασκευῆς. Ἐνταῦθα δὲ στόλον τὸ τῆς μιᾶς νηὸς πλῆθος εἶπε. (Προστίθησι, Παλαμήδης,) οὕτω δὲ λέγεται καὶ ἡ εἰς ὀξὺ ἀπόληξις.

(V. 707. *Εὐμενέοντας.* Τοῦτο ὡς πρὸς ὃ ἐδεδοίκεισαν, μὴ ἄρα πολέμιοι ἦσαν.)

V. 712. *Κούρη τοί μ' ἐφέηκε.* Διὰ τοῦ κόρη τὸν τῶν Ἀργοναυτῶν φόβον ἀποκρούεται, (καὶ γὰρ αὐτοὶ ἐδεδοίκεισαν, ἑωρακότες αὐτὰς καθωπλισμένας, καὶ ἀποτρέπεται. Παρθένος γὰρ ἡ καλέσασα.)

(Τὸ δὲ *Θοαντιὰς* ἀντὶ τοῦ Θόαντος.)

V. 718. *Εἴσαντο.* Ἀντὶ τοῦ διενοήθησαν, ὑπέλαβον.

V. 719. *Τηλυγέτην* δὲ νῦν ἀκουστέον μόνην. (Ὁ γὰρ νοῦς, διενοήθησαν δὲ μονογενῆ Θόαντι τὴν Ὑψιπύλην γεγενημένην, τὴν βασιλείαν τοῦ πατρὸς εἰληφέναι.)

V. 721. *Ἰτωνίδος.* Ἐν Θεσσαλίᾳ θεὰ Ἰτωνὶς τιμᾶται, καὶ ἐν Κορωνείᾳ πόλει τῆς Βοιωτίας, ἀπὸ Ἰτώνου τοῦ ἱερέως.

Ἀστείως δὲ, οὐ πολεμικῇ σκευῇ χρώμενον ἐξάγει, ἀλλ' ἐσθῆτι κοσμούμενον. Πρῶτον μὲν, ὅτι ἀπόλεμον αὐτὸν ἐκάλει· ἔπειτα, ὅτι καὶ γυναικῶν μόνον ἡ πόλις, αἳ μάλιστα τοῖς τοιούτοις χαίρουσι. Καὶ ὁ Μένανδρος· Εὐκαταφρόνητος τῇ στολῇ εἴσειμι, καὶ ταῦτα εἰς γυναῖκας. Ἤδη δὲ καὶ διὰ τῆς δωρησαμένης θεοῦ τὸ τῆς χλανίδος κάλλος ἐσήμαινεν.

V. 723. *Δρυόχους.* Ἐν οἷς καταπήγνυται ἡ τρόπις ξύλοις, ταῦτα οὕτως καλοῦσιν. Ὅμηρος [w])·

Ἵστασχ' [x]) ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας.

Δρύοχοι οὖν τὰ ἐγκοίλια τῆς νεώς.

V. 724. *Κανόνας* δὲ τὰς στάθμας, αἷς τὰ ξύλα καὶ τοὺς τοίχους οἱ τέκτονες ἐξισάζουσι.

Δάε δὲ, ἐδίδαξεν ἡ θεός.

(V. 725. *Τῆς μὲν ῥηΐτερον.* Ἐν τῇ προεκδόσει, τῷ Τῆς μὲν ῥηΐτερόν κεν, ἑξῆς ἐστιν, Ἄκρα δὲ πορφυρέη. οἱ δὲ μεταξὺ δύο οὐκ εἰσίν.)

V. 726. *Ἔρευθος* [τὸ ἐπὶ τοῦ προσώπου] ἐρύθημα [κυρίως σημαίνει· ἐνταῦθα δὲ τὸ ἐρυθρὸν χρῶμα τοῦ ἱματίου]. Ἔστι δὲ καὶ βοτάνης εἶδος (ἐρυθρὸν,) ᾗ τὰ ἔρια βάπτουσιν.

V. 727. *Ἐρευθήεσσα* δὲ, ἀντὶ τοῦ πυῤῥὰ, ὑπέρυθρος. Καὶ ἔστι παρὰ τὸ Σαπφικόν·

Παντοδαπαῖς μεμιγμένα χροιαῖσιν.

w) Od. XIX, 579. x) ἵστασαν P. ἵστασο χ' ed. Flor.

V. 730. *Κύκλωπες.* Οὗτοι οἱ κατασκευάσαντες τῷ Διῒ τὸν κεραυνόν. [Ὀνόματα δὲ αὐτῶν Βρόντης καὶ Στερόπης.] Καὶ Ἡσίοδος·

Οἳ Ζηνὶ βροντὴν ἔδοσαν [y]), τεῦξάν τε κεραυνόν.

(Ἐπ' *ἀφθίτῳ.* Ἐπὶ θείῳ καὶ θαυμαστῷ καὶ ἀθανάτῳ ἔργῳ.)

V. 731. *Ὃς τόσον.* Ἤτοι ἐπὶ ποσότητος τόσον, ἢ ἐπὶ [ποιότητος καὶ] θαύματος, (τοσοῦτον, ἀντὶ τοῦ μεγάλως.)

V. 732. *Μιῆς δ' ἔτι δεύετο.* (Ὅτι ἦν ἡμιτελὴς παρὰ μίαν ἀκτῖνα κεραυνός. Αἰνίττεται δὲ, ὅτι τὸ κατασκεύασμα ἀληθῶς εἶχε τὸν κεραυνὸν, καὶ ὀλίγῳ ἐλαττούμενον τῆς ἀληθοῦς λαμπηδόνος. Οὐ γὰρ οἷόν τε ἦν τεχνίτην ἐν ποικίλματι ὁμοίαν τὴν λαμπηδόνα ποιῆσαι τῆς ἀληθοῦς.) [Τὸ *ἔτι* δείκνυσι μὲν καὶ ποικιλίαν γραφῆς, δείκνυσι δὲ καὶ, ὅτι οὐχ οἷόν τε ἐπὶ τῆς γραφῆς τέλεια θεωρεῖσθαι πάντη τὰ γραφόμενα.]

V. 734. *Μαλεροῖο.* (Οἱ νεώτεροι, τοῦ λαμπροῦ· οἱ δὲ, τοῦ μαραντικοῦ.) [Παρὰ μὲν τοῖς παλαιοῖς τὸ λαμπρὸν ἐσήμαινε, παρὰ δὲ τοῖς νεωτέροις τὸ μαραντικόν.]

V. 735. *Ἀντιόπης.* Δύο Ἀντιόπαι ἐγένοντο· ἡ μὲν Νυκτέως, ἡ δὲ Ἀσωποῦ, περὶ ἧς νῦν Ἀπολλώνιος, ἧς καὶ Διὸς, Ἀμφίων καὶ Ζῆθος, οἳ καὶ τὰς Θήβας ἐτείχισαν, ὡς καὶ Ὅμηρος φησίν [z])·

Οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο.

Φερεκύδης δὲ καὶ τὴν αἰτίαν παραδίδωσι τῆς οἰκοδομῆς, διότι Φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο βασιλεύοντι Κάδμῳ.

V. 737. *Κεῖτο πέλας.* Ἀστείως, ὡς πρὸς τὴν ἕδραν τῆς πόλεως τῶν τειχῶν καὶ τὴν στάσιν, τὸ *κεῖτο* ἔταξεν.

V. 738. *Ἐπωμαδὸν ἠέρταζεν.* Κατὰ τοὺς ὤμους ἐβάσταζεν, ἐπὶ τῶν ὤμων ἦρεν.

V. 739. Διὰ δὲ τοῦ *ἐοικὼς* ἐκόλασε τὸν λόγον, διὰ τὸ ἐν γραφῇ εἶναι. Οὐ γὰρ ἀληθῶς ἐκακοπάθει ἐν τῇ γραφῇ.

V. 740. *Ἐπί οἱ.* Ἐπ' αὐτῷ τῷ Ζήθῳ ἑπόμενος.

V. 741. Τὸ δὲ *δὶς τόσση*, ἀντὶ τοῦ διπλασίων τοῦ Ἀμφίονος ἐπηκολούθει πέτρα.

Ὅτι δὲ ἠκολούθησαν τῇ Ἀμφίονος λύρᾳ οἱ λίθοι αὐτόματοι, ἱστορεῖ καὶ Ἀντιμενίδας ἐν πρώτῳ. Τὴν δὲ λύραν δοθῆναι Ἀμφίονι ὑπὸ Μουσῶν φησί· Διοσκορίδης δὲ, ὑπὸ Ἀπόλλωνος· καὶ Φερεκύδης δὲ (ἐν τῇ δεκάτῃ ἱστορίᾳ,) ὑπὸ Μουσῶν.

Δὶς τόσση δὲ, διπλῆ ὡς πρὸς ἣν ἐβάσταζεν ὁ Ζῆθος. [Καὶ ὅρα, ὅσον μέγεθος εἶχεν ὁ τῷ Ἀμφίονι ἑπόμενος λίθος, ὅστις διπλασίων ἦν τοῦ ὑπὸ τοῦ Ζήθου φερομένου. Τὸν δὲ τοῦ Ζήθου *κάρη ὄρους ἠλιβάτου* φθάσας εἶπεν.] Διὰ δὲ τούτου οὐδὲν ἕτερον δηλοῖ ἢ τὴν τῆς μουσικῆς καὶ τὴν τῆς εὐπαιδευσίας ἀρετὴν, ὡς πρὸς τὴν ἄλογον ἀνδρίαν· παραινῶν ὅτι ὁ μὲν, ὡς σφόδρα ἰσχυ-

y) οἱ βροντήν τε Ζηνὶ δόσαν P. - z) Od. XI, 262.

ρός, ὀλίγον, καίτοι κακοπαθῶν, ἔφερεν, ὃ δὲ μέγιστον τῇ εὐπαιδευσίᾳ φέρειν ἠδύνατο.

V. 743. Θοὸν δὲ, τὸ εὐκίνητον καὶ εὐμετάφορον· ἀπὸ τοῦ θοάζειν, ὅ ἐστι ταχύνειν.

Ὀχμάζουσα. Κατέχουσα, βαστάζουσα. Καίτοι μὴ οὖσα πολεμικὴ, ἀλλ' ὡς ἐραστῇ χαριζομένη τῷ Ἄρει. Κυρίως δέ ἐστιν ὀχμάσαι, τὸ ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν, ἢ ὑπὸ ὄχημα. Σημαίνει καὶ τὸ [προσηλοῦν ἐπὶ ὄχθου τινός. Τὸ δὲ αἰχμάζειν σημαίνει τὸ] ἐν μάχῃ κρατῆσαι, ἀπὸ τῆς αἰχμῆς.

V. 746. Δίκηλον. Κυρίως τὸ τῷ Διῒ ἐοικὸς ἄγαλμα· καταχρηστικῶς δὲ καὶ πᾶν ὁμοίωμα, ὡς καὶ νῦν. Καὶ δικηλίτας δὲ [ἔλεγον] τοὺς σκωπτικοὺς, τοὺς ἐν τῷ σκώπτειν ἄλλον τινὰ μιμουμένους. (Ἐν δὲ τῇ ἀσπίδι, φησὶ, χαλκῇ οὔσῃ ἐφαίνετο αὐτῇ μορφὴ ὁμοία.) Βουλόμενος δὲ δεῖξαι, ὅτι ἀντανακλάσεις ἐγίνοντο τινὲς ἐν τῇ ἀσπίδι, φησὶν, ὅτι γυμνωθέντος τοῦ ὤμου τῆς Ἀφροδίτης μέχρι τοῦ μαζοῦ εἰς τὸ ἐναντίον τῆς ἀσπίδος τὸ ὁμοίωμα τῆς Ἀφροδίτης ἐφαίνετο, διὰ τὸ λείαν εἶναι τὴν ἀσπίδα.

V. 747. Ἐν δὲ βοῶν. Ἡ Τάφος νῆσος ἐστὶ μία τῶν Ἐχινάδων, ἣν ᾤκησαν Τηλεβόαι, οἱ πρότερον τὴν Ἀκαρνανίαν οἰκοῦντες, ἄνδρες λῃστρικώτατοι τὸν τρόπον. Καὶ εἰς Ἄργος ἐπελθόντες τὰς τοῦ Ἠλεκτρύωνος βόας ἀπήλασαν τοῦ πατρὸς Ἀλκμήνης. Γενομένης δὲ μάχης, καὶ ὁ Ἠλεκτρύων καὶ οἱ τούτου παῖδες ἀνῃρέθησαν. Διὸ Ἀλκμήνη μετέστη, καὶ ἀνεκήρυξεν τὸν ἑαυτῆς γάμον τῷ τιμωρησομένῳ τὸν πατρῷον φόνον. Τιμωρησάμενος δὲ Ἀμφιτρύων ἔγημεν. (Ἡ ἱστορία σαφῶς παρ' Ἡσιόδῳ.) Περὶ δὲ τῆς μάχης Ἡρόδωρος ἱστορεῖ, ὅτι Περσέως καὶ Ἀνδρομέδης τέσσαρες παῖδες ἐγένοντο, Ἀλκαῖος, Σθένελος, Μήστωρ, Ἠλεκτρύων, καὶ κοινὴν ἔσχον τὴν βασιλείαν μετὰ τὸν Περσέως θάνατον. Μήστορος δὲ θυγάτηρ Ἱπποθόη, ἧς καὶ Ποσειδῶνος Πτερέλας. Τοῦ δὲ, Τηλεβόας καὶ Τάφος. (Ὡς δέ τινες, Πτερέλα τοῦ Τηλεβόου ἐγένοντο παῖδες οἱ καλούμενοι Τηλεβόαι.) Ἐλθόντες δὲ ἀπῄτουν Ἠλεκτρύωνα τὰ τῆς μάμμης ἑαυτῶν (τῆς μητρὸς) Ἱπποθόης [χρήματα]. Ἀντιστάντες δὲ αὐτοῖς οἱ Ἠλεκτρυωνίδαι ἀνῃρέθησαν ὑπ' αὐτῶν. (Πτερέλα παῖδες Τηλεβόας καὶ Τάφος· ἀφ' ὧν ἡ νῆσος.) Τηλεβόαι οὖν οἱ Τάφιοι, ἤτοι ὅτι τῆλε οἰκοῦντες ἀπὸ Ἄργους τὰς βοῦς ἀπήλασαν, ἢ ἀπὸ Τηλεβόου τοῦ Πτερέλα (τοῦ βασιλέως υἱοῦ, οὗ ἀδελφὸς Τάφιος· ἀφ' οὗ καὶ ἡ νῆσος).

V. 749. Ἀμέρσαι δὲ, τὸ στερῆσαι.

V. 752. Δηριόωντες. Ἀγωνιζόμενοι. Ὁ γὰρ Οἰνόμαος, Ἄρεως ὢν παῖς καὶ Ἀρπίνης τῆς Ἀσωποῦ, ἤτοι Εὐρυθόης τῆς Δαναοῦ, θυγατέρα ἔχων Ἱπποδάμειαν, καὶ χρησμὸν λαβὼν, ἀναιρεθήσεσθαι ὑπὸ τοῦ ἰδίου γαμβροῦ, οὐκ ἐβούλετο ἐκδοῦναι αὐτὴν, εἰ μὴ τῷ νικήσαντι αὐτὸν δι' ἵππων. Προέκειτο δὲ αὐτοῖς Κλάδεως ποταμὸς ἀφετηρία, Ἰσθμὸς δὲ τὸ τέρμα. Καὶ ἀνεῖλεν τρεισκαίδεκα μνηστῆρας, ὡς Πίνδαρος ἱστορεῖ. Ἐλθόντος δὲ τοῦ Πέλοπος ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῷ ὑπὸ Ποσειδῶνος, ἐρασθεῖσα ἡ Ἱπποδάμεια Πέλοπος, ἔπεισε Μυρτίλον, τὸν Ἑρμοῦ μὲν παῖ-

δα, ἁρματοπηγὸν δὲ καὶ ἡνίοχον Οἰνομάου, [ὥστε κατατροχίσαι Οἰνόμαον,] ἐμβαλόντα κήρινον ἔμβολον (ἐπὶ τοῦ ἀκραξονίου, ἢ οὐδ' ὅλως ἐμβαλόντα τὸν ἔμβολον), ὡς Φερεκύδης ἱστορεῖ. Οὗ γενομένου, Οἰνόμαός τε ἐκκυλισθεὶς τοῦ τροχοῦ ἀπέθανε, καὶ Ἱπποδάμειαν Πέλοψ ἔλαβεν. Αἱ δὲ τοῦ Οἰνομάου ἵπποι, Ψίλλα καὶ Ἄρπιννα [a]). Ὁ δὲ Μυρτίλος, Ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης, [ἢ Κλυμένης,] οἱ δὲ, ἐκ Μυρτοῦς, μιᾶς τῶν Ἀμαζόνων.

V. 754. Παραιβάτις. Οὐχ ὅτι αὐτῷ κατὰ τὸν ἀγῶνα συμπαρῆν, ἀλλ' ὅτι ὁ τεχνίτης, ἀμφότερα δεῖξαι θέλων, καὶ τὸν δρόμον καὶ τὴν νίκην, τοῦτο πεποίηκεν.

V. 756. Προτενές. Προτεταμένον ἔχων τὸ δόρυ.

V. 757. Παρακλιδόν. Παρακεκλιμένως ἔπιπτεν.

Ἄξονος ἐν πλήμνῃσι. Διαφέρει πλήμνη καὶ πλήσμη. Ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ· ἡ δὲ πλήσμη, τὴν πλημμύραν τοῦ ποταμοῦ. Διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον·

Αὐτὸς δ' ἐν πλήσμησε διϊπετέος ποταμοῖο.

καὶ οὐχ, ὥς τινές,

ἐν πλήμνῃσι.

εἰ μὴ ἔξωθεν προσλάβοιμεν τὴν σὺν πρόθεσιν, [ἵνα ᾖ] σὺν πλήμνῃσι.

V. 760. Βούπαις. Μέγας παῖς, οὔπω τέλειος ἀνήρ.

V. 761. Τιτυὸν μέγαν. Ἐλάρη μήτηρ Τιτυοῦ. Μετὰ τὴν τελευτὴν δὲ τῆς μητρὸς λέγεται παρὰ τῆς γῆς ἀνατετράφθαι, καθὰ καὶ Ὅμηρος ἱστορεῖ [b])·

Καὶ Τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱόν.

Φερεκύδης δέ φησιν, ὅτι Ἐλάρῃ τῇ Ὀρχομενοῦ μιγεὶς ὁ Ζεὺς ὤθησεν αὐτὴν κατὰ γῆς ἤδη κύουσαν, δεδιὼς τὴν τῆς Ἥρας ζηλοτυπίαν, καὶ ἀνεδόθη τῆς γῆς Τιτυός. Διὸ καὶ γηγενὴς καλεῖται. Ἄλλως. Ἐλάρη μήτηρ Τιτυοῦ, ὃν τεκοῦσα ἐκ Διὸς, καὶ ἀδυνατοῦσα γεννῆσαι, διὰ τὸ μέγεθος τοῦ παιδὸς, ἀπώλετο. [Ἡ δὲ γῆ ἂψ καὶ ἐκ δευτέρου ἐλοχεύσατο καὶ ἀνέθρεψεν. Ἔστιν οὖν πρωθύστερον· προηγεῖται γὰρ τὸ λοχεύειν τοῦ τρέφειν.] Δοκεῖ δὲ ἡ ἱστορία ἀπίθανος εἶναι καὶ ἄπιστος, ὅτι ἐκ δευτέρου ἡ γῆ ἐγέννησε τὸν Τιτυόν. Ἀλλ' ἐροῦμεν, ὅτι οἱ ποιηταὶ τοὺς τερατώδεις κατὰ τὸ σῶμα γῆς εἶναι φασίν. Οὕτω γὰρ καὶ Καλλίμαχος τὰ δεινὰ τῶν θηρίων γῆς εἶναι ἔφη. Ὅτι δὲ μέγας ὁ Τιτυὸς, καὶ Ὅμηρος φησίν·

— — — ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα [c]).

Φαμὲν οὖν, ὅτι ὅτε πρὸς Ἐλάρης ἐτέχθη, ἐδόκει αὐτῆς εἶναι, διὰ τὸ βραχὺ τοῦ σώματος· ὡς δὲ αὐξηθεὶς, τερατώδης ἐγένετο, εἶπον καὶ τεχθῆναι αὐτὸν καὶ τετράφθαι πρὸς τῆς γῆς.

Τιτυὸν μέγαν. Τὸ μέγαν θαυμαστικῶς εἴρηται, ὅτι βούπαις ὢν μέγαν ἐτόξευσεν. Καὶ ἤτοι πρὸς τὴν θείαν φύσιν ἀκουστέον, [ὅτι ῥαδίως καὶ τὰ μεγάλα καταγωνίζεται,] ἢ πρὸς τὸ ὑπ'

a) Ψύλλα καὶ Ἁρπίνα P. b) Od. XI, 575 s. c) πλέθρα ἔκειτο P.

ὄψιν εἶναι τὴν ὕβριν τῆς μητρός· ὅτι πολλάκις τὰ δεινὰ τῶν πραγμάτων καὶ τὴν ἡλικίαν καὶ τὴν φύσιν οἶδε βιάζεσθαι. Πρὸς ὃ ὁ ποιητὴς οὐ τῷ κυρίῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τῷ κατὰ φύσιν, μητέρα εἰπών, [ἵνα τὸ μέγεθος δείξῃ τῆς λύπης].

V. 763. Ἐν καὶ Φρίξος ἔην Μινυήϊος. Ὁ Ἰώλκιος. Τὴν γὰρ Ἰωλκὸν Μινύαι ᾤκουν, ὥς φησι Σιμωνίδης ἐν Συμμίκτοις. Δύναται δὲ καὶ ἀντὶ τοῦ Ὀρχομένιος. Πολλοὶ γάρ φασιν ἐν Ὀρχομενῷ οἰκῆσαι τὸν Ἀθάμαντα.

(Ζητητέον δὲ, τί βούλεται αὐτῷ ταῦτα τὰ ποικίλματα.) Καὶ ἐροῦμεν, ὅτι ὁ ποιητὴς διὰ τῆς χλαμύδος οὐδὲν ἕτερον ἢ τὴν κοσμικὴν τάξιν καὶ τὰς [ἐν κόσμῳ τῶν ἀνθρώπων] πράξεις φησί. Καὶ πρῶτον μὲν διὰ τοῦ κεραυνοῦ καὶ τῶν Κυκλώπων θεόν τινα καὶ θείαν φύσιν [καὶ κοσμοποιΐαν] ἀλληγορεῖ· διὸ καὶ φησὶν, ἐπ' ἀφθίτῳ ἥμενοι ἔργῳ. Μεθ' ὃ πόλεις κτιζομένας διὰ τῆς τοῦ Ἀμφίονος λύρας ἱστορεῖ· ἔπειτα τὰ ἐν πόλεσι πάντα γενόμενα, ἔρωτάς τε καὶ πολέμους. Τοῦτο γὰρ βούλεται αὐτῷ ἡ Ἀφροδίτη ὁπλοφοροῦσα. Ἡ δὲ βία καὶ αἱ μάχαι, διὰ τῆς τῶν Ταφίων ἱστορίας· ἀγῶνάς τε καὶ γάμους διὰ τῶν τοῦ Πέλοπος ἄθλων· ἀσεβείας τε καὶ τιμωρίας πρὸς τῶν κρειττόνων, διὰ τοῦ Τιτυοῦ· ἐπιβουλάς τε καὶ δόλους, καὶ συμβουλὴν ἀγαθὴν, καὶ σωτηρίαν ἀπροσδόκητον δείκνυσι διὰ τῆς τοῦ Φρίξου ἱστορίας. (Καὶ σχεδὸν πάντα τὰ ἐν ταῖς πόλεσι γινόμενα διὰ τῆς χλαμύδος ποιητικῶς ἔφρασε.) Δῶρον δέ φησιν εἶναι τὴν χλαμύδα τῆς Ἀθηνᾶς, ἐπειδὴ ὅ,τε κόσμος ὑπὸ τῆς θείας φρονήσεως γέγονε, τῶν τε ἐν αὐτῷ ὑπὸ τῶν ἀνθρώπων πραττομένων οὐδὲν ἄνευ φρονήσεως ὀρθῶς γένοιτ' ἄν.

V. 764. Εἰσαΐων. Ἐφθέγγετο γὰρ ὁ κριὸς πιστούμενος τῷ Φρίξῳ τὴν σωτηρίαν, κατὰ βούλησιν Διός. [Ἐν δὲ τῷ ἐξενέποντι περισσὴ ἡ ἐξ.]

V. 769 sq. Ὄρρ' Ἀταλάντῃ. (Ἰάσονος θυγάτηρ,) ἣν ἔγημε Μειλανίων. Ἑτέρα γάρ ἐστιν ἡ Ἀργεία (ἡ Σχοινέως,) ἣν ἔγημεν Ἱππομέδων.

Μαίναλος δὲ ὄρος Ἀρκαδίας, (ἐν ᾧ ἡ Ἀταλάντη διῆγεν,) ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, ὥς φησιν Ἑλλάνικος.

Οἱ δὲ Ἀριστάρχειοι δι' ἑτέρου ρ ἔχουσι τὰς τοιαύτας γραφὰς, ὡς Ἡρακλέων φησὶν ἐν τῇ π τῆς Ἰλιάδος·

Τόρρα τότ' ἐκ χηλοῖο λαβών.

Πρὸς δὲ παρθένον στελλόμενος, παρθένου δῶρα μεταχειρίζεται.

V. 773. Τὸ δὲ, Δεῖσεν δ' ἀργαλέας ἔριδας, τὰς τῶν μνηστήρων, λέγει, τῆς Ἀταλάντης ἔριδας ἔδεισεν, μὴ εἰς στάσιν αὐτοὺς ἐξάψῃ, καὶ διαφορά τις γένηται μεταξὺ, τῶν μὲν μιγῆναι αὐτῇ θελόντων, τῆς δὲ, τὴν παρθενίαν τηρῆσαι.

Ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς Ἀργοναυτικοῖς. Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ[d]) ἐν ὅπλοις φησὶν αὐτοὺς ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις, [μὴ ἐᾶν

d) ἐν τοῖς ὑψίστοις P.

προσχεῖν τῇ νήσῳ,] μέχρις οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν ἀποβᾶσι [e]) μιγήσεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν.

V. 775. Καλύβησιν. Ταῖς διὰ τῶν ἱματίων κατεσκευασμέναις, ἃς καλοῦσι παστούς.

Ἤτοι δὲ δι' ἔρωτα, ἢ δι' ἀμνηστίαν εἴργεσθαί φησι [τὰς παρθένους].

Νηγατέαις δὲ, ταῖς νεοκατασκευάστοις [f]).

V. 777. Κυανέοιο. Νῦν λαμπροῦ.

Διόλου δὲ ἁρμόζουσα καὶ οἰκεία ἡ εἰκών. Καὶ γὰρ καὶ αὐτὸν ἐρῶσα ἐξεδέχετο παρθένος, (καταλαμπόμενον τῷ κάλλει.)

V. 781. Ἀνὰ στίβον. Ἀνὰ τὴν ὁδόν. Παρὰ τὸ στείβω τὸ περιπατῶ.

V. 783. Ἐπεκλονέοντο [g]). Οὐ καλῶς τὸ ἐπεκλονέοντο εἴρηκεν ἅμα τῇ χαρᾷ. Κλόνος γὰρ ἡ ταραχή. Ὅμηρος [h])·

Ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες.

V. 785. Ἀπηλεγέως. Ἀντὶ τοῦ συντόμως [i]), [ἀποφατικῶς]. Ἡρωδιανὸς δὲ ἐν τῷ τρίτῳ τῆς καθόλου ἀνηλεγέως φησί.

V. 786. Προφανέντι. Περιττὴ ἡ πρὸ πρόθεσις.

Θεράπναι δὲ κατὰ συγκοπὴν τοῦ θεράπαιναι.

V. 787. Σανίδεσσιν. Οὕτω λέγονται τὰ ὑπερμήκη ξύλα καὶ πλατέα, οἷον τανίδες, παρὰ τὴν τάσιν.

(V. 787. Ἔνθα μιν. Ἐν τῇ προεκδόσει·

Ἔνθα μιν Ἰφινόη πρὸ δόμου διὰ ποιητοῖο
ἐσσυμένως καλῆς διὰ δίφρακος εἷσεν ἄγουσα.)

V. 789. Καλῆς δι' ἀναστάδος. Ἣν ἡμεῖς προπαστάδα λέγομεν. Εἴρηται δὲ οὕτως διὰ τὸ ἐν αὐτῇ σιτεῖσθαι ἡμᾶς, οἱονεὶ πάσασθαι. Καλῆς δὲ, ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα, ἢ ὅτι ἐρωτικά. Τοιαῦτα γὰρ τὰ τῶν ἐρωμένων. Ὡς καὶ Ἀνακρέων ἐπὶ ἐρωμένης φησίν.

V. 794. Ἧσθ' αὔτως. Εἰκῇ ἐκαθέζεσθε. Ἤδη δὲ καὶ διὰ τούτου ἐφ' ὃ ἐκάλεσεν αὐτὸν ἠνίξατο, καὶ τὰ τῆς εὐμενείας οὕτω πορίζεται.

Ὑπ' ἀνδράσιν. Ἀντὶ τοῦ ὑπ' ἀνδρῶν, Ὅμηρος [k])·

Τρωσὶ μὲν ἡγεμόνευε.

Τοῦτο δὲ Ἰώνων ἴδιον.

(Ταῦτα δὲ πλάττεται ἡ Ὑψιπύλη, ἀποδημεῖν ἐπὶ Θρᾴκης τοὺς ἄνδρας.)

V. 796. Ἀρόωσι δὲ, ἀροτριῶσιν. Ἀφ' οὗ τὸ διάγουσιν ἀκουστέον.

(Πλάττεται δὲ καὶ ἀφανίζει τὸ ἀληθῶς γεγονὸς, καὶ τὸν φόνον τῶν ἀνδρῶν.)

e) ἀποβᾶσι corruptum est. In P. sic legitur: ἅμα τε ἀποβῆναι αὐτοὺς τῆς νεὼς καὶ συγγενέσθαι αὐταῖς· καὶ οὕτως ἀποβῆναι ἐᾶσαι.

f) νεωστὶ κατασκευασμέναις P.

g) ἐπικλονέοντο P. h) Il. V, 93.

i) συντόνως P. k) Il. II, 816.

V. 800. Ἐπαύλεις [1]). Τὰς ἐπαύλεις, τὰς μάνδρας. Ἢ καταχρηστικῶς, τὰς οἰκίας τῶν Θρᾳκῶν ἐπόρθουν οἱ Λήμνιοι. [Ἐπορνυμένους δὲ, ἤτοι ἀπερχομένους τοὺς Λημνίους φησίν.]

V. 801. (Αὐτῇσι δ' ἀπείρονα. Θαυμαστικῶς. Οἷον, ληΐδας αὐτὰς καὶ δεσποίνας ἡμῶν ἔφερον ἄγοντες. Ἐν δὲ τῇ προεκδόσει·

Ἐκ νηῶν· ἄμυδις δὲ βόας καὶ μῆλα κόμιζον
αὐτῇσιν κούρῃσιν, ἀπείρονα ληΐδα δεῦρο.
καὶ τότ' ἔπειτ' ἀνὰ δῆμον ἀάατος ἔμπεσε λύσσα,
οὐκ οἶδ' ἢ θεόθεν, ἢ αὐτῶν ἀφροσύνῃσιν.)

[Ἐκ νηῶν δὲ, ἀντὶ τοῦ διὰ τῶν νηῶν.]

V. 802. Οὐλομένης. Ἀντὶ τοῦ τῆς δεινῆς, ἢ κατὰ συμβαίνοντος, ὀλέθρου ποιητικῆς. Ὡς τὸ, πολύδακρυν Ἄρηα, τὸν δακρύων ποιητικόν. [Πορσύνετο δὲ, ἀντὶ τοῦ κατεσκευάζετο.]

[V. 803. Θυμοφθόρον δὲ ἄτην τὸν ἔρωτά φησι.]

V. 805. Ἡι ματίῃ. Τῇ ἑαυτῶν ματαιότητι καὶ μωρίᾳ καὶ φρενοβλαβείᾳ νικηθέντες. [Τὸ δὲ ἐπεσσεύοντο ἀντὶ τοῦ ἐδίωκον.]

(V. 807. Εἴ κέ ποτ' αὖτις. Περιττὸς ὁ κε σύνδεσμος. Ὁ γὰρ λόγος, πολὺν χρόνον ὑπεμείναμεν, εἴποτε μεταμεληθῶσιν. Ἵνα δὲ μὴ ὥσπερ ζηλοτυπίαν καὶ ἀκρασίαν κατηγορήσῃ τῶν γυναικῶν, ἐπιπολὺ αὐτὰς φησὶν ἐνηνοχέναι τὸ πάθος.)

[V. 810. Σκοτίαν δὲ γενέθλην τὴν ἀπὸ τῶν παλλακῶν.]

(V. 811 sq. Χῆραί τ' ἐπὶ τῇσιν. Ἵνα μὴ τῶν παρθένων ἀσέλγειαν κατηγορῇ, εἶπεν, ἐπὶ τούτων, φησὶν, ἐδυσφόρουν, διὰ τὰς χηρευούσας μητέρας, καὶ ἐφρόντιζον. Κατὰ κοινοῦ δὲ τὸ ἀλάληντο. Καὶ πρὸς ἕτερον, ὅτι οὐδεμία ἡμῶν πρὸς γάμον ἤρχετο· εἴχομεν γὰρ τὴν τῶν μητέρων χηρείαν καὶ ὕβριν διδάσκαλον τῶν ἡμῖν ἐσομένων.)

V. 813. Οὐδὲ πατήρ. Πρὸς πλείονα οἶκτον καὶ ἔμφασιν διόλου τοῖς φυσικοῖς ὀνόμασι χρῆται.

[V. 816. Λώβην δὲ τὴν κακὴν ὕβριν.]

V. 820. Ὑπέρβιον. Μέγα καὶ θαυμαστόν. (Οἶδε γὰρ αὐτὸ δεινὸν καὶ ἄπιστον, εἰ γυναῖκες ἀνδρῶν ἐκράτησαν. Διὸ καὶ τὴν τοῦ δαιμονίου σύνταξιν εἴληφεν.)

(V. 823. Αὐταῖς ληϊάδεσσιν. Λείπει ἡ σὺν πρόθεσις, ἵν' ᾖ, σὺν αὐταῖς ταῖς γυναιξί.)

V. 824. Θεσσάμενοι. Ἐξ αἰτήσεως ἀναλαβόντες, αἰτήσαντες. Θέσθαι [m]) γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. Καὶ Ἡσίοδος·

Θεσσάμενος γενεὴν Κλεαδαίου κυδαλίμοιο.

Καὶ Ἀρχίλοχος [n])·

Πολλὰ δ' ἐϋπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσσι
θεσσάμενοι γλυκερὸν νόστον.

l) ἐναύλους P. m) θέσσασθαι legendum putat Schaefer. n) Ἀντίλοχος P.

(*Δαιμονίως δὲ καὶ τοῦτο πλάττεται. Ἦν γὰρ εὐθέως ζητῆσαι, εἰ οἱ ἄνδρες ἀπέβησαν, κἂν ἡ βραχυτέρα τῶν ἀρσένων ποῦ ἡλικία.*)

V. 826. *Χιονώδεα. Οἱ μὲν, ὅτι λευκόγεως ἡ Θρᾴκη· οἱ δὲ, τὴν συνεχῶς χιονιζομένην, παρὰ τὸ δυσχείμερον εἶναι. Ὃ καὶ βέλτιον. Ψυχρὰ γάρ ἐστιν ἡ χώρα. Διὸ κἀκεῖθεν τοὺς ἀνέμους πνεῖν ἐμυθεύσαντο. Διονυσοφάνης* [o]) *δὲ βόθρον φησὶν εἶναι ἐν τῇ Θρᾴκῃ, ἐξ οὗ φυσήματα ἀνέμων γίνεσθαι, καὶ μεμυθευθῆναι οὕτω Θρᾴκην ἀνέμων οἰκητήριον.*

[V. 829. *Γέρας δὲ τὴν βασιλείαν φησίν.*]

V. 831. *Αἰγαίῃ. Τὸ Αἰγαῖον πέλαγος φησίν. Ἐκλήθη δὲ ἀπὸ νήσου Αἰγῶν καλουμένης. Ὅμηρος* [p])·

Οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς [*δῶρ' ἀνάγουσι*].

Αὕτη γὰρ ἱερὰ Ποσειδῶνος, ἐν ᾗ μηδένα κοιμᾶσθαι λόγος, διὰ τὰ φαντάσματα τοῦ θεοῦ, (ὥς φησι Νικοκράτης.) Οἱ δὲ ἀπὸ Ποσειδῶνος ὀνομασθῆναι φασὶ τὸ πέλαγος. Αἰγαῖος γὰρ οὗτος ὁ θεὸς προσαγορεύεται, ὥς φησι Φερεκύδης. Νικοκράτης δέ φησιν, ὅτι ἀπὸ Αἰγέως κατακρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν. Οὐκ εὖ. Πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης (παραπλέοντι).

V. 834. *Ἀμαλδύνουσα. Ἀφανίζουσα, καὶ τῷ πλάσματι κρύπτουσα.*

(*Ἀντεγκληματικῶς πανταχόθεν μετάγει τὴν αἰτίαν ἐπὶ τοὺς ἄνδρας*). *Οὐ γὰρ λέγει, ὅτι ἐφόνευσαν αὐτοὺς, καὶ τοὺς ἄῤῥενας παῖδας καὶ τὰς γυναῖκας, ἀλλ' ὅτι σὺν ταῖς γυναιξὶ ταῖς Θρᾴσσαις καὶ τοῖς ἄῤῥεσι παισὶν ἀπῆλθον εἰς Θρᾴκην, κἀκεῖ διάγουσιν. Οὕτω γὰρ ἐκ τῶν ἐνόντων ἀπέλυσεν αὐτὰς μέμψεως. Καὶ ὅλος δὲ ὁ λόγος τῆς Ὑψιπύλης πολλὴν περιέχει δεινότητα. Ἀντεγκληματικὴν ποιοῦσα τὴν στάσιν, αὔξει τὸ ἐκείνων ἔγκλημα διὰ πολλῶν, δεικνῦσα πολλῷ μεῖζον ἁμάρτημα τοῦ τῶν γυναικῶν. Πολύν τε γάρ φησι χρόνον ὑπομεμενηκέναι τὰς γυναῖκας τὴν ὕβριν. Ἀλλὰ δὴ καὶ τὸ τὰς μὲν κουριδίας μισεῖσθαι καὶ τῆς οἰκίας ἐκβαλεῖν, ταῖς δὲ δορυκτήτοις συγγενέσθαι, πάνυ τὸ ἔγκλημα τῶν ἀνδρῶν αὐξάνει. Αὔξησις δὲ μεγάλη καὶ τὸ τοὺς μὲν γνησίους παῖδας ἀτιμάζεσθαι, τοὺς δὲ νόθους θάλλειν. Ὄνειδος δὲ μέγα, καὶ τὸ τὰς κόρας τὰς γνησίας καὶ τὰς χηρευούσας γυναῖκας· ἴσως δὲ καὶ πάσας νῦν χήρας καλεῖ, διὰ τὸ ἐστερῆσθαι τῶν οἰκείων ἀνδρῶν· ταύτας οὖν πάσας πλανᾶσθαι περὶ τὴν πόλιν ἀτημελήτως* [q]), *καθάπερ προσηλύτους. Παροξυντικὸν δὲ τὸ τὸν πατέρα μὴ φροντίζειν τῆς οἰκείας θυγατρὸς, εἰ καὶ τυπτομένην ἴδοι ὑπὸ τῆς μητρυιᾶς, μηδὲ τοὺς παῖδας ἀμύνειν τῇ μητρὶ, μηδὲ τοὺς ἀδελφοὺς ἀλλήλων φροντίζειν. Μάλιστα δὲ διεγείρει εἰς ὀργὴν καὶ τὸ τὰς μὲν γυναῖκας τὰς ἀστυκὰς, καὶ κόρας καὶ παῖδας ἐν ἁπάσαις ταῖς πολιτικαῖς κοινωνίαις καθάπερ μετοίκους διατρίβειν καὶ προσηλύτους· τὰς δὲ δορυκτήτους τούτων ἁπάντων ἀφθόνως μετέχειν. Ἱκανὴ δὲ ἀπολογία ὑπὲρ τῶν γυναικῶν, καὶ τὸ μὴ εὐθὺς ἐκδιῶξαι ἐκ τῆς νήσου τοὺς ἄνδρας, ἀλλ'*

o) *Νικοφάνης* P. p) Il. VIII, 203. q) *ἀτημελήτους* corrigit Schaefer.

αἵρεσιν δοῦναι, ἢ τὰ καθήκοντα σώζειν πρὸς τὰς γυναῖκας, ἢ ἄλλοσέ ποι ἀπελθόντας μετὰ τῶν δορυκτήτων διάγειν. Ὅλως γὰρ τὸ ἐνδιάσκευον καὶ διατυπωτικὸν ὁ λόγος ἔχει, δι' οὗ περιπαθῆ τὸν ἀκροατὴν ἐργάζεται, συμπάσχοντα ταῖς γυναιξὶ δυστυχούσαις. Οὕτω δὲ ἀντεγκληματικὴν ποιήσασα τὴν στάσιν, καὶ εἰς μεταστατικὴν περί που τὰ μέσα ἀνήνεγκεν, εἰποῦσα παρά του τῶν θεῶν θάρσος λαβούσας σφᾶς ἀποπέμψαι τοὺς ἄνδρας. Οὕτω γὰρ οὐ μόνον δικαία, ἀλλὰ καὶ ἀναγκαία γίνεται ἡ ἐκβολή. Τὰ ὑπὸ θεοῦ κριθέντα ἀναγκαῖα. Καὶ τὸ προοίμιον δὲ οὐ μόνον θαῤῥαλεωτέρους τοὺς Ἀργοναύτας ποιεῖ, λέγον ὅτι ἀποδημοῦσι τῆς πόλεως οἱ ἄνδρες, ἀλλὰ καὶ μέμψεως τὰς γυναῖκας ἀπολύει. Μονονουχὶ γὰρ λέγει, ὅτι οὐκ ἀπεκτείναμεν ἐκείνους, ὡς ἡ φήμη κρατεῖ, ἀλλ' ἀποδημοῦσιν εἰς Θρᾴκην. Ὁ δὲ ἐπίλογος πάντη ἐπισπᾶται τὸν Ἰάσονα. Οὐ γὰρ μόνον τὸ ἡδὺ προβάλλεται, ὅπερ ἦν τὸ συγγενέσθαι αὐτῇ, ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ χρήσιμον. Τὴν γὰρ βασιλείαν τοῦ Θόαντος ἐπαγγέλλεται.

Τὸ δὲ ἴσκεν, ἐνταῦθα μὲν ἀντὶ τοῦ ἔλεγε· παρὰ δὲ Ὁμήρῳ, ἀντὶ τοῦ ὡμοίου.

V. 836 sq. Μάλα κεν. (Ὁ νοῦς, λίαν ἡμῖν ἐστιν ἀρεστὸν τυχεῖν ὧν ἔχομεν χρείαν· σὺ δὲ ὁμοίως δίδως.) Νῦν γὰρ τὸ ὀπάζεις κεῖται ἀντὶ τοῦ δίδως. [Θυμήδης χρησμοσύνη, ἡ τὸν θυμὸν εὐφραίνουσα χρεία.]

V. 838. Ὑπότροπος. Ἀπελθὼν πρὸς τὰς ναῦς, πάλιν ἥξω πρὸς τὴν πόλιν.

[V. 841. Τὸ δὲ χάζομαι τὸ παραχωρῶ σημαίνει· ἵν' ᾖ, ἔγωγε μὲν οὐ παραχωρῶ ἢ σοὶ ἢ ἄλλῳ ὁτῳοῦν τῆς ἀρχῆς, ἀθερίζων καὶ καταφρονῶν τῆς τοιαύτης ἀρχῆς, ἀλλὰ διὰ τοὺς ἐπικειμένους μοι ἄθλους.]

V. 842. Χειρὸς θίγε. Ἤδη σύμβολον αὐτῇ τῆς ἑταιρείας διὰ τῆς ἐφάψεως δίδωσιν.

V. 847. Μῦθον ὅτ' ἤδη. Μετέπειτα δὲ αἱ θεραπαινίδες ἦλθον βαστάζουσαι ξένια, (ὅτε ἤδη ὁ Ἰάσων πάντα τὰ παρὰ τῆς Ὑψιπύλης ῥηθέντα τοῖς ἑαυτοῦ ἑταίροις συνετέλεσε λέγων.)

[V. 849. Τὸ δὲ σφέα ἔοικεν ἀπὸ τοῦ σφὰ γεγονέναι κατὰ ἐπένθεσιν τοῦ ε. Καὶ ἔστιν ἀντὶ τοῦ σφέτερα. Ὁ γὰρ ὁ σφὸς, ἡ σφὴ, τὸ σφὸν ἀντὶ τοῦ ὁ σφέτερος, ἡ σφετέρα, τὸ σφέτερον λαμβάνεται. Τοῦ δὲ σφὸν οὐδετέρου εὐθεῖα πληθυντικὴ τὰ σφὰ καὶ σφέα.]

[V. 850. Ἡ δὲ Ἀφροδίτη συγγνώμων γίνεται ταῖς Λημνίαις διὰ τὸν Ἥφαιστον, ὅτι ἡ μὲν Λῆμνος Ἡφαίστου ἱερὰ, ἡ δὲ Ἀφροδίτη ὁμευνέτις τῷ Ἡφαίστῳ.]

V. 851. Ἡφαίστοιο χάριν. Ἱερὰ γὰρ Ἡφαίστου ἡ Λῆμνος.

Τὸ δὲ πολυμήτιος, παρὰ τὸ [Ὁμηρικὸν]
εἰδυίῃσι πραπίδεσσι.

[V. 854. Ἐν δὲ τῷ ὅπῃ καὶ ἔκυρσαν περισσὸς ὁ καί. Τὸ δὲ ἔκυρσαν ἀντὶ τοῦ ἔτυχον.]

(V. 855. *Ἡρακλῆος ἄνευθεν.* Τοῦτο ἕνεκα τῆς οἰκονομίας φησὶν ὁ ποιητής. Πάντων γὰρ ταῖς ἡδοναῖς νικωμένων, μόνος οὗτος πρὸς τὸν ἆθλον αὐτοὺς προτρέπεται, καὶ πρὸς τὴν κρατερὰν καὶ σώφρονα φύσιν τοῦ ἥρωος.)

V. 859. *Ἥρης υἷα.* Ἡσιόδῳ ἐπηκολούθησεν, ἐξ Ἥρας μόνης τὸν Ἥφαιστον λέγοντι γεγενῆσθαι.

Ἥρη δ' Ἥφαιστον κλυτὸν ἐν φιλότητι μιγεῖσα
γείνατο.

Ὅμηρος δὲ Διὸς καὶ Ἥρας φησὶν αὐτόν.

(V. 859 sq. *Καὶ αὐτὴν Κύπριν.* Διότι τὰ παρόντα, ἐρωτικὰ, καὶ ὅτι τοῦ θεοῦ γαμετὴ αὕτη, οὗ ἱερὰ ἡ Λῆμνος.)

[V. 861. *Ἀμβολίη* δὲ ἡ ὑπέρθεσις.]

V. 862. *Ἀνελίννον* [r]). Ἀντὶ τοῦ ἤργουν. (Καὶ τὰ αἴλινα τὰ θρηνητικὰ ἐντεῦθεν γεγένηται, παρὰ τὸ ἀνήνυκτα τινὰ εἶναι. Παρὰ τὸ Ὁμηρικόν [s])·

Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.)

V. 865. (*Δαιμόνιοι.* Οἰκεῖοι τῷ ἀξιώματι τοῦ ἥρωος οἱ λόγοι. Τεχνικῶς δὲ καὶ συνετῶς οὐχ ἕνα τινὰ λοιδορεῖ, ἀλλὰ πάντας. Καὶ οὐ πρῶτον τὴν ἀκρασίαν αὐτοῖς ὀνειδίζει, πρὶν τὰ συμφέροντα δηλώσῃ. Παρὰ δὲ τοῖς φυσικοῖς ὁ Ἡρακλῆς σύνεσις καὶ ἀλκὴ λαμβάνεται. Ὥστε δηλοῦν τὸν λόγον, ἐνδόντας ἡδονῇ τοὺς ἥρωας, τῷ λόγῳ ἀναλαβεῖν ἑαυτούς. Ὁ δὲ νοῦς, ὦ μακάριοι, ἐξειργόμεθα τοῦ ἡμῶν αἵματος τῆς πατρίδος; ἢ γάμων ἐνδεεῖς ὄντες ἐνταῦθα ἥκομεν, μεμψάμενοι τὰς ἑαυτῶν πολίτιδας; καὶ Λῆμνον κατοικήσοντες, τοῖς κλήροις διελόμενοι; ἢ οὕτως, ὦ μακάριοι, ἐμφύλιον φόνον δράσαντες ἐξειργόμεθα τῆς πατρίδος; ἐπειδὴ οἱ τοιοῦτοι ἐκ τῆς πατρίδος φυγῇ ἐνιαυσιαίᾳ ἐζημιοῦντο.)

V. 867. (*Ὀνοσσάμενοι πολιήτιδας.* Κυρίως τὸ πολίτιδας γυναῖκας ἔταξεν, οἱονεὶ, τὰς Ἑλληνίδας γυναῖκας ἀπαρνησάμενοι, συμβιοῦν βαρβάροις ἤλθομεν; Καὶ οὔ φησι, τὸ κάλλος αὐτῶν ἀποφυγόντες. Τάχα γὰρ ἀληθῶς ἐν τῇ Λήμνῳ εὐπρεπεστέρας εἶναι γυναῖκας συνέβαινεν.)

[V. 868. Τὸ δὲ *ἄροσιν Λήμνοιο ταμέσθαι* ἀντὶ τοῦ κληρούχους τῆς Λήμνου γενέσθαι κεῖται.]

(V. 869. *Εὐκλειεῖς.* Ἔνδοξοι. Καὶ διὰ τούτου δὲ ἐνυβρίζει. Οἶδε γὰρ ἕκαστον αὐτῶν πρὸς τὸν πλοῦν ἐλθόντα εἰς εὐδοξίαν. Ταύτην δὲ ἂν ἀπώλεσαν, εἰ ἐπιπολὺ διέτριψαν.)

(V. 870. *Ἐπὶ δηρὸν ἐελμένοι.* Καὶ τοῦτο συνετῶς καὶ τεχνικῶς τὸν χρόνον αἰτιᾶται. Τὸ μὲν γὰρ ὀλίγον ἀμελῆσαι τοῦ πόνου, συγγνώμης ἂν εἴη· τὸ δὲ ἐπιπολὺ, ἀνυπόστατον ἦν παντὶ ἀνδρί. Καὶ ἔσπασεν αὐτὸ παρὰ τὸ [t]),

Πάντων μὲν κόρος ἐστίν.)

(V. 872. *Ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα.* Οὐχ ὑγιῶς τὸ σφέα κεῖται. Ἰσοδυναμεῖ γὰρ τῷ σφὰ ἐπὶ τρίτου προσώπου τασσόμενον. Ἔδει οὖν εἰπεῖν, ἴομεν αὖτις ἕκαστοι ἐφ' ἡμέτερα.

r) ἐλίννον P. s) Il. XXIV, 524. t) Il. XIII, 636.

Ἔστι γὰρ συζυγία τῶν προσώπων αὕτη, ἡμέτερα, ὑμέτερα, σφέτερα. τοῦ δὲ σφὰ, ἁμὰ, ὑμά.)

V. 874. Ἐσανδρώσῃ. Ἀνδρῶν πληρώσῃ, εἰρωνικῶς. [Ὁ δὲ τοῦ Ἡρακλέους λόγος ἐπιτιμητικός ἐστι μάλιστα, καὶ τῷ Ἡρακλέους προσώπῳ οἰκειότατος. Ἔχει γὰρ καὶ οὗτος κατὰ τὸν ἐν Θουκυδίδῃ Περικλέα ἐπ' ἀξιώματι καὶ πρὸς ὀργήν τι εἰπεῖν. Ἀμέλει πρῶτον ἅπαντας συνημμένως ἐπιτιμᾷ, εἶτα ἰδίᾳ τὸν Ἰάσονα· οὕτω γὰρ φορητοτέρα γίνεται ἡ ἐπιτίμησις.]

V. 879. Λείρια. Καθόλου τὰ ἄνθη λείρια λέγεται. Ἔστι δὲ κυρίως ἄνθος λεγόμενον λείριον· ὅ φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ φυτῶν τὸν νάρκισσον εἶναι. Οἱ δὲ, τὸ κρίνον.

V. 880. Σιμβληΐδος. Σίμβλους καλοῦσι τὰ ἀγγεῖα, ἐν οἷς κηροποιοῦσιν αἱ μέλισσαι. Σιμβληΐδος οὖν πέτρας, ἐν ᾗ μελιτουργοῦσιν ἐν τοῖς ὄρεσιν, οἱονεὶ σίμβλων τάξιν ἐχούσης.

V. 881. Ἄλλοτέ τ' ἄλλον [u]). Παρὰ τὸ Ἰσοκράτους. Ὥσπερ γὰρ τὴν μέλισσαν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα συλλέγουσαν, οὕτω δὴ καὶ τῆς παιδείας.

V. 882. Ὡς ἄρα ταί γε. Αἱ Λημνιάδες γυναῖκες.

(Ἡ δὲ παραβολὴ οὐχ ὑγιῶς, οὐδὲ εἰς πάντα ἁρμόζεται. Ἔστω γὰρ μελίσσαις εἰκάσθαι τὰς γυναῖκας, ἄνθεσι δὲ τοὺς ἥρωας, σίμβλῳ δὲ κοίλῳ τὴν πόλιν· τὰ δὲ ἐπίλοιπα πῶς ἂν οὐκ εἴη ἀνάρμοστα; δι' ὧν φησὶ, χαίρει καὶ ἀγάλλεται ὁ λειμών· καίτοι λυπεῖται ἡ πόλις, δι' ὧν φησὶ κινυρόμεναι. Καὶ πάλιν ἀνάρμοστον τὸ, γλυκὺν ἄλλοτέ τ' ἄλλον καρπὸν ἀμέργουσιν. Οὐ γὰρ δὴ τὸν ἀρειότερον τῶν ἡρώων ἑκάστη ἔσπευδεν ἀπολαμβάνειν. Ταῦτα δὲ παρὰ τὴν πρώτην μίξιν καὶ σύνοδον ἡρμόζετο. Ἄλλως.) Πρὸς τοὺς ἐπιλαμβανομένους τῆς παραβολῆς, ὅτι οὐ πάντα τὰ λεγόμενα ἁρμόττει τοῖς προκειμένοις, ῥητέον, ὅτι τὰ μὲν τῆς παραβολῆς πρὸς σαφήνειαν τοῦ γενομένου λαμβάνεται, τὰ δὲ πρὸς κάλλος μόνον καὶ ἔκφρασιν συντελεῖ.

V. 883. Ἐνδυκέως. Ἐπιμελῶς, σπουδαίως.

Τὸ δὲ κινυρόμεναι, οὐκ εὖ. Σημαίνει γὰρ τὸ θρηνῳδοῦσαι, κλαίουσαι, καὶ ἔδει δακρυόεσσαι.

V. 885. Εὐχόμεναι. Ὅτι διὰ τὸ ἀσθενὲς ἡ γυναικεία φύσις πάντοτε ἐπὶ τὸ εὔχεσθαι τρέπεται, δῆλον ἐκ τῶν πρώτων, δι' ὧν φησίν·

— — αἱ δὲ γυναῖκες
πολλὰ μάλ' ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον.

V. 888. Νείσεο [v]). [Νείσομαι τὸ πορεύομαι σημαίνει.] (Ἄγαν ἐρωτικὴ προσφώνησις καὶ ἡ εὐχή. Πρῶτον γὰρ αὐτῷ κατεύχεται, ἔπειτα, ἐπεὶ οἶδε καὶ τὴν πᾶσαν σπουδὴν καὶ τὸ φίλτρον τῷ Ἰάσονι οὐδὲν ἕτερον ἢ τὴν τῶν ἑταίρων σωτηρίαν, καὶ ταύτην αὐτῷ κατεύχεται· οὐ τοσοῦτον ἐκείνοις χαριζομένη, ὅσον Ἰάσονι.)

u) ἄλλοτε ἄλλον P. v) Νείσαιο P.

V. 893. (Ῥηϊδίως δ' ἂν ἑοῖ. Βούλεται λέγειν, ῥᾳδίως δ' ἂν σαυτῷ καὶ πολὺν ἀθροίσαις λαόν. Οὐκ εὖ δὲ ἔθηκεν τὸ ἑοῖ. Ἔστι γὰρ τρίτου προσώπου δηλωτικὸν, ὡς παρ' Ὁμήρῳ·

Ὀτρηροὺς θεράποντας ἐπισπέσθαι ἑοῖ αὐτῷ.)

[Τὸ δὲ τοὶ ἀντὶ τοῦ σαυτῷ, πρωτότυπος ἀντὶ συνθέτου μετωνυμίας.]

V. 894. Μενοινήν. Ἀντὶ τοῦ γνώμην καὶ διάνοιαν, ἢ μέριμναν.

V. 895. Προτιόσσομαι. Προορῶμαι.

V. 897. Ἐξανύσαιμι. Τελέσαιμι.

(Λίπε δ' ἡμὶν ἔπος. Ὁ νοῦς ἐστι τοιοῦτος, εἰπὲ δή μοι συμβουλήν τινα, ἐὰν γένηταί με τεκεῖν, ὥστε τῷ γεννωμένῳ ὑποθέσθαι τινά. Ἐλλείπει γὰρ εἰς τὸν πλήρη λόγον.) [Ἡ δὲ εὐχὴ πάνυ περιπαθὴς καὶ ἐρωτική.]

V. 899. Ἀγαιόμενος. Θαυμάζων τῆς διαθέσεως καὶ τοῦ ἔρωτος.

(V. 901. Ἐμέθεν περὶ θυμὸν ἀρείω. Ὁ νοῦς, σὺ δὲ κρείττονα περὶ ἐμοῦ ψυχὴν καὶ ὑπόνοιαν ἔχε, τὰ περὶ τῆς πατρίδος ἡμῶν σκεπτομένη. Οὐ γὰρ εὐτελεῖς ἐσμὲν, ὡς τὴν ἰδίαν καταλείψαντες, εἰς ἑτέραν μετοικεῖν.

V. 902. Πελίαο ἕκητι. Τοῦτ' ἔστιν, ἕνεκα Πελίου ἔστι μοι οἰκεῖν. [Οἰκεῖος δὲ ὁ τρόπος τῆς τοιαύτης φράσεως καὶ λογογράφοις. Σοῦ γὰρ, φαμὲν, ἕνεκεν ζῶ, ἀντὶ τοῦ, ὅσον τὸ ἐπὶ σοί.]

V. 904. Ἑλλάδα γαῖαν. Νῦν τὴν Θεσσαλίαν. Ὅμηρος δὲ μίαν Θεσσαλίας πόλιν οἶδε τὴν Ἑλλάδα.

V. 905. Σὺ δ' ἄρσενα. Τοῦτο ὡς ἐν θαυμασμῷ, εἰ ἄρα ἐν γυναικῶν πόλει κἂν ἐξ ἐπιγονῆς ἔσται ποτὲ ἄῤῥην τις.

V. 906. Πελασγίδος δὲ, τῆς Θετταλικῆς, ἀπὸ τῶν ἐνοικησάντων Πελασγῶν.

V. 907. Δύης ἄκος. Τῆς ταλαιπωρίας οἷον παραμύθιον καὶ ἴαμα. Ὅθεν καὶ ἐνδυκὲς, περιττεύοντος τοῦ κ, ὥς φησι Τρύφων. Ἔστι γὰρ ἐνδυὲς τὸ μετὰ πολλῆς κακοπαθείας γενόμενον προσηνὲς καὶ ἡδύ. Καὶ ἐνδυκέως ἐξ αὐτοῦ.

V. 909. (Ἐφέστιοι. Ἔποικοι. Λακεδαιμόνιοι γὰρ τὴν οἰκίαν ἑστίαν φασίν.) [Τοῦ δὲ ἵν' ἄνδιχα καὶ τῶν ἑξῆς οὕτως ἀκούειν δεῖ· ἵν' ἄνδιχα καὶ χωρὶς ἐμοῦ τοῦ βασιλέως οἱ οἰκειακοὶ, τοῦτο γὰρ σημαίνει τὸ ἐφέστιοι, πορσύνωνται ἐν τοῖς σφοῖς δώμασιν, ἤγουν ἐν ταῖς σφετέραις οἰκίαις. Τὸ δὲ ὅλον, ἵνα χωρὶς ἐμοῦ ἔχωσιν εἰδέναι πράττειν τὰ κατὰ αὐτούς.]

V. 910. Παροίτατος [w]). Ἀντὶ τοῦ πρότερος. Ἐσχημάτισται δὲ ἀπὸ τοῦ πάρος. Καὶ Ὅμηρος [x])·

Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι.

Ὡς δὲ καὶ ἄλλοι. Διὰ τούτου τῶν ἡρώων ὑπεραπολογεῖται, ὅτι καὶ τῆς πρὸς τὰς Λημνιάδας συνόδου προαρξαμένου τοῦ

w) παροίτερος P. x) Il. XXIII, 459.

ἀρχηγοῦ, καὶ οὗτοι συνετίθεντο· καὶ νῦν δὲ πάλιν ἐκείνου τοῦ πλοῦ ἀρχομένου, καὶ οὗτοι εἵποντο.

[V. 912. Τὸ δὲ ἐνσχερῷ ἐφεξῆς σημαίνει καὶ κατὰ τάξιν.]

V. 913. Ἁλιμυρέος. Τῆς ὑπὸ θαλάσσης περιῤῥεομένης. Ἁλιμυρήεντες δὲ ποταμοὶ, οἱ εἰς τὴν θάλασσαν βάλλοντες y).

V. 916. Νῆσον ἐς Ἠλέκτρης. Τὴν Σαμοθράκην λέγει. Ἐκεῖ γὰρ ᾤκει Ἠλέκτρα ἡ Ἄτλαντος, καὶ ὠνομάζετο ὑπὸ τῶν ἐγχωρίων Στρατηγίς· ἥν φησιν Ἑλλάνικος Ἠλεκτρυώνην καλεῖσθαι. Ἐγέννησε δὲ [ἐκ Διὸς] τρεῖς παῖδας, Δάρδανον, τὸν ἐς Τροίαν κατοικήσαντα, ὃν καὶ Πολυάρχη φασὶ λέγεσθαι ὑπὸ τῶν ἐγχωρίων, καὶ Ἠετίωνα, ὃν Ἰασίωνα ὀνομάζουσι z)· καί φασι κεραυνωθῆναι αὐτὸν ὑβρίζοντα ἄγαλμα τῆς Δήμητρος. Τρίτην δὲ ἔσχεν Ἁρμονίαν, ἣν ἠγάγετο Κάδμος. Καὶ ἀπὸ τῆς μητρὸς αὐτῆς Ἠλεκτρίδας πύλας τῆς Θήβης ὀνομάσαι ἱστορεῖ Ἑλλάνικος ἐν πρώτῳ Τρωϊκῶν, καὶ Ἰδομενεὺς ἐν πρώτῳ Τρωϊκῶν.

V. 917. Ἀῤῥήκτους ἀγανῇσι. Τὰς τελετὰς λέγει τὰς ἐν Σαμοθράκῃ ἀγομένας· ἃς εἴ τις μυηθείη, ἐν τοῖς κατὰ θάλασσαν χειμῶσι διασώζεται. Καὶ Ὀδυσσέα δέ φασι μεμυημένον ἐν Σαμοθράκῃ, χρήσασθαι τῷ κρηδέμνῳ ἀντὶ ταινίας, [καὶ σωθῆναι ἐκ τοῦ θαλασσίου κλύδωνος, θέμενον ὑπὸ τὴν κοιλίαν τὸ κρήδεμνον]. Περὶ γὰρ τὴν κοιλίαν οἱ μεμυημένοι ταινίας ἅπτουσι πορφυρᾶς. [Οὐ μόνον δ' ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἱ μυηθέντες διασώζονται, ἀλλὰ καὶ τύχοι ἂν παντὸς, οὗ ἂν τυχεῖν εὔξαιτο ὁ μυηθείς.] Καὶ Ἀγαμέμνονα δέ φασι μεμυημένον, ἐν ταραχῇ ὄντα πολλῇ κατὰ Τροίαν, δι' ἀκαταστασίαν τῶν Ἑλλήνων, παῦσαι τὴν στάσιν, πορφυρίδα ἔχοντα. Μυοῦνται δὲ ἐν τῇ Σαμοθράκῃ τοῖς Καβείροις, ὧν Μνασέας φησὶ καὶ τὰ ὀνόματα. Τέσσαρες δ' εἰσὶ τὸν ἀριθμόν· Ἀξίερος, Ἀξιόκερσα, Ἀξιόκερσος. Ἀξίερος μὲν οὖν ἐστιν ἡ Δημήτηρ· Ἀξιόκερσα δὲ, ἡ Περσεφόνη· Ἀξιόκερσος δὲ, ὁ ᾅδης. Ὁ δὲ προστιθέμενος τέταρτος, Κάσμιλος, ὁ Ἑρμῆς ἐστιν, ὡς ἱστορεῖ Διονυσόδωρος. Ἀθηνίων δέ φησιν a), ὅτι Διὸς καὶ Ἠλέκτρας ἐγένετο Ἰασίων καὶ Δάρδανος. Κάβειροι δὲ δοκοῦσι προσηγορεῦσθαι ἀπὸ Καβείρων τῶν κατὰ Φρυγίαν ὀρῶν, ἐπεὶ ἐντεῦθεν [εἰς Σαμοθράκην] μετηνέχθησαν. Οἱ δὲ δύο εἶναι τοὺς Καβείρους φασὶ πρότερον· πρεσβύτερον μὲν, Δία· νεώτερον δὲ, Διόνυσον. Ἡ δὲ Σαμοθράκη ἐκαλεῖτο πρότερον Λευκοσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθράκης πολιτείᾳ. Ὕστερον δὲ ἀπὸ Σάου τοῦ Ἑρμοῦ καὶ Ῥήνης παιδὸς Σάμος προσωνομάσθη, κατὰ παρένθεσιν τοῦ μ. Θρᾳκῶν δὲ οἰκησάντων αὐτὴν, ἐκλήθη Σαμοθράκη.

[Ἀγανὰς δέ φησιν αὐτὰς τὰς τελεσφορίας, δηλονότι θείας καὶ ὁσίας μυσταγωγίας. Τὸ γὰρ ἀγανὸν τὸ ὅσιον ἐνταῦθα σημαίνει. Θέμιστας δέ φησι τὰ μυστήρια.]

V. 918. Σωότεροι. Ἀκινδυνότεροι. Λέγονται γὰρ οἱ αὐτό-

y) ἐκβάλλοντες P. z) ὃν καὶ Ἡσίωνα ἐκάλουν P. a) δύο εἶναι τοὺς Καβείρους, γεγονότας υἱοὺς Διὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος, Δάρδανον καὶ Ἰάσονα. P.

θι μυηθέντες ἐπακούεσθαι εἰς ὃ ἂν εὔξωνται, ὡς Ἀριστοφάνης φησίν·

Ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθράκῃ τυγχάνῃ [b])
μεμυημένος, νῦν (ἐστιν) εὔξασθαι καλόν.

Δοκοῦσι γὰρ μᾶλλον σώζεσθαι οἱ τὰ μυστήρια εἰδότες.

V. 919. Τῶν μὲν ἔτ' οὐ προτέρω. Τὸ μὲν προτέρω ἐστὶ σημαντικὸν τοῦ εἰς τοὔμπροσθεν (ὡς καὶ παρ' Ὁμήρῳ [c]),

Οὐδ' ἄρα μοι προτέρω νῆες κίον)

κεῖται δὲ νῦν καταχρηστικῶς ἐπὶ τοῦ λόγου. Ὁ γὰρ νοῦς, Τοιούτων δὲ οὐκ ἂν ἔτι πλέον τὶ εἴποιμι· ἀλλὰ χαίροι μὲν ἡ νῆσος, χαίροιεν δὲ καὶ οἱ δαίμονες, ὧν ἐστι τὰ μυστήρια· οὐ γὰρ καθῆκον ἡμῖν ἐστιν αὐτὰ λέγειν.

V. 920. Ὄργια. Τὰ μυστήρια. Παρὰ τὸ εἴργειν τοὺς ἀμυήτους αὐτῶν. Ἢ τὰ ἐν ὀργάσι γινόμενα. Ὀργάδες δὲ, οἱ σύμφυτοι τόποι καὶ ὑγροί.

V. 922. Μέλανος. Μέλας πόντος [, κόλπος τις τῆς θαλάσσης] οὕτω λεγόμενος, ὡς ἱστορεῖ Εὔδοξος ἐν δ̄ τῆς Περιόδου [d]). Ὄπισθεν δὲ αὐτοῦ εἶναι τὴν Σαρπηδονίαν πέτραν φασίν. Ὅτι δὲ οὕτω λέγεται, καὶ Ὅμηρος [e])·

— — ἔνθορε Μείλανι [f]) πόντῳ.

Ὠνομάσθη δὲ ἀπὸ Μέλανος τοῦ Φρίξου υἱοῦ ἐμπεσόντος, ἢ ἀπὸ ποταμοῦ Μέλανος καλουμένου, κἀκεῖ ῥέοντος.

V. 923. (Τῇ μὲν Θρηκῶν. Ταύτῃ μὲν τῇ χειρὶ τῇ δεξιᾷ.)

Περαίην δὲ, τὴν κατὰ τὸ ἐναντίον [τῆς Θράκης] κειμένην. Ἡ γὰρ Ἴμβρος ἀντικρύ ἐστι τῆς Θράκης. (Ὅμηρος,) ἔς τ' Ἴμβρον καὶ ἐς Σάμον καὶ Λῆμνον [g]). Σάμον γὰρ εἶπεν ἐνταῦθα τὴν Σαμοθράκην.

V. 925. Χέρνησον. Τὴν μετὰ Θράκην κειμένην Χερσόνησον. Ἦν δὲ πρότερον νῆσος. Κεῖται δὲ ἀντικρὺ τῆς Τροίας. Ἔστι καὶ ἑτέρα Χερσόνησος Καρίας, ἔνθεν ἦν Ἀλέξανδρος ὁ περὶ Καρίας γράψας.

V. 927. Ἀθαμαντίδος. Τοῦτ' ἔστιν εἰς τὸν Ἑλλήσποντον, ἀπὸ Ἕλλης τῆς Ἀθάμαντος θυγατρὸς κληθέντα.

V. 929. Ῥοιτειάδος. Ἀπὸ Ῥοιτείας τῆς Πρωτέως θυγατρός. (Ῥοίτειον δὲ καὶ Σίγειον, ἀκρωτήριον τῆς Ἰλίου.)

V. 932. Ἀβαρνίδος. Ἡ Ἀβαρνὶς, πόλις [Ἑλλησπόντου πλησίον] τῆς Λαμψάκου. Ὠνομάσθη δὲ ἀπὸ αἰτίας τοιαύτης. Διονύσου ἐρασθεῖσα Ἀφροδίτη ἐμίγη αὐτῷ· καὶ ἀναχωρήσαντος αὐτοῦ εἰς τὴν Ἰνδικὴν, ἐμίγη τῷ Ἀδώνιδι. Ὡς δὲ ἦλθεν ὁ Διόνυσος, στέφανον ποιήσασα ὑπήντησεν αὐτῷ· καὶ στέψασα αὐτὸν, ἀκολουθῆσαι μὲν ᾔδεῖτο, διὰ τὸ ἤδη γεγαμῆσθαι· εἰς δὲ Λάμψακον ἀναχωρήσασα, τὸ ἐξ αὐτῆς κυοφορούμενον ἐβούλετο τεκεῖν. Ἥρα δὲ ζηλοτυποῦσα, μεμαγευμένῃ τῇ χειρὶ ἐφήψατο τῆς γαστρὸς αὐτῆς,

b) τυγχάνει P. c) Od. IX, 64. d) ἐν γῆς περιόδῳ P. cf. Bast. epist. crit. p. 77. e) Il. XXIV, 79. f) ἔμπεσε μέλανι P. g) Il. XXIV, 753. ἐς τ' Ἴμβρον τε Σάμον P.

καὶ ἐποίησε τεκεῖν παῖδα τά τε ἄλλα δύσμορφον, καὶ αἰδοῖον ἔχοντα ὑπέρμεγα· ὃν Πρίαπον προσαγορευθῆναι. Ἰδοῦσα δὲ ἡ Ἀφροδίτη, οὐκ ἠξίωσεν ἀναλαβέσθαι, τά τε ἄλλα μισήσασα τὸν παῖδα, καὶ διὰ τὸ ἀπρεπὲς τοῦ αἰδοίου. Διὰ οὖν τὸ τὴν Ἀφροδίτην ἀπαρνηθῆναι τὸν παῖδα ἐκεῖ, Ἀπαρνὶς ἡ πόλις ἐκλήθη· ὕστερον δὲ κατὰ μετάθεσιν τοῦ στοιχείου ἐκλήθη Ἀβαρνίς.

Περκώτη [h]) δὲ, πόλις (Τροίας), ἧς καὶ Ὅμηρος μέμνηται.

V. 933. Πιτύεια. Ἡ Λάμψακος τοπρότερον Πιτύεια προσηγορεύετο, ἣν τινὲς Πιτύαν ὀνομάζουσιν. Τινὲς δέ φασιν, ὅτι Φρίξος γενόμενος ἐνταῦθα θησαυρὸν ἔθηκεν, καὶ ἀπὸ τούτου ἡ πόλις ὠνομάσθη. Θρᾶκες γὰρ τὸν θησαυρὸν πιτύην [i]) λέγουσιν. Μνημονεύει δὲ αὐτῆς καὶ Ὅμηρος [k])·

Καὶ Πιτύειαν [εἶχον].

V. 935. Πορφύροντα. Τὸν τοῖς ῥοθίοις μελαινόμενον καὶ σφοδρὰ κύματα ἔχοντα.

V. 936. Ἔστι δέ τις αἰπεῖα. Προποντίς ἐστι τὸ μετὰ τὸν Ἑλλήσποντον πέλαγος· οὗ ἑξῆς ὁ Θρακικὸς Βόσπορος. Ἐν οὖν ταύτῃ τῇ Προποντίδι ἐστὶ νῆσος, ἣ ὕστερον χεῤῥόνησος γεγένηται, ἢ ἰσθμόν τινα ἔσχεν. Πᾶσα γὰρ γῆ ἐξέχουσα εἰς θάλασσαν ἰσθμὸς καλεῖται. (Ταύτῃ οὖν τῇ χεῤῥονήσῳ παράκειται Ἄρκτον ὄρος, κυρίως οὕτω λεγόμενον· ἐπειδή φασι τὰς τροφοὺς τοῦ Διὸς ἐκεῖ διατριβούσας εἰς ἄρκτους μεταβληθῆναι· ἢ ὅτι ὁ τόπος ἔνθηρος, καὶ ἀπὸ τοῦ θηρίου τῆς ἄρκτου ὠνομάσθη· ἢ διὰ τὸ ὑψηλὸν τοῦ ὄρους, ἀπὸ τοῦ δοκεῖν ταῖς ἄρκτοις προσπελάζειν ταῖς ἀστρῴοις. Τοῦτο δὲ ἄγριοι τινὲς γηγενεῖς ᾤκουν. Αὐτὴν δὲ τὴν χεῤῥόνησον καὶ τὸν ἰσθμὸν ᾤκουν Δολίονες, ὧν ἐβασίλευε Κύζικος.)

(Τὸ δὲ ἑξῆς οὕτως, Ἔστι δέ τις ἐν τῇ Προποντίδι νῆσος ὑψηλὴ, ἀπέχουσα βραχὺ τῆς Φρυγίας κατὰ τὸ ῥεῦμα τοῦ ἰσθμοῦ, ἐπικειμένη τῇ γῇ ὑπὲρ τὸν Αἴσηπον ποταμὸν, ἔχουσα ἑκατέρωθεν ἀκτάς. Καλοῦσιν Ἄρκτον τὸ ὄρος.)

(Ἔστι δὲ χεῤῥόνησος, ἐφ᾽ ἧς κεῖται ἡ Κυζικηνῶν πόλις. Νῆσον δὲ αὐτὴν ἔφη, διὰ τὸ πρότερον αὐτὴν οὖσαν νῆσον, ὕστερον συνῆφθαι τῇ ἠπείρῳ.)

V. 937. (Ἀπὸ Φρυγίης. Ἡ Φρυγία παράκειται τῇ Τροίᾳ. Ἔστι δὲ τὰ ἔθνη τῆς Ἀσίας. Τοῖς οὖν εἰς Κόλχους πορευομένοις ἐκ μὲν δεξιῶν ἐστιν ἡ Ἀσία, ἐκ δὲ ἀριστερῶν ἡ Εὐρώπη.)

Πολυλήϊον δὲ τὴν Φρυγίαν εἶπε, τὴν πολύπυρον, ἢ πολυθρέμμονα.

V. 938. Ὅσσόν τ᾽ ἐπιμύρεται. Ὅσον, φησὶ, διάστημα ἰσθμοῦ ἐστιν. Οἱ δὲ τὸ ὅσσον θαυμαστικῶς ἤκουσαν, ὃ κρεῖττον· ἵνα ᾖ, ἡ χεῤῥόνησος, καὶ εἰς θάλασσαν κειμένη, καὶ ἰσθμὸν ἔχουσα. εἶτα θαυμαστικῶς, ὅσον γὰρ ἐκεῖνος ὁ ἰσθμὸς βοᾷ τοῖς κύμασι ῥησσόμενος.

Ἰσθμὸς δὲ καλεῖται ὁ ἐξ ἀμφοτέρων τῶν μερῶν θάλασσαν ἔχων τόπος, οἷον εἰσισμός [l]) τις ὤν, [καὶ κατὰ συγκοπὴν καὶ ἐπέν-

h) Περκώπη P. i) πιτῦγιν P. k) Il. II, 829. l) Sic recte P. Vulgo ἴσιμος.

θεσιν τοῦ θ καὶ συστολῇ τῆς ἀρχούσης ἰσθμός.] Εἴρηται δὲ ἰσθμὸς παρὰ τὸ ἐν στενῷ εἶναι. [Ἰσθμὸς δὲ καὶ ὁ τράχηλος, καὶ διὰ τὸ εἰσιέναι εἰς αὐτὸν τὴν τροφὴν, καὶ διὰ τὸ στενὸς εἶναι. Ὅλως γὰρ τὰ ὑπόστενα ἰσθμοὺς εἰώθασι λέγειν.] Ὅθεν καὶ τραχήλου τὰ παρίσθμια. [Ἴσθμια δὲ ἑορτὴ διὰ τὸ γίνεσθαι ἐν Ἰσθμῷ τῆς Πελοποννήσου.] Πορθμὸς δὲ, ἡ ἐξ ἀμφοτέρων τῶν μερῶν γῆν ἔχουσα στενὴ θάλασσα.

V. 939. Καταείμενος. Καταῤῥεόμενος, ἢ καταπνεόμενος, ἢ κεκαλυμμένος φυτοῖς. [Καταήμενος δὲ, ὁ περιπνεόμενος, ῆ. Ἐπιπρηνὴς δὲ ἀντὶ τοῦ ἔμπροσθεν.]

V. 940. Ἀμφίδυμοι δὲ, ὅτι ὁ τῆς Κυζίκου λιμὴν δισσὰς εἰσόδους ἐξ ἑκατέρου μέρους ἔχει, [Αἴσηπος δὲ ποταμὸς Κυζίκου.

V. 941. Τὸ δὲ Ἄρκτον δέ μιν πρὸς τὸ αἰπεῖα ἀναφέρεται. Τὴν γὰρ τοιαύτην αἰπεῖαν νῆσον Ἄρκτον ὄρος καλοῦσιν οἱ περίοικοι. Καλεῖται δὲ οὕτως ἢ διὰ τὶ τὰς τροφοὺς τοῦ Διὸς ἐκεῖ εἰς ἄρκτους μεταμορφωθῆναι, ἢ διὰ τὸ εὔθηρον εἶναι τὸν τόπον. Ἀπὸ γοῦν τῆς ἄρκτου τοῦ θηρὸς οὕτω κληθῆναι. Οἱ δὲ καὶ διὰ τὸ ὑψηλὸν εἶναι τὸ ὄρος. καὶ οἱονεὶ προσεγγίζει ταῖς ἀστρῴοις ἄρκτοις.]

V. 943. Γηγενέες. Τούτων καὶ Ἡρόδωρος μνημονεύει ἐν τοῖς Ἀργοναυτικοῖς· καὶ ὅτι ἐπολέμησαν Ἡρακλεῖ. (Οἱ μὲν οὖν γηγενεῖς παρὰ Κύζικον ᾤκουν, οἱ δὲ Δολίονες παρὰ τὸν ἰσθμόν.)

V. 948. Ἐν δ' ἥρως Αἰνήϊος. Ὅτι Αἰνεὺς Θετταλὸς ὢν τὸ γένος ᾤκησεν ἐν Ἑλλησπόντῳ. Γήμας δὲ Εὐσώρου βασιλέως τῶν Θρᾳκῶν Αἰνήτην, γεννᾷ Κύζικον, ἀφ' οὗ ἡ πόλις. (Εὐσώρου δὲ υἱὸς Ἀκάμας· ὃν Ὅμηρος ἐν τῇ Βοιωτίᾳ ἡγεῖσθαι Θρᾳκῶν ἅμα τῷ Πείρῳ φησίν.) Ἄλλως. Κυζίκου πατὴρ Αἰνεὺς, Ἀπόλλωνος παῖς καὶ Στίλβης, ὅθεν καὶ πόλις ὠνόμασται, θυγατρὸς δὲ Εὐανθείας. Μετέστη δὲ ἐκ Θεσσαλίας, καὶ ᾤκησε περὶ τὸν Ἑλλήσποντον.

V. 949. Δίου Εὐσώροιο. Τοῦ ἐνδόξου Εὐσώρου ἡ θυγάτηρ. Εὔσωρος δὲ Θρᾴκης βασιλεύς. Ὅμηρος [m])·

Υἱὸν Εὐσώρου Ἀκάμαντ' ἠΰν τε μέγαν τε.

[V. 953. Τὸ δὲ προὔτυψεν ἀντὶ τοῦ ὥρμησε καὶ ἀπέλασεν [n]).]

V. 954. Λιμὴν ὑπέδεκτο πάνορμος. Λιμὴν τῆς Κυζίκου, οὗ ὁμώνυμος πόλις ἐν Σικελίᾳ.

V. 955. (Κεῖσε καὶ εὐναίης. Λείπει ἡ ἀντὶ πρόθεσις, ἵν' ᾖ, τὸν ἀντὶ εὐναίας καὶ ἀγκύρας λίθον, διὰ τὸ βεβρῶσθαι ἐκ τῆς θαλάσσης, ἀπολύσαντες, ἕτερον ἔλαβον· ἐκεῖνον δὲ κατέλιπον ἐν τῇ Ἀρτακίᾳ κρήνῃ. Μιλήσιοι δὲ ἐνοικήσαντες κατὰ χρησμὸν Ἀπόλλωνος, ἄραντες τὴν ἄγκυραν, ἀνιέρωσαν ἐν τῷ ναῷ τῆς Ἰασονίας Ἀθηνᾶς.) Ὀλίγον λίθον τὸν μικρὸν ἔφη, ὡς καὶ Ὅμηρος ὀλίγην τράπεζαν καὶ Θεόκριτος ὀλίγον κοῦρον.

V. 957. Κρήνη ὑπ' Ἀρτακίῃ. Ἀρτακία κρήνη περὶ Κύ-

m) Il. VI, 8. n) ἐπήλασεν suspicatur Schaefer.

ζικον· ἧς καὶ Ἀλκαῖος μέμνηται καὶ Καλλίμαχος, ὅτι τῆς Δολιονίας ἐστίν.

V. 959. Νηλεῖδαι. Οἱ μετὰ Νηλέως τοῦ Κόδρου ἀποικήσαντες ἐκ τῆς Ἀττικῆς Ἴωνες, καὶ τὴν Καρίαν καὶ Φρυγίαν κατασχόντες, χρησμοῖς τοῦ Ἀπόλλωνος ἐκεῖνον τὸν λίθον τῇ [Ἰασονίᾳ] Ἀθηνᾷ ἀφιέρωσαν.

V. 961. Τοὺς δ' ἄμυδις. (Δηΐλοχος τοὺς μὲν Δολίονας οὐκ ὀνομάζει, τὸν δὲ Κύζικον φησὶ πυθόμενον τὴν τῶν ἀριστέων γενεὰν ξενίσαι.)

V. 962. Στόλον δὲ τὸν πλοῦν φησὶν, ὃν ἐστέλλοντο.

Τὸ δὲ ἑξῆς, τούτους δὲ οἱ Δολίονες καὶ ὁ Κύζικος, ἐπειδὴ ἔμαθον τίνες εἰσὶ, φιλοφρόνως ἐξένισαν. καὶ γὰρ καὶ οἱ Δολίονες ἄποικοι Θετταλῶν εἰσί. διὸ καὶ αὐτοὺς ὡς ὁμοφύλους ἐδέξαντο.

V. 964. Πέπιθον. Ἔπεισαν αὐτοὺς ἐνδότερον ὁρμίσαι τὴν ναῦν. Τὸ γὰρ πλοῖον ἔξωθεν τῆς πόλεως ἦσαν ὁρμίσαντες.

V. 966. Ἔνθ' οἵγ' Ἐκβασίῳ [o]). Ἀπὸ τῆς ἐκβάσεως τῆς νεὼς ἐπὶ τὴν Δολιονίαν. Δηΐλοχος [p]) δὲ τὸ ἱερὸν οὐκ Ἐκβασίου Ἀπόλλωνος φησὶν εἶναι, ἀλλ' Ἰασονίου Ἀπόλλωνος. Σωκράτης δὲ ἐν ταῖς Ἐπικλήσεσι Κυζικηνοῦ Ἀπόλλωνος φησὶ καλεῖσθαι.

V. 970. Ὁ δὲ στόλος, ὡς περιληπτικὸν ὄνομα, συντάσσεται ἐνταῦθα πρὸς πληθυντικὸν ῥῆμα τὸ ἵκοντο [q]).

V. 972. Ἶσόν που κἀκείνῳ. (Ἀντὶ τοῦ νεωστί.) Τοῦτο δέ φησιν, ὡς καὶ τοῦ Κυζίκου τὴν αὐτὴν ἡλικίαν ἄγοντος τῷ Ἰάσονι. (Γράφεται δὲ, Ἁρμοῖ που κἀκείνῳ ὑποσταχύεσκον, ἀντὶ τοῦ, ἀρτίως, νεωστὶ ὑπηύξανον, ὑπήνθουν.)

Ἴουλος δὲ καλεῖται ἡ πρώτη ἐξάνθησις καὶ ἔκφυσις τῶν ἐν τῷ γενείῳ τριχῶν. Ὁ μέντοι Ἐρατοσθένης ὄνομα ᾠδῆς ἐρίθων [r]) ἀπέδωκεν ἐν τῷ Ἑρμῇ, λέγων οὕτω·

Ἡ χερνῆτις ἔριθος, ἐφ' ὑψηλοῦ πυλεῶνος
δενδαλίδας τεύχουσα, καλὰς ἤειδεν ἰούλους [s]).

Οὐκ ἔστι δὲ (φησὶ Δίδυμος), ἀλλ' ὕμνος εἰς Δήμητρα, ὡς ὁ οὔπιγγος [t]) παρὰ Τροιζηνίοις εἰς Ἄρτεμιν. Ἔστι γὰρ οὖλος καὶ ἴουλος ἡ ἐκ τῶν δραγμάτων συναγομένη δέσμη. Καὶ Οὐλὼ ἡ Δημήτηρ. Λέγεται δὲ ἴουλος καὶ ζῶόν τι, θηρίδιον πολύπουν. Ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ ἡ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι. Ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς Σατύροις· Κυλισθεὶς ὥς τις [u]) ὄνος ἰσόπριος.

[Τὸ δὲ σταχύεσκον ἀντὶ τοῦ ηὔξανον καὶ ἤνθουν.]

V. 973. Μεμόρητο. Ἐκεκλήρωτο, ὑπὸ τῆς τύχης μεμοιραμένως εἶχεν. Τὸ δὲ κατάλληλον, οὐδέ νύ πω παίδεσσιν ἀγάλλεσθαι (μετοχὴ ἀντὶ ἀπαρεμφάτου) μεμόρητο.

o) Ἐκβασίοιο P. p) Διΐοχος male P. q) ἵκωνται P. r) ἐρίθου P. s) Ἦν δ' ἄρα χερνῆτίς τις ἐφ' ὑψηλοῦ πετεῶνος Δενδαλίδας τεύχουσα, καλοὺς δ' ἤειδεν ἰούλους. P. t) ὡς ὄρπιγγος P. u) ὥσπερ P.

V. 974 sq. *Ἀκήρατος ὠδίνων.* Ἀντὶ τοῦ ἄπαις καὶ καθαρὰ ὠδίνων.

V. 976. *Κλείτη* δὲ, θυγάτηρ Μέροπος, Περκωσίου τὸ γένος, μάντεως, ἣν Κύζικος ἔγημεν, ὡς ἱστορεῖ Δηΐλοχος [v]) καὶ Ἔφορος.

V. 977. *Ἀντιπέρηθεν.* Ἢ τὸ ἐκ τῆς Εὐρώπης δηλοῖ, ἀντίκειται γὰρ ἡ Εὐρώπη τῇ Ἀσίᾳ, ἢ τὸ ἐκ τοῦ ἀντικειμένου τῆς Προποντίδος πρὸς τὴν Κύζικον. Τῆς γὰρ Πιτυείας βασιλεὺς ἦν Μέροψ ὁ Περκώσιος, ὡς δηλοῖ Ὅμηρος ἐν Καταλόγῳ.

V. 979. *Βάλεν δ' ἀπὸ δείματα θυμοῦ.* Τοῦτο ἐμφαίνει, ὅτι χρησμόν τινα ἔοικε φοβεῖσθαι, ὡς μέλλων τεθνήξεσθαι ὑπὸ τῶν Ἀργοναυτῶν.

V. 981. *Ἄνυσιν.* Τόν τε πλοῦν καὶ ἐφ' ἣν πρᾶξιν ἔπλεον.

(V. 982. Ἀστείως δὲ ταύτην αὐτοῖς τὴν ἐρώτησιν δίδωσι τὴν κατεπείγουσαν καὶ χρησίμην.

Περικτιόνων δὲ, περιοίκων.)

V. 983. *Οὐ μὲν ἐπιπρό.* Εἰς τοὔμπροσθεν τῆς Δολιονίας. Ἢ ἀντὶ τοῦ διόλου. Διὰ δὲ τούτου οὐδὲν ἕτερον ἢ τὴν ἀπραγμοσύνην τοῦ Κυζίκου ἐμφαίνει.

V. 985. *Ἠοῖ δ' εἰσανέβαν.* Ἡ εἰς πρόθεσις περιττή.

Δίνδυμον δὲ, ὄρος Κυζίκου, ἱερὸν τῆς Ῥέας· διὰ τὸ διδύμους μαστοὺς ἐν αὐτῷ ἀνήκειν, ὥς φησι Φιλοστέφανος, οὕτω προσαγορευθέν. (Σύμπασα δὲ ἡ Φρυγία ἱερὰ τῇ θεῷ.) Ἢ διὰ τὸ δύο [ἐξοχὰς] ἔχειν, οὕτω καλεῖται.

V. 987. *Χυτοῦ λιμένος.* Χυτὸς λιμὴν ἐν Κυζίκῳ οὕτω καλούμενος. Ἐπεχείρησαν γὰρ οἱ Πελασγοὶ χῶσαι αὐτὸν, ὥς φησι Δηΐλοχος [w]), κατὰ ἔχθος τὸ πρὸς τοὺς Θεσσαλοὺς, ὑφ' ὧν ἐξεβέβληντο. Οὗτος δὲ ὑπὸ τῶν γηγενῶν φησὶ κεχῶσθαι αὐτὸν, ποιητικῶς. [*Πρότερον* δὲ *ὅρμον* φησὶν, ἐν ᾧ πρότερον ἦσαν ὁρμισθέντες.]

V. 989. *Γηγενέες.* Δηΐλοχος [w]) Θετταλοὺς εἶναι φησὶν ἐγχειρογάστορας [x]). Τοὺς δὲ γηγενεῖς φησὶ τοῖς Ἀργοναύταις ἐπιβουλεῦσαι, δοκοῦντας λῃστὰς εἶναι.

V. 995. *Ἀμφιῤῥῶγας.* Ἤτοι διεῤῥωγυίας καὶ διεσχισμένας· ἢ διαβεβρωμένας ὑπὸ τῆς θαλάσσης.

V. 996. *Θεὰ τρέφεν.* (Μυθικῶς φησὶν ὑπὸ Ἥρας ἐφ' Ἡρακλεῖ τεθράφθαι τοὺς γηγενεῖς. Ὁ δὲ μῦθος ἀπὸ τοῦ Νεμεαίου λέοντος αὐτοὺς γεννᾷ.) Πολύγνωστος [y]) δὲ ἐν τοῖς περὶ Κυζίκου λῃστὰς αὐτοὺς λέγει. Μέμνηται δὲ καὶ Καλλίμαχος, ἐν οἷς φησί·

Τὴν δὲ μίαν κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν
Ἥρης ἐννεσίῃσιν, ἀέθλιον Ἡρακλῆϊ
ὕστερον ὄφρα γένοιτο, πάγος κεραύνιος ἔδεκτο [z]).

V. 998. *Ὦ' λλοι.* Τῆς νεωτέρας Ἰάδος τὸ *ὤ' λλοι*.

v) Διΐοχος P. ut supra. w) Διΐοχος P. x) ἐγγαστρόχειρας P. y) Πολύγνωτος P. z) πάγης που δέκτο κεραυνοῦ. P.

Τὸ δὲ δῆθεν, ποτὲ μὲν παραπληρωματικὸν, ποτὲ δὲ ἀντὶ τοῦ δηλαδή. Ἢ ὡς δή.

(Ὑπερβίβασται δὲ ἡ φράσις. Ἔστι γὰρ τὸ ἑξῆς, ὡς δὲ καὶ ὧλλοι δῆθεν ὑπότροποι ἀντιόωντες ἥπτοντο φόνοιο.)

V. 1002. Ἀσπερχὲς ὀρινομένους. Ἀδιαλείπτως, ἢ ἀνεκπλήκτως ταρασσομένους ἐδάϊξαν. Ἢ οὕτως, ἐναντιούμενοι ταῖς δυνάμεσιν ἀκαταπαύστως αὐτοὺς ἀνεῖλον.

V. 1003. Ὡς δ᾽ ὅτε δούρατα μακρά. Ἡ παραβολὴ εἰς πάντα ἁρμόδιος καὶ ὑγιής. Ξύλοις γὰρ εἰκάζει αὐτοὺς, πρὸς τὸ εὐτράπελον τῶν σωμάτων, καὶ πρὸς τὴν ἐν τοῖς ὄρεσιν αὐτῶν διατριβήν. Καὶ ξυλοτόμους δὲ τοὺς ἥρωας. Τὸ δὲ, Ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους, πρός τε τὴν τῶν αἰγιαλῶν ἐγγύτητα, καὶ πρὸς ἕτερον, ὅτι οἱ τέκτονες τοῦτο ποιοῦσιν, ἵνα πλείονος καμάτου ἀπαλλαγῶσιν ἐργαζόμενοι, καὶ τοὺς σφῆνας ἐπιβάλλοντες. Ὁμοίως δὲ καὶ οἱ ἥρωες αὐτοὺς ἀνεῖλον, ὅπως λοιπὸν αὐτοῖς ἀκίνδυνος γένηται ἡ εἰς τὸ ὄρος ἀνάβασις.

V. 1005. Ὄφρα νοτισθέντα. Ὅπως βραχέντα, εὐεπίδεκτα γένηται τῶν σφηνῶν.

V. 1006. Ἐνὶ ξυνοχῇ. Ἐν τῇ περιφερείᾳ καὶ τῷ πρώτῳ τοῦ λιμένος.

V. 1008. Δύπτοντες κεφαλάς. Ἀντὶ τοῦ δύνοντες τὰς κεφαλάς. Παρατατικὸν δὲ εἴρηκεν ἀντὶ συντελικοῦ δύψαντες. Ἐπὶ τῷ δύπτειν ἐπὶ κεφαλὴν κατενεχθέντες. Δύπτειν δέ ἐστι τὸ δύνειν, ὡς παρὰ Καλλιμάχῳ·

δύπται δ᾽ ἐξ ἁλὸς ἐρχόμενοι.

Πρότερος δὲ Ἀντίμαχος·

Ἠΰτε (τις) καύηξ δύνῃ [a]) ἐς ἁλμυρὸν πέλαγος [b]).

(V. 1012. Ἀταρβής. Ἀκίνδυνος καὶ ἄφοβος, ὡς τῶν ἐχθρῶν ἀπολωλότων.)

V. 1016. Ῥιπὴ μένεν. Οὐκ ἔτι ἀσφαλὴς καὶ ὁμοία ἔμενεν ἡ τοῦ ἀνέμου πνοὴ, ἀλλ᾽ ἐναντία ἐγένετο. Προσληπτέον γὰρ τὸ ἡ ἄρθρον. Ἑξῆς ὁ λόγος, ἐπιούσης δὲ νυκτὸς, οὐκ ἔτι ἔμεινεν ὁμοίως ἡ πνοὴ τοῦ ἀνέμου.

Ἀλλὰ θύελλαι. Αἱ χειμεριναὶ καταιγίδες καὶ πνοαί. Ὅθεν Ὅμηρος ἐν συνωνυμίᾳ τίθησι θυέλλας τε καὶ ἁρπυίας, ἀντὶ τοῦ καταιγιδώδεις πνοάς· ἀπὸ τοῦ οἷον ἁρπάζειν παραγώγως· [φησὶν γοῦν ἐν Ὀδυσσείᾳ [c])·]

Ὡς δ᾽ ὅτε Πανδαρέου κούρας ἀνέλοντο [d]) θύελλαι.

εἶτα·

Τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρείψαντο.

ὡς τῶν αὐτῶν οὐσῶν. Τὸ μὲν, ἀπὸ τοῦ ἁρπάζειν· τὸ δὲ, ἀπὸ τοῦ θύειν, ὅ ἐστι μετὰ βίας ἄγειν.

V. 1017. Ἁρπάγδην δὲ εἶπεν ἀπὸ τοῦ ἁρπάζειν· ὡς φοράδην, ἀπὸ τοῦ φέρειν· καὶ ἀΐγδην, ἀπὸ τοῦ ἀΐσσειν.

a) δύπτει P. b) εἰς ἁλμυρὸν ὕδωρ P. c) Od. XX, 66. d) ἀνέθεντο P.

V. 1018. (Ἐκ δ' ἄρ' ἔβησαν. Ἐξέβησαν καὶ προσεπελάσθησαν πάλιν τοῖς Δολίοσι.)

Τὸ δὲ ἐϋξείνοισιν, ὥσπερ καὶ αὐτὸς δεινοπαθῶν ἐπὶ τοῖς συμβεβηκόσι τοῦτο φησίν.

V. 1019. Ἱερὴ δὲ φατίζεται. Κατ' εὐφημισμόν. Τὰ γὰρ μεγάλα τῶν παθῶν εὐφήμως ἱερὰ καὶ καλὰ φασίν· ὡς καὶ τὰς Ἐριννύας, Εὐμενίδας· καὶ τὴν λοιμικὴν, λέπραν. Οἱ δὲ καὶ νόσον ἱερὰν ἐκάλεσαν e), ὡς καὶ Καλλίμαχος·

Ψευδόμενοι δ' ἱερὰν f) φημίζομεν.

V. 1023. Ἐπήϊσαν. Οὐκ ἐπήρχοντο, φησὶν, ἀληθῶς, ὡς ἐπὶ τοὺς ἥρωας· ἠγνόησαν γὰρ, διότι νὺξ ἦν.

V. 1024. Μακριέων. Τῶν καλουμένων Μακρώνων, οἵ εἰσιν ἄποικοι Εὐβοέων. Ἀφ' οὗ καὶ Μάκρωνες ἐκλήθησαν. Καὶ Μάκρις γὰρ ἡ Εὔβοια ἐκαλεῖτο.

Πελασγικὸν δὲ εἶπεν, διὰ τὸ πλησιόχωρον εἶναι τὴν Εὔβοιαν τῇ Πελοποννήσῳ, ἣ πρότερον ἐκαλεῖτο Πελασγία.

Ἦσαν δὲ ἀστυγείτονες τῶν Δολιόνων οἱ Μάκρωνες. Οἱ δὲ ἔθνος Βεχείρων φασὶ τοὺς Μάκριας, οἵτινες ἀεὶ πολεμοῦσι τοῖς Κυζικηνοῖς. Ἦσαν δὲ τὰ πολεμικὰ ἔργα ἠσκηκότες, ὡς ἱστοροῦσι Φιλοστέφανός τε καὶ Ἡρόδωρος, οἱ τὰ περὶ τῶν βίων αὐτῶν γεγραφότες. Διονύσιος δὲ ὁ Χαλκιδεὺς εἰρῆσθαι φησὶν αὐτοὺς Μάκρωνας, ἐπειδὴ Εὐβοέων εἰσὶ Μάκρωνες ἄποικοι. Ἄλλοι δὲ Μάκρωνας αὐτοὺς φασὶ λέγεσθαι διὰ τὸ πλείστους εἶναι παρ' αὐτοῖς μακροκεφάλους, ὥσπερ παρὰ τοῖς Πέρσαις γρυπούς. Μέμνηται δὲ τούτων Ἡρόδοτος ἐν δευτέρᾳ g).

Πελασγικὸν δὲ Ἄρεα εἶπεν τὸν τῶν Μακριέων, ἐπεὶ Εὐβοέων εἰσὶν ἄποικοι· ἡ δὲ Εὔβοια πλησίον Πελοποννήσου κεῖται, ἥτις τὸ παλαιὸν Πελασγὶς ἐκαλεῖτο.

V. 1026. Σὺν δ' ἔλασαν. Τὸ Ὁμηρικὸν παραγράφει h),

Σύν ῥ' ἔβαλον ῥινοὺς, σὺν δ' ἔγχεα καὶ μένε' i) ἀνδρῶν.

V. 1027. Ἥτ' ἐνὶ θάμνοις. Τοῖς στελέχεσι τῶν δένδρων, (ἀπὸ τῆς θέσεως.)

— — θάμνος (ἔφυ) τανύφυλλος ἐλαίης.

Καὶ ταῦτα δὲ ἐξ Ὁμήρου παρῆκται k)·

Μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐνὶ l) τάρφεσιν ὕλης.

[Ῥιπὴν δὲ ἐνταῦθα τὴν ὁρμὴν τοῦ πυρὸς λέγει.]

V. 1029. Ζαμενής. Ἄγαν ἰσχυρός· τοῦ ζα κατ' ἐπίτασιν ὄντος, ὡς ζάπλουτος, ζάκοτος, ζάθεος.

V. 1030. Ὑπὲρ μόρον. Συνυπακούεται τὸ σχὼν, ἢ ἄλλο τι παραπλήσιον, ἵν' ᾖ, οὐδ' ὅγε ὁ Κύζικος ὑπερσχὼν τὸν μόρον τῆς δηϊοτῆτος, [ἤγουν τὸν ἐν τῷ πολέμῳ θάνατον, ἔμελλεν ἐπανήξειν οἴκαδε].

e) τὴν δὲ λέπραν ἱερὰν νόσον. Ἤδη δέ τινες καὶ τὴν λοιμικὴν οὕτως ἐκάλεσαν P. rectius. f) ψευδόμενος δ' ἱερὴν P. g) ἐν τῇ β̅ P. h) Il. IV, 447. i) Sic P. Vulgo μένη. k) Il. XV, 605. l) ἐν P.

[V. 1032. *Τὸ δὲ ἑεῖο ἐνταῦθα ἰσοδυναμεῖ τῷ ἑαυτοῦ, προσληπτικὸν λεγόμενον τοῖς παλαιοῖς.*] (*Τὸ δὲ ἑοῖο καὶ νῦν κακῶς κεῖται κ. τ. λ.*)

V. 1034. *Ἐῤῥαίσθη. Ἀντὶ τοῦ ἐθραύσθη.*

V. 1035. *Τὸ δὲ μοῖραν ἀνέπλησεν, τὸ πρόσταγμα τῆς εἱμαρμένης ἐτέλεσε.*

Τὴν γὰρ θέμις. Τοῦτο ὥσπερ ἀποδεικτικόν ἐστιν τοῦ ἄφυκτον εἶναι τὴν μοῖραν, ὡς καὶ Ὅμηρος ἐν πολλοῖς δείκνυσιν.

V. 1037. *Ἀδευκέος ἔκτοθεν ἄτης. Οὐ προσηνοῦς, ἀπεοικυίας, πικρᾶς. Δεῦκος γὰρ τὸ γλυκύ. Ὅθεν Πολυδεύκης. Καὶ γὰρ ζῶν, εὐεργετικώτατος· καὶ ἀποθεωθεὶς, ἅμα τῷ ἀδελφῷ διασώζει τὰς ναῦς. Ἢ ἀφανοῦς καὶ ἀπροοράτου, παρὰ τὸ δείκω.*

Τὸ δὲ ἔκτοθεν ταὐτόν ἐστι τῷ ἐκτός.

Περὶ τῆς μάχης καὶ Δηΐλοχος m) *ἱστορεῖ.* (*Περὶ δὲ τῆς τοῦ Κυζίκου ἀναιρέσεως καὶ τῆς ὅλης μάχης οὐ συμφωνεῖται. Ἔφορος μὲν γὰρ*) *τοὺς Δολίονας, Πελασγοὺς ὄντας, καὶ ἐχθρωδῶς διακειμένους πρὸς τοὺς τὴν Θεσσαλίαν καὶ Μαγνησίαν κατοικοῦντας, διὰ τὸ ἀπελασθῆναι ὑπ' αὐτῶν, ἐπιθέσθαι αὐτοῖς νύκτωρ,* (*γράφει ἐν τῇ ἐννάτῃ.*) *Ἠκολούθηκε δὲ Ἀπολλώνιος Δηϊλόχῳ. Καλλισθένης δὲ ἐν τῷ πρώτῳ τοῦ Περίπλου, κατ' ἔχθραν φησὶ τοὺς οἰκοῦντας τὴν Κύζικον ἐπιθέσθαι νυκτὸς τοῖς Ἀργοναύταις.*

V. 1040 sq. *Τηλεκλῆα ἠδὲ Μεγαβρόντην. Πέπλακε τὰ ὀνόματα ταῦτα Ἀπολλώνιος, οὐκ ἀπὸ ἱστορίας ἔλαβεν. Οὕτω Ταῤῥαῖος.*

Τὸν δὲ Κύζικον οἱ μὲν ὑπὸ Διοσκούρων φασὶν ἀναιρεθῆναι, ἄλλοι δὲ ὑπὸ Ἰάσονος.

V. 1047. *Ἀρτακέα. Ἡρωδιανὸς βαρυτονεῖ τὸ ὄνομα ἐν τῷ τρίτῳ τῆς καθόλου. Ἀρτάκης* n) *γάρ.*

V. 1049. *Ἠΰτε κίρκους. Εἶδος ἱέρακος* [*ταχύτατον*]. *Ἔστι δὲ ἱεράκων γένη ἕξ, ὡς Καλλίμαχος ἐν τοῖς* o) *περὶ ὀρνέων. Καὶ Ὅμηρος δὲ ἔοικε τοῦτο γινώσκειν* p)·

— — *οὐδέ κεν ἵρηξ*
κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν q).

καί r)·

Κίρκος Ἀπόλλωνος ταχὺς ἄγγελος.

Ὁ δὲ ἱέραξ ἱερός ἐστιν Ἀπόλλωνος.

V. 1050. *Πέλεια δὲ περιστερᾶς εἶδος, ὅμοιον φάττῃ, ὥς φησιν Ἀριστοτέλης.*

V. 1052. *Ὑποτροπίῃ. Ὑποστροφῇ, τουτέστι φυγῇ.*

(V. 1053. *Ἠῶθεν δ' ὀλοήν. Ἅμα ἠοῖ κακὴν ἀμπλακίην καὶ ἀπροσμήχανον εἶδον, οἷον ἀβοήθητον.*)

V. 1059. *Τρὶς περὶ χαλκείοις δίχα. Χαλκείοις σὺν ἔντεσιν. Ὑπερβατὸν δέ ἐστι. Τὸ γὰρ ἑξῆς, χαλκείοις σὺν ἔντεσι περιδινηθέντες, ὅ ἐστι περιδραμόντες.*

m) *Διΐλοχος* P. n) *Ἀτάρκης* P. q) *πετεεινῶν* P. r) Od. XV, 525.
o) *ἐν τῷ* P. p) Od. XIII, 86.

V. 1060. *Τύμβῳ ἐνεκτερέϊξαν.* Τύμβον ἔστησαν. Καὶ Ταρχῦσαι, τὸ θάψαι· Κτερεΐξαι, τὸ τύμβον ποιῆσαι, καὶ τὰ ἐπὶ τῷ τύμβῳ τελέσαι. (Ἔθαψαν γὰρ, τάφον αὐτῷ ποιήσαντες.)

V. 1061. *Τοῦ δὲ Λειμωνίου πεδίου* μέμνηται Δηΐλοχος s), περί τε τοῦ τάφου Κυζίκου ὁ αὐτός.

V. 1062. *Τὸ δὲ ἐγκέχυται*, Ὁμηρικῶς, κατὰ τὴν ἀρχαίαν ἀγωγὴν,

— — χυτὴν ἐπὶ γαῖαν ἔχευαν t).

V. 1063. *Οὐδ' ἄλοχος Κλείτη.* Ὁ μὲν Ἀπολλώνιος νεόγαμον τὸν Κύζικον καὶ ἄπαιδα ἱστορεῖ, Εὐφορίων δὲ ἐν Ἀπολλοδώρῳ μελλόγαμον. Τὴν δὲ Κλείτην οὐ Μέροπος λέγει θυγατέρα, Θρῇσσαν δὲ τὴν Πιάσου· οὐδὲ παθεῖν τι ἐπὶ τῷ τοῦ ἀνδρὸς θανάτῳ, ἀπαχθῆναι δὲ οἴκαδε ὑπὸ τοῦ πατρός. Εὐάνθης δὲ (ἐν τοῖς Μυθικοῖς) συμφωνεῖ τῷ Ἀπολλωνίῳ. Περὶ δὲ τῆς Κλείτης φησὶ Δηΐλοχος u), ὑπὸ λύπης τελευτῆσαι. Ἱστορεῖ δὲ Ἀπολλώνιος, ἄτεκνον τὸν Κύζικον ἀνῃρῆσθαι. Εὐάνθης δὲ, ἐσχηκέναι φησὶ παῖδα ὁμώνυμον ἑαυτῷ.

V. 1065. *Τὴν δὲ καὶ αὐτήν.* Τοῦτο ἤτοι ὅτι πρὸς θαυμασμὸν τοῦ πάθους, (τοσοῦτον γὰρ ἦν, ὡς καὶ τὴν θείαν φύσιν ἀνεγεῖραι) ἢ ὅτι ὑπόκεινται αἱ γυναῖκες θρηνοῦσαι, ἵνα ᾖ, μετὰ τῶν Δολιόνων καὶ αὐταὶ αἱ Νύμφαι ὠδύροντο τὴν Κλείτην.

Εὐάνθης δὲ καὶ Δηΐλοχος u) ἱστοροῦσιν, ὅτι ἀπήγξατο ἡ Κλείτη, καὶ ὅτι [ἐκ τῶν δακρύων] αὐτῆς κρήνη ἐν Κυζίκῳ [ἐγένετο κληθεῖσα ἐπὶ τῷ ὀνόματι αὐτῆς Κλείτη].

V. 1068 sq. *Ἣν καλέουσι Κλείτην.* Ἀντὶ τοῦ, ὁμωνύμως τῇ παιδί· πρὸς πλείονα χρόνον τοῦ πάθους τὴν μνήμην σώζεσθαι βουλόμενοι.

Περικλεὲς δὲ, ἢ τὸ ἐπίδοξον καὶ διαβόητον, ἐκ τῆς τοῦ πάθους ὑπερβολῆς καὶ τῆς πρὸς τὸν ἄνδρα διαθέσεως γενόμενον.

V. 1073. *Ἔργοιο μυληφάτου.* Τοῦ πυροῦ, τουτέστι τοῦ σίτου. Τοῦ ἀλεύρου τοῦ ὑπὸ μύλης τεθλαμένου ἐν τῷ ἀλήθεσθαι. Φησὶ δὲ τοὺς ἄρτους.

V. 1075. *Χύτλα.* Κυρίως τὰ μεθ' ὕδατος ἔλαια· καταχρηστικῶς δὲ, ὡς ἐνταῦθα, τὰ ἐναγίσματα καὶ αἱ χοαί.

V. 1076. Τὸ δὲ *Κύζικον ἐνναίοντες*, ἀντὶ τοῦ Κυζικηνοί. *Ἰάονες* δὲ, τῷ ἀποίκους εἶναι Μιλησίων. Καὶ γὰρ εἰς Μίλητον ὁ Νηλεὺς ἀποικίαν ἐστείλατο, καὶ ἐκεῖθεν ἐπὶ Κύζικον μετὰ πολὺν χρόνον. Ὅθεν καὶ τοὺς Μιλησίους Ἴωνας ἐκάλεσεν.

V. 1077. *Πέλανοι δὲ*, πέμματα ποιά. Ἀττικοὶ δὲ πᾶν τὸ πεπηγὸς οὕτω λέγουσι.

Πελάνους ἐπαλετρεύουσι. Πᾶς δῆμος ἐπὶ τῆς μύλης ἐπαλετρεύουσι καὶ ἀλήθουσι πελάνους. *Πέλανος* δὲ, ὁ διαπεπηγμένος καὶ ῥυπαρὸς κατὰ Ἀττικούς. Ὡς καὶ Εὐριπίδης [ἐν Ὀρέστῃ] v)·

Στόματος ἀφρώδη πέλανον.

s) Διΐοχος P. t) Il. XXIII, 256. u) Διΐοχος P. v) v. 214 ed. Pors.

Φησὶ δὲ τοὺς ἀκαθάρτους καὶ εὐτελεῖς ἄρτους, (οὓς ὁ Θεόκριτος Δωρικούς φησιν.)

V. 1079. Ἧμαθ᾽ ὁμοῦ. Τὸ ὁμοῦ παρ᾽ Ὁμήρῳ μὲν τὸ ἐν αὐτῷ τῷ τόπῳ σημαίνει,

— — ὁμοῦ δ᾽ ἔχον ὠκέας ἵππους [w]).

παρὰ δὲ τοῖς μεθ᾽ Ὅμηρον καὶ ἄλλα σημαίνει. Ὡς καὶ Σοφοκλῆς ἐπὶ (χρόνου τέθεικεν αὐτό [x]))·

Πόλις δ᾽ ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Νῦν δὲ ἀντὶ τοῦ ὁμοίως κεῖται. Ὡς καὶ παρ᾽ Εὐριπίδῃ·

Ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες.

V. 1080. Ἐπιπλομένη. Τὴν ἐπερχομένην φησίν.

V. 1081. Ὦ ᾽λλοι μέν ῥα. Ἡ τοιαύτη συναλοιφὴ τῆς νεωτέρας Ἰάδος ἐστί. Διὸ μέμφονται Ζηνοδότῳ, εἰπόντι,

Ὦ ᾽λλοι μέν ῥα [y]) θεοί τε καὶ ἀνέρες.

Οὐ κέχρηται γὰρ ταύτῃ Ὅμηρος.

V. 1082. Πύματον λέχος. Ὕστατον [z]) κλῆρον καὶ μερίδα τοῦ ἐν τῇ Δολονίᾳ ὕπνου λαμβάνοντες, καὶ ἐκεῖσε ὑπνοῦντες· τῇ γὰρ ἑξῆς ἀναπλεῖν ἔμελλον.

V. 1083. Ἀδινὰ κνώσσοντας. Ἐφύλαττον μεγάλως καὶ βαθέως ὑπνοῦντας. Ὁ δὲ Ταῤῥαῖος, λεπτὰ κοιμωμένους, καὶ οὐ κατὰ βάθος.

V. 1086. Λῆξιν ὀρινομένων. Τὴν κατάπαυσιν καὶ λώφησιν τῆς τῶν ἀνέμων βίας. Τὸ γὰρ ὄρνεον θαλάσσιον καὶ ἐν τοῖς αἰγιαλοῖς βιοῦν. Λέγεται δὲ καὶ ὁ Ζεὺς ἐφεξῆς πέντε καὶ δέκα ἡμέρας, ἢ (ὥς τινες) δεκατέσσαρας εὐδιεινὰς ποιεῖν, ἵνα ἀποκυήσῃ [ἡ ἀλκυὼν] (παρὰ τοῖς αἰγιαλοῖς). Καὶ ἀλκυονίδες ἡμέραι καλοῦνται ἑπτὰ πρὸ τοῦ τόκου, καὶ ἑπτὰ μετὰ τὸν τόκον. Εἴληφε δὲ τὰ περὶ τῶν ἀλκυόνων παρὰ Πινδάρου ἐκ Παιάνων.

V. 1087. Εὐλόγως δὲ ὄσσαν εἶπε τὴν ἀλκυόνος φωνήν. Ὑπὸ γὰρ Ἥρας ἦν ἀπεσταλμένη, (ὥς φησι Πίνδαρος.)

Ἀκταίης ὄρνιθος. Τῆς παρὰ ταῖς ἀκταῖς καὶ τοῖς αἰγιαλοῖς διατριβούσης καθήκουσαν φωνὴν ἀκούσας.

V. 1089. Ἀφλάστοιο. Ἀπολλώνιος ἐν ταῖς Λέξεσιν ἀποδέδωκεν ἄφλαστον τὸ ἀκροστόλιον· οὐκ εὖ· ἐπειδὴ τὸ ἀκροστόλιον ἐστὶ [τὸ ἄκρον] τοῦ στόλου. Στόλος δὲ λέγεται τὸ ἐξέχον ἀπὸ τῆς πτύχης καὶ διῆκον ἄχρι τῆς πρώρας ξύλον. Πτύχη δὲ λέγεται, ὅπου τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. Ἔστιν οὖν ἀκροστόλιον τὸ ἄφλαστον κατὰ τὴν πρώραν. Ἀλλ᾽ ὁ ποιητὴς αὐτὸ παραδίδωσιν ἐπὶ τῆς πρύμνης, λέγων [a])·

Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν οὔτι μεθίει [b]),
ἄφλαστον μετὰ χερσὶν ἔχων.

Καὶ εἴρηται ἄφλαστον κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ θ, ἄθλαστον,

w) Il. XI, 127. x) Oed. R. 4. y) γὰρ P. z) Sic P. Vulg. ὕστερον. a) Il. XV, 716. b) Sic P. Vulgo μεθήει.

κατὰ ἀντίφρασιν· ἐπεὶ εὔθλαστόν ἐστιν. Ἔστιν οὖν ἄφλαστον, σανίδιον κατὰ τὴν πρύμναν.

V. 1098. Ἐκ γὰρ τῆς ἄνεμοί τε. Ἐκ ταύτης τῆς Ῥέας καὶ γῆ καὶ θάλασσα καὶ οὐρανὸς συνέχεται. Οἱ γὰρ φυσικοὶ αὐτὴν γῆν φυσιολογοῦσιν τὴν πάντων ἁρμογὴν καὶ δεσμόν. Καὶ τὸ ὄνομα αὐτῆς ἐτυμολογοῦσι παρὰ τὸ ῥεῖν ἀεὶ καὶ ποιεῖν τείρεα. Καὶ φυσικῶς ταύτης ἄνδρα τὸν Κρόνον φασὶν, οἱονεὶ τὸν χρόνον, μεταβολῇ τοῦ ἀντιστοίχου. Σύνεστι δὲ τῇ τῶν στοιχείων τάξει ἐξ ἀνάγκης ὁ χρόνος. Καὶ εἶτα λοιπὸν ἀλληγορικῶς τούτους τῶν θαλασσίων καὶ οὐρανίων καὶ χθονίων θεῶν πατέρας εἶναι φασί. Μετὰ γὰρ τὴν τῶν στοιχείων θέσιν καὶ σύνδεσμον συνέβη καὶ θεοὺς καὶ θεῶν δυνάμεις καὶ διαφορὰς μαθεῖν τοὺς ἄνδρας, καὶ τιμῆσαι.

V. 1099. Τὸ πεπείρηται, ἀντὶ τοῦ συνέχεται καὶ συνέζευκται.

V. 1109. Ἱερῆς ἐκ πείσματα πέτρης. Ἧς καὶ ἐν τοῖς πρώτοις [c]) μέμνηται, εἰπών [d])·

— — ἱερὴ δὲ φατίζεται ἤδ' ἔτι [e]) πέτρη.

V. 1110. Ἤρεσαν. Ἐκωπηλάτησαν. Τῷ δὲ συντελικῷ ἐχρήσατο ἀντὶ παρατατικοῦ τοῦ ἤρεσσον.

Λιμένα δὲ Θρηΐκιον λέγει, ἐπειδὴ κεῖται μὲν ἡ Κύζικος ἐπ' ἐσχάτοις τῆς Φρυγίας, συνάπτει δὲ ἡ Βιθυνία τῇ Φρυγίᾳ. Βιθυνοὶ δὲ Θρᾷκες κατὰ τὸ δεξιὸν μέρος. Ἢ ἐπειδὴ Θρᾷκες [τὸ παλαιὸν] Κύζικον ᾤκησαν.

V. 1112 sq. Καὶ πᾶσα περαίη Θρηΐκίης. Καὶ πᾶσα ἡ ἐναντία χώρα τῆς Θράκης. Ποντικὸν δὲ ἔθνος οἱ Μάκρωνες.

Τὸ δὲ, χερσὶν ἑαῖς, οὐκ εὖ εἴρηκεν. Ὤφειλε γὰρ σφετέραις.

V. 1114. Στόμα Βοσπόρου ἠερόεν. Οἷον ἀερῶδες, ἤτοι ὁμιχλῶδες. Βόσπορος δὲ τὸ τῆς Προποντίδος στενόν· οὕτω κληθὲν ἀπὸ τῆς διανηξαμένης βοὸς, τῆς Ἰοῦς.

V. 1115. Ἐκ δ' ἑτέρης. Οὐ λέγει ἠπείρου, τῆς Εὐρώπης, καὶ γὰρ ἡ Μυσία καὶ ὁ Αἴσηπος τῆς Ἀσίας, ἐπὶ ἑτέρας δὲ χώρας λέγει, τῆς Τρωάδος, καθ' ἣν ὁ Αἴσηπος ῥεῖ, χωρίζων αὐτὴν τῆς Μυσίας. Καὶ Ὅμηρος [f])·

Γρήνικός τε καὶ Αἴσηπος.

Ἡ δὲ Τρωὰς ἀπὸ Μυσίας ἀρχομένη τῆς μεγάλης ἐπὶ Αἰσήπου λήγει. Ἡ δὲ Δολιονία καὶ Φρυγία ἄρχεται μὲν ἀπὸ Αἰσήπου, λήγει δὲ ἐπὶ Ῥύνδακον. Μυσίαι δὲ δύο, ἥ τε Εὐρωπαία καὶ ἡ Ἀσιανή. Τῆς οὖν ἐν Ἀσίᾳ Μυσίας αἱ κολῶναι τοῖς Ἀργοναύταις ἐφαίνοντο.

V. 1116. Καὶ πεδίον Νηπήϊον. Πεδίον Νηπείας ἐστὶ περὶ Κύζικον. Μνημονεύει δὲ αὐτοῦ καὶ Καλλίμαχος ἐν Ἑκάλῃ [g])·

Νηπείης ἤτ' ἄργος [h]) ἀοίδιμος ἀδρήστεια.

Τὴν δὲ Νήπειαν Διονύσιος ὁ Μιλήσιος πεδίον τῆς Μυσίας φησὶν εἶναι. (Ὁ γὰρ βασιλεὺς τῶν Μυσῶν θυγατέρα Ἰάσου ἔγημεν Ὀλυμ-

c) προτέροις corrigit Schaefer. XII, 21. g) Αἰκάλῃ P. h) ἠδ' Ἄργου P.
d) I, 1019. e) εἰσέτι P. f) Il.

πος Νήπειαν ὄνομα·) καὶ κατῴκησεν ἐν τῷ πεδίῳ τούτῳ, ὃ νῦν [ἀπὸ ταύτης] καλεῖται Νηπείας πεδίον. Ἀπολλόδωρος δέ φησι Νηπείας πεδίον ἐν Φρυγίᾳ. Ὁ δὲ Καλλίμαχος φησὶν ἐν Ὑπομνήμασι [i]), Νέμεσιν εἶναι τὴν τὸ πεδίον κατέχουσαν. Ἔστι δὲ καὶ πόλις [ἐκεῖ] καλουμένη Ἀδρήστεια ἀπὸ τοῦ ἱδρυσαμένου. Ὁ δὲ Ἀπολλώνιος ἑκατέρων μέμνηται, τῆς τε πόλεως καὶ τοῦ πεδίου. Φησὶ γάρ·

Ἄστυ τε καὶ πεδίον Νηπήϊον Ἀδρηστείης.

Τῆς δὲ πόλεως καὶ Ὅμηρος μνημονεύει [k])·

Οἳ δ' Ἀδρήστειάν τ' εἶχον [l]).

V. 1117. Στιβαρὸν στύπος. Στύπος τὸ πρέμνον καὶ στέλεχος, ἐξ οὗ καὶ ἀπεστύπαζον.

V. 1118. Πρόχνυ δὲ, παντελῶς. Γεράνδρυον, τὸ παλαιὸν ξύλον.

V. 1119. Βρέτας δὲ, τὸ βροτῷ ἐοικός.

Καὶ Εὐφορίων ἐκ τούτου κινηθεὶς, τὸ ξόανον τῆς μητρὸς τῶν θεῶν φησὶν ἀμπέλινον εἶναι, διὰ τὸ τὴν ἄμπελον ἴσως ἱερὰν εἶναι τῆς Ῥέας.

V. 1120. Κολωνῷ. Τῇ ἐξεχούσῃ ἀκρωρείᾳ.

V. 1123. Χεράδος. Χερὰς, ἡ τῶν βραχέων λίθων συλλογὴ, τῶν καθ' ἕνα χειρὶ ληφθῆναι δυναμένων· οὓς Ὅμηρος χερμάδια φησί. Τὸ δὲ βωμὸν, ἀντὶ τοῦ εἰς βωμοῦ κατασκευήν. Ἢ χεράδες λέγονται οἱ μικροὶ σωροὶ τῶν λίθων. Φησὶ Δημήτριος ὁ Σκήψιος τὴν διάλεκτον Ἀπολλωνιατῶν εἶναι τῶν ἐν Πόντῳ. Μνημονεύει καὶ Σαπφώ·

Μὴ κενὴ χεράδος.

Καὶ Ὅμηρος [m])·

— ἅλις χεράδος περιχεύας.

Χέραδος δὲ, ὁ τῶν λίθων σωρός. Εἰς δὲ τὴν τοῦ βωμοῦ κατασκευὴν λίθους ἐσώρευον.

V. 1124. Δρυΐνοισιν. Εἰκότως. Ἡ γὰρ δρῦς ἱερὰ τῆς Ῥέας, ὥς φησιν Ἀπολλόδωρος ἐν τρίτῳ περὶ θεῶν. Δρυΐνοις δὲ αὐτοὺς φησὶ στέφεσθαι, διὰ τὸ μεμερίσθαι τῇ θεῷ τὸ δένδρον τοῦτο· διὰ τὸ καὶ πρὸς στέγας καὶ πρὸς τροφὴν πρῶτον χρησιμεῦσαι.

V. 1125. Δινδυμίην. Τὴν ἐν τῷ Δινδύμῳ ὄρει τιμωμένην ἐπικαλούμενοι καὶ ἱκετεύοντες.

V. 1126. Ἐνναέτιν Φρυγίης Τιτίην θ' ἅμα. Περὶ τῶν Ἰδαίων Δακτύλων καλουμένων πρώτους φησὶν εἶναι καὶ παρέδρους τῇ μητρὶ τῶν θεῶν· ἀκολουθῶν Μενάνδρῳ, λέγοντι Μιλησίους, ὅταν θύωσι τῇ Ῥέᾳ, προθύειν [n]) Τιτίᾳ καὶ Κυλλήνῳ. Εἰσὶ δὲ οὗτοι τῶν Ἰδαίων Δακτύλων μοιρηγέται καὶ μητρὸς θεῶν πάρεδροι. Καλλίστρατος δὲ ἐν τῷ δευτέρῳ τοῦ [o]) καθ' Ἡράκλειαν περὶ Τιτίου φησί· Τιτίας, ἥρως ἐγχώριος, ὃν οἱ μὲν μυθεύονται παῖδα

i) ὑπομνήματι P.
l) οἱ δ' ἄρ' Ἀδρήστειαν ἔχον P.
m) Il. XXI, 319.
k) Il. II, 828.
n) Vulg. et P. προσθύειν. V. Bast. epist. crit. p. 175.
o) τῶν P.

Διὸς [εἶναι], οἱ δὲ, [τὸν] πρεσβύτερον τῶν Μαριανδυνοῦ τοῦ Κιμμερίου παίδων· (δι' ὃν μάλιστα τὸ ἔθνος ηὔξηται, καὶ προάγεται ἔτι εἰς εὐδαιμονίαν.) Καὶ Προμαχίδας δὲ (ἐν τοῖς περὶ Ἡρακλείας λέγει περὶ Τιτύου, ὅστις ἦν, καὶ Θεοφάνης. Ἀπεθεώθη δὲ ἀπὸ Μαριανδυνῶν.

V. 1129. Ὅτι δὲ) νύμφη [Ἀγχιάλη] τὶς Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε, παρὰ Στησιμβρότου εἴληφε· καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν, Δάκτυλοι κληθῆναι. Σοφοκλῆς δὲ αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς Σατύροις.

Δάκτυλοι Ἰδαῖοι. Ἓξ καὶ πέντε φασὶ τούτους εἶναι· δεξιοὺς μὲν, τοὺς ἄρσενας· ἀριστεροὺς δὲ, τὰς θηλείας. Φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς, εἴκοσι λέγει· τοὺς δὲ εὐωνύμους, τριακονταδύο. Γόητες δὲ ἦσαν καὶ φαρμακεῖς. Καὶ δημιουργοὶ σιδήρου λέγονται (εἶναι) πρῶτοι καὶ μεταλλεῖς γενέσθαι. Ὠνομάσθησαν δὲ ἀπὸ τῆς μητρὸς Ἴδης, ἀριστεροὶ μὲν, ὥς φησι Φερεκύδης, οἱ γόητες αὐτῶν· οἱ δὲ ἀναλύοντες, δεξιοὶ, ὡς Ἑλλάνικος. Οἱ δέ φασιν, ὅτι Ἰδαῖοι Δάκτυλοι ἐκλήθησαν, ὅτι ἐντὸς Ἴδης ἐντυχόντες τῇ Ῥέᾳ ἐδεξιώσαντο τὴν θεὸν, καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. Ὡς δὲ Μνασέας ἐν πρώτῳ περὶ Ἀσίας, Ἰδαῖοι Δάκτυλοι λέγονται ἀπὸ τοῦ πατρὸς Δακτύλου καὶ τῆς μητρὸς Ἴδης. Ὁ δὲ τὴν Φορωνίδα συνθεὶς, γράφει [p]) οὕτως·

— — ἔνθα γόητες
Ἰδαῖοι Φρύγες ἄνδρες (ὀρέστεροι) οἰκί' ἔναιον,
Κέλμις, Δαμναμενεύς [q]) τε μέγας καὶ ὑπέρβιος Ἄκμων,
εὐπάλαμοι [r]) θεράποντες ὀρείης Ἀδρηστείης·
οἳ πρῶτοι τέχνην [s]) πολυμήτιος Ἡφαίστοιο
εὗρον ἐν οὐρείησι νάπαις, ἰόεντα [t]) σίδηρον·
ἐς πῦρ τ' ἤνεγκαν, καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν.

V. 1130. Δικταῖον. Τὸ Κρητικὸν σπήλαιον. Δίκτη γὰρ ὄρος Κρήτης.

V. 1131. Δραξαμένη. Ἔθος ἐστὶ ταῖς κυούσαις τῶν παρακειμένων λαμβάνεσθαι, καὶ ἀποκουφίζειν ἑαυτὰς τῶν ἀλγηδόνων. Ὡς καὶ Λητὼ ἐλάβετο τοῦ φοίνικος.

Ἔδει δὲ εἰπεῖν Ὀαξίδος· προσετέθη δὲ τὸ ῑ.

Ἐβλάστησεν. Ἀντὶ τοῦ ἐγέννησε.

V. 1132. Ἐργώλας. (Διαφόρως ἀνεγνώσθη· ἐπικρατεῖ δὲ ἡ βαρεῖα τάσις.) [Γράφεται καὶ ὀξυτόνως ἐργωλή· καὶ σημαίνει ἑκατέρως τὴν τοῦ ἔργου ἀπώλειαν.]

V. 1134. Ὀρφῆος ἀνωγῇ. Τῇ τοῦ Ὀρφέως παρακελεύσει, ὡς αὐτοῦ τῆς ὀρχήσεως προκαταρχομένου.

V. 1135. Βηταρμὸν δὲ, τὴν ὄρχησιν, παρὰ τὴν ἁρμόδιον βάσιν αὐτῶν. Λέγει δὲ νῦν τὴν πυῤῥίχην ὄρχησιν.

Τὸ δὲ ἑξῆς, ὠρχοῦντο τοῖς ξίφεσι τὰς ἀσπίδας κομποῦντες [u]),

p) Sic P. Vulgo γράφων. q) Δαλδαμωνεύς P. r) ἀπάλαμνοι P. s) τέχνη P. t) ἰόν τε P. u) κτυποῦντες P.

διὰ τὸ τὸν Κύζικον θρηνεῖσθαι ὑπὸ τῶν Δολιόνων, ἵνα μὴ, τῆς θυσίας οὔσης, δύσφημος φωνὴ ἀναφέρηται. Ὅθεν καὶ Φρύγες κυμβάλοις καὶ τυμπάνοις τὴν Ῥέαν ἱλάσκονται.

V. 1139. Ῥόμβῳ. Ῥόμβος, τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες, καὶ οὕτως κτύπον ἀποτελοῦσι. Τινὲς δὲ ῥύμβον [v]) αὐτὸ καλοῦσιν· ὧν καὶ Εὔπολις ἐν Βάπταις, καὶ Δίδυμος.

V. 1141. Ἀνταίη. Ἡ Ῥέα οὕτω λέγεται, διότι ἐναντία τοῖς Τελχῖσιν ἐγένετο. Ὡς δέ τινες, ἀνταίη, ἡ εὐλιτάνευτος καὶ εὐάντητος [w]).

Σήματ᾽ ἔγεντο. Διὰ τούτου οὐδὲν ἕτερον ὁ ποιητὴς φησὶν, ἢ τὴν τῆς θεοῦ φύσιν. Καὶ τοῖς φυσικοῖς, φασὶ, δοκεῖ τὴν αὐτὴν εἶναι τῇ γῇ. Τῆς δὲ εὐμενείας σημεῖον, τὸ ἔγκαρπα εἶναι τὰ δένδρα καὶ πόας αὐτομάτους φύειν.

V. 1143. Τερείνης. Τῆς ἁπαλῆς καὶ χλωρᾶς.

V. 1144. Εἰλυοὺς δὲ, τὰς καταδύσεις τῶν θηρῶν.

Ξυλόχους δὲ, τοὺς ἐν τοῖς ὄρεσιν ὑλώδεις τόπους.

Ἔστι δὲ ὑπερβατὸν· εἰλυούς τε ξυλόχους τε καταλιπόντες.

Διὰ πολλῶν δὲ τὸ θαυμαστὸν παρέστησε, διά τε τῆς διψάδος, καὶ ὅτι οὐκ ὀλίγον τὸ ἀναδοθὲν ὕδωρ, ἀλλὰ καὶ ἄληκτον.

V. 1146. Τὸ δὲ ναῖεν, οὐκ εὖ. Ἔδει γὰρ χωρὶς τοῦ ι, νᾶεν· ἵν᾽ ᾖ, ἔῤῥει. Ὡς παρ᾽ Ὁμήρῳ [x])·

— — νᾶεν δ᾽ ὀρῷ ἄγγεα πάντα.

Ἡ δὲ σύνταξις κατὰ μετάθεσιν· ὡς τὸ,

— — — ῥέε δ᾽ αἵματι γαῖα [y]).

ἀντὶ τοῦ, αἷμα ἔῤῥεεν ἐν τῇ γῇ. Ἢ μεταληπτέον τὸ νᾶεν εἰς τὸ κατάῤῥυτον· ἵν᾽ ᾖ, κατάῤῥυτον τὸ Δίνδυμον ὕδασιν.

V. 1147. Ἀνέβραχε [z]). ἀντὶ τοῦ ἀνεδόθη.

Διψάδος. Διψὰς τὴν ξηρὰν γῆν σημαίνει.

V. 1152. Νῆσον δὲ ἔοικε τὴν Κύζικον λέγειν ἐνταῦθα.

V. 1158. Ἀελλόποδας δὲ, τοὺς ταχεῖς.

Τὸ δὲ κίχον, ἀντὶ τοῦ κατέλαβον.

V. 1159. Ζαχρηέσιν αὔραις. Μεγάλως ἐπιβαρούσαις [a]) καὶ πνεούσαις. Κυρίως δὲ ζαχρηὲς [b]), τὸ βιαίως ταῖς χερσὶ πραττόμενον. (Παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις καὶ τὸ ζα ἐπιτατικόν.)

V. 1161. Τὸ μετελώφεον, ἀντὶ τοῦ ἐπαύσαντο.

V. 1162. Ἐφέλκετο. Πρὸς τὴν πάντων αὐτῶν ἀργίαν καὶ τὴν τοῦ κύματος ὑπερβολὴν, τὸ ἐφέλκετο, πρὸς πλείονα εἶπεν ἔμφασιν. Ὅπερ καὶ Καλλίμαχος ἐπὶ τοῦ ἡττηθέντος ταύρου φησὶν,

[ὁ μὲν εἷλκεν,] ὁ δ᾽ εἵπετο νωθρὸς ὁδίτης.

[V. 1164. Τὸ δὲ λελιημένοι ἀντὶ τοῦ προθυμούμενοι καὶ ἐπιθυμοῦντες.]

v) Sic P. Vulgo ῥόμβον. w) ἀλιτάνευτος καὶ ἀσυνάντητος P. x) Od. IX, 222. y) Il. IV, 451. z) ἀνεβράχθη P. a) ἐπιβαλλούσαις P. b) ζαχρειὲς P.

V. 1165. *Ῥυνδακίδας.* Ῥυνδακὸς ποταμός [c]) ἐστι Φρυγίας, οὗ μνημονεύει Βακχυλίδης. (Ταῖς δὲ ἀληθείαις τάφος ἐστὶ τοῦ Βριάρεω, κατὰ τὴν εἴσοδον.) Καλλίμαχος δὲ ἱστορεῖ περὶ τοῦ ποταμοῦ ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν ποταμῶν, καὶ Δημήτριος ὁ Σκήψιος ἐν τῷ (αὐτῷ) διακόσμῳ [d]). Ἄλλως. Ῥυνδακὸς, ποταμὸς Φρυγίας, ὁ νῦν Μέγιστος [e]), πρὸς ᾧ κατὰ τὴν ἔξοδον καὶ Αἰγαίωνος τινὸς ἥρωος Μυσοῦ τάφος. Ῥυνδακὸς δὲ, ὡς Αἰακός.

Μέγα τ' ἠρίον. Γράφεται καὶ, *μέγα τε ῥίον.* Καὶ τὸ μὲν *ῥίον* ἐστὶν ὄρος, ἤτοι ἀκρωτήριον· τὸ δὲ *ἠρίον*, μνημεῖον. Οἴομαι δέ τινα ἀγνοοῦντα τὸν μῦθον, τὸ ἠρίον μεταπεποιηκέναι· ἢ γραφέως ἁμαρτήματι περιλελεῖφθαι τὸ η.

Ὁ δὲ πρὸς τὸν Αἰγαίωνα μῦθος ὑπὸ Δημητρίου φέρεται τοῦ Κνιδίου. Κόνων δὲ ἐν τῇ Ἡρακλείᾳ φησὶν, ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος, κατεποντίσθη εἰς τὸ νυνὶ λεγόμενον ὑπὸ τοῦ Ἀπολλωνίου ἠρίον Αἰγαίωνος, (τὸν αὐτὸν καὶ Βριάρεων καλῶν.) Περὶ δὲ τῆς κλήσεως τοῦ Αἰγαίου πελάγους ἐν μὲν τῷ τρίτῳ τῷ περὶ τῆς Νησιάδος φησὶν ἐν τούτοις· Τὸ Αἰγαῖον πέλαγος οἱ μὲν ἀπὸ τῆς Περκανίας Αἰγὸς ἐπώνυμον γεγονέναι φασίν· οἱ δὲ ἀπὸ τῆς Καρυστίας, τῆς Αἰγαίης ὀνομαζομένης. Αἱ μὲν γὰρ Αἰγαὶ, ἔνθεν τὸν Ποσειδῶνα παραγίνεσθαι φασὶ, κατὰ Πελοπόννησον εἰσὶν, ἐν τοῖς περὶ Κρίσαν τόποις [f]). (Εἰσὶ δέ τινες οἱ διὰ τὸ θεωρεῖσθαι δι' ὅλου τοῦ πελάγους τὴν παρακειμένην γῆν.) [Εἰσὶ δὲ οἱ καὶ ἀπὸ τοῦ Αἰγαίωνος αὐτὸ παρωνομάσθαι λέγουσι.] Τὸν δὲ Αἰγαίωνα Ἡσίοδος φησὶν Οὐρανοῦ καὶ Γῆς. Βριάρεως δὲ, καὶ Αἰγαίων, καὶ Γύγης, ὁ αὐτὸς λέγεται συνωνύμως. Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ τὸν Αἰγαίωνα Γῆς καὶ Πόντου φησὶ παῖδα, κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ τοῖς Τιτᾶσι συμμαχεῖν. Καὶ Ἴων φησὶν ἐν διθυράμβῳ, ἐκ μὲν τοῦ πελάγους αὐτὸν παρακληθέντα (ὑπὸ Θέτιδος) ἀναχθῆναι, φυλάξοντα τὸν Δία, Θαλάσσης δὲ παῖδα. Ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον. Ταῤῥαῖος δέ φησιν, ὅτι γίγας ὢν, καὶ φυγὼν ἐκ τῆς Εὐβοίας, ἀφίκετο εἰς Φρυγίαν, κἀκεῖ ἐτελεύτησε.

V. 1166. *Τυτθὸν ὑπ' ἐκ Φρυγίης.* Τὴν οὖσαν ὀλίγον ἄνω τῆς Φρυγίας. (Οὕτω γὰρ καὶ Ὅμηρος κεῖσθαι φησὶ τὴν Φρυγίαν ἐγγὺς πάνυ τῆς Μυσίας.) Διὸ καί τινες μίαν εἶναι φασὶν ἀμφοτέρας, διὰ τὸ πάνυ πλησιάζειν.

Παρεμέτρεον. Παρέπλεον.

V. 1167. *Ἀνοχλίζων* [g]). Ἀνακινῶν ἐν τῷ κωπηλατεῖν καὶ ἀνακόπτων τὰ κύματα κατὰ τὰς δίνας.

Τετρηχότος δὲ, τραχυνομένου καὶ σφοδροῦ ὄντος.

Ὁλκοὺς δὲ, τὰς φυσήσεις καὶ οἷον ἐπάρσεις καὶ μετεωρισμοὺς τῶν κυμάτων.

V. 1168. Τὸ δὲ *μεσσόθεν* ἔμφασιν καὶ τῆς τοῦ πελάγους δεινότητος καὶ τῆς τοῦ ἥρωος ῥώμης ἔχει.

c) Sic P. Vulgo τόπος. d) ἐν τῷ Τρωϊκῷ διακόσμῳ corrigit Voss. de histor. gr. Malim P. sequi. e) Μέγητος P. f) τῷ κατὰ Κρίσαν κόλπῳ P. g) ἐνοχλίζων P.

Τρύφος δὲ, τὸ κλάσμα τῆς κώπης.

Μεσσόθεν ἆξεν. Διὰ ταύτην τὴν αἰτίαν φασὶ καταλελεῖφθαι τὸν Ἡρακλέα ἐν Κίῳ· οἱ δὲ ἐν Ἀφέταις, ἐπειδὴ ἑτεροκλινῆ τὴν Ἀργὼ ἐποίει. Ἔφορος δὲ (ἐν πρώτῳ) παραδέδωκεν αὐτὸν δι' Ὀμφαλὴν καταλελεῖφθαι.

V. 1171. *Ἀήθεσον* h) *ἠρεμέουσαι.* Ἀήθεις ἦσαν τοῦ ἠρεμεῖν, διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν.

V. 1174. *Ἐν προμολῇ.* Τῇ προστάδι i) καὶ τοῖς προθύροις. Λέγονται δὲ προμολαὶ καὶ τὰ ἐξώπυλα μέρη, ὡς αὐτὸς ἐν τοῖς πρώτοις k) φησί·

Στῆ δ' ἂρ ἐπὶ l) προμολῇσιν, οἱ δ' ἀντίοι ἠερέθοντο m).

Τετρυμμένα n) δὲ, ἀντὶ τοῦ καταπεπονημένα ὑπὸ τοῦ καμάτου.

V. 1175. *Αὐσταλέος.* Ὁ κατάξηρος καὶ ἀνεπιμέλητος.

Περιτριβέας. Τὰς πολὺ πονησάσας χεῖρας ὑπὸ τοῦ κόπου.

V. 1176. Τὸ δὲ *ἠρήσατο*, ἀντὶ τοῦ κατηράσατο, ἢ προσεῖπεν.

V. 1177. *Κιανίδος ἤθεα γαίης.* Περιφραστικῶς τὴν Κίον. Ἔστι δὲ πόλις Μυσίας, ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. Κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοὶ, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι. Καὶ ποταμὸς δέ ἐστιν οὕτως ὀνομαζόμενος, τὴν Μυσίαν περιῤῥέων· οὗ μνημονεύει Σκύλαξ ὁ Καριανδεύς o). Περιῤῥέει δὲ καὶ τὴν πόλιν ὁ ποταμὸς οὗτος.

V. 1178. *Ἀμφ' Ἀργανθώνειον.* Ὄρος τῆς Κίου.

V. 1180. *Ἤϊά τέ σφι.* Ἐφόδια. Βρώματα. Σημαίνει δὲ καὶ τὰ ἄχυρα. Ὅμηρος p)·

— — ἠΐων θημῶνα (τινάξῃ.)

V. 1182. *Κάγκανα.* Κατάξηρα ξύλα.

V. 1182 sq. *Λεχαίην φυλλάδα.* Τὴν πρὸς λέχη καὶ στιβάδας ἐπιτηδείαν, ἀπὸ τοῦ λέχους.

V. 1184. *Στόρνυσθαι.* Λείπει τὸ ὡς, ἵν' ᾖ, ὥστε στόρνυσθαι.

Τὸ δὲ *δινεύεσκον*, ἀντὶ τοῦ ἔστρεφον, παρέτριβον. Τὰ γὰρ ξύλα παρέτριβον, καὶ ἐπ' αὐτῶν πῦρ ἔβαλλον. *Πυρήϊα* γὰρ ταῦτα φησὶ τὰ προστριβόμενα ἀλλήλοις πρὸς τὸ πῦρ ἐγγεννᾷν· ὧν τὸ μέν ἐστιν ὕπτιον, ὃ καλεῖται στορεύς· θάτερον δὲ παραπλήσιον τρυπάνῳ, ὅπερ ἐπιτρίβοντες τῷ στορεῖ στρέφουσιν.

V. 1188. *Διὸς δὲ υἱὸν* τὸν Ἡρακλέα φησί.

V. 1189. Τὸ δὲ *φθαίη*, ἀντὶ τοῦ προλάβοι τοῦ πλοῦ.

Καταχείριον. Τὸ τῇ χειρὶ ἁρμόδιον.

V. 1190. *Ἀλαλήμενος.* Ἢ διὰ τὸ ἄπειρος εἶναι τῶν τόπων· ἢ ἀντὶ τοῦ περιερχόμενος, ἕως ἂν αὐτῷ ἁρμόδιον εὕρῃ.

h) ἀήθεσαν P. i) προπαστάδι P. k) πρόσθεν P. l) ἄρ' ἐνὶ P. m) I, 320. n) τετριμμένα P. o) ἐν Καριανδεῦσι P. p) Od. V, 368.

V. 1192. *Αἴγειρος δὲ*, παρὰ τὸ ἐκ τῆς ἔρας [q]) ἀΐσσειν καὶ κινεῖσθαι. Ἢ παρὰ τὸ κατάγνυσθαι ὑπὸ τῶν ἀνέμων. [Ταναὴν δέ φησι τὴν τεταμένην καὶ ἐπιμήκη.]

V. 1195. *Ἔδυ δ' ἀπὸ δέρμα.* Τὸ ἑξῆς, ἀπέδυ δέρμα λέοντος.

V. 1196. *Χαλκοβαρεῖ δὲ*, τῷ ἰσχυρῷ, ἢ τῷ πρὸς τῷ τέλει χαλκῷ βεβαρημένῳ. Πείσανδρος δέ φησιν ὁλόχαλκον εἶναι τὸ ῥόπαλον Ἡρακλέους. Ἐτυμολογοῦσι δὲ αὐτὸ παρὰ τὴν ῥοπὴν καὶ τὸ ἀλοιᾶν.

Δαπέδοιο δὲ, ἐκ τῆς γῆς, ἢ τῆς ῥίζης.

V. 1197. *Στύπος.* Στέλεχος.

V. 1200. *Ἔχμα.* Κώλυμα.

V. 1201. *Ἀπροφάτως.* Ἀθρόως.

V. 1203. *Καταΐξ.* Ἡ σφοδρὰ ὁρμή.

V. 1204. *Αὐτοῖσι σφήνεσσιν.* Τοῖς περὶ τὴν ἱστοδόκην σφησὶ, τοῖς περιέχουσι καὶ κρατοῦσι τὸν ἱστόν. Διόλου δὲ ἡ παραβολὴ ὑγιὴς καὶ ἐῤῥωμένη. Ἱστῷ γὰρ τὴν ἐλάτην εἰκάζει, διὰ τὸ ἰθυτενὲς καὶ εὐαυξὲς, καὶ γὰρ κἀκείνη ἱστοῦ δίκην [r]) ἵσταται, χειμερινῷ δὲ καιρῷ τὴν ἀθρόαν τοῦ ἥρωος ἐπιφάνειαν, σφοδρῷ δὲ ἀνέμῳ τὴν ῥώμην. Τὸ δὲ, *αὐτοῖσι σφήνεσσι*, διὰ τὰ περιέχοντα τῆς ἐλάτης ῥίζαν χώματα· καὶ γὰρ κἀκεῖνα σφηνῶν δίκην τὴν ῥίζαν περιεῖχεν. Τοὺς δὲ προτόνους, εἰς τὸν τόνον καὶ τὴν τάσιν τῶν ῥιζῶν.

V. 1207. *Τόφρα.* Ἀντὶ τοῦ ἐν ὅσῳ.

Ὕλας. Τὸν Ὕλαν ὁ μὲν Ἀπολλώνιος Θειοδάμαντος φησὶν υἱὸν εἶναι, Ἑλλάνικος δὲ Θειομένους. Ἀντικλείδης [s]) δὲ ἐν Δηλιακοῖς ἱστόρησεν, οὐ τὸν Ὕλαν εἰς τὴν ὑδρείαν ἐξεληλυθέναι, ἀλλὰ τὸν Ὕλον [t]), καὶ ἀνεύρετον γενέσθαι. Ἐγένοντο δὲ πολλοὶ ἐρώμενοι Ἡρακλέους, Ὕλας, Φιλοκτήτης, καὶ Δίομος, καὶ Περιθύας [u]), καὶ Φρὶξ [v]), ἀφ' οὗ πόλις Λιβύης. Σωκράτης δὲ ἐν τῷ πρὸς Εὐδόθεον φησὶ τὸν Ὕλαν ἐρώμενον Πολυφήμου καὶ οὐχ Ἡρακλέους γενέσθαι. Ὄνασος δὲ ἐν πρώτῳ Ἀμαζονίδων [w]) ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθεται, οὐχ ἡρπάσθαι αὐτὸν ὑπὸ νυμφῶν, ἀλλὰ κατηνέχθαι εἰς κρήνην, καὶ οὕτως ἀποθανεῖν. Ἀπρεπὲς δὲ νεανίαν ὑδρίαν βαστάζειν· Ὅμηρος δὲ πρεπόντως παρθένον. Πιθανώτερον δὲ ἦν ἀμφότερα εἰπεῖν, ὡς Καλλίμαχος.

V. 1212. *Νηπιάχοντα.* [Ὁ τοῦ Θειοδάμαντος ὑφ' Ἡρακλέους φόνος τοῦτον ἔσχε τὸν τρόπον.] Ἡρακλῆς γήμας Δηϊάνειραν τὴν Οἰνέως θυγατέρα, καὶ διάγων ἐν Καλυδῶνι [παρὰ τῷ Οἰνεῖ], ἐν συμποσίῳ Κύαθον, ἤτοι τὸν Οἰνέως οἰνοχόον, Ἀρχιτέλους δὲ παῖδα, πλήξας κονδύλῳ ἀνεῖλεν, ὅτι αὐτῷ τὰ ποδόνιπτρα ὕδατα ἀγνοῶν ἐπὶ τῶν χειρῶν ἐπέχεεν. Φεύγων οὖν τὸν φόνον, καὶ σὺν τῇ γαμετῇ στελλόμενος, ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ Νέσσον

q) γῆς P. r) ἐπὶ τῆς ἱστοδόκης perperam P. s) Διοκλείδης P. male. t) Ὕλλον P. ut et Ὕλλας et Ὕλλαν. u) Πειριθόας P. v) Φρὺξ P. w) Fort. Ἀμαζονικῶν ut mox ad v. 1236.

Κένταυρον, ὡς καὶ Ἀρχίλοχος ἱστορεῖ. Ἔπειτα προϊὼν, ἔφερεν καὶ Ὕλον τὸν υἱόν. Καὶ ἐλθὼν εἰς τὴν Δρυοπίαν, ληστρικὸν δὲ τὸ ἔθνος, ὁμοροῦν τοῖς Μηλιεῦσιν, ὡς Φερεκύδης ἐν τῇ τρίτῃ φησὶν, τοῦ παιδὸς πεινῶντος, καὶ τοῦ παιδαγωγοῦ Λίχα ἀπολιμπανομένου, συντυχὼν τῷ Θειοδάμαντι, ᾔτεῖτο ὀλίγην τροφήν· ὁ δὲ οὐκ ἐδίδω. Ὀργισθεὶς δὲ ὁ Ἡρακλῆς, καὶ ἀποσπάσας αὐτοῦ ἕνα τῶν βοῶν, θύσας εὐωχεῖτο. Ὁ δὲ Θειοδάμας ἐλθὼν εἰς τὴν τῶν Δρυόπων πόλιν, ἐξῆγεν αὐτοὺς καθ᾽ Ἡρακλέους. Καὶ εἰς τοσαύτην ἀνάγκην κατέστη ὁ Ἡρακλῆς, ὡς καὶ τὴν γυναῖκα Δηϊάνειραν καθοπλίσαι· ὅτε δὴ καὶ τρωθῆναι φασὶν αὐτὴν κατὰ τὸν μαζόν. Περιγενόμενος δὲ αὐτῶν, καὶ ἀνελὼν τὸν Θειοδάμαντα, ἀνεδέξατο τὸν τούτου υἱὸν Ὕλαν· καὶ τὸ πᾶν δὲ ἔθνος διὰ τὴν ληστείαν μετῴκησεν περὶ Τραχῖνα τὴν Θεσσαλικὴν πόλιν, καὶ τὴν Οἴτην τὸ ὄρος, πρὸς τοῖς ὅροις τῆς Φωκίδος· ἵνα τῇ πολλῇ τῶν ἀνθρώπων ἐπιμιξίᾳ τοῦ ληστρικοῦ ἤθους ἀπόσχωνται. Τούτων δὲ καὶ ὁ Καλλίμαχος μέμνηται. Φερεκύδης δὲ (ἐν τῷ δευτέρῳ) φησὶν, ὅτι Πολυδώρᾳ τῇ Δαναοῦ μίσγεται Πηνειὸς ὁ ποταμός· τῶν δὲ γίνεται Δρύοψ· ἀφ᾽ οὗ Δρύοπες καλοῦνται· οἰκοῦσι δὲ ἐπὶ τῷ Σπερχειῷ ποταμῷ.

V. 1218. *Ἵετο γὰρ πρόφασιν. Οὐκ ἄδικος ὢν ὁ Ἡρακλῆς τοῦτο ἤθελεν, ἀλλ᾽ ἵνα τὸ ἐκείνων ληστρικὸν ἄγαν παύσῃ. Ἀλεξίκακος γὰρ ὁ θεός. Ταύτῃ τοι καὶ Θειοδάμαντα ἠρέθισεν, ἵν᾽ ἀφορμῆς λαβόμενος τιμωρήσηται τὸ ἔθνος.*

Δρυόπεσσι βαλέσθαι. Δρύοπες, ἔθνος περὶ τὸν Παρνασσὸν ἄδικον, ὃ κατεπολέμησεν Ἡρακλῆς, καὶ μετέστησεν εἰς Πελοπόννησον. Ὠνομάσθησαν δὲ ἀπὸ Δρύοπος τοῦ Λυκάονος καὶ Δίας τῆς Λυκαονείας.

V. 1220. *Ἀλλὰ τὰ μὲν τηλοῦ κεν ἀποπλάγξειεν ἀοιδῆς. Φησὶν, ὅτι τὴν ἡμῶν ποίησιν καὶ τὸν τῶν Ἀργοναυτῶν πλοῦν καὶ τὰ σπουδαζόμενα ἀποπλανήσειεν, εἰ βουλοίμην εἰπεῖν τὰ συμβάντα τοῖς Δρύοψιν. Ἄλλως. Λείπει τὸ λεγόμενα, ἵν᾽ ᾖ, ἀλλὰ ταῦτα λεγόμενα ἀποστήσει με τῆς ἐν χερσὶν οὔσης ᾠδῆς.*

V. 1221 sq. *Ἣν καλέουσι Πηγάς. Ὄνομα κρήνης Πηγαὶ, οὕτω κυρίως.*

Ἀγχίγυοι [x]) *δὲ, οἱ πλησιόχωροι, οἱ γείτονες.*

V. 1226. *Ἐναύλους. Τὰ σπήλαια νῦν.*

V. 1227. *Ὑλήωρος. Αἱ ἐν τοῖς ὄρεσι διατρίβουσαι.*

V. 1228. *Καλλινάοιο. Καλλιῤῥόου.*

V. 1229. *Ἐφυδατίη. Ὄνομα νύμφης.*

V. 1230. *Ἐρευθόμενον. Τὸν λάμποντα.*

V. 1231. *Διχόμηνις. Πανσέληνος.*

V. 1233. *Κύπρις. Τὸ ἐρωτικὸν πάθος.*

V. 1235. *Λέχρις* [y]) *ἐπιχριμφθείς. Πλαγίως πρὸς τὴν κρήνην ἐπικλιθείς. Ὁ δὲ νοῦς, ὡς καθῆκε τὴν ὑδρίαν ἐπὶ τὴν κρήνην, ἐμφορουμένου τοῦ ὕδατος εἰς τὸ ἀγγεῖον μετὰ σφοδροῦ ἤχου,*

x) *Ἀγχιγύιοι* P. y) *λαιχρὶς* P.

ἡ νύμφη τῇ μὲν εὐωνύμῳ χειρὶ τοῦ αὐχένος αὐτοῦ ἐπιλαβομένη, ἐφίλει, φησὶν, τῇ δεξιᾷ δὲ καθείλκυσεν αὐτὸν εἰς τὸ ὕδωρ.

V. 1236. *Αὐτίκα δ' ἥγε.* Θεόκριτος ἐν τοῖς Βουκολικοῖς, ἐν τῷ Ὕλᾳ ἐπιγραφομένῳ, ὑπὸ πασῶν φησὶν αὐτὸν τῶν νυμφῶν ἡρπάσθαι· (Ὄνασος δὲ ἐν τῷ ᾱ τῶν Ἀμαζονικῶν πεσόντα τὸν Ὕλαν φησὶν ὑποβρύχιον γενέσθαι.) Καὶ Νίκανδρος ἐν τῷ δευτέρῳ τῶν Ἑταιροιουμένων [z]) ὑπὸ πασῶν φησὶν αὐτὸν ἁρπαγῆναι τῶν νυμφῶν· ὁ δὲ Ἀπολλώνιος, ὑπὸ μιᾶς.

(V. 1238. *Τέρεν.* Τὸ ἁπαλόν· ἐκ δὲ τούτου τὸ νέον.)

V. 1241. *Εἰλατίδης.* Γράφεται καὶ Εἰλασίδης. Κατὰ γάρ τινας Ἐλάσου υἱός ἐστιν ὁ Πολύφημος, κατὰ δέ τινας, Ποσειδῶνος. Γυναῖκα δὲ ἔσχεν ὁ Πολύφημος Λαονόμην [a]), Ἡρακλέους ἀδελφὴν, Ἀμφιτρύωνος καὶ Ἀλκμήνης θυγατέρα.

Προτέρωσε. Ἀντὶ τοῦ, εἰς τοὔμπροσθεν τῆς κελεύθου.

V. 1243. *Ἠΰτε τις θήρ.* Κυρίως οἱ ποιηταὶ τὸν λέοντα φασὶ θῆρα. Ὡς καὶ Καλλίμαχος·

Θηρὸς ἀερτάζων [ἦν] δέρμα κατωμάδιον.

V. 1245. *Αἰθόμενος.* Καιόμενος τῷ λιμῷ. Τὸ δὲ τοιοῦτον, οὐχ ὡς ὁ λιμὸς θερμασίας ἐστὶ ποιητικὸς, ἀλλὰ τὸ αἰθόμενος καὶ ἐπὶ τοῦ σπεύδειν ἐστίν.

V. 1246. *Ἐνὶ σταθμοῖσιν.* Ἐνήλλακται ἡ ἐν πρόθεσις ἀντὶ τῆς εἰς. Ὁ γὰρ νοῦς, οἱ γὰρ νομῆες εἰς τοὺς σταθμοὺς προήλασαν.

V. 1248. *Ὡς τότ' ἄρ' Εἰλατίδης.* Διόλου ὑγιὴς καὶ ἐῤῥωμένη ἡ εἰκών. Προβάτοις γὰρ βοήσασιν εἰκάζει τὸν Ὕλαν, διὰ τὸ τῆς ἡλικίας νέον, καὶ τὸ τοῦ σώματος ἁπαλόν· θηρὶ δὲ κατακούσαντι καὶ σπεύδοντι, τὸν Πολύφημον, διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν. Τὸ δὲ, *λιμῷ αἰθόμενος*, ὅτι καὶ αὐτὸς τῇ διαθέσει πρὸς τὸν παῖδα ὥρμα. Τὸ δὲ, *οὐκ ἀπέκυρσε ποίμνῃσι*, πρὸς τὸ συμβεβηκός. Καὶ γὰρ ἡ νύμφη συνεῖρξεν τὸν παῖδα πρὸ τῆς τοῦ Πολυφήμου παρουσίας καὶ βοηθείας.

V. 1252. *Ληΐδ' ἑτοίμην.* Κτῆμα καὶ λάφυρον ἕτοιμον· καὶ διὰ τὸ ἀκμητὶ καὶ χωρὶς μάχης λαβεῖν.

V. 1254. *Εὖ δέ μιν ἔγνω.* Διὰ τὸ λάμπειν τὴν σελήνην. Εἶπεν γὰρ, ὅτι διχόμηνος ἔλαμπεν.

V. 1256. *Ἄσθματι.* Τῷ ἐκ τοῦ δρόμου γενομένῳ φυσήματι.

V. 1265. *Ὡς δ' ὅτε τίς τε μύωπι.* Μύωψ, εἶδος μυίας (κατὰ τὸ ἔαρ γινόμενον), ἥτις ταῖς λογάσι τῶν βοῶν ἐπικαθεζομένη, δάκνει αὐτὰς, καὶ εἰς μανίαν ἄγει· ἀφ' οὗ καὶ οἶστρος λέγεται. Σώστρατος [b]) δὲ ἐν τῇ τετάρτῃ περὶ ζώων διαστέλλει τὸν μύωπα τοῦ οἴστρου. Ὁ μὲν γὰρ μύωψ ἐκ τῶν ξύλων ἀπογεννᾶται, ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων.

z) Ἑτεροιουμένων legendum esse liquet. a) *Λαονόη* P. b) *Σώκρατος* P. male.

V. 1266. *Πίσεα.* Τοὺς συμφύτους ἢ ἑλώδεις καὶ πηλώδεις τόπους.

Ἐλεσπίδας. Τινὲς τοὺς ἑλώδεις καὶ πηλώδεις τόπους. Ἄμεινον δὲ τοὺς πετρώδεις, παρὰ τὸ λέπεσθαι ὑπό τε τοῦ ἡλίου καὶ ἀνέμου καὶ ὑετοῦ. Ὅθεν καὶ λέπη, τὰ ἀκρωτήρια τῶν ὀρῶν. Εὐριπίδης *)·

— — καὶ Κιθαιρῶνος λέπας.

V. 1270. *Ὥς ὅγε μαιμώων.* Διόλου ὑγιὴς ἡ παραβολή. Ταύρῳ γὰρ βεβλημένῳ εἰκάζει τὸν Ἡρακλέα, διὰ τὸ τοῦ ἥρωος καρτερόν. Ἐπικείμενον δὲ μύωπα φησὶ τὴν τοῦ Ὕλα ζήτησιν. Καὶ γὰρ αὕτη δίκην μύωπος αὐτὸν ἤλγυνεν. Τὸ δὲ, *πίσεά τε προλιπὼν*, πρὸς τὴν ναῦν καὶ τὴν τῶν ἑταίρων σύνοδον. Τὸ δὲ, *οὐδὲ νομήων οὐδ᾽ ἀγέλης ὄθεται*, ὅτι οὐδὲ τοῦ ἐξάρχου τοῦ πλοῦ Ἰάσονος ἐπεστράφη, οὐδὲ τῶν ἄλλων ἑταίρων. Τὸ δὲ, *ἄλλοτ᾽ ἄπαυστος, ἄλλοτε δ᾽ ἱστάμενος*, ὅτι ποτὲ μὲν ἔτρεχεν, ἕως κάμῃ, ποτὲ δὲ ἕστηκεν. Τὸ δὲ, *ἵησι μύκημα*, ὅτι καὶ οὗτος ποτὲ ἐβόα καλῶν τὸν Ὕλαν.

V. 1273. *Αὐτίκα δ᾽ ἀκροτάτας.* Ἠῷον ἀστέρα τὸν ἑωσφόρον. (Ὁ δὲ ἑξῆς λόγος, ὡς δὲ πρὸς ταῖς ἀκρωρείαις ὁ ἑωσφόρος ἐφάνη, παραχρῆμα πνοαὶ παρῆλθον. Ταχέως δὲ ὁ Τῖφυς παρεκελεύσατο ἐμβάντας ἀπολῦσαι.) [*Ἄκριας δὲ ἀκροτάτας*, τὰ ὕψη τῶν ὀρῶν.]

[V. 1275. Τὸ δὲ ἐπαύρεσθαι τοῦ ἀνέμου συνεκδοχικῶς τὸ ἑπόμενον ἀντὶ τῆς πράξεως. Ἡ μὲν γὰρ πρᾶξις ἦν χαλάσαι τὰ ἱστία· ἕπεται δὲ τῷ χαλάσαι τὰ ἱστία τὸ ἀπολαύειν τοῦ ἀνέμου.]

V. 1277. *Ἀνεκρούσαντο κάλωας.* Διὰ τοῦ προηγουμένου τὸ ἐπακολουθοῦν ἐδήλωσεν. Ἀντὶ τοῦ, τὸ ἱστίον ἐχάλασαν. [Τὸ ἐπιτεῖναι τὰ καλώδια σημαίνει τὰς ἀγκύρας, ἢ καὶ τὸ ἀποτινάξαι διὰ τὸ βεβρέχθαι.]

Ὕψι δὲ νηός. Ἀνασπάσαντες τὰς ἀγκύρας, καὶ τοῦ ὅρμου ἀνακινήσαντες τὴν ναῦν. Γελοῖος δὲ Ἔφορος, νομίζων πρῶτον Ἀνάχαρσιν τὴν διπλῆν ἄγκυραν εὑρηκέναι· πρεσβύτεροι γὰρ Ἀναχάρσιδος οἱ Ἀργοναῦται. [Ἴσως δὲ συνεκδοχικῶς τὸ πληθυντικὸν ἔλαβεν ἀντὶ ἑνικοῦ.]

V. 1280. *Ἦμος δ᾽ οὐρανόθεν χαροπή.* Χαροπὴν τὴν ἠῶ, διὰ τὸ λαμπρύνειν τὸν ἀέρα καὶ φωτίζειν. Τὸ δὲ γλαυκὸν καὶ χαροπὸν συνωνύμως λέγεται· ἀμφότερα γὰρ ἐπὶ τοῦ λαμπροῦ. Διὸ καὶ ἐπήνεγκεν *διαγλαύσουσιν*, ἀντὶ τοῦ φωτίζουσι, ἢ διαλάμπουσι. Ὅθεν καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις, καὶ γλήνη, ἡ κόρη τοῦ ὀφθαλμοῦ. (Παρὰ τὸ γλαύσειν, ὅ ἐστι λάμπειν.) Καὶ Εὐριπίδης ἐπὶ τῆς σελήνης ἐχρήσατο·

Γλαυκῶπίς τε στρέφεται μήνη.

V. 1281. *Περάτης.* Σημαίνει μὲν, κατά τινας, καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον· λέγεται δὲ κυρίως ἡ ἀνατολή. Πέρας γὰρ αὕτη τῆς τοῦ οὐρανοῦ κινήσεως. Ἐκεῖθεν γὰρ ἄρχεται, καὶ εἰς αὐτὴν τελευτᾷ.

*) Phoeniss. v. 24.

[V. 1286. Τὸ δὲ σφωΐτερον ἀντὶ τοῦ σφέτερον κεῖται· οὐ γὰρ δύο, ἀλλὰ πολλοὶ ἦσαν οἱ Ἀργοναῦται.]

V. 1289. Τελαμῶνα δ' ἕλεν χόλος. Οὗτος γὰρ πάνυ Ἡρακλέους γέγονεν ἑταῖρος, ὃς καὶ εἰς πολλοὺς ἄθλους αὐτῷ συνεμάχησεν, καὶ εἰς Ἴλιον συνέπλευσεν, καὶ συνεπολέμησεν [αὐτῷ πρὸς] Ἀμαζόνας· καὶ τὸν Ἀλκυονέα ἀνεῖλεν, ὡς καὶ ὁ Πίνδαρος ἱστορεῖ. Θεόκριτος ἐνέδειξε τὴν φιλίαν αὐτῶν, εἰπών [c])·

Οἵ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνυντο τράπεζαν.

V. 1290. Ὁ δὲ λόγος, καθέζῃ ὡς ἔτυχεν ἥσυχος. [Τὸ δὲ ἄρμενον ἀντὶ τοῦ ἁρμόδιον καὶ ἀρεστόν.]

Ἀπολλώνιος μὲν οὖν ἀπολελεῖφθαι φησὶ τὸν Ἡρακλέα περὶ Κίον, ἐκβάντα ἐπὶ τὴν Ὕλα ζήτησιν· Διονύσιος δὲ ὁ Μιτυληναῖος συμπεπλευκέναι φησὶ τὸν ἥρωα τοῖς ἀριστεῦσιν (ἕως Κόλχων) καὶ τοῖς [d]) περὶ Μήδειαν συμπεπραχέναι τῷ Ἰάσονι. Ὁμοίως καὶ Δημάρατος [e]). Ἡρόδωρος δέ φησι μὴ συμπεπλευκέναι αὐτόν τε καὶ τινας ἄλλους. Ἡσίοδος ἐν τῷ Κήϋκος [f]) γάμῳ, ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν, τῆς Μαγνησίας παρὰ τὰς ἀπὸ τῆς ἀφέσεως τῆς Ἀργοῦς [g]) Ἀφέτας καλουμένας ἀπολειφθῆναι. Ἀντίμαχος δὲ ἐν τῇ Λυδῇ φησὶν ἐκβιβασθέντα τὸν Ἡρακλέα, διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος. Τούτῳ καὶ Ποσείδιππος [h]) ὁ ἐπιγραμματογράφος ἠκολούθησε, καὶ Φερεκύδης. Ἔφορος δὲ ἐν τῇ ε̄ φησὶν αὐτὸν ἑκουσίως ἀπολελεῖφθαι πρὸς Ὀμφάλην τὴν Λυδῶν βασιλεύουσαν. Ἰδίως δὲ Ἀντικλείδης ἐν τῇ β̄ τῶν Δηλιακῶν, Ὕλλον φησὶ τὸν Ἡρακλέους υἱὸν ἀποβάντα ἐφ' ὕδωρ, μὴ ὑποστρέψαι.

V. 1292. Ὄφρα τὸ κείνου κῦδος. Ἀστείως καὶ τεχνικῶς οὐ τοῦ κατεπείγοντος καιροῦ μέμνηται, ἀλλ' ἐπὶ τὸν νόστον ἀνάγει τὸν λόγον, ἵνα πλέον κακίσῃ τὴν πρᾶξιν. Οὐδὲν γάρ σοι διεφέρετο ἐν Σκυθίᾳ ὑπὸ Ἡρακλέους ἡττῆσθαι, ἀλλ' ὅμως τοῦτό σοι αἰσχύνην ἔφερεν ὕστερον, ἡμῶν εἰς Ἑλλάδα ἐπανελθόντων. Διὸ καὶ τὴν κοινὴν πάντων σωτηρίαν ὑπὲρ τῆς σῆς εὐδοξίας παρῆκας.

V. 1294. Ἀλλὰ τί μύθων ἦδος. Ἡρωδιανὸς ἐν τῷ εἰκοστῷ φησὶν, ὅτι τὰ εἰς ος λήγοντα οὐδέτερα δισύλλαβα, ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦται, αἶσχος, ἦθος, εὖρος, εἶδος. Οὕτως οὖν καὶ ἦδος. Τὸ δὲ ἠθμὸς δασύνεται, καίτοι τὸ η̄ ἔχον πρὸ τοῦ θ, τῇ ἐννοίᾳ τοῦ ἥσω μέλλοντος δασυνομένου.

Ἐλλείπει δὲ τὸ σοί. (Ὁ γὰρ νοῦς, ἀλλὰ τί τοσούτων ἦδός μοι λόγων; πορεύσομαι γὰρ χωρὶς τῶν συντεθειμένων σοι τοῦτον τὸν δόλον.)

V. 1297. Ὄστλιγγες. Αἱ λαμπηδόνες. Ἐν ἄλλοις δὲ σημαίνει ἡ λέξις τοὺς βοστρυχας·

— ἀπ' ὀστλίγγων δ' αἰὲν ἄλειφα ῥέει [i]).

c) Theocrit. Id. XIII, 38. d) τὸν P. Leg. τὰ. e) Δημάρετος P. f) Κύηκος P. g) Sic P. Vulgo αὐτοῦ. h) Ποσίδιππος P. i) ὀστλίγγων δ' αἰέναι εἶφαρ ῥεείας P. corrupte.

Τοῦτο δέ φησιν Ἡρωδιανὸς ἐν τῷ δευτέρῳ τῆς καθόλου. Παρὰ μὲν Ἀπολλωνίῳ καὶ Φιλητᾷ [εὕρηται] διὰ τοῦ ᾱ.

V. 1298. Τὸ ἄψ καὶ ὀπίσσω ἐκ παραλλήλου.

V. 1299. Λαῖτμα βιησάμενοι. Ἀντὶ τοῦ μαχεσάμενοι τῷ κατεπείγοντι ἀνέμῳ, καὶ βιασάμενοι. Λαῖτμα δὲ τὸ κύτος τῆς θαλάσσης καὶ διάστημα, οἱονεὶ λάτμημα [k]). Ἢ παρὰ τὸ λατύπεσθαι [l]) ὑπὸ τῶν κυμάτων, (ὅ ἐστι [m]) τύπτεσθαι). Σιληνὸς [n]) δὲ ἐν Γλώσσαις πέλαγος εἶναι, καὶ Εἰρηναῖος ἐν πρώτῳ Ἀπολλωνίου, ἀποδεδώκασιν.

V. 1300. Εἰ μὴ Θρηϊκίοιο. Τούτους Ἡρακλῆς ἀνεῖλεν ὕστερον, εὑρὼν περὶ Τῆνον τὴν νῆσον, ἣ παράκειται Δήλῳ, (ἐπειδὴ Ἡρακλῆς ἐμνησικάκει τῷ Βορέᾳ.) Ὅμηρος [o])·

Τὸν σὺ [p]) ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θύελλα [q]).

Αἰνησίδημος δὲ ἐν Τηνιακοῖς [r]), ἐπειδὴ τὸν Ἡρακλέα ξενίσαντες ἐνήδρευσαν αὐτὸν, φονεῦσαι βουλόμενοι.

V. 1304—1306. Ἆθλων γὰρ Πελίαο, ἕως τοῦ, ἀμφ' αὐτοῖς. Ὅτι Ἡρακλῆς ἀνεῖλε τοὺς Βορεάδας, διὰ τὸ κωλῦσαι τὴν ναῦν ὑποστρέψαι πάλιν εἰς τὴν Μυσίαν, φησὶν Ἀπολλώνιος. Σῆμος δέ φησι, διὰ τὸ ληφθῆναι δρόμῳ τὸν Ἡρακλέα τῶν Βορεαδῶν. Στησίμβροτος δέ φησιν, ὅτι διαφορὰν ἔσχον πρὸς τὸν Ἡρακλέα περὶ τῶν δεδομένων δώρων ὑπὸ Ἰάσονος τοῖς ἀριστεῦσι. Νίκανδρος δὲ ὁ Κολοφώνιος ἐν τῇ πρώτῃ τῶν Οἰταϊκῶν φησὶ Βορέαν αἴτιον γεγονέναι τοῦ θανάτου τῶν προειρημένων, διὰ τὸ χειμάσαι τὸν Ἡρακλέα ἐν Κῷ ὑποστρέφοντα.

Δεδουπότος. Μετὰ γὰρ τὸν θάνατον Πελίου ἀνιόντας ὡς ἐπὶ τὴν πατρίδα τοὺς Βορεάδας ἐκ τοῦ ἐπιταφίου αὐτοῦ ἀγῶνος συντυχὼν Ἡρακλῆς, καὶ ὑπομνησθεὶς αὐτοῦ τούτου, ὅτι αὐτὸν ἀναζητηθῆναι ἐκώλυσαν, ἀνεῖλεν αὐτοὺς ἐν Τήνῳ τῇ νήσῳ.

Στήλας τε δύω. Τῶν δύο τάφοι εἰσὶν [s]) ἐν Τήνῳ τῇ νήσῳ καὶ στῆλαι· ὧν τὴν ἑτέραν πάντως συμβαίνει ὑπὸ ἀνέμου κινεῖσθαι τοῦ Βορέου τοῦ πατρὸς αὐτῶν.

V. 1309. Καὶ τὰ μὲν ὣς ἤμελλε. Καλλιμάχου ὁ στίχος. Κοινὸν δὲ ἁμάρτημα πάντων τῶν μεθ' Ὅμηρον ποιητῶν, τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα κατὰ τὸν ἐνεστῶτα χρόνον, διὰ τοῦ η ἐκφέρειν ἐπὶ τοῦ παρατατικοῦ, [ἤμελλον, ἠβουλόμην, καὶ τὰ ἑξῆς].

V. 1310. Τοῖσι δὲ Γλαῦκος. Γλαῦκος, Πολύβου παῖς, Ἀνθηδόνιος τὸ γένος. ἡ δὲ Ἀνθηδὼν Βοιωτικὴ πόλις, ὡς καὶ Ὅμηρος [t])·

Ἀνθηδόνα τ' ἐσχατόεσσαν [u]).

ἁλιεὺς τὴν τέχνην. Ὃς πολλῶν ποτὲ ἰχθύων εὐτυχήσας ἄγραν, με-

k) λαίτμημα P. Fort. λατύπημα. l) λίαν τύπτεσθαι P. fort. λατυπεῖσθαι. m) fort. addendum λίαν. n) Σειληνὸς P. o) Il. XV, 26. p) τὸν μὲν P. q) θύελλας P. r) Sic recte P. Vulgo Αἰνησίδαμος δὲ ἐν Ταινιακοῖς. s) Sic recte P. Vulgo δύο τάφος ἐστὶν. t) Il. II, 508. u) ἐσχατόωσαν P.

ταξὺ τῆς ὁδοῦ ἀποκαμὼν ἀπέθετο τὸ φορτίον τῶν ἰχθύων. Ὁ δὲ εἷς τούτων, ἀθάνατον φαγὼν βοτάνην, ἀνέζησε. Λαβὼν δὲ καὶ ὁ Γλαῦκος, φαγὼν καὶ αὐτὸς ἀπεθεώθη. Εἶτα ὡς εἰς ἄκρον γήρως ἤρχετο, μηκέτι φέρων, ἐδίσκευσεν ἑαυτὸν εἰς θάλασσαν· καὶ ἐτιμήθη ὡς θαλάσσιος δαίμων. Καὶ τὸν ἰχθὺν τὸν γλαῦκον ἀπ' αὐτοῦ κεκλῆσθαι λέγουσι.

Βρυχίης. Βρυχώδους.

V. 1314. *Νηΐου.* Μέρος λέγει τῆς νεὼς, ὅπερ σύρεται [ὀπίσω] κατὰ τὸ ὕδωρ.

V. 1315. *Τίπτε παρὲκ μεγάλοιο.* Τὸ ἑξῆς, τίπτε μενεαίνετε παρὲκ μεγάλοιο Διὸς βουλήν. Τουτέστι, τί προθυμεῖσθε παρὰ τὴν τοῦ Διὸς βουλήν.

V. 1317. *Ἄργει οἱ μοῖρ' ἐστίν.* Ὅτι ἄθλους ἐπιτελῶν Ἡρακλῆς, παραλιπὼν τούτους, ὥρμησεν ἐπὶ τοὺς ἀριστεῖς, αὐτὸς Ἀπολλώνιος ἐν τῷ καταλόγῳ τῶν ἡρώων φησίν.

[V. 1318. Τὸ δὲ *ἐκπλῆσαι* ἀντὶ τοῦ ἐκπληρῶσαι. Μετὰ οὖν τὸ ἐκπληρῶσαι τοὺς δώδεκα ἄθλους καὶ προσέτι ἑτέρους ὀλίγους, *συνέστιος* ἔσται τοῖς θεοῖς καὶ ὁμότιμος.]

V. 1319. *Εἴ κ' ἔτι παύρους.* Ἐὰν ἔτι ὀλίγους, πρὸς οὓς ἤνυσεν, ἀνύσῃ ἄθλους.

Συνέστιον δὲ, συνδιαιτητὴν, ὁμοτράπεζον, ὁμότιμον· ὅτι ἡ κοινὴ τράπεζα τὴν αὐτὴν τιμὴν τοῖς μεταλαμβάνουσιν αὐτῆς δίδωσιν.

V. 1321. *Προχοῇσι Κίοιο.* (Ποταμὸς Μυσίας, ἀφ' οὗ ἡ Κίος, ὁμωνύμως τῷ ποταμῷ.) Ἐτελεύτα γὰρ Πολύφημος τοῖς Χάλυψι μαχόμενος. Ἔστι δὲ ἔθνος Σκυθικόν.

V. 1323. *Χαλύβων.* Χάλυβες, ἔθνος Σκυθίας, ὅπου ὁ σίδηρος γίνεται. Καλλίμαχος·

— — Χαλύβων ὡς ἀπόλοιτο γένος.

V. 1325. *Ὃν πόσιν.* Κακῶς τέθεικεν τὸ *Ὃν πόσιν.* Ἔστι γὰρ προσληπτικὸν, ἰσοδυναμοῦν τῷ ἑαυτῆς. Δεῖ δὲ εἰπεῖν, ἧς πόσιν. Τοῦτο γὰρ ἰσοδυναμεῖ τῷ αὐτῆς, ἵν' ᾖ ὁ λόγος, ἐποιήσατο νύμφη ἑαυτῆς πόσιν.

V. 1326. *Ἀλίαστον.* Πολύ.

Δύψας. Καταδύς.

V. 1329. *Γήθησαν.* Ἐχάρησαν τῷ μαθεῖν τὴν αἰτίαν τῆς ἀπολείψεως.

Ἐσσυμένως [v]). Ταχέως.

V. 1331. *Προσπτύξατο* [w]). Ἐδεξιώσατο. Ἐφιλοφρονήσατο τοῖς λόγοις.

V. 1332. *Αἰσονίδη, μή μοι τι χολώσεαι.* Διὰ μὲν τοῦ *μή μοι χολώσεαι,* τὸ ἀποφατικὸν τέταχεν ἀπὸ τῆς ἀπαγορεύσεως. Ἔδει γὰρ εἰπεῖν, μή μοι χόλου, προστακτικῶς.

Ἀφραδίῃσιν. Ἀγνοίαις. Κατὰ μεσότητα ἀκουστέον, ἀφραδέως, ἀδιανοήτως.

v) ὀσσομένως P. w) προσπτύσατο. P.

V. 1333. *Εἴτι περ ἀασάμην.* Κατὰ μεταφορὰν ἀπὸ τῶν ἁρματοδρόμων.

V. 1334. *Ὑπερφίαλον* δὲ, ἀντὶ τοῦ ἡμαρτημένου. Οἷον ὑπερφίαλον [x]) κατὰ παρέμπτωσιν τοῦ ᾱ. Καταστρέφει δὲ εἰς τὸ οὐ καθῆκον οὐδὲ νόμιμον.

Ἀλλ' ἀνέμοισιν δώομεν. Ἡ διάνοια παρὰ τῷ ποιητῇ [y])·

— — ἔπος δ' εἴπέρ τι βέβακται
δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι θύελλαι.

V. 1336. *Ἐπιφραδέως.* Διανενοημένως καὶ συνετῶς.

V. 1337. *Ἐκυδάσσαο* [z]). Ἐλοιδόρησας. Κῦδος γὰρ ἀρσενικῶς ἡ λοιδορία παρὰ Συρακουσίοις. (Σοφοκλῆς Αἴαντι Μαστιγοφόρῳ [a])·

Κυδάζεται πᾶσιν Ἀργείοις ὁμοῦ.)

V. 1338. *Ἐνηέος ἀνδρός.* Ἐνηλλαγμέναι εἰσὶν αἱ πτώσεις. Ὁ γὰρ νοῦς, εἰς προσηνῆ ἄνδρα ἁμαρτεῖν.

V. 1344. *Ἀρθμηθέντες* [b]). Φιλιωθέντες.

V. 1345. *Βάλλεσθαι* [c]) ἐνταῦθα τὸ πολίσαι καὶ οἰκίσαι.

V. 1346. *Ἐπώνυμον.* Ἀντὶ τοῦ ὁμώνυμον τοῦ ποταμοῦ. Καὶ γὰρ Κίος ὁ ποταμὸς καὶ πόλις. (Ὠνόμασται δὲ ὁ ποταμὸς ἀπὸ Κίου τοῦ ἡγησαμένου Μιλησίων.)

V. 1348 sq. *Γαῖαν Μυσίδ' ἀνστήσειν αὐτοσχεδόν.* Ἀνάστατον καὶ ἔρημον ποιήσειν παραυτίκα, εὐθέως, τὴν Μυσίδα, ἤτοι Μυσῶν χώραν, ἠπείλησε. Τὸ *Μυσίδα*, ἔχει μὲν τύπον [d]) ὑποκοριστικοῦ, οὐ μήν ἐστιν ὑποκοριστικόν. Ὥσπερ καὶ τὸ Ἀσίδα, ἀντὶ τοῦ Ἀσίαν.

Ὀππότε. Εὐκτικόν [e]) ἐστι παρῳχημένου χρόνου, ἰσοδυναμοῦν τῷ ὅτε· [παρ' Ὁμήρῳ δὲ καὶ πρὸς ἀποφαντικόν·]

Ὁππότε μιν ξυνδῆσαι (ὀλύμπιοι ἤθελον [f])).

Τίθεται δὲ κατὰ τὸν ἐπιόντα χρόνον, συνεκφερομένου αὐτῷ τοῦ ἐπιζευκτικοῦ συνδέσμου τοῦ ἄν·

Ὁππότ' ἂν ἡβήσῃ τε [g]).

Ἔδει οὖν ἐπιζευκτικῷ αὐτὸν χρήσασθαι τῷ εἰ, [Ὁμηρικῶς·]

Εἰ μή μοι τλαίης γε θεά [h]).

V. 1350. *Ἢ ζωοῦ εὔροιεν Ὕλα μόρον.* Ἀντὶ τοῦ μοῖραν ἀκουστέον. Παρεσχημάτισται γὰρ ἀπὸ τοῦ μοῖρα, ὡς ὁ πύλος ἀπὸ τῆς πύλης [i]) παρ' Ὁμήρῳ [k])·

(Ἐν πύλῳ ἐν νεκύεσσι βαλών.)

Μόρον οὖν, μοῖραν, ἢ ζῶντος ἢ τεθνηκότος. Ἧς ἐστι ποτὲ μοίρας, εἴτε ζῶν, εἴτε νεκρός.

x) ἔκφυλον P. y) Od. VIII, 409. z) κυδάσσας P. a) Soph. Aj. 709. ed. Herm. b) ἀριθμηθέντες P. c) βαλέσθαι recte P. d) Sic recte P. Vulgo τόπον. e) Sic recte P. Vulgo Ἀττικόν. f) Hom. Il. I, 399. g) Od. I, 41. h) Od. V, 178. i) Sic recte P. Vulgo τῷ πύλῳ. k) Il. V, 397.

V. 1351. *Τοῖο δὲ ῥύσι' ὄπασσαν.* Ἀντὶ τοῦ, Ὕλα ἐνέχυρα οἱ Μυσοὶ παρέσχον τῷ Ἡρακλεῖ ὑπὲρ τοῦ πάντοτε αὐτὸν ἐπιζητεῖν.

Πλεονάζει δὲ ἡ *ἀπὸ* πρόθεσις.

V. 1353. *Μαστεύοντες.* Ζητοῦντες. Ἐξ οὗ καὶ μαστὺς, ἡ ζήτησις. Καλλίμαχος·

Μαστύος ἄλλοτ' ἔκαμνον ἀλητύϊ.

Ὅθεν καὶ μαστοὶ καλοῦνται, διὰ τὸ ἀναγκαίως ζητεῖσθαι ὑπὸ τῶν παίδων.

V. 1354. *Ἐρέουσιν.* Ἀντὶ τοῦ ἐρευνῶσι, ζητοῦσιν. Ὅμηρος [l])·

Τὰς ἐρέων, Ὀδυσῆϊ συνήντετο.

καί [m])·

Κνημοὺς ἐξερέῃσιν [n]).

V. 1355 sq. (*Εὐκτιμένης τε μέλονται Τρηχῖνος.* Τραχὶν πόλις Θεσσαλίας, ἔνθα τοὺς παῖδας τῶν Μυσῶν ἐνῴκισεν Ἡρακλῆς, ὅτε ἀντενέχυρα τοῦ Ὕλα ἐδέξατο αὐτούς.)

Οὐχ ὑγιῶς δὲ τέθεικεν τὸ *αὐτόθι* [o]). Δηλωτικὸν γάρ ἐστι τοῦ παρόντος τόπου, ἴσον τῷ [p]),

Αὖθι μένειν [q]), μήπως ἀβροτάζομεν [r]) ἀλλήλοιϊν.

Ἔδει γὰρ εἰπεῖν τὸν ἀφεστῶτα τόπον, ὡς τὸ,

— — ὅθι ποιμένα ποιμὴν ἀπύει.

[Τὸ δὲ *νάσσατο* ἀντὶ τοῦ κατῴκισε.]

V. 1357. *Ῥύσια.* Τὰ ἀντὶ τινὸς ἐνέχυρα διδόμενα ὑπὲρ τῆς ἄξεως.

Ὅτι δὲ Κιανοὶ ὅμηρα ἔδοσαν Ἡρακλεῖ, καὶ ὤμοσαν μὴ λήξειν ζητοῦντες Ὕλαν, καὶ φροντίδα ἔχουσι Τραχινίων διὰ τὸ ἐκεῖσε κατοικισθῆναι ὑφ' Ἡρακλεῖ τοὺς ὁμηρεύσαντας, Κιναίθων [s]) ἱστορεῖ ἐν Ἡρακλείᾳ.

V. 1358. *Ναῦν δὲ πανημερίην.* Ὁ νοῦς οὕτως, τὴν δὲ ναῦν δι' ὅλης ἡμέρας καὶ νυκτὸς ὁ ἄνεμος ἔφερεν σφοδρῶς ἐπιπνέων· τῆς δὲ ἡμέρας ἐπιφανείσης οὐδὲ ὀλίγον ἔπνει, ἀλλ' εὐθέως ἐπαύετο.

V. 1360. *Εἰσανέχουσαν.* Ἐξέχουσαν καὶ ἐπηρμένην, ἢ ἀνέχουσαν ἀκτὴν, ἀνατεταμένην πλαγίαν ἰδόντες, ἐπίκωποι γενόμενοι, καθώρμισαν τὴν ναῦν.

l) Od. XXI, 31. m) Od. IV, 337. n) ἐξερέεισιν P. o) κατ-αυτόθι P. p) Hom. Il. X, 65. q) μένων P. r) ἀβροτάξομεν P. s) Κιαναίων P. cf. Voss. mythol. Briefe I p. 97 sqq.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Τοῦ δευτέρου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια ἐστὶ τάδε· Ἄμυκος ὁ τῶν Βεβρύκων ἡγούμενος διαπυκτεύει Πολυδεύκει, καὶ ἀναιρεῖται. Δι' ὃν μάχη γίνεται τῶν Ἀργοναυτῶν καὶ τῶν Βεβρύκων· καὶ πολλοὺς ἀναιροῦσιν οἱ Ἀργοναῦται, οἱ δὲ λοιποὶ φεύγουσιν. Ἔπειτα παραγίνονται οἱ Ἀργοναῦται πρὸς Φινέα, πεπηρωμένον τὰς ὄψεις ὄντα· ὁ δὲ ἱκετεύει βοηθῆσαι αὐτῷ. Ἅρπυιαι γὰρ ἐξ ἀφανοῦς τινὸς πορευόμεναι, τούτου τὴν τροφὴν ἁρπάζουσαι, ἄγευστον αὐτὸν ἐποίουν. Ἐγίνωσκε δὲ, ἅτε δὴ μάντις, ὑπὸ τίνων ἦν μεμοιραμένον αὐτὰς διωχθῆναι. Ἱκετεύσαντος δὲ, Βορεάδαι οὐκ ἠπείθησαν, ἀλλ' ἐδίωξαν αὐτάς. Ἐν τοσούτῳ δὲ Φινεὺς αὐτοῖς ἐξηγεῖται τὸν εἰς Κόλχους πλοῦν. Ἐπανελθόντες δὲ οἱ Βορεάδαι διηγοῦνται, ὡς κατηγωνίσαντο τὰς Ἁρπυίας. Ἑξῆς δέ ἐστι τὰ περὶ Κυρήνην τὴν Ὑψέως καὶ Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ αὐτῆς τῆς Κυρήνης υἱόν· καὶ ὅσα μεμύθευται περὶ τῶν ἐτησίων ἀνέμων· καὶ ὡς τὰς Συμπληγάδας διέπλευσαν, καὶ ἐν τῇ παρακειμένῃ νήσῳ ἐγένοντο τῇ Θυνίδι χώρᾳ, καὶ ἐπεφάνη αὐτοῖς ὁ Ἀπόλλων, ἔνθα τέμενος κατασκευάσαντες, Ἑῷον τὸν θεὸν ἐπωνόμασαν· τά τε περὶ τὴν Μαριανδυνίαν καὶ ἐνταῦθα Ἀχερουσίαν ἄκραν· καὶ ὡς Λύκος ὁ βασιλεὺς τῆς χώρας ταύτης φιλοφρονέστατα αὐτοὺς ὑπεδέξατο, ὅτι ἐχθρὸν αὐτῷ Ἄμυκον ὄντα ἐκόλασαν· καὶ ὡς Ἴδμων ὁ μάντις καὶ Τῖφυς ὁ κυβερνήτης τελευτῶσιν ἐν τῇ Μαριανδυνίᾳ. Τὰ δὲ ἑξῆς, περὶ τῶν παρὰ Χάλυψι καὶ Τιβαρηνοῖς καὶ Μοσυνοίκοις νομίμων λέγεται, καὶ τῶν ἐν τῇ νήσῳ τοῦ Ἄρεως μυθευομένων [a]) ὀρνέων, καὶ ὡς ἐξηλάθησαν ὑπὸ τῶν Ἀργοναυτῶν· καὶ ὡς οἱ Χαλκιόπης τῆς Μηδείας ἀδελφῆς καὶ Φρίξου υἱοὶ στελλόμενοι εἰς Ὀρχομενὸν, ἐναυάγησαν, καταχθέντες δὲ εἰς τὴν Ἄρεως νῆσον, συνέβαλον τοῖς Ἀργοναύταις, καὶ ἀλλήλους γνωρίσαντες, κοινῇ ἔπλευσαν εἰς τὸν ἐν Κόλχοις ποταμὸν Φάσιν.

a) Sic recte P. Vulgo μυθευομένη.

V. 1. (Ἐνθάδε. Ἐν τῷ αἰγιαλῷ, ᾧ προσωρμίσθησαν.) Αὖλις δὲ, ἡ διατριβὴ καὶ ἡ διαγωγή.

V. 2. Βεβρύκων βασιλῆος. Τῶν Βεβρύκων ἐβασίλευσεν Ἄμυκος, τῆς Βιθυνίας τά τε ἄλλα κατ' ἐκείνους τοὺς χρόνους καὶ τὰ παραθαλάσσια κατέχων. Κατῴκησαν δέ τινες τῶν Βεβρύκων καὶ περὶ τὴν Λυδίαν ἐν τοῖς πλησίον Ἐφέσου τε καὶ Μαγνησίας τόποις. Χάρων δέ φησι καὶ τὴν Λαμψακηνῶν χώραν πρότερον Βεβρυκίαν καλεῖσθαι ἀπὸ τῶν κατοικησάντων αὐτὴν Βεβρύκων. Τὸ δὲ γένος αὐτῶν ἠφάνισται διὰ τοὺς γενομένους πολέμους, καθάπερ καὶ ἄλλων ἐθνῶν.

Ἀγήνορος. Ἀγήνωρ, ὁ ὑπερήφανος.

V. 4. Βιθυνὶς μελίη. Ἄδηλον, ποῖόν ἐστι τὸ κύριον. Μελίαν δέ φησιν αὐτὴν διὰ τὸ τινὰς τῶν νυμφῶν Μελίας καλεῖσθαι ἀπὸ Μελίας τῆς Ὠκεανοῦ, ὥς φησι Καλλίμαχος. Ἢ διὰ τὸ περὶ μελίας [b]) δένδρα διατρίβειν, καθάπερ Ἁμαδρυάδες [ἀπὸ τῶν δρυῶν].

Βιθυνίδα δὲ, διὰ τὸ Βιθυνὴν τὸ γένος τυγχάνειν.

Γενέθλιον δὲ εἶπεν αὐτὸν διὰ τὸ δεσπόζειν τοῦ ὑγροῦ καὶ πάσης τροφῆς, καὶ γενέσεως αἴτιον εἶναι, καθὸ τὸ ὕδωρ πάντων εννητικόν.

[Ὑπεροπληέστατον δέ φησι τὸν ὑπερηφανέστατον.]

[V. 6. Ἀποστείχειν τὸ ἀποχωρεῖν.]

V. 8. (Καὶ δὲ τότε. Ὁ νοῦς, καὶ τότε δὲ πρὸς τὴν ναῦν ἐλθὼν, τοῦ μὲν τὰ πρὸς τὴν χρείαν πυθέσθαι τοῦ πλοῦ, τοῦτ' ἔστι, τίνος χρείαν ἔχουσι, καὶ τίνες εἰσὶν, ἠφροντίστησεν· τοιαῦτα δὲ πρὸς αὐτοὺς εἶπεν.)

Χρειώ μεν ἐρέσθαι. [Ἀντὶ τοῦ χρειὼ μὲν πολλὰ τῶν ἀντιγράφων χρειώ μιν ἔχει ἡμαρτημένα.] Τὸ μιν ἑνικὸν ἀντὶ πληθυντικοῦ, αὐτοὺς τοὺς ἥρωας. (Δύναται δὲ καὶ ἑνικὸν εἶναι, ἵνα περὶ τοῦ Ἀμύκου λάβωμεν. Ἔδει γὰρ αὐτὸν τὸν Ἄμυκον ἐρωτῆσαι τοὺς ἥρωας. Ὁ δὲ Θεόκριτος ἄλλως ἱστόρησεν.)

[V. 9. Τὸ δὲ ἄτισεν ἀντὶ τοῦ οὐκ ἐφρόντισεν· ὃ γὰρ οὐ τιμᾷ τις, ἐκείνου οὐδὲ φροντίζει.]

V. 10. Παρασχεδόν. Ἀντὶ τοῦ ἐγγύς.

(V. 12. Θέσμιον. Νόμιμον. Ὁ δὲ λόγος, νόμος ἐστὶ τὸν προσπλεύσαντα τῇ Βεβρυκίᾳ τῶν ξένων, μὴ ἀπαλλάττεσθαι πρὶν ἢ ἐμοὶ πυκτεῦσαι.)

V. 15. Τῷ καί μοι. Διό μοι τὸν ἄριστον ὑμῶν κεκριμένως στήσατε πυγμῇ μοι διαγωνίσασθαι. [Τὸ δε ἀποκριδὸν ἀντὶ τοῦ κατ' ἐκλογήν.]

V. 16. Δηρινθῆναι. Μαχέσασθαι. Ἀπὸ τοῦ δηρίνομαι. Τὸ δὲ δηρίσασθαι, ἀπὸ τοῦ δηρίομαι.

V. 17. Ἀπηλεγέοντες. Ἀφροντιστοῦντες, παρ' οὐδὲν ἡγησάμενοι. Ὁ δὲ Ἡρωδιανὸς ἀνηλεγέοντες διὰ τοῦ ν, ἐν τῷ τρίτῳ τῆς καθόλου· καὶ τὸ ἐπίῤῥημα ἀνηλεγέως. (Ὁ δὲ νοῦς, εἰ δὲ

b) Sic P. Vulgo μηλέας.

ἀφροντιστήσαντες τοὺς νόμους παρ' οὐδὲν ἡγήσησθε, πείσεσθε ἂν οἶμαι οὐχὶ τὴν τυχοῦσαν ἀνάγκην.)

V. 21. Αἶψα δ' ἑῶν ἑτάρων. Δασύνεται τὸ ἑῶν, ὥσπερ καὶ τὸ ὧν. Τὸ γὰρ προτιθέμενον τοῖς δασυνομένοις ε̄, καὶ αὐτὸ δασύνεται· οἷον, ἕρση, ἑέρση, ἕδνα, ἕεδνα.

V. 22. (Ἴσχεο. Ἐπίσχες, ὅς τις ποτὲ ὑπάρχεις· πειθαρχήσομεν γὰρ οἷς λέγεις νόμοις. Διὰ δὲ μηδὲ τὸ ὄνομα εἰπεῖν, σφόδρα αὐτοῦ τὴν ἀξενίαν ὠνείδισεν.)

Τὸ δὲ, ὅ τις εὔχεαι εἶναι, ἐπὶ καταφρονήσει εἴρηται.

V. 25. Ἑλίξας. Περιστρέψας τὰ ὄμματα ἐς τὸν Πολυδεύκην.

V. 27. Ἰλλόμενος. Ἀντὶ τοῦ συνειλούμενος, συστρεφόμενος.

V. 28. Ἐπὶ δ' ὄσσεται οἰόθεν οἶος. Φασὶ τὸν λέοντα τρωθέντα, μόνον τηρεῖν τὸν τρώσαντα. Μόνος οὖν ὑπάρχων, μόνον ἐκεῖνον προσβλέπει τὸν τρώσαντα.

(Οἰόθεν. Μόνον. Καὶ Ἀριστοτέλης δέ φησι τοῦτο ποιεῖν τὸν λέοντα.)

V. 30. Εὔστιπτον. Εὔστρεπτον, εὐπίλητον. Παρὰ τὸ στείβω. Ὅθεν καὶ στιβάς· καὶ στιβεῖς, οἱ κναφεῖς.

V. 32. Λώπην. Χλανίδα [c]) ἢ τὴν διφθέραν [d]). (Ὁ δὲ λόγος, ὁ δὲ τὴν μέλαιναν καὶ διπλῆν χλανίδα σὺν αὐταῖς ταῖς περόναις ἀπέβαλεν.

V. 33. Καλαύροπα δέ. Ποιμενικὴν ῥάβδον. Καὶ τοῦτο δὲ διὰ τὸ σκληρὸν καὶ ἄγριον τοῦ ἀνδρός.

V. 34. Τὴν φορέεσκεν. Ἥντινα ἐβάσταζεν ἐκ κοτίνου οὖσαν, τουτέστιν ἀγριελαίου.

Ὀριτρεφέος δὲ, τοῦ ἐν ὄρει τεθραμμένου κοτίνου.

[V. 35. Ἑαδότα δέ φησι τὸν ἀρέσαντα τόπον.]

V. 38. Ὀλοοῖο Τυφωέως. Διὰ τὸ τερατῶδες καὶ ἐκτράπελον τοῦ σώματος τοῦτο φησίν. Ἐνομίζετο, φησὶν, ἢ Τυφῶνος ἢ Γῆς υἱὸς, ἀντὶ τοῦ μέγας. Ἔστι δὲ ἀπὸ ὀρθῆς τῆς Τυφωεύς. [Πέλωρ δὲ λέγεται τὸ θηρίον καὶ τὸ ὑπερμέγεθες.]

V. 40. Χωομένη Διΐ. Ἐπεὶ λέγεται ἡ Γῆ κατὰ ὀργὴν, ὅτε τοὺς Τιτᾶνας κατεταρτάρωσεν ὁ Ζεὺς, γεννῆσαι τοὺς Γίγαντας.

V. 42. Ἑσπερίην διὰ νύκτα. Ἀντὶ τοῦ κατὰ νύκτα, τουτέστι περὶ τὸν ἕσπερον. Ὅμηρος [e])·

Ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ [ἵσταται ἀστήρ].

Ἀμαρυγαὶ δὲ, αἱ ἀκτῖνες, αἱ λαμπηδόνες.

V. 43. Ἔτι χνοάοντας ἰούλους. Τοὺς ἰούλους ὡς χνοῦν ἀναφύοντας ἔχων. Τὰς ἐξανθήσεις τῶν γενείων. Λέγεται δὲ καὶ θηρίον ἴουλος πολύπουν· καὶ εἶδος ᾠδῆς, ὥς φησιν Ἐρατοσθένης.

c) χλαμύδα P. d) Haec tria verba, quae vulgo in fine scholii leguntur, cum P. huc retraxi. e) Il. XXII, 318.

V. 44. *Ἀντέλλων.* Ἀνατέλλειν τὸ φύειν ἐνταῦθα ἐνεργητικῶς σημαίνει.

V. 45. *Πῆλε δὲ χεῖρας.* Οἷον προσεπάλλετο, διάπειραν τῶν χειρῶν ἑαυτοῦ ποιούμενος, εἰ ὡς πρὶν εὐκίνητοι εἰσὶ, μηδ' ἀπὸ τοῦ τῆς εἰρεσίας καμάτου δυσκινήτως ἔχοιεν.

V. 48. *Οὐ μὰν αὖτ' Ἄμυκος.* Οὐ μὴν ὁ Ἄμυκος διεπείρασεν ἑαυτοῦ. Καὶ διὰ τούτων δὲ δηλοῖ τὸ ὑπερήφανον αὐτοῦ.

V. 49. *Καί οἱ ὀρέχθει.* Ἐν ὀρέξει ἦν. Νῦν δὲ, ἀντὶ τοῦ ἐφώρμα καὶ ἐπεθύμει. Σημαίνει δὲ ἡ λέξις καὶ τὸ ἔστενεν·

— — ὀρέχθεον [f]) ἀμφὶ σιδήρῳ [g]).

V. 51. *Λυκωρεύς* [h]). Οὗτος ὑπὸ τοῦ ποιητοῦ πεποίηται, οὐκ ἐξ ἱστορίας παρείληπται.

V. 52. *Ἱμάντας.* Τοὺς καλουμένους μύρμηκας.

V. 53. *Ἀζαλέους δὲ,* ἀντὶ τοῦ ξηρούς. Ὅθεν τινὲς οὐκ ἀπὸ Ἀζᾶνος βασιλέως, ἀλλὰ διὰ τὸ τραχεῖαν εἶναι, Ἀζανίαν φασὶ κληθῆναι (τὴν Ἀρκαδίαν. Τραχεῖα γάρ ἐστι καὶ ξηρά).

Πέρι δ' οἵγ' ἔσαν ἐσκληῶτες. Περισσῶς κατεσκληκότες ἦσαν, [ἀντὶ τοῦ κατάξηροι]. Ὅθεν καὶ σκέλος, τὸ ἄσαρκον μέρος τοῦ σώματος.

V. 54. *Ὑπερφιάλοισιν.* Ὑπερηφάνοις. Ἡ δὲ μεταφορὰ ἀπὸ τῆς φιάλης. Τὸ γὰρ πληθύον αὐτῆς, ὑπερφίαλον, ἀντὶ τοῦ ὑπέρμετρον. Φιάλη δὲ εἶδος λεβητώδους ἀγγείου.

V. 55. *Πάλου ἄτερ.* Χωρὶς κλήρου. Καὶ διὰ τούτου δὲ πάλιν ὑπερήφανον δείκνυσι.

V. 56. (Τὸ δὲ, *ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν,* ὥσπερ ἤδη σεαυτῷ πεπιστευκὼς τὴν νίκην. Καὶ τοῦτο βάρβαρον. Εἰ γὰρ ὁ κλῆρος τὴν στάσιν λύειν ἐπίσταται, καὶ ἑκάστῳ τὰ ἴσα διδόναι, πῶς ἂν ὕστερον ἔμελλεν αὐτῷ ἀντιμάχεσθαι; Μᾶλλον γὰρ νῦν ἐστασίασεν ἂν, μὴ κληρωθείς.

Ἀτέμβηαι. Ἵνα μή μοι μέμψῃ ὕστερον, ὡς χείρονας εἴληφας.) Τὸ γὰρ *ἀτέμβειν* οἱ νεώτεροι οὐκ ἐπὶ τοῦ στερίσκεσθαι ἤκουσαν, ἀλλ' ἐπὶ τοῦ μέμφεσθαι.

[V. 60. *Παραβλήδην* δὲ τὸ παραβλητικῶς καὶ ἐκ τοῦ ὁμοίου φιλονεικεῖν.]

V. 62. *Ἀπροφάτως.* Ἀδιστάκτως, ἀδιακρίτως, μηδὲν πρὸς τὴν ἀναίρεσιν προφασισάμενος.

[V. 64. *Παρηγορεῖν* δὲ τὸ προτρέπεσθαι ἐνταῦθα σημαίνει.]

V. 65. *Ἤιδειν.* Τὸ *ἤδειν* ἀντὶ τοῦ πληθυντικοῦ κεῖται τὸ ἤδεσαν. Ὡς καὶ τὸ,

Τῆς δ' ἦν τρεῖς κεφαλαί [i]).

V. 67. *Οἱ δ' ἐπεὶ οὖν ἐν ἱμᾶσι διασταδὸν ἠρτύναντο. Διασταδὸν* μέν φησιν, ἀντὶ τοῦ [κεχωρισμένως]; ἐν τῇ παρ' ἀλλήλων διαστάσει παρεσκευάσαντο.

f) ὠρέχθεον P. g) Il. XXIII, 30. h) Λυκορεὺς P. i) Hesiod. Theog. 321.

V. 68. Ῥέθος δὲ, ἅπαν μέλος. Ἐνταῦθα δὲ τὰ πρόσωπα.

V. 70. Ἅτε κῦμα θαλάσσης. Καθάπερ (φησὶ) μετεωριζόμενον νηῒ προσπίπτει, τῇ δὲ ἐμπειρίᾳ τοῦ κυβερνήτου παρακλίναντος ἡ ναῦς διαφεύγει· οὕτω καὶ ὁ Ἄμυκος ἐπέκειτο μὲν ἐκφοβῶν αὐτὸν, διεκκλινόμενος δὲ ἐκεῖνος, ἄτρωτος ἦν.

V. 72. Ἀλύσκει. Ἐκφεύγει. Διὰ δὲ τὴν τραχύτητα καὶ τὴν σφοδρὰν αὐτοῦ ὁρμὴν κύματι εἰκάζει τὸν Ἄμυκον, κυβερνήτῃ δὲ τεχνίτῃ τὸν Πολυδεύκην. [Τῷ δὲ ἀλύσκει συναπτέον τὴν ὑπὸ, ἵν' ᾖ ὑπαλύσκει, ἀντὶ τοῦ ἐκφεύγει. Τὸ δὲ ἱεμένου πρὸς τὸν κυβερνήτην ἀναφέρειν οὐ δοκεῖ κατάλληλον. οὐ γὰρ ἐφίεται ὁ κυβερνήτης εἰσέρχεσθαι τὴν ναῦν εἰς τοὺς κλύδωνας. Ἢν δὲ πρὸς τὸ κλύδωνος ἀναχθῇ, καταλληλότερον ποιήσει τὸν λόγον· ὁ γὰρ κλύδων ἐγειρόμενος ἔοικεν ἐφίεσθαι βαπτίσαι τὴν ναῦν, καὶ ταύτην εἴσω ἑαυτοῦ ποιῆσαι. Τοῖχον δὲ κλύδωνος τὴν περιοχὴν τοῦ κλύδωνος εἴρηκεν. Εἰ δὲ πρὸς τὸν κυβερνήτην ἀναφέρουσι τὸ ἱεμένου, τὸ ὑγιὲς ἕξει καὶ οὕτως ὁ λόγος, ἢν τοῖχον νοήσωμεν τὴν ἀποφυγὴν τοῦ κλύδωνος. ἐφίεται γὰρ ὁ κυβερνήτης εἴσω τοῦ τοίχου καὶ τῆς ἀποφυγῆς τοῦ κλύδωνος φέρεσθαι.]

V. 74. Φοβέων. Ταράσσων τῇ ἀθρόᾳ κατ' αὐτοῦ ὁρμῇ, ἐμβραδύνειν οὐ συνεχώρει αὐτόν.

V. 76. Ἀΐσσων. Λείπει ἡ ὑπό· ἵνα ᾖ, ὑπαΐσσων καὶ ὑποφεύγων τὸν Ἄμυκον τῇ ἑαυτοῦ τέχνῃ, ἄπληκτος καὶ ἀβλαβὴς διέμεινεν.

Ἀπηνέα δ' αἶψα. Συνιδὼν (φησὶν) ὁ Πολυδεύκης, ὅπου ἄπρακτος καὶ εὐεπιχείρητος ἦν, συνέμιξεν αὐτῷ τὰς χεῖρας ὑποστάς.

V. 77. Ἤι κάρτος. Ὁ Πολυδεύκης (φησὶν) ἐτήρει τὸν Ἄμυκον, ὅπου ἄτρωτος τυγχάνει καὶ οὐκ ἀνεπιχείρητός ἐστιν, ἢ οὔ. Συνιδὼν, ἐν ᾧ ὑπερεῖχεν αὐτοῦ, καὶ ἐν ᾧ καταδεέστερος ἦν, ὑποστὰς συνέμιξεν αὐτῷ τὰς χεῖρας.

Θάρσος δὲ θράσους διαφέρει. Θάρσος γὰρ, τὸ εὔλογον· θράσος δὲ, τὸ μετὰ ἰταμότητος. Οὕτω καὶ Ἀρίστιππος ὁ φιλόσοφος.

V. 79. Ὡς δ' ὅτε νήϊα. Οὕτως ἀντεξεσμένα ἀλλήλοις, ὥστε, ἡνίκα συμβάλλονται ἐναντία, συναρμόζειν ἀλλήλοις. Ἢ τὰ ἀντικείμενα τοῖς σφησίν. Εἰς γὰρ τὰ πλάγια τῶν σανίδων τιθέασι τοὺς σφῆνας πρὸς ἀσφάλειαν.

[Θοὸν δὲ τὸ ὀξὺ κατὰ μετάληψιν. Ὅμηρος [k]·

ἐγὼ δ' ἐθόωσα παρὰ στάς.]

V. 80. Ὑληουργοὶ δὲ, ὑλοτόμοι, καὶ τὰς ναῦς ἐργαζόμενοι.

[Τὸ δὲ ἐπιβλήδην τὸ ἐπιβλητικῶς σημαίνει. Ἐπιβάλλουσι γὰρ ἄλληλα τὰ ξύλα οἱ ναυπηγοί.] Ὥσπερ δὲ ναυπηγήσιμα ξύλα συναρμόζοντες ξυλουργοὶ γόμφοις συνεχῶς ταῖς σφύραις τύπτουσιν, ἐγείρεται δὲ ἄλλος ἐξ ἄλλου ψόφος· οὕτως ὁ Ἄμυκος καὶ ὁ Πολυδεύκης ἀλλήλων ἔτυπτον τὰς σιαγόνας.

k) Od. IX, 327.

V. 81. Ἄηται. Ἐξηχεῖται καὶ ἐξακούεται.
V. 82. Ἄδην. Συνεχῶς, ἢ ἀκορέστως.
[V. 83. Βρυχὴ δέ ἐστιν ὁ τῶν ὀδόντων ἦχος.]
V. 84. Ἐπισταδόν. Ἀντὶ τοῦ ἐπιστατικῶς καὶ ἀμετακινήτως.

V. 89. Φορβάδος ἀμφὶ βοός. Ὑπὲρ [ἀγελάδος καὶ] νομάδος καὶ εὐτραφοῦς βοός. Ἵνα τὸ τῆς κατανομῆς ὄνομα πλέον καὶ μεῖζον τῇ βοῒ δοίη τὸ σῶμα καὶ τὸ κάλλος. [Περὶ γὰρ εὐπρεπεστέρας βοὸς, τοιαύτη δὲ ἡ εὔτροφος, εἰκὸς αὐτοὺς μᾶλλον μάχεσθαι.]

Ἀντίπατρος ἐν τῷ Περὶ ζώων φησὶ τὸν ἀλκιμώτατον ἐν τῇ ἀγέλῃ ταῦρον μίγνυσθαι πάσαις ταῖς βουσὶν, μὴ ἐπιτρέπειν δὲ ἑτέρῳ. Ἐὰν δέ τις πεποιθὼς τῇ ἰδίᾳ δυνάμει ἀντίσταται αὐτῷ, καταγωνισάμενος, τοῦ λοιποῦ πλησιάζει ἐκεῖνος.

V. 90 sq. Ἀερθεὶς βουτύπος οἷα. Ἐπαρθείς. Ἐπ' ἄκρων τῶν ποδῶν (φησὶ) σταθεὶς, καὶ ἐκτείνας ἑαυτὸν ὡς βουτύπος, τὴν χεῖρα ἑαυτοῦ κατέφερεν. Ἐπιόντος δὲ αὐτοῦ, ὁ Πολυδεύκης ὑπέστη, καὶ παρακλίνας τὴν κεφαλὴν τῷ ὤμῳ αὐτοῦ ἐδέξατο τὸν πῆχυν, [ἤγουν τὴν πυγμὴν τοῦ Ἀμύκου.] Βουτύπος δέ ἐστιν ὁ τοὺς θυομένους βοῦς τῷ πελέκει τύπτων κατὰ τοῦ αὐχένος. Οὗτος δὲ ἐπ' ἄκροις τοῖς ὄνυξιν ἵσταται μέλλων κρούειν.

V. 94. Ὁ δ' ἄγχ' αὐτοῖο. Ἐγγὺς δὲ αὐτοῦ προβαίνων καὶ μεταφέρων τὰ σκέλη ἔτυψεν αὐτὸν πρὸς τὸ οὖς.

V. 95. Μεταΐγδην. Ὁρμητικῶς.

V. 96. Ὁ δ' ἄμ' ὀδύνῃ. Ὁ δὲ Ἄμυκος ὑπὸ τῆς ἀλγηδόνος ἐπὶ γόνυ κατενεχθεὶς εἰς τὴν γῆν ἀπώλετο.

[V. 97. Τὸ δὲ ἀθρόως ἔκχυτο θυμὸς ἀντὶ τοῦ ταχέως ἐξέπνευσε.]

V. 98. Οὐδ' ἄρα Βέβρυκες. Ἀπολλώνιος μὲν ἐμφαίνει ὡς ἀνῃρημένον τὸν Ἄμυκον· Ἐπίχαρμος δὲ καὶ Πείσανδρος φασὶν, ὅτι ἔδησεν αὐτὸν ὁ Πολυδεύκης. Δηΐλοχος [1]) δὲ ἐν πρώτῳ περὶ Κυζίκου καταπυκτευθῆναι φησὶν αὐτὸν Πολυδεύκους.

Οὐκ ἠμέλησαν δὲ (φησὶν) οὐδὲ κατεφρόνησαν τοῦ Ἀμύκου πεπτωκότος· διὰ δὲ τὸ βάρβαρον αὐτῶν καὶ πόλεμον ἤγειραν.

V. 99. Ἀζηχέας δὲ, τὰς ξηράς. Τὰς ἠχούσας ξηρὸν ἦχον. Σιγύννους δὲ καλοῦσιν οἱ Κύπριοι τὰ ἀκόντια· ἄλλοι δὲ τὰ ὁλοσίδηρα ἀκόντια.

[V. 100. Τὸ δὲ ἀντιάασκον τὸ ἀπήντων καὶ ὥρμων δηλοῖ.]

V. 105. Αὐτὸς δ' Ἰτυμονῆα. Ὁ δὲ Πολυδεύκης λὰξ ἐπορούσας ἔπληξεν.

V. 106. Λέγεται δὲ λὰξ ὁ ὑπὸ τοὺς δακτύλους τοῦ ποδὸς ψόφος. Ἢ οὕτω κυρίως [κατὰ Ποσειδώνιον] τὸ ὑποκάτω τῶν τοῦ

1) Διΐοχος P.

ποδὸς δακτύλων λὰξ καλεῖται. Οὕτως ἀποδέδωκεν καὶ παρὰ τῷ ποιητῇ Ποσειδώνιος,

Λὰξ ποδὶ m) κινήσας n).

V. 107. *Τοῦ δ' ἄσσον ἰόντος.* (Ἐναλλαγὴ γέγονε τῶν πτώσεων. Ἔδει γὰρ εἰπεῖν, τὸν δ' ἄσσον ἰόντα.) Οὕτω γὰρ καταλλήλως ἂν ἀπέδωκε πρὸς τὰ ἀνώτερα, εἰπὼν Ἰτυμονῆα καὶ Μίμαντα. Πρὸς μὲν τὸν πρῶτον, αἰτιατικὴν ἀπέδωκεν, ἐπενεγκὼν, *τὸν μὲν ὑπὸ στέρνοιο*· πρὸς δὲ τὸν δεύτερον, οὐκ ἐφύλαξε τὸ κατάλληλον. Συγχωρεῖται δ' ὅμως, διὰ τὸ συγγενὲς τῶν πλαγίων. Τοῦ Μίμαντος τῇ δεξιᾷ ὁρμήσαντος ἐγγὺς τοῦ Πολυδεύκους, αὐτὸς τὸ εὐώνυμον ἀπέδρυψε βλέφαρον τοῦ Μίμαντος, ἀποκόψας αὐτοῦ τὸν ὀφθαλμόν. Τοῦτο γὰρ νοεῖται διὰ τοῦ ἐπιφερομένου, τοῦ, *γυμνὴ δ' ὑπελείπετ' ὀπωπή.* ἡ τοῦ ὀφθαλμοῦ χώρα δηλονότι.

V. 110. *Ὠρείδης δ' Ἀμύκοιο.* Διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα. Οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου.

V. 112. *Ὅσον δ' ἐπὶ δέρματι.* Μέχρις. Ὅσον ἀντὶ τοῦ ὀλίγου. Δι' αὐτῆς τῆς ἐπιφανείας ἦλθεν ὁ σίδηρος ὑπ' αὐτὸν τὸν κατὰ τὴν ζώνην τόπον· ὥστε τῶν ἐντοσθιδίων μὴ ψαῦσαι, ἀλλ' ἐπὶ τῷ δέρματι μόνον.

V. 114. *Μενεδήϊον* ἔφη τὸν Ἴφιτον, ὡς ἐμμενετικὸν ἐν τῷ πολέμῳ. Δηῒς γὰρ ὁ πόλεμος καὶ ἡ μάχη. [Τὸ δὲ *αὔτως* ἀντὶ τοῦ ὁμοίως.]

V. 115. *Ἀζαλέῃ.* Τῇ ξηρᾷ, ἐπεί ἐστι ξυλίνη. Ὅμηρος δὲ καὶ σιδηρᾶν οἶδεν o)·

Ἀλλὰ σιδηρείῃ κορύνῃ.

Τινὲς δὲ ἀποδεδώκασι σιδηρείη, τῇ εὐτόνῳ, ὥσπερ καὶ p),

σιδήρειος δ' ὀρυμαγδὸς q) ὀρώρει.

V. 116. *Οὔπω κηρὶ κακῇ.* Οὔπω πεπρωμένον ἀποθανεῖν.

V. 117. *Ὁ δὲ Κλυτίος* υἱὸς ἦν Εὐρύτου, ἀδελφὸς Ἰφίτου. *Δηώσεσθαι* δὲ, φονευθήσεσθαι.

V. 118. *Ὁ δὲ Ἀγκαῖος,* Ἀρκὰς τὸ γένος ἐστί. Φησὶ δὲ αὐτὸν ὡπλίσθαι πελέκει καὶ ἄρκτου δορᾷ.

Ὁ δὲ *θρασὺς* ἐνταῦθα ἐπὶ τοῦ ἀνδρείου, ἀλλ' οὐκ ἐπὶ τοῦ ὑπερβάλλοντος κεῖται.

V. 119. Τὸ *μέλαν* ἐπὶ τοῦ *δέρος* ἀναφέρειν δεῖ, ὥσπερ καὶ τὸ *κελαινὸν* r), ἀλλ' οὐκ ἐπὶ τοῦ *πέλεκυν.* Οὐ γὰρ καταλλήλως τὸ οὐδέτερον ἐπιτεθήσεται τῷ ἀρσενικῷ. Καὶ ἤτοι ἐκ παραλλήλου ληπτέον τὸ *μέλαν* καὶ τὸ *κελαινόν* s)· ἢ τὸ μὲν *μέλαν* ἐπὶ τὸ χρῶμα ἀναφέρειν δεῖ, τὸ δὲ *κελαινὸν* s) ἐπὶ τὸ ἐκπληκτικόν.

Τεταγών. Ἀντὶ τοῦ ἐκτείνας, ἀκοντίσας.

m) ποδοῖϊν P. n) Il. X, 158. q) ὀρύγμαδος P. r) μελαίνειν P.
o) Il. VII, 141. p) Il. XVII, 424. s) μελαινὸν P.

V. 120. *Καὶ τὸ προσχόμενος, προβαλόμενος ἀντὶ ἀσπίδος.*

V. 121. *Ὁμοῦ δέ οἱ ἐσσεύοντο. Τὸ ὁμοῦ καὶ ἐπὶ τοῦ ἀθροίσματος τιθέασι, καὶ ἐπὶ τοῦ ἐγγὺς, ὡς Ἀθηναῖοι εἰώθασι χρῆσθαι. Μένανδρος·*

Ὁμοῦ δὲ τῷ τίκτειν παρεγένεθ' ἡ κόρη.

ἀντὶ τοῦ ἐγγύς.

V. 123. *Ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσιν. (Ὥσπερ δὲ ἀφυλάκτῳ ποιμνίῳ ἐπελθόντες λύκοι ἀποροῦσι, ποῖον πρῶτον ἁρπάξωσιν, οὕτω καὶ οἱ ἀριστεῖς τοὺς Βέβρυκας ἐτρέψαντο.) Ὁμοία δὲ ταύτη καὶ παρ' Ὁμήρῳ παραβολή* [t])·

Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι
(σίνται.)

[*Ἀπείρονα μὲν οὖν φησὶ τὰ πολλά.*]

V. 124. *Πολιοὶ δὲ, ἤτοι ὑπότεφροι, ἢ ἔντιμοι. Τίμιον γὰρ τὸ ζῶον παρ' Ἀθηναίοις. Ὁ γὰρ ἀποκτείνας λύκον ἀγείρει αὐτῷ τὰ πρὸς τὴν ταφήν. Καὶ ἴσως ἐπεὶ ἡ Λητὼ ἔγκυος οὖσα διὰ δώδεκα* [u]) *ἡμερῶν εἰς Δῆλον ἦλθε μεταβαλοῦσα εἰς λύκον. Διόπερ κατά τινα ὡρισμένον χρόνον τοῦ ἐνιαυτοῦ τίκτει πᾶσα λύκαινα ἐν δώδεκα* [u]) *ἡμέραις, ὡς Φιλοστέφανος φησὶν ἐν τοῖς Ὑπομνήμασιν.*

V. 125. *(Λάθρῃ εὐῤῥίνων. Τοῦτο φησὶν, ὅτι διὰ τὸ ψῦχος καταδύνουσιν εἰς τὰς ἐπαύλεις οἵ τε ποιμένες καὶ οἱ κύνες, εἶτα οὕτως ἀφύλακτα γίνονται τὰ πρόβατα.)*

Εὐῤῥίνων δὲ, ἤτοι εὐδερμάτων. Ἢ κυρίως διὰ τὸ ταῖς ῥισὶν ἰχνεύειν τὰ θηρία. Διὸ καὶ παραινοῦσιν οἱ κυνηγοὶ πρὸ ἡμέρας ἐξάγειν τοὺς κύνας ἐπὶ θήραν, ἵνα, πρὶν ἥλιον ἐπιτεῖλαι, εὐκαίρως ἰχνηλατῶσι ταῖς ῥισί. [*Σοφοκλῆς* [v])·

Κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.]

V. 126. *Μαίονται. Ἐπιζητοῦσι.*

V. 127. *Πόλλ' ἐπιπαμφαλόωντες. Πολλὰ ἐπιβλέποντες καὶ μετ' ἐνθουσιασμοῦ. Παμφαλᾷν γὰρ τὸ μετὰ πτοιήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν. Κέχρηται δὲ τῇ λέξει καὶ Ἱππώναξ καὶ Ἀνακρέων. Λέγει δὲ καὶ Ἐρύκιος· Πάντοσε παμφαλόωντες δινήσαντο* [w]) *πόδεσσι. Παραιτητέον δὲ Εἰρηναῖον ἀμφανόωντες γράφοντα, καὶ ἐξηγούμενον κτείνοντες. Οὔτε γὰρ κέχρηταί τις οὕτως τῇ λέξει, οὔτε ἐστὶν ἁπαξαπλῶς ἡ γραφὴ τοῦ ποιητοῦ.*

V. 128. *Περὶ σφίσιν. Ἔδει εἰπεῖν περὶ ἀλλήλοις πίπτοντα. Οὐ γὰρ περὶ ἑαυτά. Τὸ δὲ ἁμάρτημα τῶν μεθ' Ὅμηρον.*

V. 130. *Ὡς δὲ μελισσάων. Ὅτι τὸν καπνὸν φεύγουσιν αἱ μέλισσαι, διὰ τὸ στενόπορον εἶναι αὐτῶν τὴν ὄσφρησιν. Ὅπερ καὶ ἐπὶ τῶν ὄφεων συμβαίνει, θυμιωμένου τοῦ ἐλαφείου κέρως, ὥς φησι Νίκανδρος.*

Σμῆνος δέ ἐστι τὸ τῶν μελισσῶν πλῆθος.

t) Il. XVI, 352. u) ιθ P. v) Soph. Aj. 8. w) Leg. *ἐδινήσαντο.*

[V. 131. *Μελισσοκόμοι* δέ εἰσιν οἱ μελισσουργοί. Τὸ δὲ *καπνιᾷν* τὸ καπνίζειν σημαίνει.]

V. 133. *Βομβηδόν.* Ἀντὶ τοῦ μετὰ ἤχου καὶ βόμβου. Βόμβος δέ ἐστιν ὁ τῶν μελισσῶν ἦχος. Ἔνιοι δὲ, τῆς βοξύνου μελίττης λεγομένης.

Λιγνυόεντι. Τῷ αἰθαλώδει.

Ὁ δὲ λόγος, ἐπιπλέον δὲ τῷ λιγνυώδει καὶ σποδώδει καπνῷ καπνιζόμεναι ὑποχωροῦσι τῶν σίμβλων.

Σίμβλος δέ ἐστιν, εἰς ὃ τὰ κηρία συνάγεται ἀγγεῖον, ἡ κυψέλη.

V. 134. *Καπνῷ τυφόμεναι.* Ἀντὶ τοῦ καπνιζόμεναι. Σημαίνει δὲ καὶ τὸ καιόμεναι. Εἰώθασι δὲ καπνίζειν κόνυζαν. Δριμὺς γὰρ μάλιστα ὁ ταύτης καπνός.

V. 138. *Ἠμὲν ἀλωαί.* Αἱ ἀμπελόφυτοι χῶραι.

V. 139. *Οἶαι* δὲ, αἱ κῶμαι, διὰ τὸ ἐν αὐταῖς τὰ πρόβατα καὶ τὰ ἄλλα βοτὰ νέμεσθαι.

[*Λύκον* δέ φησι τὸν βασιλέα τῶν Μαριανδυνῶν.]

V. 140. *Καὶ Μαριανδυνῶν.* Φινέως παῖδες, ἐκ μὲν Κλεοπάτρας, Παρθένιος καὶ Κράμβις x)· ἐκ δὲ Ἰδαίας τῆς Δαρδάνου, ἢ Σκυθικῆς τινὸς παλλακίδος, Θύνος καὶ Μαριανδυνός. Ἐξ ὧν τὰ ἔθνη κέκληνται. Οἱ δέ φασι κεκλῆσθαι τοὺς Μαριανδυνοὺς ἀπὸ Μαριανδυνοῦ υἱοῦ Κιμμερίου.

Ἀπεόντος ἄνακτος. Ἤγουν τεθνηκότος. Ὥσπερ καὶ τὸ περιεόντος τοῦ ζῶντος.

Οἱ δὲ Μαριανδυνοὶ, ἔθνος ὁμοροῦν αὐτοῖς.

V. 141. *Σιδηροφόρου περὶ γαίης.* Τῆς τῶν Χαλύβων. [Οὗτοι γάρ εἰσιν οἱ τὸν σίδηρον ἐργαζόμενοι.]

V. 142. *Οἱ δ' ἤδη.* Οἱ δὲ Ἀργοναῦται, τῶν Βεβρύκων πεφευγότων, τὰς παρὰ θάλασσαν ἐπαύλεις ἐπόρθουν. Ἤδη δὲ καὶ τῶν θρεμμάτων πολλὰ περιεληλακότες ἀπετέμοντο.

V. 143. *Περιτροπάδην.* Περιτρέποντες, ἐπὶ τὴν ναῦν ἐλαύνοντες. Σημαίνει δὲ καὶ τὸ νικᾷν.

(V. 145. *Φράζεσθ' ὅ, ττι κεν ἦσιν.* Ὁ νοῦς, καὶ τί ἂν ἐποίησαν οἱ Βέβρυκες, εἰ καὶ ὁ Ἡρακλῆς μεθ' ἡμῶν ἐληλύθει; οἷον, πῶς ἔφυγον καὶ ἡττήθησαν. Οἶμαι γὰρ, ὅτι οὐδὲ ἀγὼν ἂν τῆς πυγμαχίας ἐγένετο, ἀλλὰ προκαλούμενον τὸν Ἄμυκον τότε οἷς συνετίθει νόμοις ἡμῖν, τῷ ῥοπάλῳ πλήξας ἀνῄρηκεν.)

V. 148. *Διακριθήμεναι.* Χωρισθῆναι y).

V. 151. *Ναὶ μὲν ἀκήδεστον.* Ὁ νοῦς, ἐκεῖνον μέντοι ἀφροντίστως καταλιπόντες (τουτέστι τὸν Ἡρακλέα) ἐπ' ἀλλοτρίας ἐπλεύσαμεν. Ἐκείνου δὲ ἀπόντος, ἕκαστος ἡμῶν αἰσθήσεται, ὅσον βεβλάμμεθα.

[V. 156. *Οὐταμένους* δὲ λέγει τὸν Ἴφιτον καὶ τὸν Ταλαόν.]

x) Κρώμενος P. y) κριθήμεναι, διαχωρισθῆναι P. rectius.

V. 159. *Ἐρεψάμενοι δάφνῃ.* Δαφνῃ ἐστέψαντο δι' Ἀπόλλωνα. Ἐχρῶντο δὲ τῇ στέψει τριχῶς, ἐπὶ τῆς κεφαλῆς, ἐπὶ τοῦ μετώπου, ἐπὶ τοῦ τραχήλου τιθέμενοι τοὺς στεφάνους, διὰ τὸ θυμηδὲς τῆς τριμεροῦς ψυχῆς. Ἄλλως. Στεψάμενοι δὲ ὑπεράνω τῶν μετώπων δάφνῃ τὰς κεφαλάς· ἐξ ἧς δάφνης [τῇ καὶ τῇ, δηλονότι ἐκ διαφόρων μέρων] ἀνημμένα ἦν τὰ σχοινία τῆς νεώς. Οὐ ποιητικῶς δὲ ἀνέπλασε τὴν δάφνην ὁ Ἀπολλώνιος, ἀλλ' ἔστιν ὄντως ἐν τῷ τόπῳ δένδρον δάφνης εὐμέγεθες, ὥς φησιν Ἀνδροίτας[z]) ὁ Τενέδιος ἐν τῷ Περίπλῳ τῆς Προποντίδος, παριστορῶν, ὅτι Ἄμυκος μὲν καλεῖται τὸ χωρίον, ἔχει δὲ ἐποίκια καὶ νῦν, διέστηκε δὲ τοῦ Χαλκηδονίου Νυμφαίου σταδίους πέντε. Ἀπολλόδωρος δὲ ἐν τῷ πρώτῳ τῶν Ποντικῶν ἡρῶον (αὐτόθι) φησὶν εἶναι Ἀμύκου ἐκεῖ· καὶ εἴ τις ἐκ τῆς δάφνης κλάδον λάβοι, εἰς λοιδορίαν ἀνίστησι.

V. 161. *Συνοίμιον.* Συνῴδιον. Οἴμη γὰρ ἡ ᾠδή. [Νῦν δὲ τὸν ἐπινίκιον λέγει.]

V. 162. *Περὶ δέ σφιν ἰαίνετο.* Διεχέετο ἡ ἀκτή. Καθ' ὑπερβολήν· καθ' ὃ μυθεύεται ὁ Ὀρφεὺς κηλεῖν καὶ τὰ ἄψυχα. (Ἦιδον δὲ ἐπινίκιον τῷ Ἀπόλλωνι.)

V. 163. *Θεραπναῖον* δὲ ἀπὸ μέρους, τὸν Λάκωνα. Θεράπναι γὰρ τόπος τῆς Σπάρτης. Οἱ δὲ, πόλιν. Ὁ δὲ Ἀπολλώνιος, τόπον ἱερὸν Ἀπόλλωνος.

V. 165. *Ἐκ περάτων.* Ἐκ τοῦ ὑπερορίζοντος[a]) ἡμισφαιρίου.

V. 168. *Ἀνὰ Βόσπορον.* [Βόσπορόν φησι τὸ μεταξὺ Χαλκηδόνος καὶ Βυζαντίου διάστημα.] *Βόσπορος* ὀνομάζεται διὰ τὸ δοκεῖν τὴν Ἰὼ βοῦν οὖσαν διαπορεύεσθαι τὸ ἀπὸ Βυζαντίου καὶ Καλχηδόνος διάστημα (σταδίων ἐστὶ τοῦτον τὸν τόπον, *) ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν διαβαίνουσαν. Ἢ διὰ τὸ πάντας τοὺς στενοὺς πορθμοὺς βοσπόρους καλεῖσθαι. Ἔνιοι δέ φασι, τοὺς ἐπὶ τοῦ στόματος οἰκοῦντας τοπαλαιὸν, εἴ ποτε ἐθέλοιεν εἰς τὸ πέραν διαβαίνειν, σχεδίας πηγνύντας καὶ βόας ἐπιζεύξαντας, ἐπὶ τούτων διαπεραιοῦσθαι· ὅθεν καὶ ὠνομάσθαι τὴν θάλασσαν. Ἔστι δὲ καὶ ἕτερος Βόσπορος τῆς Σκυθικῆς, Κιμμερικὸς προσαγορευόμενος, διὰ τὸ Κιμμερίους, ἔθνος Σκυθικὸν, περὶ ἐκείνους οἰκῆσαι τοὺς τόπους. Οἱ δέ φασι στόμα τῆς Μαιώτιδος λίμνης στενὸν καὶ ἐπίμηκες, ἐμφερὲς τῷ κατὰ τὸ Βυζάντιον Βοσπόρῳ. Ἄλλως. Περὶ τοῦ Βοσπόρου ἡ ἱστορία παρὰ τοῖς παλαιοῖς διαφόρως λέγεται. Νύμφις[b]) μὲν γάρ φησιν ἱστορεῖν Ἀκαρίωνα[c]), ὡς ἄρα Φρύγες διαπλεῦσαι βουλόμενοι τὸν πορθμὸν, κατεσκεύασαν ναῦν ἔχουσαν ἐγκεχαραγμένην προτομὴν ταύρου [καὶ, ὡς εἰπεῖν, ταυροπρόσωπον]· διαπλευσάντων δὲ αὐτῶν, ἀπὸ τοῦ εἴδους τοῦ περὶ τὸ σκάφος προσαγορευθῆναι τὸ πέλαγος Βόσπορον. Ἔφορος δέ φησιν ἡρπάσθαι τὴν Ἰὼ ὑπὸ Φοινίκων, καὶ διακομισθῆναι εἰς Αἴγυπτον· ἀνθ' ἧς τὸν βασιλέα

z) Ἀνδρότας P. a) ὑπὸ τὸν ὁρίζοντα P. b) Νύμφαιος P. c) Εὐφορίωνα legit Reines. ad Daum. epist. LXXXV. p. 215.

τῶν Αἰγυπτίων πέμψαι Ἰνάχῳ ταῦρον· τετελευτηκότος δὲ ἐκείνου, περιϊέναι αὐτοὺς παραδεικνύντας [τὸν ταῦρον πᾶσι], καθὸ πρότερον οὐκ ἐγίνωσκον τὸ ζῶον· τὸν δὲ τόπον προσηγορεῦσθαι, δι' οὗ οἱ τὸν ταῦρον ἔχοντες ἔπλευσαν, Βόσπορον. Οἱ δὲ, καθὸ ὁ Φρίξος ἐπὶ κριοπρώρου [d]) σκάφους ἔπλευσεν. Δύο δέ εἰσι Βόσποροι, Κιμμέριος καὶ Θρᾴκιος, ὁ πάλαι Μύσιος καλούμενος.

V. 169. Ἠλιβάτῳ. Ἠλίβατον ὄρος φησὶν, ἀφ' οὗ ἀλιτεῖν ἐστι τῆς βάσεως, διὰ τὸ ὕψος· τοῦτ' ἔστιν, ὑψηλὸν καὶ ἀπρόσβατον.

V. 170. Ἐπαΐσσοντι δὲ, ἀντὶ τοῦ ἐπενεχθησομένῳ, ἢ ἐφορμήσοντι.

V. 173. Ἀλλὰ τόγ' ἔμπης. Ἀλλὰ, καίπερ οὕτω μέγα καὶ λάβρον ὑπάρχον τὸ κῦμα, ὁμαλίζεται [ἢ πραΰνεται], εἰ ἀγαθοῦ κυβερνήτου τύχοι.

V. 177. Ἀντιπέρην γαίῃ Βιθυνίδι. Διτταί εἰσι Βιθυνίαι· ἡ μὲν, ἐπὶ τῆς Εὐρώπης· ἡ δὲ, ἐπὶ τῆς Ἀσίας. Καὶ ἡ μὲν ἐπὶ τῆς Εὐρώπης περὶ Σαλμυδησσὸν κεῖται ἐπὶ τῆς Θρᾴκης· ἡ δὲ ἑτέρα καθήκει ἐπὶ τὸν Βόσπορον καὶ ἐπὶ τὸ στόμα τοῦ Πόντου. Ἔστι δὲ καὶ τρίτη Βιθυνία νῆσος περὶ τὸν Πόντον [e]), ἐν ᾗ ἐστιν Ἀπόλλωνος ἱερόν [f]). Ἔστι δὲ ἀμφίβολον, εἰς ποίαν Βιθυνίαν φησὶν, ἀμφοτέρων οὐσῶν ἐπὶ τὸ πέραν. Ἄμεινον οὖν τὴν περὶ τὴν Εὐρώπην Βιθυνίαν λέγειν. Τῇ γὰρ ἐπιούσῃ (φησὶν) ἡμέρᾳ ἐν τῇ Βιθυνίᾳ τὰ ἀπόγεια ἔδησαν, ὡς δῆλον, ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην. Καὶ γὰρ ὁ Φινεὺς (ὡς οἱ πλεῖστοι) ἐπὶ τοῦ Σαλμυδησσοῦ λέγεται ᾠκηκέναι, ὅς ἐστι τῆς Θρᾴκης, κατὰ τὰ ἀριστερὰ μέρη τὸν Πόντον εἰσπλέοντι. Ἄλλως. Οὐκ ἐν τῇ πέραν Βιθυνίᾳ, ἀλλ' ἐν τῇ τῆς Θρᾴκης· ἥτις ἐστὶ τῆς Εὐρώπης, ὡς ἀποδέδεικται, ἔνθα Φινεὺς ᾤκει.

V. 178. Ἀγηνορίδης. Ἀγήνορος γὰρ παῖς ἐστιν, ὡς Ἑλλάνικος. Ὡς δὲ Ἡσίοδος φησὶν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. Ὁμοίως δὲ καὶ Ἀσκληπιάδης, καὶ Ἀντίμαχος, καὶ Φερεκύδης φησίν. Ἐκ γὰρ Κασσιεπείας τῆς Ἀράβου Φοίνικι γίνεται Κίλιξ, καὶ Φινεὺς, καὶ Δόρυκλος [g]). Ὁ δὲ Ἀτύμινος [h]) κατὰ μὲν ἐπίκλησιν, καὶ αὐτὸς τοῦ Φοίνικος· ταῖς δὲ ἀληθείαις, τοῦ Διός. Ἔνιοι δὲ (αὐτὸν) ἐν τῇ Παφλαγονίᾳ βασιλεῦσαι ἱστοροῦσιν [τὸν Φινέα], ἥτις ἐστὶ τῆς Ἀσίας, ὥς φησιν Ἑλλάνικος.

Ἀγηνορίδην δὲ εἶπε τὸν Φινέα, καθὸ Ἀγήνορος ἐστὶ παῖς. Ὁ δὲ Ἡσίοδος τοῦ Φοίνικος αὐτόν φησι τοῦ Ἀγήνορος.

Πηρωθῆναι δὲ λέγουσι τὸν Φινέα ὑπὸ Ἡλίου, ὅτι πολυχρόνιος εἵλετο μᾶλλον εἶναι ἢ βλέπειν.

Ἔνιοι δὲ ἀπίθανον οἴονται, τοσαύτας γενεὰς ἐξηκέναι Φινέα, ὥστε τοῦ Φοίνικος ὄντα υἱὸν μέχρι τῶν Ἀργοναυτῶν διαρκέσαι, καὶ ἕτερον τοῦτον φασὶ τὸν Φινέα, ἕβδομον ὄντα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος, πρὸς ὃν ἀπήντησαν οἱ ἥρωες. Πηρωθῆναι δὲ αὐτὸν,

d) κριοπροσώπου P. e) τόπον P. f) Haec vulgo infra post εἰσπλέοντι male repetita, ibi delevi. g) Δόρικλος P. h) Ἄτυμνος P. Ἀτύμνιος Apollodoro III, 1, 2. cf. Salmas. ad Solin. p. 121, A.

ὅτι ἐπεβούλευσε Περσεῖ. Σοφοκλῆς δὲ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν, Ὤρυιθον καὶ Κράμβιν [i]), πεισθεὶς διαβολαῖς Δίας τῆς αὐτῶν μητρυιᾶς. Ὁ δὲ Ἀπολλώνιός φησι πηρωθῆναι αὐτὸν, καὶ πρὸς τῶν Ἁρπυιῶν κακῶς πάσχειν, ὅτι ἀνέδην πᾶσι καὶ διαῤῥήδην ἐμαντεύετο. Φησὶ γάρ·

— — — οὐδ' ὅσσον ὀπίζετο καὶ Διὸς αὐτοῦ.

V. 181. Οὐδ' ὅσσον ὀπίζετο. Οὐδὲ ἐλάχιστον τοῦ Διὸς αὐτοῦ ἐπεστρέφετο, τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων. Λέγων γὰρ πάντα τὸν νοῦν τοῖς ἀνθρώποις, οὐδεμίαν χρείαν αὐτοῖς τῶν θεῶν κατελίμπανεν.

Ὅτι δὲ ἦρχεν ὁ Φινεὺς μέχρι τοῦ Βοσπόρου Θρᾳκῶν πάντων τῶν ἐν τῇ Ἀσίᾳ, εἰσὶ δὲ οὗτοι Βιθυνοί τε καὶ Παφλαγόνες, Φερεκύδης ἐν τῇ ς̄ φησί.

Πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν [εἰς Σκυθίαν] ὁδὸν ἐμήνυσεν· ἐν δὲ τῷ γ̄ καταλόγῳ [k]), ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν.

Παῖδας δὲ αὐτοῦ φασὶ γενέσθαι [l]) Μαριανδυνὸν καὶ Θύνον· καὶ ἀπὸ μὲν Θύνου Θυνηΐδα, ἀπὸ δὲ Μαριανδυνοῦ Μαριανδυνίαν προσαγορευθῆναι λέγουσιν.

V. 185. Ὀνείατα δέ φησι τὰ σιτία καὶ βρώματα.

V. 191. Μυδαλέην δὲ, τὴν μυσαράν.

V. 192. Μὴ καὶ λευκανίην. Οἱ μὲν τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος ἀπέδωκαν· Ἀμερίας δὲ, τὸν λαιμὸν καὶ τὸν βρόγχον.

V. 195. Ἐπήϊσεν. Ἀντὶ τοῦ ᾔσθετο.

V. 196. Θέσφατον δὲ, τὸ εἱμαρμένον.

Ὧν οἱ ἰόντων. Ὧν ἐλθόντων, εἵμαρτο αὐτῷ ἐκ Διὸς ὄνασθαι τῶν ἐδεσμάτων, ὧν προσφέροιτο.

V. 197. Ἀκήριον. Ὡς ἄψυχον ὀνειράτιον. Διὰ τὸ καταλελεπτύνθαι ὑπὸ τῆς νόσου.

V. 198. Ῥικνοῖς. Ἀντὶ τοῦ ῥυσσοῖς.

V. 200. Πίνῳ τέ οἱ. Τῷ δὲ ῥύπῳ ὁ αὐσταλέος καὶ κατεσκληκὼς αὐτοῦ χρὼς ἐῤῥυπαίνετο.

V. 201. Τὴν δὲ σὺν συναπτέον τῷ ἔεργον, ἵν' ᾖ, οἱ ῥινοὶ δὲ μόνοι ξυνεῖχον τὰ ὀστᾶ αὐτοῦ.

Ῥινὸς δέ ἐστι τὸ δέρμα.

V. 203. Κάρος. Κάρος δὲ αὐτὸν κατέσχεν, τουτέστι σκότωσις.

V. 204. Τὴν δὲ γῆν διὰ τὴν σκοτοδινίαν ᾠήθη φέρεσθαι. Ὡσεὶ εἶπεν, ὅτι ᾠήθη τὴν γῆν ἐπικεῖσθαι ἑαυτῷ.

V. 205. Ἀβληχρῷ. Ἀσθενοποιῷ. Ἢ ἀσθενεῖ, κατὰ στέρησιν τοῦ βληχροῦ. (Ὁ δὲ νοῦς, ὑπὸ τῆς λεπτῆς ἐκείνης διὰ τὴν σκότωσιν καταφορᾶς ἔκειτο ἄφωνος.)

i) Ὄαρθον καὶ Κράμβην P. Vid. ad v. 140 et 238. k) τῶν Καταλόγων P. l) φησὶν αὐτῷ γενέσθαι Ἡσίοδος P.

Κώματι δὲ, ὕπνῳ, ἐκλύσει. Καὶ ἔστι κατὰ συγκοπὴν ἀπο τοῦ κοίμημα, ὡς οἴμημα, οἶμα, καὶ δώμημα, δῶμα, καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ῶ, κῶμα.

V. 206. *Περισταδόν.* Ἀντὶ τοῦ, περιέστησαν συναθροισθέντες ἐπ᾽ αὐτόν.

V. 207. Καὶ *ἔταφον*, ἀντὶ τοῦ ἐξεπλάγησαν.

V. 207 sq. *Ἐξ ὑπάτοιο στήθεος.* Οἷον ἐξ ἄκρου καὶ [οὐκ] ἐκ βάθους, διὰ τὴν ἀσθένειαν ἀναπνεῖν τε καὶ λαλεῖν οὐ δυνάμενος.

Τὸ δὲ *μόλις* οὐδὲν ἕτερον ἢ τὸ τῆς νόσου σφοδρὸν καὶ μέγα αἰνίττεται.

Διονύσιος δὲ ἐν τοῖς Ἀργοναύταις φησὶν ἀναιρεθῆναι τὸν Φινέα ὑπὸ Ἡρακλέους, ἰδόντος τοὺς [Φινέως] παῖδας ἐν ἐρημίᾳ, καὶ μαθόντος, ὅτι ὑπὸ Φινέως ἦσαν ἐκβεβλημένοι κατὰ διαβολὴν Σκυθικῆς γυναικὸς, ἣν γεγαμήκει ὁ Φινεὺς, παραιτησάμενος Κλεοπάτραν. Γεγόνει δὲ τοῦ Φινέως καὶ πρεσβύτης κατήγορος παρὰ τῷ Ἡρακλεῖ. Διόπερ Ἡρακλῆς ἀναιτίους εὑρὼν τοὺς παῖδας, κατήγαγεν εἰς τὴν πατρῴαν οἰκίαν. Φινέα δὲ ἀνθιστάμενον[m]), καὶ θελήσαντα καταποντίσαι τὸν ἕτερον τῶν παίδων, λακτίσας ὁ Ἡρακλῆς ἀπέκτεινεν.

Ἴστρος δέ φησι, τὸν Αἰήτην γνόντα, ὅτι τοὺς Φρίξου υἱοὺς εἴη σεσωκὼς ταῖς μαντείαις, καταράσασθαι αὐτῷ, τὸν δὲ Ἥλιον ἐπακούσαντα πηρῶσαι.

V. 212. *Ὑμεῖς ἀτρεκέως.* Λείπει τὸ ἐστί.

Ὁ δὲ ὁ λόγος, Ἔτι μοι νόος διὰ τῆς ἐμῆς μαντείας ἕκαστα οἶδεν. Διὰ δὲ τούτου οὐδὲν ἕτερον ἢ τὴν τέχνην ἐπαγγελλόμενος, λέληθεν ὡς αὐτοὺς εἰς συμμαχίαν παρακαλεῖ.

V. 213. *Χάριν νύ τοι ὦ ἄνα.* Ἀναφέρω σοι χάριν, καίπερ ὢν ἐν κακοῖς.

V. 214. *Ὁ καὶ* ἐναντιωματικὸς, ἀντὶ τοῦ καίπερ.

V. 215. *Ὅτις ῥίγιστος.* Ὅστις φοβερός ἐστι τοῖς ἁμαρτάνουσιν εἰς ἱκέτας.

Κυρίως δὲ πρὸς τὰ ὑποκείμενα, οὐ ξενίου Διὸς, ἀλλ᾽ *ἱκεσίου* μέμνηται, ἐπεὶ καὶ αὐτὸς ὡς ἱκέτης ἐστὶ τῶν ἡρώων διὰ τὴν κατεπείγουσαν χρείαν.

V. 216. *Φοίβου τ᾽ ἀμφί.* Τοῦτο ἢ ὡς μάντις, ἢ ὡς αἴτιον τοῦ πλοῦ τὸν θεὸν γεγονότα φασίν.

V. 218. *Χραίσμετέ μοι.* Βοηθεῖτέ μοι. Τὸ γὰρ χραισμεῖν Κλιτόριοι λέγουσι τὸ ἐπαρκεῖν. Ἀπὸ βαρυτόνου δὲ κέκλικε τοῦ χραίσμω, ὡς βαίνω, βαίνετε. Τὸ γὰρ περισπώμενον, χραισμεῖτε. Ἄλλως. Τὸ χραισμεῖν ἀντὶ τοῦ ἐπαινεῖν ἢ παραινεῖν λαμβάνουσι Κλιτόριοι· κοινῶς δὲ τὸ βοηθεῖν.

V. 221. *Ἀμήρυτον.* Γράφεται καὶ *Ἀμήρυον*[n])· τοῦτ᾽ ἔστιν, ἀτέλεστον καὶ διηνεκῶς ἐπιμένον, ἀπέραντον. Ἢ τὸ τέλος

m) Sic P. Vulgo ἀνιστάμενον. n) Ἀμήριον P.

μὴ ἔχον. Λέγει δὲ τὸ θάνατον μὴ ἔχον. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μηρυομένων ἐρίων.

V. 222. Πρὸς δ' ἔτι o) πικρότατον. Πλέον τὸ πάθος ποιῆσαι βουλόμενος, ἀπ' αὐτοῦ τοῦ πάθους ἤρξατο. Ὁ δὲ νοῦς, πρὸς δὲ τοῖς ἄλλοις κακοῖς πικρότατον ἄλλο ἐπ' ἄλλῳ ἐπικρέμαται.

V. 224. Ἀφράστοιο δὲ, ἀνεπιγνώστου, ἀπροοράτου, ἀδήλου.

(V. 225. Ἀλλά κε ῥεῖα. Οὕτω ταχέως ἐκ τοῦ ἀφανοῦς ἔρχονται.)

V. 226. Κακῶς δὲ τὸ ἑὸν τέθεικεν, ἀντὶ τοῦ ἐμὸν εἰπών p).

Μεμηλώς. Φροντίζων. Τοῦτο δὲ δαιμονίως εἶπεν· οὐ γὰρ ἔφη εὐωχούμενος, ἢ ἐσθίων, ἀλλὰ μόνον, φροντίδα τροφῆς ἔχων, ἵνα τὸ πάθος ἐπάρῃ.

V. 231. Ἐληλάμενον. Ἀντὶ τοῦ κεχαλκευμένον.

Ὁ ἀδάμας δὲ καὶ [λίθος καὶ] στερεοῦ σιδήρου εἶδος.

V. 232. Ἀλλά με πικρή q). Ἡ πολυβλαβής. Τοῦτο δὲ πρὸς πλείονα ἔμφασιν· οἱονεὶ, οὐ μόνον φέρειν τὴν ὀδμὴν, ἀλλὰ καὶ ἑδραίως μένειν, διὰ τὸ τυφλώττειν καὶ διὰ τὸ δεῖσθαι πάντων τροφῆς.

V. 234. Τὰς μὲν θέσφατον. Τὰς Ἁρπυίας. Τῷ δὲ θέσφατον σφόδρα ἀναγκαίως ἐχρήσατο, ὥσπερ εἰ καὶ κατὰ ἀνάγκην ὑπὸ τῶν Βορεαδῶν ἀναιρεθῆναι.

V. 235. Οὐδ' ὀθνεῖοι. Οὐκ ἀλλότριοι δὲ ὄντες μοι βοηθήσουσιν. Ὅτι δὲ ἡ συγγένεια προθυμοτέρους πάντας πρὸς τὰς εὐεργεσίας ποιεῖ, καὶ Εὐριπίδης φησίν·

Ἑλληνικόν τι τὸν ὁμόθεν τιμᾷν ἀεί.

V. 238. Τῶν δὲ κασιγνήτην. Κλεοπάτρα Βορέου καὶ Ὠριθυίας θυγάτηρ, ἀδελφὴ τῶν περὶ Ζήτην καὶ Κάλαϊν, ἣν ἐγήμεν ὁ Φινεύς. (Γεγόνασι δὲ αὐτῶν παῖδες Ὤρυιθος καὶ Κράμβις.)

V. 241. Περὶ δ' αὖτε δύω. Ἴσως διὰ τὴν συγγένειαν τοὺς Βορεάδας πλέον οἰκτείρειν φησίν.

V. 243. Ἀσχαλόωντος. Δυσφοροῦντος.

V. 244. Στυγερὸν σημαίνει μὲν καὶ τὸ μισητὸν καὶ τὸ ἐπίφοβον· ἐνταῦθα δὲ ἴσως τὸ ἐπίπονον.

V. 246. Ἦ ῥα θεοὺς ὀλοῇσιν. Ἆρα εἰς τοὺς θεοὺς ἠσέβησας καὶ ἥμαρτες, ἀφραδίᾳ ἢ κακοτροπίᾳ τινί. Γράφεται γὰρ καὶ ἀτροπίῃσι· τοῦτ' ἔστιν, ἐκτραπεὶς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ· παρὰ τὴν ἀτραπὸν, ἥ ἐστιν ὁδός.

V. 247. Τὸ δεδαώς, τὸ μαθεῖν μᾶλλον ἢ τὸ διδάσκειν σημαίνει. Διὰ γοῦν τὸ μαθεῖν σε (φησὶ) τὴν μαντικὴν καὶ μαντεύεσθαι παρὰ τὴν τῶν θεῶν γνώμην, ἥμαρτες εἰς τοὺς θεούς.

V. 248. Ἀτύζεται. Ἀντὶ τοῦ φοβεῖται [καὶ ταράττεται].

o) δέ τι P. p) Τὸ δὲ ἐμὸν ἀντὶ τοῦ τὸν ἐμαυτοῦ νοῦν. Γράφεται δὲ καὶ ἑόν. q) δαίτη add. P.

V. 249. *Εἰ δή.* Εἴπερ παρέθετο ἡμῖν ταύτην τὴν τιμὴν ἀπαραιτήτως τὸ δαιμόνιον, ὥστε σοὶ βοηθῆσαι. Ὁ δὲ λόγος καθ' ὑπερβατὸν, ἵν' ᾖ οὕτως, ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι χραισμεῖν· ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἀθανάτων ἐνιπαὶ, εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων. (Ἄλλως. Ἡμεῖς δὲ, εἰ ὄντως ἔχομεν παρὰ τοῦ δαιμονίου τὸ γέρας, δεδοίκαμεν, μὴ ἄρα χαλεπήνῃ τὸ θεῖον.)

V. 253. *Θεοῖς ἀπὸ θυμοῦ ἔσεσθαι.* Ὅτι γὰρ τὸ τοῖς ἀσεβέσι βοηθεῖν εἰς τοὺς θεοὺς, ἔχει ἀσέβειαν, καὶ Εὐριπίδης φησίν·

Ὡς οὖν ἂν ἴδῃς [r]), Μενέλεως, τοῖσιν θεοῖς
μὴ πράσσ' ἐναντία [s]), ὠφελεῖν τοῦτον θέλων.

Ἀσεβὴς γάρ τις εἶναι δοκεῖ [τῷ Τυνδαρέῳ] (παρ' αὐτῷ) ὁ Ὀρέστης.

V. 254 sq. *Κενὰς* [t]) *γλήνας* ἔφη τοὺς κενοὺς καὶ τυφλοὺς ὀφθαλμούς.

V. 257. *Ἴστω Λητοῦς υἱός.* Τὸν ὅρκον εἴληφε παρὰ τοῦ ποιητοῦ [u])·

Οὐ [v]) μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον.

Ἐπέβαλλε γὰρ μάντει εἰς πίστιν ἄγοντι, τὸν προστάτην αὐτοῦ τῆς τέχνης ὀμνύειν θεόν.

V. 259. *Καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαόν.* (Γράφεται καὶ *ὀλοόν.*) Κατηγοροῦσι τινὲς τοῦ Ἀπολλωνίου, ὡς οὐκ εὖ τὸν ὅρκον τοῦτον εἰσαγηοχότος. Ὀμνύει γὰρ καθ' ὧν κινδυνεῦσαι οὐ δύναται. Ῥητέον δὲ, ὅτι ἐμπαθέστερος γίνεται ὁ ὅρκος, ὅταν τὶς κατὰ τῆς ἰδίας ὀμνύῃ συμφορᾶς· [Ὅμηρος [w])·]

Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο.

Καὶ Δημοσθένης· Μὰ [x]) τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας [y]) καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους. Ἔθος οὖν ἀρχαῖον, πρῶτον θεοὺς ὀμνύναι, εἶτα ἐπάγειν καὶ τὰς ἰδίας συμφοράς. [Ὥστε οὐκ ὀρθῶς ἐπιλαμβάνονται λέγοντες, ὅτι ὄμνυσι καθ' ὧν οὐδείς ἐστι κίνδυνος. Οὐ γὰρ, ὥσπερ κατὰ τῶν ὀφθαλμῶν ὄμνυμεν, οὕτω καὶ κατὰ συμφορᾶς. Ἐκείνους γὰρ ἢν μὴ εὐορκῶμεν, τὴν ἀπώλειαν ὁ ὅρκος ἐμφαίνει τῶν ὀφθαλμῶν. Οὗτος δὲ τὴν συμφορὰν ὁ ὅρκος προστίθησι, δι' ἧς αὐτός τε ὁ ὅρκος περιπαθέστατος γίνεται, καὶ ὁ ἀκροατὴς εἰς οἶκτον ἐφέλκεται.]

Καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαὸν νέφος. Φησὶ τὸ τυφλὸν νέφος, καὶ ἡ ἐπικειμένη μοι ἀχλύς. Ὥστε τὸ *ἀλαὸν* οὐ παθητικῶς, ἀλλ' ἐνεργητικῶς μόνον κεῖται. Οὐ γὰρ τὸ τυφλὸν, ἀλλὰ τὸ τύφλωσιν ἐμποιοῦν σημαίνει.

V. 260. (*Οἵ μηδ' οἵδε.* Οἳ μηδὲ οὗτοι ὡς ἐπιόρκῳ εὐμενεῖς εἴησαν.) [*Ὑπένερθε δὲ δαίμονας* τοὺς καταχθονίους φησὶ θεούς. Οὗτοι οὖν, φησὶν, μὴ εἶεν ἐμοὶ εὐμενεῖς *θανόντι ὧδε*, ἤγουν ἐπιόρκως.] Παρὰ τὸ Ὁμηρικόν [z])·

Εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν.

r) εἴδῃς P. s) ἐναντί' P. t) κενεὰς P. u) Il. I, 86. v) ναὶ P. w) Od. XX, 339. x) Ναὶ μὰ P. y) κινδυνεύσαντας P. z) Il. XIX, 264.

V. 263. *Κουρότεροι.* Τὸ συγκριτικὸν ἀντὶ τοῦ ἀπολελυμένου κεῖται τὸ κοῦροι. Καὶ ἡμεῖς πολλάκις λέγομεν, νεώτεροι εἰσὶν, ἀντὶ τοῦ νέοι. Καὶ παρὰ τῷ ποιητῇ [a])·

Δεξιτερὴν ἕλε χεῖρα,

ἀντὶ τοῦ δεξιάν.

Πεπονήατο. Πρὸς τὴν τῶν νέων σπουδὴν καὶ ταχυτῆτα τὸ πεπονήατο· οἷον ἐνεργῶς ἐποίουν, ἡτοίμαζον.

V. 264. *Ἑλώριον* δὲ, ἀναίρεμα, ἅρπαγμα. Ἢ βρῶμα. *Λοίσθιον* δὲ, ἔσχατον.

V. 265. Τὸ δὲ *ἐπεσσυμένας* [ἀντὶ τοῦ σπευδούσας] πρὸς τὴν ἀθρόαν πτῆσιν τῶν Ἁρπυιῶν εἴρηται.

V. 267. *Ἀδευκέες.* Ἀπροσδόκητοι. Ἢ πικραί. Δεῦκος γὰρ τὸ γλυκύ.

V. 268. *Ἀπρόφατοι.* Ἀντὶ τοῦ ἀπροόρατοι, ἀπροφάσιστοι. Οἷον, ἄνευ προφάσεως καὶ ἐποχῆς καὶ ὑπερθέσεως· παρόσον τοῖς προφασιζομένοις παρέπεται ὑπέρθεσις.

V. 269. *Κλαγγῇ μαιμώωσαι* [b]). Ὥρμων μετὰ κλαγγῆς ἐπιθυμοῦσαι τῆς τροφῆς. Τοῦτο δὲ ὡς ἐπὶ ὀρνέων ἁρπακτικῶν· καὶ γὰρ ἐκεῖνα πρὸ τῆς ἁρπαγῆς κλάζειν φιλεῖ.

V. 270. Καὶ τὸ *μεσσηγὺς* κατὰ ἀθρόαν ἐπίπτησιν κατὰ τάχος ἀναφέρεται.

V. 271. *Καταβρώξασαι.* Καταφαγοῦσαι. Ἀπὸ τοῦ βιβρώσκω κατενεχθέν.

Ὑπὲρ πόντοιο. Ὅτι διὰ τοῦ Αἰγαίου πόντου καὶ τοῦ Σικελικοῦ αὐτὰς ἐδίωκον, Φερεκύδης ἐν ἕκτῃ φησί.

(V. 274. *Φάσγαν' ἐπισχόμενοι.* Τὰ ξίφη ἐν χεροῖν ἔχοντες, παραπλησίως ἔτρεχον ὀπίσω αὐτῶν.)

V. 275. *Ἀτὰρ Διὸς οὐκ ἂν ἐπέσθην.* [Ὁ *ἀτὰρ* ἀντὶ τοῦ γὰρ κεῖται.] Οὐ γὰρ ἂν (φησὶ) χωρὶς τοῦ Διὸς ταῖς Ἁρπυίαις ἠκολούθησαν.

V. 276. *Ἐπεὶ Ζεφύροιο.* Ἤτοι ταχίονες τῶν πνοῶν τοῦ Λιβός. Ἤ, εἰς τὰς πνοὰς ἔτρεχον, ὡς Ἡσίοδος φησίν. Ἐπεὶ πάντοτε αἱ Ἅρπυιαι καὶ τὰς τοῦ Ζεφύρου ἀέλλας παρεπέτοντο, εἴποτε εἰς τὰ τοῦ Φινέως ἔρχοιντο, ἢ ἐκεῖθεν ὑπαναχωροῖεν. Ἄλλως. Αἱ τῶν ἀνέμων συστροφαὶ, πνοῶν εἰσὶ ταχύτεραι. Συμβαίνει μὲν γὰρ τὴν πνοὴν παρατετάσθαι καὶ βραδύνειν· ἡ δὲ ἄελλα ταχυτέρα καὶ κουφοτέρα ἐστὶ τῆς πνοῆς. Εὐλόγως δὲ τοῦ Ζεφύρου ἐμνήσθη. Ταχύτατος γάρ ἐστιν ὁ Ζέφυρος τῶν λοιπῶν ἀνέμων, ὡς καὶ Ὅμηρος [c])·

Νῶϊ δὲ [d]) καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
τόν περ ἐλαφρότατον φάσ' ἔμμεναι [e]).

V. 279. *Ἠὲ πρόκας.* Ζῶόν τι ὅμοιον ἐλάφῳ, ὁ λεγόμενος νεβρός. Διονύσιος δέ φησιν ὁ Ἀθηναῖος ἐν ταῖς κυήσεσι [f]) τὰς

a) Il. XIV, 137. b) μαιμόωσαι P. c) Il. XIX, 415. d) δὲ om. P. e) φασὶν ἔμμεν P. f) κτήσεσι Etymol. M. p. 689, 17, ubi hic totus locus exscriptus est.

ἐλάφους οὕτω λέγεσθαι, πρόκας. Ὅθεν καὶ Προκόννησος, ἐπεὶ καὶ ἐν ταύτῃ πληθύουσιν ἔλαφοι. Οἱ δὲ Προχόννησον λέγουσιν εἰρῆσθαι ἀπὸ τῆς προχόου, ἣν ἔχουσα τοῖς Μιλησίοις ἀπήντησεν ἡ παρθένος, ὅτε τὴν ἀποικίαν ἐστέλλοντο. Οἱ δὲ Προχόννησον ἐτυμολογοῦσι, καθὸ πρότερον [g]) οὖσα νῆσος προσεχώσθη. Ὑπὸ τινῶν δὲ Προκόννησος καὶ Ἐλαφόνησος [h]) ἐκλήθη. Φιλητᾶς δέ φησι πρόκας λέγεσθαι τὰς ἐλάφους τὰς πρώτως τικτούσας, οἷον πρωτοτόκους [i]).

V. 280. *Τυτθὸν δέ.* Μικρὸν δὲ ἄποθεν μετὰ διαστάσεως ἔτρεχον.

V. 281. *Μάτην ἀράβησαν.* Προσδοκῶντες ἀεὶ διὰ τὸ σφόδρα ἐγγὺς εἶναι, καὶ δάκνειν καὶ ἐπιψαύειν δοκεῖν.

V. 283. *Ἐπέχραον ἤλιθα.* Πολλάκις, φησὶν, ἐθελήσαντες αὐτὰς πλῆξαι, μάτην ἐπήνεγκαν τὰς χεῖρας.

V. 284. *Ἀέκητι θεῶν.* Τὸ παρὰ γνώμην τῶν θεῶν σημαίνει. Οὐ γὰρ ἦν μόρσιμον αὐτὰς ἀποθανεῖν.

V. 285. *Πλωτῇσι.* Πλωτάς φησι νήσους, ἤτοι πάσας ἐπιθετικῶς καλῶν, διὰ τὸ περικεχύσθαι καὶ κλείεσθαι [k]) ὑπὸ τῶν κυμάτων· ἢ ἰδίως ταύτας φησὶ πλωτὰς, ἐν αἷς ὑπὸ τῶν Βορεάδων [αἱ Ἅρπυιαι] κατελήφθησαν, κατὰ τὸ [l]) μυθολόγημα οὕτω κληθείσας. Σχεδὸν δὲ οἱ ποιηταὶ οὕτως αὐτὰς ὀνομάζουσιν. Εἰσὶ δὲ ἐν τῷ Σικελικῷ πελάγει. Ταύτας δὲ ὁ ποιητὴς Καλυδνὰς νήσους καλεῖ· εἰ καὶ Λυκόφρων ἄλλας νήσους καλεῖ Καλυδνάς.

(V. 286. *Εἰ μὴ ἄρ' ὠκέα Ἶρις.* Ἄλλοι τὸν Ἑρμῆν φασίν. Ἀστείως δὲ ταύτῃ τῇ θεῷ τὸ κωλῦσαι τοὺς Βορεάδας δίδωσιν, ἤτοι ὅτι ἄγγελος, ἢ ὅτι τῶν Ἁρπυιῶν ἀδελφή.)

V. 292. *Ὀπιδνοτάτη.* Τιμία, καὶ ἐπιστροφῆς ἀξία. Παρὰ τὴν ὄπιδα καὶ ἐπιστροφήν.

Ῥιγίστη δὲ, φρικτή. Διὰ τὸ τιμωρεῖσθαι τοὺς ἐπιόρκους.

V. 296. *Στροφάδας* φησὶ κεκλῆσθαι διὰ τὸ τοὺς Βορεάδας αὐτόθεν ὑποστρέψαι, στραφέντας εἰς τοὐπίσω· λαβὼν παρὰ Ἀντιμάχου. [Οὕτω γὰρ ἐκεῖνος ἐν τῇ Λυδῇ περὶ αὐτῶν μέμνηται.] Οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διῒ καταλαβεῖν τὰς Ἁρπυίας. Κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται.

V. 297. *Πάρος Πλωτὰς καλέοντες.* Αἱ Πλωταὶ νῆσοι μετωνομάσθησαν Στροφάδες. Μέμνηται αὐτῶν καὶ Ἀντίμαχος ἐν τῇ Λυδῇ.

Ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διῒ (στραφέντες) [καταλαβεῖν αὐτὰς,] λέγει καὶ Ἡσίοδος·

Ἔνθ' οἵγ' εὐχέσθην [m]) Αἰνηΐῳ ὑψιμέδοντι.

Ἔστι γὰρ καὶ Αἶνος ὄρος τῆς Κεφαληνίας, ὅπου Αἰνησίου [n]) Διὸς

g) οὐκ add. P. h) Ἐλαφρόνησος P. Ἀδελφόννησος Etymol. i) πρωτοτόκας Etymol. k) περικλύζεσθαι P. l) τι P. melius. m) οἳ εὔχεσθον P. n) Αἰνηΐου P.

ἱερόν ἐστιν· οὗ μνημονεύει καὶ Λέων ἐν Περίπλῳ, καὶ Δημοσθένης °) ἐν τοῖς λιμέσιν.

Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, [καὶ οἰκείως αὐτῇ τὸ κωλῦσαι ἀποδίδωσιν, ἢ διὰ τὸ ἄγγελον εἶναι, ἢ διὰ τὸ ἀδελφὴν τῶν Ἁρπυιῶν·] Ἡσίοδος δὲ Ἑρμῆν.

Αἱ δὲ Πλωταὶ νῆσοι κεῖνται ἐν τῷ Σικελικῷ πελάγει.

V. 299. Κευθμῶνα. Κοιλάδα τῆς Κρήτης κατέδυσαν. Τοῦτο δέ φησι καὶ Νεοπτόλεμος ὁ τὰ Ναυπακτικὰ ποιήσας. Καὶ Φερεκύδης ἐν ξ p) φησὶν, εἰς τὸ σπέος αὐτὰς φυγεῖν τῆς Κρήτης, τὸ ὑπὸ τῷ λόφῳ τῷ Ἀργινοῦντι.

[V. 300. Τὸ δὲ μεταχθονίη γράφεται καὶ μεταχρονίη. Καὶ σημαίνει ἑκατέρως τὴν μετέωρον.]

V. 302. Φοιβήσαντες. Τὸ ῥυπαρὸν σῶμα καθάραντες. Φοῖβον γὰρ, τὸ καθαρόν. Ὅθεν καὶ Φοῖβος ὁ Ἀπόλλων. Εἶπε γὰρ,

πίνῳ δέ οἱ αὐσταλέος χρώς.

Ἀπεσκληκὼς τῷ ῥύπῳ ἐτύγχανε. Φοιβήσαντες οὖν, λαμπρύναντες, καθάραντες.

Ἐπικριδόν. Ἀντὶ τοῦ, ἐπικρίναντες ἱερεῖον ἔθυσαν.

V. 306. Ἁρπαλέως. Ἀδηφαγῶν q) ἤσθιεν, ἴσον ὀνείρου ἡδονὴν ἔχων· μὴ πιστεύων μηδὲ νῦν, εἰ εὐωχεῖται, δι' ἃ πέπονθεν, ἀλλ' ὥσπερ ὀνείρατα εἶναι δοκῶν.

V. 308. Ἐγρήσσοντες. Ἐγρήσσειν, τὸ ἐγρηγορεῖν.

Μένον. Προσεδέχοντο.

V. 310. Πείρατα. Ἃ δεῖ αὐτοὺς διαπεράσαι. Ἢ τὰ τέλη.

Ἄνυσίν τε. Ἀστείως καὶ καιρίως ταύτῃ τῇ λέξει ἐχρήσατο. Ἀνύσαι γὰρ κυρίως τὸ μετὰ καμάτου τὶ ποιῆσαι.

V. 311. Κλῦτέ νυν. Τὸ νῦν ἀντὶ τοῦ οὖν. Διὰ δὲ τοῦ οὖν ὥσπερ ὀφειλομένην τὴν μαντείαν αὐτοῖς ὀποδίδωσι, λέγων, ἐπακούσατε οὖν ὥσπερ τὸ χρέος ἀπολαμβάνοντες.

Οὐ μὲν πάντα. Τοῦτο δέ φησιν, ἵνα μὴ ὕστερον ὀχλήσωσιν αὐτὸν τὸ ἀκριβὲς ζητοῦντες. Καὶ δαιμονίως τούτου τὴν αἰτίαν τοῖς θεοῖς περιάπτει, καὶ οὐχὶ ἑαυτῷ, λέγων, ὅσσα δ' ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσω.

V. 313. Τὸ ἀασάμην ἀντὶ τοῦ ἐλυπήθην κεῖται.

Ἀφραδίαν δέ φησι τὴν ἀβουλίαν. Καὶ τὴν αἰτίαν δὲ ἐπάγει, δι' ἣν ἐλύπησε τὸν Δία.

V. 314. Χρείων ἑξείης. Μαντευόμενος πᾶσιν ἐφεξῆς καὶ τελείως. Παρατίθησι δὲ αὐτοῦ τὰς συμφορὰς, ἤδη δηλῶν, ὡς οὐκ ἀκριβῶς αὐτοῖς οὐδὲ ἄκρως μαντεύεται, εἴγε διὰ τοῦτο ἐβλάβη.

V. 315. Ἐπιδευέα. Μὴ τέλεια, ἀλλ' ἔτι ἐνδέοντα λόγια τοῖς ἀνθρώποις ἐκφαίνειν, ἵνα καὶ τοῦ θείου χρείαν ἔχωσι.

Θέσφατα δὲ μαντοσύνης τὰ θεσπίσματα τῆς μαντικῆς λέγει.

o) Leg. Τιμοσθένης ex Strab. IX p. 241. Eadem nomina confunduntur infra ad v. 532. p) ἐν τῇ γ̄ P. q) ἀδηφάγως P.

V. 318. Ξυνοχὴν δὲ ἁλὸς, ὅπου στενοῦται ἡ θάλασσα. Λέγει δὲ ἐπὶ τοῦ στόματος τοῦ Πόντου.

(Πέτρας μέν. Περὶ τῶν Συμπληγάδων, ὅτι ἐπὶ τοῦ Ποντικοῦ στόματος ἦσαν, καὶ ὅτι Κυάνεαι ἐκαλοῦντο διὰ τὸ χρῶμα, ἐν τῷ πρώτῳ εἴρηται.)

Ὁ δὲ διὰ πάντων καὶ ἐκ πρώτης ἀκοῆς δεδίσσεται τοὺς ἥρωας, διά τε τῆς ποιᾶς χροιᾶς τῶν πετρῶν, καὶ διὰ τοῦ ἐν θαλάσσῃ στενοῦ, ὅπερ καὶ ἐπὶ γῆς ἄγαν κινδυνῶδες καὶ φοβερόν ἐστιν.

V. 319. Διαμπερὲς ἐξαλέασθαι. Τοῦτο φησὶν, ἐπεὶ οὐδεὶς οὐδέποτε ἀβλαβὴς τελέως ἐξέφυγεν, ὥσπερ οὐδὲ ἡ Ἀργὼ, καίτοι Ἥρας προνοουμένης.

V. 321. Ἀλλὰ θαμά. Διὰ πάντων τὸ δεινὸν τοῦ λόγου ἐπαίρει, διά τε τοῦ μὴ ἁπλῶς συνιέναι, ἀλλὰ συνεχῶς, καὶ διὰ τοῦ ἐναντίαι. Εἰ μὲν γὰρ ἐκ τῶν πλαγίων ἑαυταῖς συνήρχοντο, τάχα ἄν πως δυνατὸν ἦν ὑποτηρήσαντα τὴν σύνοδον ἐκφυγεῖν· εἰ δὲ ἐξ ἐναντίας συνέρχονται, ἄντικρυς καὶ ὡμολογημένος ὁ κίνδυνος. Δεινοποιεῖ δὲ, καὶ τῇ ἀκοῇ ἐκπλήττει τοὺς ἥρωας, ἐπεὶ μεγάλας ἔσχε παρ' αὐτῶν τὰς εὐεργεσίας, ἵνα καὶ αὐτὸς μεγάλα αὐτοῖς καὶ δεινὰ προμηνύων, ὥσπερ ἴσος ἀντευεργέτης ὀφθῇ.

V. 322 sq. Κορθύεται βρασσόμενον. Μετὰ ἤχου καὶ ταραχῆς αἰρόμενον ὑπ' αὐτῶν τὸ ὕδωρ διϊκνεῖται. [Κορθύειν δὲ τὸ ὑψοῦν, ἀπὸ τοῦ κόρου κατ' ἐπένθεσιν τοῦ θ.]

Στρηνὲς δέ ἐστι τὸ ἀνατεταμένον καὶ μέγα καὶ ὀξὺ καὶ διάτορον. Ὄνομα δὲ ἀντὶ ἐπιῤῥήματος κεῖται.

V. 324. Τῷ νῦν. Διὸ νῦν, ἐπεὶ μέγας καὶ πολὺς ὁ κίνδυνος.

Παραιφασίῃσι. Παραινέσεσιν, ὑποθήκαις.

Στυφελὴ δὲ ἡ ταραχώδης ἀκτή.

[V. 325. Τὸ δὲ ἀλέγειν ἀντὶ τοῦ φροντίζειν.]

V. 326. Πείρειν δὲ ἐνταῦθα μὲν, τὸ διαπλέειν, καὶ διαπερᾷν, ὡς τὸ,

— — ἀλγεινά [r]) τε κύματα πείρων [s]).

ἀλλαχοῦ δὲ καὶ τὸ διατρυπᾷν,

Σπλάγχνα δ' ἄρ' ἐμπείραντες [t]).

Αὐτάγρετον. Τὸ αὐθαίρετον δηλοῖ.

V. 327. Τὸ δὲ ἰθύνειν [u]) τὸ ὁρμᾷν σημαίνει. Οἱ δὲ ἰθύνειν γράφοντες ἁμαρτάνουσιν.

V. 328. Οἰωνῷ δὴ πρόσθε. Τὸ ἑξῆς, οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσεσθε ἐφιέμενοι.

Πελειὰς δὲ, εἶδος περιστερᾶς, ὡς καὶ Ἀριστοτέλης φησίν. Ὅτι δὲ ἐχρήσαντο περιστερᾷ πλεῖν μέλλοντες, καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις φησίν.

Πρόσθε. Τὸ πρότερον δηλοῖ.

V. 329. Τὸ δὲ ἐφιέναι, ἐνταῦθα μὲν τὸ ἐνδιδόναι σημαίνει· ἔστι δ' ὅτε τὸ ἐντέλλεσθαι καὶ ἐπιτρέπειν. Παρὰ δὲ τοῖς ῥή-

r) ἀλεγεινά P. s) Il. XXIV, 8. t) Il. II, 426. u) θύνειν P. recte.

τορσιν ἰδίως τὸ ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταβαίνειν. Καὶ ἔφεσις, ἡ μετάβασις. Λουκιανός· Ἡ δὲ ἔφεσις ἐπὶ τὸν Δία ἔσται. Ἐφίεμαι δὲ, τὸ ἐπιθυμῶ. [Τὸ δὲ ἀπόπρο τὸ μακράν. Ὁ δὲ νοῦς· πρότερον δὲ πειράσασθαι ἐφιέναι οἰωνῷ πελειάδι, ὥστε πέτεσθαι, δηλαδὴ μεθέντες αὐτὴν ἀπόπρο καὶ μακρὰν τῆς νεώς.]

V. 330. Σόη. Ἀβλαβής.

Δίηται. Διωχθείη καὶ πετασθείη ἡ ὄρνις.

V. 332. Ἀλλ' εὖ καρτύναντες. Ἀσφαλισάμενοι, καρτύναντες. Δωρικὸν δέ ἐστι τὸ κατ' ἐναλλαγὴν στοιχείων διαλέγεσθαι· ὡς καὶ κραδίαν καὶ κάρτος λέγουσιν.

V. 333. Ἐπεὶ φάος οὔ νύ τι τόσσον. Ἡ διάνοια αὕτη γέγονε παρὰ τὴν ἐν ἄλλοις λεχθεῖσαν [v]),

— — οὐδέ τι κῶας
αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.

V. 335. Ὀνήϊστον. Ὠφελιμώτερον ποιεῖτε καὶ πράττετε. Λέγει δὲ τὸ κωπηλατεῖν.

V. 336. Πρὶν δ' οὔτι θεούς. Πρὸ δὲ τοῦ εἰς τὸν πορθμὸν ἐλθεῖν, οὐ κωλύω ὑμᾶς τοὺς θεοὺς ἐπικαλεῖσθαι βοηθούς.

V. 341. Ὦ μέλεοι. Τοῦτο φησὶν ὡς τῶν ἡρώων μέγα φρονούντων ἐπὶ τῇ κατασκευῇ τῆς Ἀργοῦς· διὰ δὲ τὸ τῶν ξύλων μέγεθος, καὶ τὴν κατασκευάσασαν Ἀθηνᾶς τέχνην.

Τὸ δὲ πάρεξ βαρυτόνως, ἀντὶ τοῦ χωρίς. Συντάσσεται δὲ γενικῇ καὶ αἰτιατικῇ.

(V. 342. Εἴ κέ με τρὶς τόσσον. Διὰ τοῦτο μάλιστα ὥσπερ ἐκ θεῶν τὸ κώλυμα τῆς ὁδοῦ λέγων εἶναι, πείθει αὐτοὺς ἐπαναχωρεῖν, ἐάν τι φαῦλον συμβῇ τῇ ὄρνιθι. Τοῦτο δέ φησιν, ἐπεὶ τοὺς παρὰ τῶν ἀδίκων λόγους ὡς ἀπίστους καὶ ἀπληρώτους λαμβάνομεν, διὰ τὸ ἀσεβὲς αὐτῶν. Φησὶν οὖν, εἰ καὶ τρὶς τοσοῦτον ἢ καὶ πλέον ὑπονοεῖτέ με μισεῖσθαι ὑπὸ τῶν θεῶν, ὅσον ἀληθῶς μισοῦμαι, μὴ τολμήσητε χωρὶς οἰωνοῦ παρελθεῖν.)

V. 343. Ἀνάρσιος. Σημαίνει [μὲν τὸν ἀνάρμοστον, σημαίνει δὲ] καὶ τὸν ἐχθρόν. Οἱ γὰρ ἐχθροὶ ἀλλήλοις οὐ συμβαίνουσι.

(V. 345. Καὶ τὰ μὲν ὥς κε. Καὶ ταῦτα μὲν οὕτως ἂν γένηται, καθὼς καὶ ἔστι καὶ εἵμαρται.)

V. 346. Σύνδρομα. Τὴν σύνοδον. (Διὰ δὲ τούτου πάλιν αἰνίττεται μᾶλλον, ὡς οὐ ῥᾳδία αὐτοῖς οὐδὲ ἀκίνδυνος ἡ ἔξοδος.)

V. 347. Αὐτίκα Βιθυνῶν. Μετὰ γὰρ τὴν Φινέως νῆσον, ἐπὶ τὰ δεξιὰ μέρη ἐστὶ Βιθυνία παρὰ τὸν Βόσπορον. Ταχέως γὰρ ἐκπλεύσαντι τὸ στόμα τοῦ Πόντου ἡ ἑτέρα πλευρὰ τῆς Βιθυνίας. Ἡ γὰρ Βιθυνία, ὡς προείρηται, περὶ τὸν Βόσπορον ἐστὶν ἐν δεξιᾷ, ἐν ἀριστερᾷ δὲ Σαλμυδησσὸς Θρᾳκῶν ἀγρίων. Ῥῆβας δὲ ποταμὸς Βιθυνίας. (Ὠνομάσθη δὲ Σαλμυδησσὸς ἀπὸ τοῦ συῤῥέοντος εἰς αὐτὸν ποταμοῦ.) [Τὸ δὲ Μέλαινα τῆς ἀκτῆς ἐστὶν ὄνομα.]

v) I, 870.

V. 348. *Πλώετε.* Ἐχόμενοι τῆς Βιθυνίας πλεῖτε πρὸς τὰ δεξιὰ, φυλαττόμενοι τὰς ἐκ τοῦ ἀριστέρου μέρους ῥηγμῖνας. Λέγοι δ' ἂν τοῦ Σαλμυδησσοῦ, ἐπειδὴ οἱ περὶ τὸν Σαλμυδησσὸν κατοικοῦντες Θρᾶκες, ἐπιτιθέμενοι διήρπαζον τοὺς παραπλέοντας.

V. 351. *Κεῖθεν δ' οὐ μάλα.* Ἐκ τῆς Θυνιάδος νήσου πλεύσαντες, οὐ πολὺ ἐκ τοῦ πέραν εἰς τὴν Μαριανδυνῶν ἥξετε γῆν. Τὴν δὲ Μαριανδυνῶν γῆν σὺν Γνησιόχῳ τῷ Μεγαρεῖ Βοιωτοὶ κατέσχον, ὡς Εὐφορίων ἱστορεῖ. Παραῤῥεῖ δὲ αὐτὴν ὁ Ἀχέρων ποταμός. Ἀχέρων δὲ παρὰ τὰ ἄχεα εἴρηται.

V. 353. *Ἔνθα μὲν εἰς Ἀΐδαο.* Κατὰ τὴν ἐν τῇ Μαριανδυνίᾳ ὡς ἐπὶ τὸν τοῦ ᾅδου ποταμὸν Ἀχέροντα καταβατή τις ἐστὶν ὁδός. Ὁ δὲ, ῥεῖθρα σφοδρὰ ἔχων, διατέμνει αὐτὴν τὴν Μαριανδυνίαν, κάτωθεν ῥέων, καὶ εἰς ἄκραν αὐτὴν ἔκ τινος φάραγγος ῥέων τὰ ῥεύματα εἰσβάλλει.

V. 354. *Ἀκτή τε προβλῆς.* Ἄκρα κατὰ τὴν Ἡράκλειαν, ἣν Ἀχερούσιον w) καλοῦσιν οἱ ἐγχώριοι.

Ἡρόδωρος δὲ καὶ Εὐφορίων ἐν τῷ ξενίῳ ἐκείνῃ φασὶ τὸν Κέρβερον ἀνῆχθαι ὑπὸ τοῦ Ἡρακλέους, καὶ ἐμέσαι χολήν· ἐξ ἧς φυῆναι τὸ καλούμενον ἀκόνιτον φάρμακον. Ἄνδρων δὲ ὁ Τήϊος x) ἐν τῷ Περίπλῳ φησὶν Ἀχέροντα τινὰ βασιλεῦσαι τῶν τόπων, οὗ θυγατέρα γενέσθαι Δαρδανίδα. Ταύτῃ δὲ Ἡρακλέα πλησιάσαντα ἐσχηκέναι υἱὸν Ποιμένα λεγόμενον. Ἀποθανόντων δὲ κατὰ τὸν αὐτὸν χρόνον τῆς τε Δαρδανίδος καὶ τοῦ υἱοῦ αὐτῇ Ποιμένος, τοὺς τόπους ἀπ' αὐτῶν κληθῆναι κατὰ τὴν Ἡράκλειαν Δαρδανίδα τε καὶ Ποιμένα.

V. 355. *Δινήεις τ' Ἀχέρων.* Καὶ ὁ Ἀχέρων ποταμὸς εἰς θάλασσαν ῥεῖ, διὰ μεγάλης φάραγγος τέμνων τὴν Ἀχερουσίαν ἄκραν. Παρὰ δὲ τὴν Ἡράκλειαν τὴν ἐν Μαριανδυνοῖς Ἀχεροντίς ἐστι καὶ στομίον σπηλῶδες y), [δι' οὗ κατιέναι φασὶν εἰς τὸν ᾅδην.]

V. 356. *Φάραγγος* δὲ, τῆς τοῦ ὄρους τραχύτητος, καὶ ὀρεινῆς κοιλάδος. Φάραγξ γὰρ ἡ ὀρεινὴ κοιλάς.

V. 357. *Ἀγχίμολον δ' ἐπὶ τῇ.* Ἐπὶ τῇ Μαριανδυνῶν χώρᾳ. Τὸ δὲ ἑξῆς, ἐπὶ δὲ τῇ Μαριανδυνῶν γῇ ἐκ τοῦ σύνεγγυς παραπλέετε τὰ τῶν Παφλαγόνων ὄρη.

V. 358. *Τοῖσιν τ' Ἐνετήϊος.* Ἀπὸ Ἐνέτης, πόλεως Παφλαγόνων. Ὅμηρος z)·

Ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων.

(Τούτους δὲ Καύκωνας ἐκάλουν πρὸ τῶν Τρωϊκῶν.) [Ἢ *μενεδήϊος*, ὁ ἐμμενετικὸς ἐν τῷ πολέμῳ.]

V. 359. Τὸν δὲ *Πέλοπα* Παφλαγόνα τὸ γένος εἶπεν. Ἄλλοι δὲ Λυδὸν αὐτὸν ἱστοροῦσιν. Ὁ δὲ Εὐφορίων ἀμφοτέραις ταῖς δόξαις συντίθεται.

Τὸ *καίπερ* περισσὸν ἔχει τὸν περ. Ἀπὸ τοῦ Πέλοπος γὰρ ἐλέγοντο κατάγεσθαι οἱ Παφλαγόνες.

---

w) Ἀχερουσιάδα P. x) Ἄντρων Schaeferi. Vulgo δὲ ὁ Τήριος P. y) Ex emend. πηλῶδες. P. σπιλῶδες. z) Il. II, 852.

V. 360. *Ἔστι δέ τις ἄκρη.* Ὅτι ἡ Κάραμβις [a]) ἄκρα ὑψηλή (τε καὶ καταντικρὺ) τῆς Παφλαγονίας, καὶ εἰς τὸ πέλαγος τείνει πρὸς ἄρκτον, μνημονεύει καὶ Ἔφορος [b]) (ἐν δ). Ὁ δὲ νοῦς, ἔστι δέ τις ἐξοχὴ καὶ ἄκρα ὑψηλὴ εἰς τὸ πέλαγος τείνουσα, *κατεναντίον τῆς Ἑλίκης ἄρκτου* κειμένη· ὑφ' ἧς καὶ *αἱ τοῦ Βορέου ἄελλαι σχίζονται*, τοῦτ' ἔστιν αἱ πνοαί. Ἔστι δὲ ὑπερβατὸν, καὶ ἡ *ὑπὲρ* ἀντὶ τῆς ὑπό. Ἴσως δὲ βέλτιον συνάπτειν οἰκείως· καὶ αἱ πνοαὶ τοῦ Βορέου σχίζονται, ἤτοι διαλύονται, ὑπὲρ τῆς Καραμβίδος, ἀντὶ τοῦ ἐπάνω. Εἰ γὰρ ἐν ταῖς κορυφαῖς τῶν ὑψηλῶν ὀρέων νηνεμία ἐστὶν, ὡς οἱ φυσιολόγοι ἀξιοῦσι, πολλῷ μᾶλλον ὑπὲρ ἐκείνας. Δι' ὃ καὶ ἐπάγει, οὕτως ἀνὰ τὸ πέλαγος τετραμμένη τῷ αἰθέρι *κύρει* [c]) καὶ προσπελάζει.

V. 366. *Ἅλυος ποταμοῖο.* (Ἅλυς ποταμὸς Παφλαγονίας, ὃν φυλάττεσθαι ὁ Πύθιος τῷ Λυδῶν βασιλεῖ Κροίσῳ εἶπεν.) Ἔστι δὲ μεταξὺ Σύρων [d]) τῶν ἐν τῷ Πόντῳ καὶ Παφλαγόνων, εἰς τὸν Πόντον ἐκδιδοὺς, περὶ Σινώπην πόλιν.

V. 367. Τὸ δὲ *ἐρεύγεσθαι* τὸ μετὰ ἤχου ῥέειν σημαίνει.

[V. 368. *Λευκὰς δὲ δίνας* τὰς καθαράς φησιν.]

V. 369. *Ὑπείροχος.* Ὑψηλὸς καὶ μέγας κόλπος.

V. 370. *Ἐξανέχει δὲ τῆς γῆς*, ἀντὶ τοῦ ἔκκειται εἰς τὴν θάλασσαν.

Ἔοικε δὲ ὑπὸ ὀρῶν περιέχεσθαι τὸν κόλπον· καὶ διὰ τοῦτο *ὑπείροχον ἐξανέχειν* ἔφη τὸν ἀγκῶνα.

Μετὰ τόνδ' ἀγχίῤῥοος. Μετὰ τὸν Ἅλυν πλησίον ῥεῖ ὁ Ἶρις, ἐλάττων ὢν τοῦ Ἅλυος κατὰ τὸ μέγεθος.

Κεῖθεν δέ. Ἐκεῖθεν προελθοῦσιν, ἀκτήν τινα εἶναι φησὶν ἐκκειμένην εἰς θάλασσαν. Κάμψαντι δὲ αὐτὴν, κόλπον εἶναι· εἰς ὃν καταφέρεσθαι φησὶ τὸν Θερμώδοντα ὑπὸ τὴν Θεμισκύρειον ἄκραν, ἔνθα ᾤκησαν αἱ Ἀμαζόνες.

V. 372. Ἀπὸ τοῦ ἵημι δὲ, τὸ πορεύομαι, *εἷμαι* παρακείμενος.

Ἐπισημήνασθαι δ' ἄξιον, ὅτι εἰπὼν *στόμα Θερμώδοντος*, ἐπήνεγκε μετοχὴν ἀρσενικὴν τὴν *διαειμένος*· δεικνὺς, ὅτι ταυτόν ἐστι στόμα Θερμώδοντος καὶ Θερμώδων.

Μύρεται. Ἀντὶ τοῦ ἐκρεῖ. Συναπτέον δὲ, αὐτῷ τὸ στόμα Θερμώδοντος κόλπῳ μύρεται.

Διαειμένος δὲ, κατὰ ἀντιστροφὴν διαφερόμενος. μεθ' ὁρμῆς ῥέων. Οἷον, διὰ πολλῆς γῆς ῥέων ὁ ποταμὸς ὁ Θερμώδων κατὰ τὴν Θεμισκύρειον ἄκραν εἰς κόλπον εὐδιεινὸν ἐκρέει.

V. 373. *Ἔνθα δὲ Δοίαντος.* Δοίας καὶ Ἄλκμων, ἀδελφοί. Τίνος δὲ πατρὸς, οὐ φέρεται, ὥς φησι Φερεκύδης.

Πλησίον δὲ (φησὶ) τοῦ Δοίαντος πεδίου εἰσὶ τρεῖς πόλεις, ἔνθα κατῴκουν αἱ Ἀμαζόνες, Λυκαστία, Θεμισκύρα, καὶ Χαλυβία [e]).

a) *Κράμβις* P. b) Sic P. recte. Vulgo *Εὔφορος*. c) *κινεῖ* P. d) *δύρων* P. e) *Χαλκοβία* P.

V. 375. Οἱ δὲ Χάλυβες, ἔθνος Σκυθικὸν, μετὰ τὸν Θερμώδοντα· οἳ μέταλλα σιδήρου εὑρόντες, μοχθοῦσι περὶ τὴν ἐργασίαν. Ἐκλήθησαν δὲ Χάλυβες ἀπὸ Χάλυβος τοῦ Ἄρεως υἱοῦ. Μέμνηται αὐτῶν καὶ Καλλίμαχος·

— — Χαλύβων ὡς ἀπόλοιτο γένος,
γειόθεν ἀντέλλοντα κακὸν φυτὸν οἵ μιν ἔφηναν.

Σμυγερώτατοι. Ἤγουν ἐπιπονέστατοι.

V. 376. Μέλονται. Ἀντὶ τοῦ φροντίδα ποιοῦνται.

V. 378. Γενηταίην ὑπὲρ ἄκρην. Γενηταία ἄκρα κυρίως οὕτω λεγομένη ἀπὸ Γένητος ποταμοῦ, ἔνθα Διὸς ξενίου ἱερόν ἐστι.

Καὶ Τιβαρηνοὶ ἔθνος Σκυθικὸν, πλησιόχωροι Χαλύβων. [Οἰκοῦσι δὲ τὴν καλουμένην Γενηταίαν ἄκραν ἀπὸ Γένητος ποταμοῦ, ἐν ᾗ Διός ἐστιν Εὐξείνου ἱερόν.]

V. 379. Μοσσύνοικοι δὲ, ἔθνος καὶ αὐτὸ ἀπὸ τῆς διαγωγῆς τὴν προσηγορίαν ἐσχηκός. Μόσσυνοι γὰρ οἱ ξύλινοι οἶκοι λέγονται, οἷς καὶ αὐτοὶ ἐχρῶντο. Ὅπερ καὶ αὐτὸς αἰνιττόμενος, ὑλήεσσαν γῆν αὐτοὺς οἰκεῖν ἔφη. Ἀπὸ γοῦν τοῦ μόσσυνος (ὃ λέγεται ὁ ξύλινος οἶκος) ἐκλήθησαν Μοσσύνοικοι.

V. 382. Λισσῇ ἐπικέλσετε νήσῳ. Τῇ τραχείᾳ καὶ ὑψηλῇ. Ἡ δὲ νῆσος καλεῖται Ἀρητιάς. Ἐν δὲ ταύτῃ τῇ νήσῳ αἱ Στυμφαλίδες ἦσαν ὄρνιθες, ἀπὸ Στυμφάλου τῆς Ἀρκαδίας πόλεως ὑπὸ Ἡρακλέους διωχθεῖσαι. Ἐν ταύτῃ οὖν τῇ νήσῳ (φησὶ) παντοίᾳ σπουδῇ κατάχθητε. Ἐκεῖ γὰρ ὑμῖν ἐπιφανήσεταί τις ὠφέλεια.

Λισσὴ δὲ, ἀντὶ τοῦ ὁμαλή. Ἀμερίας δὲ ἐν Γλώσσαις λισσὸν τὸ ὑψηλὸν ἀποδίδωσιν.

Ὅτι δὲ ἡ νῆσος αὕτη ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσιν, ἱστορεῖ καὶ Εὐριπίδης ἐν Φρίξῳ.

V. 384. Ἐφέπουσι δ' ἐνταῦθα ἀντὶ τοῦ διατρίβουσι.

V. 387. Ὀτρηρή τε καὶ Ἀντιόπη. Ἀμαζόνων αὗται βασίλειαι.

Ποίαν δὲ στρατείαν, οὐδεὶς ἐδήλωσεν.

V. 388. Ἔνθα γὰρ ὔμμιν. Ἐνταῦθα γὰρ ὑμῖν ὄφελος ἐν τῇ Ἀρητιάδι νήσῳ ἐκ τῆς θαλάσσης ἥξει ἄῤῥητον· δηλονότι διὰ τὸ ναυάγιον. Λέγει δὲ τοὺς Φρίξου καὶ Χαλκιόπης τῆς Αἰήτου θυγατρὸς παῖδας, οἵτινες ἐπὶ τὴν Ἑλλάδα στελλόμενοι διὰ τὸν Ἀθάμαντος κλῆρον, ἐν ταύτῃ τῇ νήσῳ ναυαγήσαντες, ἔτυχον ἐπιμελείας παρὰ τῶν ἡρώων, καὶ ὁδηγοὶ αὐτοῖς εἰς τὴν Σκυθίαν ἐγένοντο. Εἰσὶ δὲ οὗτοι, Ἄργος, Μέλας, Κυτίσωρος, Φρόντις.

Ἄῤῥητον. Τὸ ἀπροσδόκητον. Ἀντὶ τοῦ, τὸ παρ' ἐλπίδας ὑμῖν φανέν [f]).

Ἀδευκῆ δέ φησι τὴν θάλασσαν, ἤγουν πικράν. Δεῦκος γὰρ τὸ γλυκύ.

f) His verbis vulgo praefixum est lemma Ἀδευκέος, ad quod falso relata sunt.

V. 389. *Τῷ κέν τε φίλα φρονέων*. Διὸ ἐπεὶ ὠφελήσει ὑμᾶς, εὐνοῶν ὑμῖν κελεύω προσχεῖν τῇ νήσῳ. Ἢ κατέχειν, ἤγουν μνημονεύειν αὐτῶν.

V. 390. Τὰ δὲ ἑξῆς προστίθησιν, ἐπεὶ ἔλαθεν ἑαυτὸν τὰ πάντα μέλλων λέγειν, τίνες τε εἴησαν οἱ συντευξόμενοι, καὶ ὅπερ αὐτοῖς ποιήσουσιν· καὶ παρεκβαίνων τὰ προαγγελθέντα αὐτῷ. Ἔφη γὰρ τὰ πάντα ἀκριβῶς μὴ εἰπεῖν, διὰ τὸ μὴ προσκροῦσαι τοῖς θεοῖς πάλιν. Ἑαυτοῦ δ' ἐπιλαμβάνεται [g])· καὶ τὰ μὲν κατὰ μέρος συμβησόμενα οὐ λέγει, τὰ δὲ ἑξῆς τῶν Μοσυνοίκων ἔθνη καταλέγει.

V. 392. *Νήσου δὲ προτέρωσε*. Μετὰ δὲ τὴν νῆσον καὶ τὴν περαίαν γῆν οἰκοῦσιν οἱ *Φίλυρες*. Ὑπεράνω δὲ τῶν Φιλύρων καὶ ἔμπροσθεν εἰσὶν οἱ *Μάκρωνες*, ἔθνος Σκυθικὸν, ἄποικον τῶν Εὐβοέων. Ἡ γὰρ Εὔβοια καὶ Μάκρις ἐκαλεῖτο (διὰ τὴν θέσιν).

Νήσου δὲ προτέρωσε. Τῆς δὲ νήσου τῆς Ἀρητιάδος ἔμπροσθεν καὶ τῆς κατὰ τὸ ἐναντίον γῆς οἰκοῦσι Φίλυρες· οἳ ἐκλήθησαν ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ θυγατρὸς, γαμετῆς δὲ Κρόνου, μητρὸς δὲ Χείρωνος, ἐνταῦθα διατριψάσης. Ἢ οὕτως, μετὰ δὲ τὴν νῆσον τὴν περαίαν γῆν νέμονται Φίλυρες.

V. 394. *Περιώσια*. Φησὶ δὲ τοῦτο διὰ τὸ εἰς πολλὴν χώραν διεσπάρθαι αὐτούς.

V. 395. *Ἑξείης δὲ Σάπειρες*. Ἐπὶ τοῖς Βεχείροις. *Σάπειρες* δὲ ἔθνος Σκυθικὸν, οὕτω κληθὲν διὰ τὸ πολλὴν παρ' αὐτοῖς γίνεσθαι τὴν Σαπειρίτην [h]) λίθον.

V. 396. *Ὁμώλακες*. Ὅμουροι. Ὦλακα γὰρ τὴν αὔλακα, Δωρικῶς. Καὶ Ὅμηρος [i])·

Ἱεμένων [k]) κατὰ ὦλκα [l]).

V. 397. *Ἀλλ' ἐνὶ νηΐ*. Ἀλλὰ *πείρετε* καὶ πλεῖτε (φησὶν), ἕως ἂν εἰς τὸ μυχώτατον τῆς θαλάσσης ἀφίκησθε. Ἐνταῦθα γὰρ καὶ ἡ Σκυθία τελευτᾷ. Καὶ τὴν μὲν Σκυθίαν διαδέχεται ἡ Σαρματία, τὸν δὲ Εὔξεινον ἡ Μαιῶτις. Περιοικοῦσι δὲ τὴν Μαιῶτιν οἱ Σαρμάται. Ὑπὲρ δὲ τοὺς Σαρμάτας ὁ Σαρματικός ἐστι καὶ ἀρκτικὸς Ὠκεανός.

V. 399. *Κυταΐδος*. Κολχικῆς. Κύταια γὰρ, πόλις Κολχίδος. Ἔστι δὲ καὶ ἑτέρα πόλις τῆς Εὐρώπης [κατὰ τὸν εἴσπλουν τοῦ Εὐξείνου] Κύταια, ὁμώνυμος τῇ Σκυθικῇ· ἀφ' ἧς φασὶ καὶ τὴν Κολχικὴν ἐσχηκέναι τὴν ἀρχήν. Ἀπολλώνιος δὲ Κυταΐδα τὴν πόλιν ἐνταῦθα φησίν.

Ἀμαραντῶν δὲ περισπωμένως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου [προσῳδίᾳ]. Ἔστι δὲ Ἀμαραντὸς πόλις ἐν Πόντῳ. Ὡς δὲ αὐτός φησιν, ὄρη τῆς Κολχίδος, ἐξ ὧν ὁ Φᾶσις ποταμὸς καταφέρεται.

g) ἐπαναλαμβάνει ἑαυτόν P. Schaefer.
h) Σαπειρικὴν P. Σαπφειρῖτιν vel Σαπφειρίτην scribendum putat
i) Il. XIII, 707.
k) ἱεμένῳ P.
l) ὦλακα P.

("Εστιν οὖν καὶ ἑτέρα Κύταια πόλις τῆς Εὐρώπης κατὰ τὸν εἴσπλουν τοῦ Εὐξείνου· ἐκεῖθεν δὲ τὴν ἀρχὴν λαμβάνουσι. Λέγεται δὲ οὕτως ὀνομαστικῶς. Κυταΐδα γὰρ τὴν Μήδειαν προσαγορεύουσιν. Ἀμαραντὸς δὲ, πόλις ἐν Πόντῳ. Ἢ ὄρη τῆς Κολχίδος, ὥς φησιν Ἡρωδιανός· ὅθεν καταφέρεται ὁ Φᾶσις.) Ὅπερ ἀγνοήσας Ἡγησίστρατος ὁ Ἐφέσιος, Ἀμαραντίους ἀπέδωκε λιμένας [m]) τοῦ Φάσιδος, διὰ τὸ εὐθαλεῖς εἶναι, καὶ ἀμαράντους. Ὅτι δὲ Ἀμάραντα ὄρη ἐστὶ Κόλχων, ἱστορεῖ Κτησίας ἐν β. Ὁ δὲ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίας ὀρῶν, ὥς φησιν Ἐρατοσθένης· ἐκδίδωσι δὲ εἰς Κόλχους κατὰ θάλασσαν.

V. 400. *Κίρκαιον* δὲ τόπος ἐστὶ τῆς Κολχίδος, ἀπὸ Κίρκης τῆς Αἰήτου ἀδελφῆς, ἢ πεδίον. Οὐ δύναται δὲ ἀπὸ τῆς ἑτέρας Κίρκης ὠνομάσθαι [n]). Ἐγένοντο γὰρ Κίρκαι δύο, περὶ ὧν ἐν τοῖς ἑξῆς ἐροῦμεν. Τίμαιος δέ φησι, πεδίον ἐν Κόλχοις εἶναι Κίρκαιον.

V. 404. *Ἄλσος τε σκιόειν.* Ὁ δὲ Ἑλλάνικος ἐν τῷ ἱερῷ τοῦ Διὸς φησὶ κεῖσθαι τὸ δέρας.

Τοῦ δὲ ἐν Κόλχοις λεγομένου Ἀρείου [o]) πεδίου καὶ τοῦ αὐτόθι Ἄρεος τεμένους μέμνηνται πολλοί. Φασὶ δὲ, ὅτι τὸ χρυσοῦν δέρας ἀνάκειται ἐν τῷ τοῦ Ἄρεος ἄλσει ἐπί τινος φηγοῦ, φυλασσόμενον ὑπὸ δράκοντος τεραστίου τὸ μέγεθος.

Τὸ δὲ *σκιόειν* ἀντὶ τοῦ σκιόεν, κατὰ Ἰωνικὴν πρόσθεσιν τοῦ ι.

V. 409. *Ἀφασίᾳ βεβολημένοι* [p]). Ἀντὶ τοῦ ὑπὸ ἀφασίας ἐκπεπληγμένοι.

V. 415. *Ἀσπαστῶς κεν.* Ἡδέως ἂν παρὰ σοῦ μάθοιμι, εἰ καὶ ὑποστρέψαντες ἐκ Κόλχων ἐκφευξόμεθα. Δύο δὲ μάλιστα ἐφίεται ὁ Ἰάσων μαθεῖν παρὰ τοῦ Φινέως· ἓν μὲν, πῶς ἂν αὖθις κατὰ τὴν ὑποστροφὴν διαπλεύσει [q]) τὰς Συμπληγάδας· δεύτερον, πῶς ἂν μέχρι τῆς Κολχίδος ἀφίκοιτο, διαπλεύσας τοσαύτην θάλασσαν. Τὸ δὲ δυσχερὲς τοῦ πλοῦ ἐνέφηνε διὰ τὸ τὴν Κολχίδα κεῖσθαι ἐπὶ τὰ ἔσχατα τῆς γῆς καὶ τοῦ Πόντου.

V. 417. *Αἶα δέ.* Ἡ Αἶα, πόλις τῆς Κολχίδος. Αὕτη ἐπ' ἐσχάτοις κεῖται τῆς οἰκουμένης. Ἄλλοι δὲ τὴν γῆν τῆς Κολχίδος ἰδίως *αἶαν* καλεῖσθαι λέγουσιν.

V. 421. *Ἐπεὶ δαίμων.* Ἐκ δὲ τῆς Αἴας (φησὶν), τουτέστιν ἐκ τῶν Κόλχων, θεὸς ὑμῖν καθηγήσεται, καὶ εἰς τὴν Αἶαν πλέουσι πολλοὶ ἔσονται καθόλου πομποί. Ἄλλος ὑμῖν, φησὶ, γενήσεται πλοῦς ἐκ τῆς Αἴας. Τοῦτο δὲ λέγει, παρόσον οὐ διὰ τῶν Συμπληγάδων ὑποστρέφουσιν.

V. 422. *Μετὰ δ' Αἶαν.* Ἡ *μετὰ* ἀντὶ τῆς πρός.

V. 423. *Ἀλλὰ φίλοι φράζεσθε.* Διὰ φροντίδος ἔχετε (φησὶ) τὴν ἐκ τῆς Ἀφροδίτης δολίαν βοήθειαν. Αἰνίττεται δὲ τὸν ἔρωτα τῆς Μηδείας.

m) λειμῶνας suspicatur Schaefer.
n) Πότερον δὲ ἀπὸ τῆς Ἰταλικῆς Κίρκης ἢ ἀφ' ἑτέρας, ἄδηλον. P.
o) Ἀργείου vulg. et P. p) ἀφασίῃ βεβλημένοι P. q) διαπλεύσοι P. διαπλεύσαι legi vult Schaefer.

V. 431. sq. Τὸ δὲ, *ὅσσον ἄπωθεν ἤλασαν*, ἀντὶ τοῦ, ὅσον μακρὸν ἐπορεύθησαν.

V. 434. *Δικταίης*. Δικταῖον ὄρος ἐν Κρήτῃ.

Ἐρίπναι δὲ, κατὰ μέν τινας, τὰ ἀποθραύσματα τῶν ὀρῶν· κατὰ δὲ τοὺς γλωσσογράφους, πάντα τὰ ὄρη ἐρίπναι καλοῦνται.

V. 438. *Ἦ ἄρα δή τις*. Τὸ ἦ ἄρα, ἠθικῶς, ἀντὶ τοῦ, ὡς ἔοικε. Καὶ [Ὅμηρος] ἐν Ὀδυσσείᾳ [r])·

— — οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.

Καὶ Ἡσίοδος [s])·

Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος.

(οὐκ ἦν, ὡς ἔοικε, μία ἔρις.)

(V. 441. *Εἰ δὲ καὶ ὀφθαλμοῖσιν*. Εἰ δὲ καὶ ἀναβλέψαι θεῶν τις σὲ ποιήσειεν, χαρείην ἂν τόσον, ὡς εἰ σωθείην εἰς τὴν πατρίδα.)

V. 445. *Ὑποσμύχονται*, [ἀντὶ τοῦ ὑποτύφονται,] ὅπερ ἐστὶν, ὑπὸ βάθους ἠμαύρωνται. Ἔστι δὲ *ὑποσμύχειν* καὶ τὸ ἠρέμα ὑποκαίειν. Οἱονεὶ ὑποκέκαυνται.

V. 451. *Οἳ καὶ πρόσθεν*. Οἵτινες συνεχῶς ἤρχοντο πρὸς αὐτόν. (Τὸ ἑξῆς, φέροντες μέρος τῆς ἰδίας τροφῆς.)

V. 456. *Σὺν τοῖσιν δ' ἵκανε Παραίβιος*. Ὁ μὲν Ἀπολλώνιος τὸν *Παραίβιον* φίλον Φινέως εἶναι φησίν· οἱ δὲ ἄλλοι δοῦλον εἶναι πιστόν.

Οἱ δὲ περὶ τὸν Παραίβιον (φησὶν) ἐχάρησαν, ἰδόντες τοὺς ἥρωας. Αὐτὸς γὰρ ὁ Φινεὺς *ὑπεμυθήσατο* καὶ προεῖπε τῷ Παραιβίῳ τὴν τῶν ἡρώων ἔλευσιν. Συνάπτειν γὰρ δεῖ τὴν ὑπὸ τῷ *ἐμυθήσατο*, λαμβάνειν δὲ ἀντὶ τῆς πρό· ὥσπερ καὶ τὸ ὑπειπὼν ἀντὶ τοῦ προειπών.

V. 460. *Θυνίδι γαίῃ*. Τὴν περὶ τὸν Βόσπορον χώραν πάλιν Θυνίδα εἶπεν, ἣν κατῴκει Φινεύς· ὡς εἶναι μέρος τὶ Θρᾴκης, ὃ καλεῖται Θυνίς.

V. 470. *Μόρον* δὲ ἐνταῦθα, οὐ τὸν θάνατον, ἀλλ' ἢ τὴν δυστυχίαν ἔφη, ἢ τὴν ποιὰν τῆς τύχης διάθεσιν.

V. 471. *Εὖτε γὰρ οὖν*. Ὁ Παραίβιος (φησὶ) πατρικὴν ἁμαρτίαν ἀποτιννὺς, ἀεὶ ἐν ἀπορίᾳ ἦν βίου, καὶ εἰ πλεῖστα μοχθήσειεν.

V. 473. *Χρησμοσύνῃ*. Ἀπορίᾳ, πενίᾳ, ἐνδείᾳ. [Ὅσῳ οὖν, φησὶ, πλέον ἐμόχθει ὁ Παραίβιος, τοσούτῳ μᾶλλον ὑπὸ πενίας ἐτρύχετο.]

V. 477. *Ἁμαδρυάδος νύμφης*. Ἁμαδρυάδας νύμφας Μνησίμαχός φησι, διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. Ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι Ἁμαδρυάδες λέγονται.

Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προστάξαι [t]) τοῖς παισὶν ὑποστηρίξαι ταύτην. Ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυῒ νύμφη, ἐπιστᾶσα τῷ Ῥοίκῳ, χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ

r) Od. XVII, 454. s) Op. et D. v. 11. t) προσέταξε P.

τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅ, τι βούλοιτο. Ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοιγε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν· ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. Καί ποτε πεσσεύοντος αὐτοῦ, παρίστατο ἡ μέλισσα. Πικρότερον δὲ ἀποφθεγξάμενος, εἰς ὀργὴν ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆναι αὐτόν.

Καὶ Πίνδαρος δέ φησι περὶ νυμφῶν ποιούμενος τὸν λόγον·· Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσα.

Ὁ οὖν τοῦ Παραιβίου πατὴρ ἐκκόπτων δρῦν, παρεκαλεῖτο ὑπὸ νύμφης μὴ τεμεῖν αὐτήν· συγγεγεννημένῃ οὔσῃ γὰρ, ἐὰν ἐκκοπῇ, παραιτίαν αὐτῇ ἔσεσθαι θανάτου. Ἀπιθήσαντος δὲ αὐτοῦ, νεμεσῆσαι τὸ δαιμόνιον αὐτῷ τε καὶ τοῖς ἐκγόνοις, καὶ κακῶν γενέσθαι παραίτιον.

[Ἀθερίξαι μὲν οὖν τὸ καταφρονῆσαι.

V. 482. Οἶτον δὲ τὸν θάνατον λέγει. Νηκερδὲς δὲ τὸ ἀνωφελές.]

V. 483. Ἔγωγε μὲν, εὖτ᾽ ἀφίκανεν. Πρὸς ἐμὲ ὅτε ἦλθε (φησὶν) ὁ Παραίβιος μαντευσόμενος, καὶ τὴν ἀτυχίαν ἀνεκοινώσατο, ἔγνων αὐτὸν ὑπὲρ τῆς τοῦ πατρὸς ἁμαρτίας δίκην ἀποτιννύντα.

V. 485. Λωφήϊα ῥέξαι. Ἐφ᾽ οἷς λωφήσει καὶ παύσεται ἡ τῆς νύμφης ὀργή· τουτέστι καταπαυστικὰ τῆς ὀργῆς.

Λωφήϊα, ἐξιλαστήρια [καὶ καταπαυστήρια], ἐφ᾽ οἷς λωφήσει καὶ παύσεται κακούμενος. Λωφῆσαι δὲ κυρίως ἐπὶ τῶν ζώων, τὸ ἀπὸ τοῦ τραχήλου ἄχθος ἀποθέσθαι. Καὶ λωφήσων ἀντὶ τοῦ λήξων, ἀναπαύσων. ἢ ἀναπαυσάμενος τὸν λόφον, τουτέστι τὸν τράχηλον.

V. 493. Μαντήϊον. Μαντικόν.

V. 494. Ἐπ᾽ ἐσχαρόφιν. Ἐν τῇ ἑστίᾳ.

Νέον ἤματος ἀνομένοιο. Ὑπὸ τὴν πρωΐαν. αὔξησιν τῆς ἡμέρας λαμβανούσης. [Τὸ δὲ νέον ἐνταῦθα ἀντὶ τοῦ ἤδη.]

(V. 495. Ἀλέγυνον. Εὐτρέπιζον.)

V. 498. Ἦρι δ᾽ ἐτήσιοι αὖραι. Ἐπιφέρει καὶ Ἀπολλώνιος, δι᾽ ἣν αἰτίαν πνέουσι τῷ θέρει. Τοῦ γὰρ κατηστερισμένου κυνὸς [ἐν τῷ λέοντι, ἐπειδὰν ὁ ἥλιος εἰσέλθῃ τὸν λέοντα,] φλέγοντος τὰς Κυκλάδας νήσους, καὶ πολὺν χρόνον αὐχμοῦ τε καὶ ἀπορίας οὔσης, οἱ τὴν Κέω κατοικοῦντες ἐκ θεοπροπίου ἐπεκαλέσαντο Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ Κυρήνης [τῆς Ὑψέως] ἐκ Φθίας. Ὁ δὲ, παραλαβὼν τινὰς ἐξ Ἀρκαδίας, ἦλθεν εἰς τὴν Κέω, καὶ Διὸς ἱερὸν ἱδρύσατο Ἰκμαίου, ἕνεκα τοῦ τοὺς ὄμβρους γίνεσθαι [καὶ τοὺς ἐτησίας πνεῖν]· καὶ τὸν κύνα ἐξιλάσατο. Καὶ ἐνομοθέτησε κατ᾽ ἐνιαυτὸν τοῖς Κείοις μεθ᾽ ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ κυνὸς, καὶ θύειν αὐτῷ. Ὅθεν οἱ ἐτησίαι πνέουσι, καταψύχοντες τῷ θέρει τὴν γῆν. καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ Ἕλληνες.

Ὅτι ἐτησίαι ἔπνευσαν Ἀρισταίου αἰτησαμένου, ὃς ἦν Κυρήνης τῆς Ὑψέως καὶ Ἀπόλλωνος, ἀδελφὸς δὲ Αὐτούχου. Ἀλλ᾽ ὁ μὲν ἐν Λιβύῃ, Ἀρισταῖος δὲ ἐν τῇ Κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος, καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν. Καὶ κατακαλεσάμενος τοὺς

ἐτησίας, Ζεὺς Ἀρισταῖος ἐκλήθη, καὶ Ἀπόλλων Ἀγρεὺς[u]) καὶ Νόμιος.

Περὶ δὲ τῆς Κυρήνης Πίνδαρος ἱστορεῖ ἐν Πυθιονίκαις, ὡς παρθένος οὖσα, μέχρι πολλοῦ συνεκυνήγει τῷ Ἀπόλλωνι· διαπαλαίουσα δέ ποτε λέοντι, ἠγαπήθη ὑπὸ Ἀπόλλωνος· ὃς καὶ ἁρπάσας αὐτὴν, διεκόμισεν εἰς τὴν νῦν ἀπ' αὐτῆς [καλουμένην] Κυρήνην (τῆς Λιβύης)· καὶ μιγεὶς Ἀρισταῖον ἔτεκε. Φερεκύδης δέ φησι καὶ Ἄραιθος[v]) ἐπὶ κύκνων αὐτὴν ὀχηθεῖσαν κατὰ Ἀπόλλωνος προαίρεσιν εἰς τὴν Κυρήνην ἀφικέσθαι. Ἀγροίτας δὲ ἐν πρώτῳ Λιβυκῶν, ὑπὸ Ἀπόλλωνος εἰς Κρήτην αὐτὴν κομισθῆναι· ἐκεῖθεν δὲ εἰς Λιβύην. Ἀδελφὴ δὲ Κυρήνης Λάρισσα· ἧς ὁμώνυμος πόλις ἐν Θεσσαλίᾳ. Τινὲς δέ φασι τὴν Κυρήνην Πηνειοῦ θυγατέρα γενέσθαι, κακῶς. Ἔνεμεν γὰρ παρ' αὐτῷ θρέμματα, οὐκ ἔτι δὲ καὶ θυγάτηρ αὐτοῦ ἦν. Μνασέας δέ φησι, κατ' ἰδίαν αὐτὴν προαίρεσιν ἐς Λιβύαν ἐληλυθέναι, οὐχ ὑπ' Ἀπόλλωνος διαχθεῖσαν. Ἀκέστωρ δὲ ἐν τοῖς περὶ Κυρήνης ἱστορεῖ, ὡς ἐπ' Εὐρυπύλου βασιλεύοντος Λιβύης, ὑπὸ Ἀπόλλωνος διακομισθείη ἐς Λιβύην ἡ Κυρήνη· λέοντος δὲ τὴν χώραν λυμαινομένου, προθείη τὴν βασιλείαν ὁ Εὐρύπυλος ἆθλον τῷ ἀποκτενοῦντι τὸν λέοντα. Τὴν δὲ διαχρήσασθαι αὐτὸν, καὶ τὴν βασιλείαν λαβεῖν. Παῖδας δὲ αὐτῆς γενέσθαι Αὐτοῦχον καὶ Ἀρισταῖον. Φησὶ δὲ αὐτὴν Φύλαρχος ἐλθεῖν μετὰ πλειόνων εἰς Λιβύην. Τούτων δὲ ἐκπεμφθέντων ἐπὶ τὴν κυνηγεσίαν, τούτοις καὶ αὐτὴν συνεξελθεῖν, κἀκεῖ ἀνελεῖν τὸν λέοντα, καὶ λαβεῖν τὴν βασιλείαν. Ἐγέννησε δὲ ἐξ Ἀπόλλωνος παῖδας δύο, Αὐτοῦχον καὶ Ἀρισταῖον. [Αὐτοῦχος μὲν ἐν Λιβύῃ ἔμεινεν, Ἀρισταῖος δὲ ἀφίκετο εἰς Κέω.]

Τινὲς δὲ τέσσαρας Ἀρισταίους γενεαλογοῦσιν, ὡς καὶ Βακχυλίδης· τὸν μὲν, Καρύστου· ἄλλον δὲ, Χέρωνος[w])· ἄλλον δὲ, Γῆς καὶ Οὐρανοῦ· καὶ τὸν Κυρήνης.

Οἱ ἐτησίαι ἄρχονται πνεῖν περὶ τὴν ἐσχάτην μοῖραν τοῦ ἡλίου ὄντος ἐκ καρκίνῳ, μέχρις οὗ τὸν λέοντα παρέλθῃ. Ὡς καὶ Ἄρατος[x])·

> Ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι,
> τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
> (ἀθρόοι) ἐμπίπτουσι.

V. 500. *Κυρήνη πέφαται.* Ἤγουν λέγεται, ὅτι Κυρήνην τὴν Ὑψέως ὁ Ἀπόλλων θεασάμενος παρὰ Πηνειὸν, εἰς Λιβύην ἐκόμισεν· ἔνθα μιγεὶς αὐτῇ (ὅπου καὶ Κυρήνη πόλις ἔκτισται) τὸν Ἀρισταῖον ἐγέννησε. Λέγουσι δὲ Κυρήνην, οἱ μὲν Πηνειοῦ, οἱ δὲ Ὑψέως τοῦ Πηνειοῦ.

V. 504. *Αἱμονίης.* Τῆς Θεσσαλίας, ἀπὸ Αἵμονος, υἱοῦ Ἄρεως.

Χθονίαις. Ταῖς ἐγχωρίαις.

V. 505. *Μυρτώσιον.* Τόπος ἢ ἄκρα περὶ Κυρήνην.

u) Ἀγυιεὺς P. v) Ἄρατος P. w) Χείρωνος P. x) Arat. Phaen. v. 151.

V. 507. *Ἀγρέα καὶ Νόμιον.* Τὸ μὲν, ὅτι ἐν ἀγρῷ ἐμίγη τῇ μητρὶ αὐτοῦ ὁ Ἀπόλλων· *νόμιον* δὲ, ὅτι νεμούσῃ ἐμίγη. Οἱ δὲ, ὅτι τὴν κατὰ τοὺς ἀγροὺς θεραπείαν τοῖς νομεῦσιν εἰσηγήσατο.

V. 509. *Μακραίωνα.* Πολυχρόνιον.

Ἀγρότιν. Τὴν Κυρήνην, ὅτι φιλοκύνηγος ἦν.

V. 512. *Ἀκεστορίην τε.* Ὑπὸ Μουσῶν γὰρ αὐτὸν τὴν ἰατρικὴν καὶ τὴν μαντικὴν δεδιδάχθαι φησί. Καὶ πρὸς γάμον Αὐτονόην λαβεῖν δηλαδὴ, τὴν Κάδμου θυγατέρα.

V. 513. *Θέσαν ἤρανον.* Καὶ τῶν ἰδίων ποιμνίων προστάτην αὐτὸν ἐποίησαν αἱ Μοῦσαι.

V. 514. *Ἀθαμάντιον δὲ πεδίον* οὕτω καλούμενον περὶ τὴν Ἅλων. Κατῴκησε γὰρ Ἀθάμας ἐν Ἅλῳ τῇ νήσῳ, τῆς βασιλείας ἐξελθών.[y])

V. 515. *Ὄθρυν.* *Ὄθρυς*, ὄρος Θεσσαλίας ὑψηλόν.

Καὶ ὁ Ἀπιδανὸς δὲ, ποταμὸς Θεσσαλίας.

V. 516. *Μινωΐδας.* Τὰς Κυκλάδας φησὶν, ἐπεὶ Μίνως, Κρὴς ὢν, ἐβασίλευσε τῶν νήσων θαλασσοκρατῶν, τοὺς Κᾶρας ἐξελάσας.

V. 517. *Σείριος.* Ἤτοι παρὰ τὴν ζέσιν, ζείριος καὶ σείριος· ἢ παρὰ τὸ ἐκκενοῦν ἡμᾶς ἱδρῶσι ῥεομένους· σειροῦν γὰρ τὸ κενοῦν. Ἢ τοῦ σεσηρέναι αἴτιος. Τοὺς γοῦν κύνας διασεσηρέναι καὶ χάσκειν ποιεῖ. Ἢ παρὰ τὸ σείεσθαι καὶ πάλλεσθαι. Ὁμοίως δὲ καὶ πάντα τὰ ἄστρα σείρια λέγοιντο, οἱονεὶ τείρεά τινα ὄντα· ἢ διὰ τὸ τείρειν, τὸ δαμάζειν· ἢ ὅτι τέρατά εἰσιν, καὶ σημεῖα τῶν πλοϊζομένων. Οἱ μέντοι ἀστρολόγοι τοὺς ἐν κινήσει ὄντας ἀστέρας, στίλβοντας καλοῦσιν. Εἶναι δὲ τὸ ἄστρον, οἱ μὲν, τοῦ Ὠρίωνος κυνός· οἱ δὲ, τῆς Ἠριγόνης· [οἱ δὲ, τοῦ Ἀλκυονέως·] οἱ δὲ, τῆς Ἴσιδος· οἱ δὲ, Κεφάλου. Ὁ δὲ Τιμοσθένης κύριον ὄνομα εἶναι φησί.

V. 520. sq. *Παῤῥάσιον λαόν.* Τὸν Ἀρκαδικόν. Ἀπὸ μιᾶς Ἀρκαδικῆς πόλεως, καλουμένης Παῤῥασίας.

V. 522. *Διὸς Ἰκμαίοιο.* Ἕνεκα τῆς ἰκμάδος. Ἐν τῇ Κῷ δέ ἐστιν ἱερὸν Διὸς ἰκμαίου, τουτέστι διύγρου. Ἐπεὶ αἴτιος γέγονε τῆς πνοῆς τῶν ἀνέμων.

V. 524. *Τοῖο δ' ἕκητι.* Ἤγουν τοῦ Διὸς χάριν.

V. 526. *Ἤματα τεσσαράκοντα.* Τὰς τῶν ἐτησίων ἀνέμων ἡμέρας, οἱ μὲν, τεσσαράκοντα, ἄλλοι δὲ, πεντήκοντά φασιν, ὡς Τιμοσθένης. Ἄρχονται δὲ πνεῖν ὄντος τοῦ ἡλίου ἐν τῷ τοῦ καρκίνου τέλει. Πνέουσι δὲ δι' ὅλου τοῦ λέοντος, καὶ λήγουσιν ἐν τῷ διμοίρῳ τῆς παρθένου.

(*Κέῳ δ' ἔτι νῦν.* Ἐνομοθέτησε γὰρ τοῖς Κώοις κατ' ἐνιαυτὸν μεθ' ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ κυνὸς, καὶ θύειν αὐτῷ. Ὅθεν οἱ ἐτησίαι πνέουσι, καταψύχοντες τῷ ἀέρι τὴν γῆν· καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ Ἕλληνες.)

y) cf. Etymol. M. p. 24, 10 s.

V. 528. *Ὑδέονται.* Ἀντὶ τοῦ ᾄδονται καὶ λέγονται.

V. 529. *Ἐρυκομένους.* Κωλυομένους τοὺς Ἀργοναύτας, διὰ τοὺς ἐτησίας. Ὑπάρχουσι γὰρ ἐναντίοι οἱ ἐτησίαι τοῖς εἰσπλέουσι τὸν Πόντον, ὄντες Βοῤῥαῖ κατ' ἐκείνους τοὺς τόπους· ὥσπερ ἐπὶ τῆς Ἑλλάδος ἐναντίοι εἰσὶν οἱ Ζέφυροι.

V. 531. *Ἐκ δὲ τόθεν.* Ἤγουν μετὰ ταῦτα.

V. 532. *Βωμὸν ἁλὸς ῥηγμῖνι πέρην.* Ἐν δὲ τῷ πέραν (φησὶν) αἰγιαλῷ τῆς Ἀσίας διαπλεύσαντες, ἐπ' αὐτὸν βωμὸν τοῖς δώδεκα θεοῖς ἐδομήσαντο, καὶ ἔθηκαν ἐπ' αὐτῷ ἱερὰ, τοῦτ' ἔστι καλλιέρησαν. Φανερὸν οὖν ἐστιν ἐν τῇ Εὐρώπῃ. Καὶ γὰρ ἔτι καὶ νῦν ἱερόν ἐστιν οὕτω καλούμενον ἐν τῷ πέραν τῆς Εὐρώπης τῆς Ἀσιάδος. Τιμοσθένης[z]) δέ φησι, τοὺς μὲν Φρίξου παῖδας βωμοὺς δώδεκα ἱδρύσασθαι τῶν θεῶν· τοὺς δὲ Ἀργοναύτας, τοῦ Ποσειδῶνος. Ἡρόδωρος δὲ ἐπὶ τοῦ [αὐτοῦ] βωμοῦ φησὶ τεθυκέναι τοὺς Ἀργοναύτας, ἐφ' οὗ Ἄργος ὁ Φρίξου ἐπανιὼν ἐτεθύκει. Εἰσὶ δὲ οἱ δώδεκα θεοὶ οὗτοι, Ζεὺς, Ἥρα, Ποσειδῶν, Δημήτηρ, Ἑρμῆς, Ἥφαιστος, Ἀπόλλων, Ἄρτεμις, Ἑστία, Ἄρης, Ἀφροδίτη, καὶ Ἀθηνᾶ.

(V. 533. *Οὐδὲ πελείης.* Οὐκ ἐπελάθοντο δὲ τῆς περιστερᾶς. Τὸ ἑξῆς, ἀλλ' ἐν τῇ χειρὶ εἶχεν Εὔφημος.)

V. 535. *Δήματι.* Γράφεται καὶ *δείματι.* Τὸ μὲν διὰ τοῦ η, τὸν δεσμὸν σημαίνει· τὸ δὲ διὰ διφθόγγου, τὸν φόβον.

V. 542. *Ὡς δ' ὅτε τὶς.* Εἴρηται ἡ παραβολὴ παρὰ τὸ Ὁμηρικόν[a])·

Ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος.

Ὁ δὲ νοῦς, ὥσπερ δὲ ὅταν τις ἀπὸ τῆς πατρίδος πλανώμενος (οἷα πολλάκις συμβαίνει τοῖς ἀνθρώποις) τοὺς ἰδίους τῇ διανοίᾳ ἐθεάσατο οἴκους, οὐδὲ τὸ μεταξὺ διάστημα πολὺ αὐτῷ φαντασιοῦται εἶναι, ἀλλὰ καὶ πάσας καταφανεῖς πόλεις· ἅμα τε τοῖς εἰρημένοις ἡ εἰς τὰ οἰκεῖα ὁδὸς ἥ τε διὰ γῆς καὶ θαλάσσης ὑποφαίνεται αὐτῷ, καὶ ἄλλοθι ἄλλην ἐκ τοῦ τόπου, ἐν ᾧ ἐστὶν, ἐπέρχεται, καὶ ταχέως ἐν κινήσει ὀξείᾳ τὴν διάνοιαν ἔχων· οὕτω ταχέως διῆλθεν ἡ Ἀθηνᾶ τὴν μεταξὺ χώραν, καὶ παρεγένετο ἐπὶ τὰς Κυανέας πέτρας.

Τὸ *ἀλώμενος* εἰς τὸ *ἐνόησεν* ἀναφέρειν δεῖ.

V. 542. Ἐν δὲ τῷ, *πλαζόμεθα τετληότες*, μετάθεσιν ποιητέον, οἷον, πλαζόμενοι τέτλαμεν.

Ἐν δὲ τῷ, *οὐδέ τις αἶα*, τὸ διάστημα δηλοῖ.

Οὐδέ τις αἶα. Οὐδὲν αὐτῷ πολὺ πάσης διάστημα γῆς φαίνεται.

V. 544. *Σφωϊτέρους.* Κακῶς ἐχρήσατο τῷ *σφωϊτέρους.* Ἔδει γὰρ εἰπεῖν σφετέρους.

Τὸ δὲ, *ἐνόησε δόμους*, ἀντὶ τοῦ, διανοίᾳ τοὺς ἰδίους οἴκους ἐθεάσατο.

V. 545. *Ὑγρή τε τραφερή τ' ἰνδάλλεται.* Ὑγρὴν

z) Sic P. Vulgo Δημοσθένης. Vid. ad v. 297. a) Il. XV, 80.

κέλευθον Ὁμηρικῶς τὴν διὰ θαλάσσης νοεῖ, τραφερὴν δὲ τὴν διὰ ξηρᾶς.

V. 546. Ὀξέα πορφύρων. Πορφύρειν λέγεται τὸ μὴ ἐξ ἐπιπολῆς, ἀλλὰ κατὰ βάθους τὶ μεριμνᾷν. Ἀπὸ τῆς πορφύρας τῆς ἐν βάθει τῆς θαλάσσης εὑρισκομένης.

V. 548. Ἀξείνοιο. Τὸν εὔξεινον πόντον φησὶν, οἱονεὶ κακόξεινον, τοῦ ᾱ σημαίνοντος τὸ κακόν. Πρότερον μὲν γὰρ ὑπὸ ληστῶν περιοικούμενος, ἄξεινος ἐκαλεῖτο· καθαρθεὶς δὲ, εὔξεινος τὸ μετὰ ταῦτα ἐκλήθη.

V. 550. Τὸ δὲ ἐεργμένον παράγεται μὲν ἀπὸ τοῦ εἴργω, τὸ κωλύω· σημαίνει δ' ὅμως καὶ τὸ περικυκλούμενον, ὡς ἐνταῦθα.

V. 551. Δινήεις δ' ὑπένερθεν. Ὁ ῥοῦς (φησὶ) δίνας καὶ συστροφὰς ἔχων ῥευμάτων ἀνέκοπτε[b]) τὴν ναῦν· καὶ πολὺ εἰς τοὔμπροσθεν προήεσαν μετὰ φόβου.

V. 553. Ἀρασσομένων. Ἀντὶ τοῦ, συγκρουομένων ἀλλήλαις. Οὕτω δὲ ἀναγινώσκεται καὶ τὸ, θυρῶν ἀρασσομένων.

V. 554. Νωλεμές. Συνεχές.

Ἁλιμυρέες ἀκταί. Αἱ ὑπὸ θαλάσσης περιῤῥεόμεναι, ἢ περιῤῥαινόμεναι.

V. 557. Θελήμονα. Πρόθυμον καὶ ἐπιτεταμένην. Οὐ γὰρ τὴν ἡσύχιον ἐνταῦθα σημαίνει.

V. 559. Τὰς δ' αὐτίκα. Τοῦτο ἔφη, ἐπεὶ πεπρωμένον ἦν στηριχθῆναι αὐτὰς, ἂν διέλθῃ αὐτῶν ἡ ναῦς.

V. 562. Προέηκε πελειάδα. Ὅτι διὰ πελειάδας ἐπείρασαν οἱ Ἀργοναῦται τὰς Συμπληγάδας, καὶ Ἀσκληπιάδης ἱστορεῖ ἐν δευτέρῳ Τραγῳδουμένων.

V. 568. Σπήλυγγες. Αἱ κοιλάδες αἱ ὑπὸ τὰς πέτρας.

V. 569. Ἐβόμβεον. Ἦχουν. Ὅθεν καὶ βομβύλη, εἶδος μελίσσης. Καὶ ποτηρίου δὲ εἶδος, ὡς Ἀντισθένης παραδίδωσιν. Ἔστι δὲ τοῦτο στενοτράχηλον.

V. 570. Καγχλάζοντος. Ποιὸν ἦχον ἀποτελοῦντος. Περιέκλυζε τὰς ἐφ' ὕψους ἀκτὰς ὁ τοῦ κύματος ἀφρός.

V. 571. Νῆα δ' ἔπειτα. Περιῆγε δὲ τὴν ναῦν καὶ περιέστρεφεν ὁ ῥοῦς.

Εἶλει. Περιέστρεφε.

V. 572. Οὐραῖα πτερὰ ταίγε. Αὗται ἔκοψαν τὰ ἄκρα τῆς οὐρᾶς πτερά.

[V. 573. Τὸ δὲ ἔβραχε τὸ ἐβόησε σημαίνει.]

V. 576. Πλήμμυρις καὶ πλημμυρὶς, διχῶς. Ἄμεινον δὲ πλημμυρίς. Τὰ γὰρ ἀπὸ βαρυτόνων ῥημάτων θηλυκὰ ὀνόματα εἰς ῑς ὀξύνεται· βασιλεύω, βασιλίς· πλημμύρω, πλημμυρίς.

Κατένεικε. Κατήνεγκε τὴν ναῦν εἴσω τῶν πετρῶν.

V. 579. Ἤδη δ' ἔνθα καὶ ἔνθα. Γενομένων δὲ αὐτῶν μεταξὺ τοῦ στενοῦ, ἡ πρόσω καὶ ἡ κατόπιν θάλασσα ἐπεφαίνετο.

b) ἀνέκαμπτε P.

["Οπισθεν μὲν ἐφαίνετο ἡ Προποντὶς, ἔμπροσθεν δ' ὁ Εὔξεινος.] Ἢ τὸ ἔνθα καὶ ἔνθα πρὸς τὰ δεξιὰ καὶ ἀριστερὰ τοῦ Πόντου ἀνενεκτέον.

V. 580. Ἀπροφάτως δὲ, ἀντὶ τοῦ ἀπροοράτως.

V. 581. Κυρτὸν ἀποτμῆγι σκοπιῇ ἶσον. Ἀνεφάνη δὲ καὶ ἐπήρχετο αὐτοῖς ἀπροόπτως προπάροιθεν ὑψηλὸν καὶ μέγα κῦμα, παραπλήσιον ἀπεῤῥηγμένῃ σκοπιῇ, ἤτοι ὄρει.

V. 582. Ἤμυσαν. Ἔκλιναν λοξὰς τὰς κεφαλὰς, ὡς καλυφθησόμενοι ὑπὸ τοῦ κύματος.

V. 583. Κατεπάλμενον. Ὑπεραναβάν. Ἀναφέρεται δὲ πρὸς τὸ μέγα κῦμα.

V. 584. Ἀλλά μιν ἔφθη. Προέλαβε δὲ ὁ Τῖφυς βαρουμένην τὴν ναῦν τῇ εἰρεσίᾳ, ὑποχαλάσας καὶ ἐνδοὺς αὐτῇ, ἢ καταπαύσας τὴν εἰρεσίαν. Ἢ βαρυνομένην αὐτὴν αἰσθανόμενος τῇ εἰρεσίᾳ ἀνεχάλασεν.

V. 586. Ἐκ δ' αὐτήν. Οὕτω (φησὶν) ἐπῆρεν τὸ κῦμα τὴν ναῦν, ὡς καὶ ὑπὲρ τὰς πέτρας αὐτὴν γενέσθαι.

V. 587. Τὸ δὲ μεταχρονίη, ὅτι μεταχθονίη γράφεται, εἴρηται. Σημαίνει δὲ τὴν μετέωρον.

V. 590. Ὅσσον δ' ἂν ὑπείκαθε. Ὁ νοῦς, ὅσον δὲ ἄλλη ναῦς τῇ εἰρεσίᾳ πειθομένη ὑπεῖξεν ἂν, δὶς τόσον ἡ Ἀργώ· ἵνα διὰ τούτων τὸ τάχος δηλώσῃ τῆς Ἀργοῦς. Ἢ οὕτως, ὅσον ἂν εἶξε καὶ ὑπεχώρησε τοῖς ἐρέταις ἡ Ἀργὼ, δὶς τοσοῦτον τῇ παλιῤῥοίᾳ ὑπέστρεφε. Διὸ καὶ ἐπιφέρει, ἐπεγνάμπτοντο δὲ ἠΰτε καμπύλα τόξα, τὸ βίαιον τῆς εἰρεσίας δηλῶν.

V. 594. Κύλινδρος. Κιονίσκος λίθινος στρογγύλος, ἑκατέραν βάσιν ἔχων ἐπίπεδον.

V. 595. Προπροκαταΐγδην. Εἰς τοὔμπροσθεν ἄνωθεν καταφερομένη.

Ἐν δ' ἄρα μέσσαις. Ἐν δὲ μέσῳ τῶν Συμπληγάδων κατέσχεν αὐτὴν ὁ ῥοῦς.

V. 598. Καὶ τότ' Ἀθηναίη. Καὶ τότε ἡ Ἀθηνᾶ τῆς πέτρας ἀντελάβετο καὶ κατέσχε τῇ λαιᾷ, τῇ δὲ δεξιᾷ αὐτὴν ἐξέωσεν ἐκ τοῦ Πόντου.

V. 601. sq. Ὅμως δὲ τὰ ἀκροστόλια ἐπέκλασαν συνδραμοῦσαι αἱ πέτραι.

Ἀφλάστοιο κόρυμβα τὰ ἀκροστόλια λέγει.

Παρέθρισαν. Ἀντὶ τοῦ παρεθέρισαν, κατὰ συγκοπήν. Σημαίνει δὲ τὸ ἀπέκοψαν.

Νωλεμὲς ἐμπλήξασαι. Βιαίως συμπεσοῦσαι τὰ ἀκροστόλια ἀπέκοψαν.

V. 611. Ἔλπομαι αὐτῇ νηΐ. Ἤγουν δι' αὐτὴν τὴν ναῦν. Ἢ διὰ τῆς νεὼς αὐτῆς. Ἢ λείπει ἡ σύν. Ὁ δὲ νοῦς, ἐλπίζω ἤδη σεσῶσθαι ἡμᾶς σὺν αὐτῇ τῇ νηΐ. Ἡ δὲ Ἀθηνᾶ τῆς σωτηρίας αἰτία. Ταῦτα δέ φησι περιθαρσύνων αὐτούς.

(V. 615. Αἰσονίδη, τύνη δέ. Ἐπειδὴ (φησὶν) ἅπαξ ἐφύγομεν τὰς πέτρας, μηκέτι εὐλαβοῦ τὸν θάνατον.)

V. 620. Σεῦεν. Ἀντὶ τοῦ, ἴθυνεν ἐπὶ τὴν Βιθυνίαν τὴν ναῦν.

V. 622. Παρηγορέεις. Ἀντὶ τοῦ, παραμυθητικῶς λέγεις.

V. 624. Χρῆν γὰρ ἐφιεμένοιο. Ἀντὶ τοῦ, ἐπιτάττοντος. Τὸ δὲ χρῆν ῥῆμά ἐστι. Παρ' αὐτὸ γὰρ καὶ ὄνομα πίπτει τὸ χρεία· ὡς παρὰ τὸ δρῶ, δρᾶμα. Ἐπίῤῥημα γὰρ οὐ δύναται εἶναι· ὅτι ἀπὸ ἐπιῤῥήματος οὐ σχηματίζεται ὄνομα.

V. 626. Δαιόμενος. Διακοπτόμενος, μεριζόμενος.

V. 627. Ἀτλήτους μελεδῶνας. Ἀνυποστάτους μερίμνας ἔχω, ἀνυπομονήτους καὶ μεγάλας.

V. 628. Στυγέων δὲ, ἀντὶ τοῦ δεδοικώς. Καὶ Ὅμηρος [c])·

— — τά τε στυγέουσι θεοί περ.

Καὶ αὖθις [d])·

— — τόν τε στυγέουσι καὶ ἄλλοι.

V. 631. Αἰεὶ δὲ στονόεσσαν. Αἰεὶ πρὸς τῇ ἡμέρᾳ καὶ διὰ νυκτὸς τὰς τύχας ὀδύρομαι. [Φυλάσσω ἀντὶ τοῦ διάγω.] Ὅμηρος [e])·

Νῦν μὲν δὴ μάλα πάγχυ Μελάνθιε νύκτα [f]) φυλάξεις.

V. 633. Εὐμαρέως. Εὐχερῶς. Ἔνθεν καὶ εὐμαρὲς [g]), εἶδος ὑποδήματος, ᾧ εὐχερῶς ἐχρῶντο.

V. 634. Ἑῆς δὲ ψυχῆς ἀντὶ [h]) τῆς σεαυτοῦ [i]) ζωῆς.

V. 635. Τὸ δὲ εἶο, ἀντὶ τοῦ ἐμεῖο· τρίτον πρόσωπον ἀντὶ πρώτου. Βούλεται δὲ λέγειν, ὅτι ἐμαυτοῦ οὐδὲ τὴν τυχοῦσαν ποιοῦμαι φροντίδα, περὶ δὲ σοῦ, καὶ τοῦδε, καὶ τῶν ἄλλων, δέδια.

Ἰδίως δὲ ἠβαιὸν, τὸ διὰ σμικρότητα βάσιν μὴ ἔχον, ἄβαιόν τι ὄν.

V. 638. Οἱ δ' ὁμάδησαν. Ὁμοῦ ἀνεφώνησαν θαρσύνοντες αὐτόν. Ὅμαδος δὲ, παρὰ τὸ ὁμοῦ ᾄδειν, ὁμόαδός τις ὤν.

V. 640. Ἐπιῤῥήδην. Φανερώτερον, παῤῥησιαστικώτερον, οἱονεὶ ἀναφανδόν.

V. 643. Τάρβος ἀνάψομαι. Τὸ φόβον περιθήσομαι σημαίνει.

(V. 649. Αἶψα δὲ τοίγε. Ταχέως δὲ κατέλαβον τόν τε Ῥήβαν καὶ τὸν πρὸ τοῦ Ῥήβα σκόπελον, κολωνοειδῆ ὄντα.)

V. 650. Κολώνη δὲ, οὕτω ἄκρα καλουμένη περὶ τὸν Λύκον ποταμόν. Μέμνηται αὐτῆς Νύμφις ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Ἡρακλείας. [Σκοπελὸν οὖν Κολώνης ἀντὶ τοῦ ὑψηλὸν τῆς Κολώνης τόπον.]

V. 652. Προχοὰς Φυλληΐδας. Φύλλις, ποταμὸς Βιθυνίας.

V. 653. Διψακὸς δὲ, υἱὸς τοῦ Φύλλιδος καὶ νύμφης τινὸς

c) Il. XX, 65. d) Il. XV, 167. e) Od. XXII, 195. f) διὰ νύκτα Μελάνθις πάγχυ P. g) ἀμάρα P. εὐμάρα corrigit Schaefer. h) τοῦ addi jubet Schaefer. i) Sic P. Vulgo ἑαυτοῦ.

ἐγχωρίου· ὃς Φρίξον τὸν Ἀθάμαντος ἐξένισεν ἐπὶ τοῦ κριοῦ, ὅτε ἐξέφυγε τὸν θάνατον, μέλλων σφαγιάζεσθαι.

Υἷ' Ἀθάμαντος. Τὸν Φρίξον ὑπεδέξατο ὁ Διψακὸς εἰς Κόλχους πορευόμενον. Φασὶ δὲ ἐκεῖ σφαγιασθῆναι τὸν κριὸν τῷ Λαφυστίῳ Διΐ. Καὶ μέχρι τοῦ νῦν νόμος ἕνα τῶν Φρίξου ἀπογόνων εἰσιέναι εἰς τὸ πρυτανεῖον, καὶ θύειν τῷ εἰρημένῳ Διΐ.

V. 658. Καὶ εὐρείας ποταμοῖο. Διονύσιος ὁ Ἀλβιανὸς ἱστορεῖ τὰς εὐρείας ἠϊόνας λέγεσθαι Ἀχιλλέως δρόμον[k]).

V. 660. Ὁμῶς δ' ἐπὶ ἤματι. Ἡμέραν δὲ καὶ νύκτα ὁμῶς ἐν νηνεμίᾳ διῆγον κωπηλατοῦντες.

V. 662. Πλαδόωσαν. Ἔνυγρον ἔτι οὖσαν.

V. 667. Χηλὰς σκηρίπτοντε. Τοὺς ὄνυχας ἐπερείδοντες, ἐμπείροντες. Ὅθεν καὶ τὸ σκηπάνιον.

(V. 668. Ὑπ' ἐξ ἁλὸς εἶλκον ἐρετμά. Ἐκ τῆς θαλάσσης ἀνέφερον καὶ ἀνῆγον τὰς κώπας.)

V. 671. Ἀμφιλύκην μιν. Σκοτεινήν. Λύγη γὰρ ἡ σκοτία. Καὶ λυγόφως ἐξ αὐτοῦ καὶ λυκόφως.

V. 672. Τῆμος ἐρημαίης. Περὶ τῆς Θυνιάδος νήσου προείρηται, ἧς μέμνηται Νύμφις ὁ Ἡρακλεώτης. Φησὶ δὲ αὐτὴν ἑπτὰ σταδίους ἔχειν τὴν περίμετρον[l]). Καλλισθένης δὲ ἐν τῷ Περίπλῳ ὑπὸ μὲν Ἑλλήνων φησὶ προσαγορεύεσθαι τήν τε χώραν καὶ τὴν νῆσον Θυνιάδα, ὑπὸ δὲ τῶν βαρβάρων Θυνίαν.

V. 675. Ὑπερβορέων ἀνθρώπων. Ὑπερβορείους μὴ[m]) εἶναι τελέως φησὶν Ἡρόδοτος[n])· ἐπεὶ εἰ εἰσὶν ὑπερβόρειοί τινες, πάντως καὶ ὑπερνότιοι. Ποσειδώνιος δὲ εἶναι φησὶ τοὺς ὑπερβορείους, κατοικεῖν δὲ περὶ τὰς Ἄλπεις τῆς Ἰταλίας. Μνασέας δέ φησι νῦν τοὺς ὑπερβορείους Δελφοὺς λέγεσθαι. Ἑκαταῖος δὲ μέχρι τοῦ αὐτοῦ χρόνου εἶναι φησὶ τὸ τῶν ὑπερβορείων ἔθνος. Ἔστι δὲ αὐτῷ βιβλία ἐπιγραφόμενα Περὶ τῶν ὑπερβορείων. Τιμᾶται δὲ παρὰ τοῖς ὑπερβορείοις ὁ Ἀπόλλων. Διὸ καὶ ἐκεῖσε χορῶν ὤφθη.

V. 684. sq. (Ὀψὲ δὲ τοῖον Ὀρφεύς. Τὸν Ὀρφέα φασὶ καὶ μάντιν εἶναι.)

Ἐν δὲ τῇ Θυνίδι νήσῳ ἱερόν ἐστιν Ἀπόλλωνος. Ἡρόδωρος οὖν φησιν ἑῷον τὸν Ἀπόλλωνα προσαγορεύεσθαι, καὶ βωμὸν αὐτοῦ εἶναι ἐν τῇ νήσῳ, οὐ καθὸ ὄρθρῳ ἐπεφάνη αὐτοῖς, ἀλλὰ καθὸ οἱ Ἀργοναῦται ὄρθρον εἰς αὐτὴν κατέπλευσαν.

V. 686. Εἰ δ' ἄγε. Τὴν νῆσον (φησὶν) οὕτω καλέσωμεν ἑῴου Ἀπόλλωνος.

V. 695. Χερμάσιν. Λίθοις μικροῖς.

Ἐδίνεον[o]). Ἀντὶ τοῦ ἐστρέφοντο.

(Ἐξερέοντες. Ἐξερευνῶντες.)

V. 696. Κεμὰς δὲ, ἡ νέα ἔλαφος.

V. 699. Ἀνὰ διπλόα μηρία. Τῶν ἱερείων. Διπλόα

k) δρόμους P. l) διάμετρον P. Locus est Herodot. IV, 36. m) μὲν P. n) Ἡρόδωρος P., quae confusio jam saepius observata est. o) Ἐδίνευον P.

δὲ, ἢ ὅτι [δύο εἰσὶν, ἢ ὅτι] διπλοῦς αὐτοῖς ὑπετίθετο καὶ ἐπετίθετο ἔπιπλος.

V. 702. Καλὸν ἰηπαιήον'. Ἰηπαιήων ὁ Ἀπόλλων λέγεται, ἤτοι διὰ τὸ πέμπειν τὰ βέλη, ἢ ὅτι ἰάσεως ὁ θεὸς αἴτιος.

V. 704. Βιστονίη. Θρακικῇ. Βίστονες γὰρ ἔθνος Θρακῶν. Ὠνομάσθη δὲ ἀπὸ Βίστονος, τοῦ Κίκονος, ὡς Φιλοστέφανος ἱστορεῖ. Βιστονὶς, λίμνη Θρακική.

V. 705. Ὠνομάσθη δὲ Παρνασσὸς ἀπὸ Παρνησσοῦ τοῦ ἐγχωρίου ἥρωος, ὡς Ἑλλάνικος. Ἄνδρων δὲ[p]), ἐπεὶ προσωρμίσθη ἡ λάρναξ τοῦ Δευκαλίωνος, καὶ τοπρότερον Λαρνασσὸς ἐκαλεῖτο· ὕστερον δὲ κατὰ φθορὰν τοῦ στοιχείου Παρνασσός.

V. 706. Δελφύνην. Τὸ ὄνομα τοῦ δράκοντος οἱ μὲν ἀρσενικῶς, οἱ δὲ θηλυκῶς εἶπον· ὃ καὶ βέλτιον. Ἄλλως δὲ καὶ οἱ μὲν ὁ Δελφύνης κλίνουσιν ἀρσενικῶς, οἱ δὲ ἡ Δελφύνη θηλυκῶς. Ὅτι Δελφύνης ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν Δελφοῖς χρηστήριον, Λέανδρος καὶ Καλλίμαχος εἶπεν. Δράκαιναν δὲ αὐτήν φησιν εἶναι θηλυκῶς καλουμένην Δελφύνην αὐτὸς ὁ Καλλίμαχος.

V. 709. Οἰόθι δ' αὐτή. Μόνη ἐφάπτεται τῶν τριχῶν σου ἡ Λητώ.

V. 710. (Κοιογένεια δὲ, ἡ ἀπὸ Κοίου τὸ γένος ἔχουσα. Κοίου γὰρ θυγάτηρ ἡ Λητώ.) Ἔστι δὲ τὸ Κοιογένεια παθητικὸν, ἡ ὑπὸ τοῦ Κοίου γεννηθεῖσα.

V. 711. Κωρύκιον ἄντρον ἐν Παρνασσῷ. Κέκληται δὲ ἀπὸ νύμφης Κωρυκίας, ἧς καὶ Ἀπόλλωνος παῖς Λυκωρεὺς, ἀφ' οὗ Λυκωρεῖς οἱ Δελφοί.

Πλεῖστος δὲ, ποταμὸς Δελφίδος. Τινὲς δὲ ἀναγινώσκουσι Πλειστοῖο περισπωμένως. Ἐπεὶ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται Πλειστὸς, ὡς καλός. Ἔστι δὲ ποταμὸς ἐν Δελφοῖς.

V. 712. Θαρσύνεσκον ἔπεσσιν. Ὅτε (φησὶν) ἐτόξευσε τὸν δράκοντα, ἐπεφώνουν αἱ νύμφαι τοῦ βάλλειν αὐτὸν, ἵη ἵη βέλος· ἐξ οὗ τὸ ἐφύμνιον ἐγένετο ἰηπαιήων.

V. 714. Χορείῃ μέλψαν ἀοιδῇ Τῇ μετὰ χοροῦ λεγομένῃ ᾠδῇ.

V. 715. Λοιβαῖς εὐαγέεσσιν. Ὤμοσαν (φησὶν) ὁμονοήσειν ἀλλήλοις· ὅθεν καὶ Ὁμονοίας θεᾶς ἵδρυται ἱερόν.

V. 719. Κυδίστην. Ἀντὶ τοῦ κρατίστην θεῶν ὁμόνοιαν τιμῶντες. Πορσαίνοντες γὰρ, ἀντὶ τοῦ τιμῶντες. Ἀλλαχοῦ δὲ ἀντὶ τοῦ ὑπηρετεῖν. (Γράφεται καὶ κικλήσκοντες.)

V. 722. Ποταμοῦ στόμα. Σαγγάριος, ποταμὸς Φρυγίας. Ὁ δὲ Μυρλεανὸς Σάγγαρον αὐτὸν λέγεσθαί φησιν. Ἑρμογένης δὲ ἐν τῷ περὶ Φρυγίας φησὶν, Σάγγαν τινὰ ἀσεβήσαντα περὶ τὴν Ῥέαν, μεταβαλεῖν εἰς τοῦτο τὸ ὕδωρ, καὶ ἀπ' αὐτοῦ τὸν ποταμὸν Σαγγάριον ὀνομασθῆναι. Πλησίον δὲ αὐτοῦ (ὀρείας) Δήμητρος ἱερόν ἐστιν, ὥς φησι Ξάνθος.

V. 723. Καὶ Μαριανδυνῶν. Οἱ Μαριανδυνοὶ ὅμοροι

p) Ἄντρων P.

τοῖς Παφλαγόσι. Προσηγορεύθησαν δὲ ἀπὸ Μαριανδυνοῦ τοῦ Κιμμερίου παιδός.

V. 724. Λύκοιο ῥέεθρα. Λύκος ποταμὸς ὁμώνυμος τῷ βασιλεῖ. Ῥεῖ δὲ διὰ τῆς τῶν Μαριανδυνῶν χώρας.

Ἀνθεμοεισίδα δὲ, ἀπὸ Ἀνθεμοεισίας, τῆς Λύκου μὲν θυγατρὸς, γυναικὸς δὲ Δασκύλου τοῦ Ταντάλου υἱοῦ.

(V. 727. Ἠῶθεν δ' ἀνέμοιο. Νυκτὸς δὲ (φησὶ) τοῦ ἀνέμου λήξαντος περὶ τὸν ὄρθρον, εἰς τὸ πέραν, εἰς τὴν Ἀχερουσίαν ἄκραν, εἰς ὅρμον κατήχθησαν.)

V. 729. Ἡ μέν τε κρημνοῖσιν. Ὅτι ἡ περὶ Ἡράκλειαν Ἀχερουσιὰς καλουμένη πανταχόθεν ἐκ θαλάσσης ἐστὶν ὑψηλή τε καὶ ἀπόκρημνος, καὶ ἀπονένευκεν εἰς δυσμὰς εἰς τὸ πρὸ τῆς Βιθυνίας πέλαγος· καὶ ὅτι προσπίπτον αὐτῇ τὸ κῦμα σφοδροὺς ἀποτελεῖ ἤχους· καὶ περὶ τῶν ἐπ' ἄκρας αὐτῆς πεφυκυιῶν πλατάνων, καὶ τοῦ ἐπ' αὐτῇ πεδίου· καὶ ὅτι δοκεῖ αὐτόθι κατάβασις εἰς ᾅδου ὑπάρχειν, Νύμφις ἐν τῷ περὶ Ἡρακλείας ᾱ [q]) φησί· παρ' οὗ Ἀπολλώνιος ἔοικε ταῦτα μεταφέρειν.

V. 731. Λισσάδες ἐῤῥίζωνται. Ὑψηλαὶ καὶ ἀνάντεις ἐν βάθει τεθεμελίωνται.

V. 733. Ἀμφιλαφεῖς. Ἀνθηραὶ, μεγάλαι καὶ περίοπτοι.

V. 734. Ἐκ δ' αὐτῆς εἴσω. Κατὰ τὸ πρὸς ἤπειρόν τε καὶ μεσημβρίαν μέρος τῆς Ἀχερουσίας ἄκρας τὸ Ἀχερόντειον [r]) σπήλαιόν ἐστι, καὶ τὸ χάσμα τὸ κατὰ γῆς.

V. 735. Ὕπαιθα. Τὸ ἔμπροσθεν καὶ ἐκ πλαγίου σημαίνει.

V. 736. Ἐπηρεφές. Ἀντὶ τοῦ σύσκιον.

Φησὶ δὲ, ὅτι πνεῦμα καὶ ψυχρά τις αὖρα [s]) ἀναφέρεται ἐκ τοῦ στομίου, καὶ διὰ τοῦτο κύκλῳ περιπεπάχνωται.

V. 737. Πηγυλὶς δέ ἐστιν ἡ παγετώδης καὶ ψυχρά.

V. 739. Ἰαίνεται ἐνταῦθα ἀντὶ τοῦ λύεται καὶ τήκεται.

V. 740. (Σιγὴ δ' οὔποτε. Φησὶν, ὅτι καὶ διὰ τῶν δένδρων καὶ διὰ τῶν κυμάτων ἦχον καὶ ψόφον ἀποτελεῖ, καὶ ἡσυχίαν οὐκ ἔχει.)

Βλοσυρὰν ἐνταῦθα τὴν λαμπρὰν ἴσως σημαίνει.

V. 743. Ἔνθα δὲ καὶ προχοαί. Φησὶν, ὅτι καὶ ὁ Ἀχέρων Σοωναύτης λέγεται, καὶ ὅτι ἐκ τῆς Ἀχερουσίας ἄκρας φέρεται διά τινος φάραγγος εἰς τὴν πρὸς ἀνατολὰς θάλασσαν.

V. 744. Ἀνερεύγεται. Οἷον καταῤῥεῖ καὶ ἔξεισι.

V. 746. Σοωναύτην [t]). Οἱ (εἰς) τὴν Ἡράκλειαν κατοικήσαντες Μεγαρεῖς, ὅτε εἰς τὴν ἀποικίαν ἔπλεον, χειμασθέντες εἰς τὸν Ἀχέροντα ποταμὸν κατέφυγον. Ὅθεν καὶ διασωθέντες οἱ ναῦται Σοωναύτην ἐκάλεσαν αὐτόν. Οὗτοι δὲ οἱ Ἡρακλεῶται Μεγαρέων εἰσὶν ἄποικοι καὶ Βοιωτῶν, κατοικοῦσι δὲ ἐν τῇ Μαριανδυνῶν χώρᾳ.

Σοωναύτης, ποταμὸς περὶ Ἡράκλειαν, οὕτως ὠνομασμέ-

q) πρῶτον P. r) Ἀχερούσιον P. s) αὖρα emend. Schaefer. t) Σωοναύτην P. et sic deinde.

νος, ἐπειδὴ πάντας τοὺς ναυτιλλομένους διασώζει, ἀπαθεῖς ἔχων καὶ ἠρεμαίους λιμένας.

V. 749. Ἐγχρίψαι τὸ ἐμπεσεῖν σημαίνει.

V. 751. Εἰσωποὶ, ἐναντίοι[u]) ἐσώτεροι γενόμενοι.

V. 752. Οὐδ' ἄρα δηθά. Λύκον φησὶ τότε Μαριανδυνῶν βασιλεύειν, ὃς διὰ τὸ πρὸς τοὺς Βέβρυκας καὶ Ἄμυκον ἔχθος φιλοξένως τοὺς Ἀργοναύτας ὑπεδέξατο. Φασὶ δὲ αὐτὸν υἱὸν εἶναι Δασκύλου τοῦ Ταντάλου, καὶ Ἀνθεμοεισίας τῆς Λύκου τοῦ ποταμοῦ· (ὡς μαρτυρεῖ καὶ Νύμφις ἐν τῷ ā τῆς Ἡρακλείας, καὶ Ἡρόδωρος παριστορῶν.) Ὑπεδέξατο δὲ τοὺς ἥρωας, ὥς τινες, διὰ τὸ τὸν Πέλοπα, τὸν θεῖον αὐτοῦ, τιμηθῆναι παρὰ τῶν Ἑλλήνων· ἅμα δὲ καὶ διὰ τὸν Ἀμύκου καὶ τῶν Βεβρύκων φόνον. Ἐχθροὶ γὰρ ἦσαν τοῖς Μαριανδυνοῖς οἱ Βέβρυκες.

V. 754. Αὐθένται Ἀμύκοιο. Συλληπτικῶς εἶπεν φονέας Ἀμύκου τοὺς ἥρωας, καίτοι Πολυδεύκους μόνου τοῦτο δεδρακότος. Αὐθέντης δὲ λέγεται ὁ ἐξ ἑαυτοῦ ἐπί τινος φόνον ἱέμενος, οἷον αὐτοέντης τις ὤν.

Κλέος. Ἡ διαδεδομένη φήμη.

V. 755. Ἀρθμός[v]). Ἡ φιλία.

V. 758. Ἀντιβίην Βέβρυξιν. Ἐχθροὶ ἀεὶ οἱ Μαριανδυνοὶ τῶν Βεβρύκων. Ἡττήθησαν δὲ πολλάκις ὑπ' αὐτῶν· καὶ ὁ ἀδελφὸς δὲ Λύκου Πριόλας συλληφθεὶς ὑπὸ τοῦ Ἀμύκου ἀνῃρέθη. Ὕστερον δὲ προσλαβόμενος Ἡρακλέα σύμμαχον, πρὸς Ἀμαζόνας στρατευόμενον, ἐξ εὐχεροῦς περιεγένετο τῶν Βεβρύκων. Τινὲς δὲ τὸν Πριόλαον υἱὸν αὐτοῦ[w]) καὶ οὐκ ἀδελφὸν ἱστοροῦσιν.

(V. 765. Ὅσσα τε Κύζικον. Οὐ Κύζικον τὸν βασιλέα τῶν Δολιόνων φησὶν, ἀλλὰ τὴν πόλιν.)

V. 767. Γλαύκοιό τε βάξιν. Ὁ Γλαῦκος παρὰ τοῖς Ἴβυρσι τιμᾶται, γέρων καλούμενος. Ἔστι δὲ ἄκρα Γλαύκου ἐκεῖ καλουμένη.

V. 777. Ὅτε δεῦρο δι' Ἀσίδος. Τῆς Λυδίας λέγει. Ἀσία γὰρ τοπρότερον ἐκαλεῖτο ἡ Λυδία. Καὶ Ὅμηρος[x])·

Ἀσίῳ ἐν λειμῶνι.

Καὶ ἡ κιθάρα Ἀσία λέγεται, ἐπεὶ ἐν Λυδίᾳ πρῶτον εὑρέθη.

V. 778. Τὸ δὲ, πεζὸς ἔβη, ἀκολούθως τῷ μύθῳ, πεζὸν τὸν Ἡρακλέα φησὶν ἐπὶ τὸν ζωστῆρα τῆς Ἱππολύτης [ἀπελθεῖν]· (δηλαδὴ διὰ τὸ τὰς Συμπληγάδας πέτρας τότε συντρέχειν.) Ἆθλος δὲ ἦν οὗτος ἔνατος. Πολλοὶ δὲ λόγοι περὶ τοῦ [τῆς Ἱππολύτης] ζωστῆρος εἰσίν. Τινὲς μὲν γὰρ Ἱππολύτης, ἄλλοι δὲ Δηϊλύκης· Ἴβυκος δὲ ἰδίως ἱστορῶν [Οἰολύκης τῆς] Βριάρεω θυγατρός φησιν.

V. 780. Ἔνθα δ' ἐπὶ Πριόλαο. (Φησὶν, ὅτι ἡνίκα Ἡρακλῆς ἐπὶ τὸν Ἱππολύτης ἐπορεύετο ζωστῆρα, κατέλαβε Μαριανδυνοὺς ὑπὸ Βεβρύκων καταπονουμένους· ἐπιστρατεύσας δὲ μετὰ Μαριανδυνῶν ἐχειρώσατο τοὺς πολεμίους. Πεσόντος δὲ ἐν τῇ μάχῃ Πριολάου τοῦ Μαριανδυνῶν προηγουμένου, ἀγὼν ἐπιτάφιος

u) ἀντὶ τοῦ P. v) ἀριθμὸς P. w) τοῦ Λύκου P. x) Il. II, 461.

ἐτέθη ἐπ' αὐτῷ, ἐν ᾧ Ἡρακλῆς ἐνίκησε Τιτίαν, ἕνα τῶν Μαριανδυνῶν. Πριόλας δὲ, ἀδελφὸς Λύκου, καὶ Πριόλα πόλις πλησίον Ἡρακλείας.) Τὸν δὲ Τιτίαν οἱ μέν φασι Διὸς παῖδα, [οἱ δὲ] ἕνα τῶν Ἰδαίων Δακτύλων, οἱ δὲ τὸν πρεσβύτατον τῶν Μαριανδυνοῦ παίδων. Ὁ δὲ Μαριανδυνὸς Φινέως ἢ Φρίξου ἢ Κιμμερίου λέγεται παῖς εἶναι. Ἀπὸ δὲ Τιτίου φασὶ Τίτιον τὴν πόλιν κληθῆναι.

Ἔνθα δ' ἐπί. Ἰδίως τὸν θρυλλούμενον Πριόλαόν φησι· τῶν ἄλλων Βάρυνον[y]) λεγόντων τὸν Τιτίου υἱὸν, ὡς Νύμφις καὶ Καλλίστρατος.

V. 782. Ἐλέγοισιν. Τοῖς γὰρ ἐλεγείοις ἐν τοῖς ἐπιταφίοις ἐχρῶντο οἱ παλαιοί.

V. 786. sq. Αὐτὰρ ὁμοῦ. Τὸ ἑξῆς, ὁ Ἡρακλῆς τῷ ἐμῷ πατρὶ Δασκύλῳ ὑπέταξεν ὁμοῦ Μυσοὺς καὶ Φρύγας.

Τινὲς γράφουσι Μυγδόνας [ἀντὶ τοῦ καὶ Φρύγας], ἵνα ᾖ, ὁμοῦ Μυσοὺς καὶ Μυγδόνας ὑπέταξε τῷ πατρί μου. Ὅτι δὲ Φρύγας ἐχειρώσατο τοῖς Μαριανδυνοῖς, καὶ Νύμφις ἱστορεῖ. Διὸ καὶ οὕτω γράφει. Εἰ δὲ γράφοιτο Μυγδόνας, ἤτοι τοὺς Βέβρυκας ἀπὸ Μυγδόνος βασιλέως αὐτῶν οὕτω κέκληκεν· ἢ ῥητέον, ὅτι Μοίριδι κατηκολούθησεν. Οὗτος γὰρ Μυγδόνας ἔφησε καταπολεμῆσαι τὸν Ἡρακλέα.

V. 789. Ἔστ' ἐπὶ Ῥηβαίου. (Τῆς μὲν Παφλαγονίας μέχρι τοῦ Βιλλαίου ποταμοῦ κατεστρέψατο πᾶσαν·) οὗτος δὲ διὰ τῆς ἐπικειμένης Φρυγίας ῥέων, ἐξίησι παρ' αὐτὴν τὴν Τιτάνων πόλιν· ἐκ δὲ τούτου, πρὸς δυσμὰς, ἕως τοῦ Ῥήβα καὶ τοῦ ἐπικειμένου σκοπέλου κατὰ τὴν ἐκβολὴν τούτου.

Ὅτι δὲ τοὺς Παφλαγόνας ὑπέταξεν Ἡρακλῆς τοῖς περὶ Λύκον, ἱστορεῖ Δεινίας ἐν πρώτῳ Ἀργολικῶν, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν δεκάτῳ Βιθυνιακῶν.

V. 791. Βιλλαῖος προπερισπωμένως. Οὕτω φησὶν Ἡρωδιανὸς ἐν τῷ πέμπτῳ τῆς καθόλου. Ἔστι δὲ ποταμὸς Παφλαγονίας· οἱ δὲ, Φρυγίας.

V. 794. sq. Ὄφρ' ἐβάλοντο. Φησὶν, ὅτι οἱ Βέβρυκες πόλιν ἀπετάμοντο τῆς Μαριανδυνῶν χώρας, καὶ μέχρι τοῦ Ὑπίου ποταμοῦ προσηγάγοντο τοὺς ὅρους. Ὤικισται δὲ παρὰ τῷ ποταμῷ ἐν τῇ Θυνίᾳ καὶ πόλις Ὑπαί λεγομένη. Ὁ δὲ Ὕπιος ὠνόμασται ἀπὸ τοῦ καταφέρεσθαι ἀπὸ τῶν Ὑπίων ὀρῶν.

Εἰαμενὰς[z]) δὲ λέγει τοὺς καθύγρους τόπους.

V. 797. (Ἐπελάσσαι ἄρηα. Ἐπαγαγεῖν. Οὐ χωρὶς θεῶν (φησὶ) προνοίας, ὦ Πολύδευκες, ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέκτεινας τὸν Ἄμυκον.)

V. 799. Ἀρκιός[a]) ἐστιν ὁ ἱκανὸς (καὶ ὁ ἕτοιμος).

V. 800. Τίειν, τὸ ἀποδιδόναι.

V. 801. Ὀφέλλειν, τὸ εὐεργετεῖν.

V. 804. Ἀντιᾶν, τὸ περιτυχεῖν ἐνταῦθα.

V. 806. Νόσφι δὲ Τυνδαρίδαις. Χωρὶς δὲ τούτων

y) Βαρίνον P. z) Ὑαμενὰς P. a) ἄρτιος P.

τοῖς Τυνδαρίδαις, τοῦτ' ἔστι, τοῖς Διοσκούροις, ἱερὸν ἱδρύσομεν ἐπὶ τῆς Ἀχερουσίας ἄκρας.

(V. 810. Πίονας εὐαρότοιο. Ἀντὶ τοῦ, τέμενος πρὸ τῆς πόλεως ἀπομερίσω αὐτοῖς.)

V. 811. Ὣς τότε μέν. Οὕτως τότε δι' ὅλης ἡμέρας περὶ τὴν εὐωχίαν ἐτέρποντο καὶ ἔπαιζον.

V. 812. Ἐγκονέοντες. Ἐνεργοῦντες. Ὅθεν καὶ γόνυ, οἷον κόνυ τὶ ὄν· παρὰ τὸ ἐνεργεῖν δι' αὐτοῦ.

V. 815. Ἔνθα δ' Ἀβαντιάδην. Περὶ τοῦ ἐν Μαριανδυνοῖς γενομένου θανάτου τοῦ Ἴδμονος καὶ Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς περὶ Ἡρακλείας, (ὡς Προμηθίδας εἶπε,) καὶ Νύμφις ἐν τῷ περὶ Ἡρακλείας, (ὡς Ἴδμων ὑπὸ συὸς ἐπλήγη.)

V. 817. Ἐπεὶ χρεώ. Ἡ χρεία, ἡ εἱμαρμένη.

[V. 818. Δονακώδης, ὑλώδης P.]

V. 819. Ψυχόμενος. Τῷ ψυχρῷ βρεχόμενος.

V. 821. Ἑλειονόμοι. Αἱ ἐν τοῖς ἕλεσι διατρίβουσαι.

V. 822. Τῖφος. Ὁ ἑλώδης τόπος.

V. 823. Ἀνὰ θρωσμούς. Ἀντὶ τοῦ, κατὰ τὰς ἀναβολὰς καὶ ἀναβάσεις καὶ καθόδους.

V. 824. Ἀφράστοιο. Ἄφραστος, ἀπροσδόκητος.

V. 828. Ὀρέξατο τὸ ἔτεινε[b]) σημαίνει.

V. 829. Αἰγανέην. Ἡ παρὰ τὸ ἄγαν ἵεσθαι· ἢ διὰ τὴν ἀγκύλην τὴν ἐξ αἰγείου δέρματος γεγενημένην· ἢ διὰ τὰς αἶγας, παρὰ τὸ ἐπ' αὐτὰς νεῖσθαι.

[V. 830. Ἐν δὲ τῷ καπρίου νοεῖται ἡ κατά.]

V. 831. Θοῷ. Θοὸν τὸ ὀξύ.

V. 833. Ψυχοῤῥαγέοντα. Ἀποψυχοῦντα.

V. 836. Κηδείαν δὲ λέγει τὸ ἐπὶ τῶν νεκρῶν πένθος.

V. 838. Μεγαλωστί. Μεγαλοπρεπῶς.

V. 843. Νηΐου ἐκ κοτίνοιο. Κότινος οὐ μόνον ὁ ἀγριέλαιος[c]), ἀλλὰ καὶ ἡ ἄκαρπος ἐλαία.

Φάλαγξ δὲ, τὸ ἐπίμηκες καὶ στρογγύλον ξύλον. Πολλὰς δὲ τοιαύτας εἶχον φάλαγγας οἱ ἀριστεῖς πρὸς τὰς νεολκίας[d]), ἀφ' ὧν ἐπὶ τῷ τοῦ Ἴδμονος τάφῳ κατὰ παραίνεσιν τοῦ Ὀρφέως μίαν λαβόντες προσέπηξαν· ἥτις βλαστήσασα, ἔτι καὶ νῦν δείκνυται. Περὶ ταύτην δὲ τὴν Ἡράκλειαν ἔκτισαν [οἱ Μεγαρεῖς].

V. 845. Χρειὼ ἀπηλεγέως. Εἰ δέ με (φησὶ) καὶ τοῦτο δεῖ ἁπλῶς καὶ κατὰ ἀλήθειαν ἐξειπεῖν, οὗτός ἐστιν ὁ Ἴδμων, ὃν ἐχρησμῴδησεν ὁ θεὸς ἐξιλάσκεσθαι Μεγαρεῦσι καὶ Βοιωτοῖς [ὡς πολιοῦχον], ὅτε τὴν Ἡράκλειαν ἔμελλον κτίζειν. Τοῦτο δὲ ἔφη ὁ Ἀπολλώνιος, ὡς μὴ εἰδότων τῶν Ἡρακλεωτῶν, τίς εἴη ὁ τεθαμμένος παρ' αὐτοῖς, καὶ χρησμῳδηθεὶς εἶναι πολιοῦχος ὑπὸ τοῦ θεοῦ. Λέγει δὲ καὶ Προμαθίδας, ὅτι διὰ τὸ ἀγνοεῖν, ὅστις εἴη [ὁ δηλωθεὶς πολιοῦχος ὑπὸ Ἀπόλλωνος διὰ χρησμοῦ, διὰ τοῦτο ἀντ' ἐκείνου Ἀγαπήστορά τινα] ἐπιχώριον ἥρωα καλοῦσιν[e]) οἱ Ἡρακλεῶ-

b) ἔτυψε P. c) ἡ ἀγριελαία P. d) τὴν νεουλκίαν P. e) ἐτίμων P.

ται. Ὅτι δὲ Βοιωτοὶ καὶ Μεγαρεῖς ἔκτισαν τὴν ἐν Πόντῳ Ἡράκλειαν, καὶ Ἔφορος ἐν πέμπτῳ καὶ ἄλλοι ἱστοροῦσιν.

V. 847. Ἐπιῤῥήδην. Ὅτι διαῤῥήδην καὶ φανερῶς ἐπικαλεῖν αὐτὸν πολιοῦχον ὁ θεὸς προσέταξεν.

V. 848. Ἀμφὶ δὲ τήνδε. Περὶ δὲ τὸν ἀγριέλαιον τὸν ἐπιπεφυκότα τῷ Ἴδμονος τάφῳ ἐθέσπισεν ὁ θεὸς τοῖς Μεγαρεῦσι καὶ Βοιωτοῖς τὴν πόλιν κτίσαι. Λέγει δὲ τὴν Ἡράκλειαν. Ἐν γὰρ τῇ ἀγορᾷ τῶν Ἡρακλεωτῶν ὑπάρχει ὁ τάφος (ὥς φησιν Ἡρόδωρος), ἐφ' οὗ ἐστιν ὁ ἀγριέλαιος.

(V. 849. Οἵ δ' ἀντὶ θεουδέος. Ὅτι τὸν τάφον τοῦ Ἀγαμήστορος λέγουσί τινος ἥρωος ἐπιχωρίου.)

V. 854. Ἀγνιάδην Τῖφυν. Ὅτι ἐν τῇ Ἡρακλείᾳ τέθνηκεν καὶ ὁ Τῖφυς, εἶπε Νύμφις. Ἡρόδωρος δέ φησιν, ὅτι οὐκ ἀπιόντων εἰς Κόλχους τέθνηκεν ὁ Τῖφυς, ἀλλ' ὑποστρεφόντων.

V. 857. Εἰσότ'[f]) Ἀβαντιάδαο. Ἐν ὅσῳ ἔθαψαν τὸν Ἴδμονα, ἐν τοσούτῳ καὶ ὁ Τῖφυς νοσήσας ἐτελεύτησεν.

V. 858. Κῆδος. Ἡ λύπη.

V. 859. Παρασχεδὸν αὐτῶν. Ἐγγύς. Ἢ ἐν τῷ μεταξύ.

V. 862. Κατήμυσαν. Ἐστύγνασαν, ταῖς λύπαις κατεκλίνθησαν ὅτι ἀπηλπίκεισαν τὴν σωτηρίαν παντάπασιν.

V. 866. Ἰμβρασίοισι. Ἴμβρασος, ποταμὸς Σάμου, πρότερον Παρθένιος λεγόμενος. Καλλίμαχος·

Ἀντὶ γὰρ ἐκλήθης Ἴμβρασε Παρθενίου.

Ἀστυπάλαια. Ὅτι Ποσειδῶνος καὶ Ἀστυπαλαίας τῆς Φοίνικος ὁ Σάμιος Ἀγκαῖος ἦν παῖς, ὃς ἐκυβέρνα τὴν ναῦν μετὰ τὴν Τίφυος τελευτὴν, καὶ Σιμωνίδης ὁ γενεαλόγος ὁμοίως τῷ Ἀπολλωνίῳ γενεαλογεῖ.[g])

V. 867. Περιπρὸ γὰρ εὖ. Ἀντὶ τοῦ διαφερόντως.

V. 872. Παρθενία δὲ ἡ Σάμος. Ἐκέχρητο γὰρ πολλοῖς ὀνόμασι. Καὶ γὰρ Μελάνθεμος καὶ Παρθενία καὶ Ἀνθεμοῦσα ἐκαλεῖτο.

V. 875. Ὅτινα. Ἀντὶ τοῦ ὅντινα. Ὡς γὰρ ὅτου καὶ ὅτῳ λέγομεν, οὕτω καὶ ὅτινα ποιητικῶς.

Τὸ δὲ ἰάψει, ἀντὶ τοῦ βλάψει καὶ διαφθερεῖ τὸν πλοῦν.

V. 878. Ὀρέξατο. Ὄρεξιν ἔλαβε, καὶ οἷον πρόθυμος ἐγένετο.

V. 888. Τὸ κατηφῆσαι ἀντὶ τοῦ δυσανασχετῆσαι.

V. 889. Τῷ καὶ ὁμοῦ. Διὸ καὶ σὺν τοῖς ἀπολλυμένοις καὶ αὐτὸς προορῶμαι τὴν ἀπώλειαν.

V. 895. Ἐτράπεθ' ὁρμῇ. Μετέπεσε καὶ μετετράπη εἰς εὐελπισίαν[h]) ὁ Ἀγκαῖος.

Ἡρόδωρος Ἐργῖνον φησὶ κυβερνῆσαι τὴν Ἀργὼ μετὰ τὸν θάνατον Τίφυος.

V. 901. Καρπαλίμως. Ταχέως διὰ τοῦ Ἀχέροντος ἐξή-

f) Εἰσόκε P. g) λέγει P. h) εὐελπιστίαν corrigit Schaefer.

λασαν ποταμοῦ. Ἔτυχον γὰρ μέχρι ε̄ σταδίων ἀναπλεύσαντες, διὰ τοῦ Ἀχέροντος καθορμισάμενοι, ὥς φησι καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις.[i])

V. 904. Ὦκα δὲ Καλλιχόροιο. Ποταμὸς Παφλαγονίας, (ἱερὸς Διονύσου,) περὶ Ἡράκλειαν· οὗ μέμνηται καὶ Καλλίμαχος. Ἔξεισι δὲ διὰ στομάτων δισσῶν. Οὕτω δὲ κέκληται ἀπὸ τοῦ τὸν Διόνυσον αὐτόθι στῆσαι χορὸν, ὅτε ἀπὸ Ἰνδῶν ὑπέστρεφε. (Τοῦτον δὲ πάλιν Ὀξύνοντα ἐκάλουν.)

Ὅτι δὲ κατεπολέμησεν Ἰνδοὺς ὁ Διόνυσος, Διονύσιός φησι καὶ Ἀριστόδημος ἐν πρώτῳ Θηβαϊκῶν ἐπιγραμμάτων, καὶ Κλείταρχος ἐν ταῖς περὶ Ἀλεξάνδρου ἱστορίαις, προσιστορῶν, ὅτι καὶ Νύσα ὄρος ἐστὶν ἐν Ἰνδικῇ, καὶ κισσῷ προσόμοιον φυτὸν φυτεύεται ἐκεῖ, ὃ προσαγορεύεται σκινδαψός. Ὡσαύτως δὲ καὶ Χαμαιλέων ἱστόρησεν ἐν πέμπτῳ[k]) περὶ Ἰλιάδος.

V. 908. Ἀμειδήτους. Ἤτοι φοβερὰς διὰ τὰ μυστήρια τοῦ θεοῦ· ἢ ὅτι φοβεραί εἰσιν αἱ νύκτες. Εὐριπίδης·

Νύκτωρ τὰ πολλὰ σεμνότητ' ἔχει σκότος.

V. 911. Σθενέλου τάφον. Ἐν τῇ Παφλαγονίᾳ Σθενέλου τάφος ἐστὶ τοῦ Ἄκτορος· ὃς συστρατεύσας Ἡρακλεῖ ἐπ' Ἀμαζόνας, τρωθεὶς ἀνεχώρησεν, καὶ ἀπέθανε καθ' ὁδὸν περὶ τὴν Παφλαγονίαν. Τὴν δὲ περὶ [τοῦ] Σθενέλου [τάφου] ἱστορίαν ἔλαβε παρὰ Προμαθίδα, τὰ δὲ περὶ τοῦ εἰδώλου αὐτὸς ἔπλασεν.

V. 915. Ἀνεμέτρεον, ἀντὶ τοῦ παρέπλεον.

V. 918. Στεφάνην, τὴν ἄκραν.

V. 926. Ἥγνισαν, ἀντὶ τοῦ ἐκάρπωσαν καὶ ἔκαυσαν.

V. 929. Ἐκ τοῦδε Λύρη. Οὗτος μέν φησιν ἐπὶ τῷ τοῦ Ἀπόλλωνος βωμῷ τὴν λύραν ἀνατεθεῖσθαι ὑπὸ Ὀρφέως· (διὸ καὶ τὴν χώραν προσηγορεῦσθαι) ὁ δὲ Προμαθίδας, ἐπὶ στήλης τινός.

V. 933. Ἐντενές. Συντόνως.

V. 934. Ταρσὸν δὲ τὸ σῶμα φησίν. Δηλοῖ δὲ τὰς πτέρυγας.

[V. 935. Ῥιπὴν δέ φησι τὴν ὁρμήν.]

V. 936. Καὶ δὴ Παρθενίοιο ῥοάς. Ποταμὸς Παφλαγονίας. Ἐκβάλλει δὲ τὰ ῥεύματα περὶ πόλιν Σήσαμον. Τὸ δὲ ὕδωρ αὐτοῦ ἐν πᾶσι παρέρχεται. Παρθένιον δέ φησιν αὐτὸν ὠνομάσθαι Καλλισθένης διὰ τὸ (τὴν Ἄρτεμιν ἐν αὐτῷ λούεσθαι. Ἔνιοι δὲ διὰ τὸ) στάσιμον τοῦ ῥεύματος καὶ ἤρεμον (φασὶν οὕτω προσαγορεύεσθαι).

V. 941. Σήσαμον. Πόλιν Παφλαγονίας. (Ὅμηρος[l])·

— — — καὶ Σήσαμον ἀμφενέμοντο.)

Τὸ δὲ Σήσαμον μετωνομάσθη Ἄμαστρις[m]) ἀπὸ Δαρείου ἀδελφοῦ θυγατρός. Ἐκλήθη δὲ τὴν ἀρχὴν ἀπὸ τοῦ σήσαμον λαβεῖν παρὰ Καρῶν (ἀντὶ τῆς χώρας) [τὸν] βουλόμενον κτίσαι τὴν πόλιν.

i) Ἀργοναυτικοῖς legendum putat Schaefer. k) τῷ P. l) Il. II, 853. m) Sic P. Vulgo Δάματρις. cf. Steph. Byz. s. v.

Ἐρυθῖνοι δὲ, οὕτω λεγόμενοι λόφοι περὶ Παφλαγονίαν. Οὕτω δὲ λέγονται διὰ τὴν ἐρυθρότητα τοῦ χρώματος. Εἰσὶ γὰρ τοιοῦτοι. Καὶ Ὅμηρος αὐτῶν μέμνηται·

— — — — καὶ ὑψηλοὺς Ἐρυθίνους [n]).

V. 942. *Ὑλήεντα* δὲ εἶπεν, διὰ τὸν πύξον ἐκεῖ πολὺν γίνεσθαι.

Κρωβίαλος πόλις περὶ Παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν Γεωγραφουμένοις. Παρ' Ὁμήρῳ δὲ μεταγράφει ἀντὶ τοῦ, Κρώμναν τ' Αἰγιαλόν τε, Κρώμναν Κρωβίαλόν τε.

V. 945. *Αἰγιαλόν*. Ἔστι γὰρ αἰγιαλὸς σταδίων μυρίων κάμψαντι τὴν Κάραμβιν μέχρι Σινώπης.

V. 946. *Αὐτίκα δ' Ἀσσυρίης*. Ἀσσυρίαν εἶπε τὴν Συρίαν τὴν [o]) Καππαδοκίαν. Ἐκαλεῖτο δὲ πάλαι Συρία, διὰ τὸ τὸν Ἅλυν ποταμὸν μεταξὺ Σύρων καὶ Παφλαγόνων ῥέοντα, (φησὶν) εἰς τὸν Εὔξεινον ἐκδιδόναι πόντον. Τινὲς δὲ τῶν ἀρχαίων Λευκοσυρίαν αὐτὴν ἐκάλουν.

Ἔνθα Σινώπην. Πόλις τοῦ Πόντου ἡ Σινώπη, ὠνομασμένη ἀπὸ τῆς Ἀσωποῦ θυγατρὸς Σινώπης· ἣν ἁρπάσας ὁ Ἀπόλλων, κατὰ Φιλοστέφανον, ἀπὸ Βοιωτίας ἐκόμισεν εἰς τὸν Πόντον, καὶ μιγεὶς αὐτῇ, ἔσχε Σύρον, ἀφ' οὗ οἱ Σύροι. Τὴν δὲ τῶν Ἀσσυρίων χώραν Λευκόσυρόν φησι καλεῖσθαι Ἄνδρων [p]) ἐν τῷ περὶ Πόντου, κατὰ ἀντίφρασιν τῶν ἐν τῇ Φοινίκῃ Σύρων. Ὁ δὲ Τήϊος Ἀνδρῶν [p]) φησὶ μίαν τῶν Ἀμαζόνων φυγοῦσαν εἰς Πόντον γήμασθαι τῷ τῶν τόπων ἐκείνων βασιλεῖ, πίνουσάν τε (πλεῖστον) οἶνον, ὀνομασθῆναι Σανάπην, ἐπειδὴ μεταφραζόμενον τοῦτο σημαίνει τὴν πολλὰ πίνουσαν. (Ὅτι δέ τινες τοὺς Ἀσσυρίους Λευκοσύρους λέγουσι, φησὶ καὶ Ἀρτεμίδωρος.) Ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεος καὶ Αἰγίνης γενεαλογεῖται ἡ Σινώπη· κατὰ δέ τινας, Ἄρεος καὶ Παρνάσσης· κατ' Εὔμηλον καὶ Ἀριστοτέλην, Ἀσώπου. Καὶ οὗτος μέν φησιν, ὅτι Ἅλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα, καὶ Δία, (αἰτησαμένη παρ' αὐτῶν πρότερον, ἵν' ἐπιτύχῃ οὗ ἂν ἐθέλοι· ἔπειτα εἰποῦσα παρθενίας ὀρέγεσθαι, ταύτης ἐπέτυχεν, ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν.) Φιλοστέφανος δέ φησι τοὐναντίον, Ἀπόλλωνι αὐτὴν μιγεῖσαν, ἀποκυῆσαι τὸν προσαγορευθέντα Σύρον· ἐπεὶ δὲ οἱ μέθυσοι Σανάπαι λέγονται παρὰ Θρᾳξὶν (ᾗ διαλέκτῳ χρῶνται καὶ Ἀμαζόνες) κληθῆναι τὴν πόλιν· ἔπειτα κατὰ φθορὰν Σινώπη. Ἡ δὲ μέθυσος Ἀμαζὼν ἐκ τῆς πόλεως [q]) παρεγένετο πρὸς Λυτίδαν, ὥς φησιν Ἑκαταῖος.

V. 955. *Τρικκαίοιο*. Ἡνίκα ὁ Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Ἀμαζόνας, σύμμαχοι ὄντες οἱ περὶ τὸν Αὐτόλυκον ἐπλανήθησαν, καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν. Ἄλλοι δέ φασιν, ἑκουσίως καταλειφθῆναι αὐτοὺς, ἵνα τοὺς περὶ Σινώπην καταπολεμήσωσι τόπους.

n) Il. II, 855. o) καὶ P. p) Ἄντρων P. q) Post hoc vocabulum in P. lacuna fere dimidii versus.

(V. 956. *Δηϊλέων τε.* Οὗτοι καταλειφθέντες ὑπὸ Ἡρακλέους ἐπὶ τὸν τῆς Ἀμαζόνος ζωστῆρα κεχωρηκότος, φήμης δοθείσης, ὡς ἀπόλωλεν Ἡρακλῆς, τῶν Σινωπαίων λεγόντων, παραπλεόντων τῶν Ἀργοναυτῶν, παρεκάλεσαν ἀναλαβεῖν αὐτοὺς τῇ νηΐ. Τινὲς δέ φασιν, ὅτι ἐπλανήθησαν ἀπὸ Ἡρακλέους, καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν.)

V. 961. *Ἀργέσταο.* Τοῦ Ζεφύρου οὕτω λεγομένου. Ἄρχεται δὲ πνεῖν ἀπὸ θερινῆς δύσεως.

Παρεπιπνείειν τὸ ἐπ' ὀλίγον πνεῖν σημαίνει.

Τὸ δὲ *ἆσσον* σημαίνει τὸ τῆς νεὼς ἐγγὺς ἤδη πνέειν.

V. 963. *Ἄλυς καὶ Ἶρις* ποταμοὶ τῆς Λευκοσυρίας.

(Τῆς δὲ περὶ Θεμισκύραν ἄκρας καὶ ἐπάνω μέμνηται, εἰπὼν περὶ τοῦ Θερμώδοντος [r])·

Θεμισκύριον ἐπ' ἄκρην
μύρεται.)

Κατὰ δὲ τὴν Θεμισκύριον ἄκραν καὶ ἡ καλουμένη Ἡράκλειος ἄκρα ἐστὶν, ἧς ἄλλοι τε καὶ Ἀρτεμίδωρος μέμνηνται· (ἐφ' ἧς τὸ τοῦ Ἡρακλέους ἱερὸν ἵδρυται.)

V. 964. *Ἠδὲ καὶ Ἀσσυρίης. Πρόχυσιν* ἔφη τῆς Ἀσσυρίας, τοῦτ' ἔστι τῆς Λευκοσυρίας, τὴν ἐγκειμένην χώραν αὐτῆς εἰς θάλασσαν· ὡς καὶ ἐν τοῖς ἐπάνω·

Λεῖπον Ἄλυν ποταμὸν, λεῖπον δ' ἁλιμυρέα χώραν,
(Ἀσσυρίης ἀνέχουσαν ἀπὸ χθονός.)

Τοῦτο δὲ εἶπεν ὡς ποταμοχώστου τῆς γῆς οὔσης, διὰ τὸ μεγάλους εἰς αὐτὴν καταφέρεσθαι ποταμοὺς Ἄλυν καὶ Ἶριν. Καὶ οὕτως ἔχει ταῖς ἀληθείαις, καὶ πρὸς ταῖς ἄρκτοις ἡ χώρα ἔγκειται. Διὸ ποταμόχωστον λέγει εἶναι Ἀπολλωνίδης. Τοὺς γὰρ προειρημένους ποταμοὺς (ἀμφοτέρους), μάλιστα τὸν Ἶριν, κατὰ διάφορα μέρη τῆς χώρας ῥέοντα, ἄλλοτε κατ' ἄλλους τόπους ἐκδιδόναι, καὶ ταύτῃ μακροῖς αὐτὴν προσχώμασιν εἰς μέσον ἐπεκτείνειν τὸ πέλαγος. (Διὸ δὴ σύμπασαν εἶναι ποταμόχωστον τὴν γῆν.) Βίαιον γὰρ καὶ πολὺν αὐτὸν, ἀπὸ τῆς Ἀρμενίας διὰ χειμερίου καὶ μακρᾶς φερόμενον παρασύρειν τὴν γῆν. Τοῦ δὲ κύματος παλίσσυτον ἐλαύνοντος ἐπὶ τὴν γῆν τὴν ἰλὺν, συμβαίνει τὴν χώραν ἐπιπολὺ παραύξεσθαι [s]), καὶ τὴν θάλασσαν γίνεσθαι τεναγώδη.

V. 965. *Γνάμψαν Ἀμαζονίδων.* Εἰκότως εἶπεν, ἐπειδὴ [t]) ἀπὸ Σινώπης μέχρι Τραπεζοῦντος τῆς Κολχικῆς ἀπὸ τριῶν σταδίων λιμὴν ἄλλος οὐχ ὑπόκειται πλὴν τούτου, κατὰ τὸν Ἡράκλειον τόπον [u]). Τῆς δὲ Θεμισκύρας ἄκρας καὶ ἄνω μέμνηται.

Ἔφορος δὲ ἐν ἐννάτῳ φησὶ, τὰς Ἀμαζόνας ὑβριζομένας ὑπὸ τῶν ἀνδρῶν, ἐξελθόντων αὐτῶν ἐπί τινα πόλεμον, τοὺς μὲν καταλειφθέντας ἀναιρεῖν, τοὺς δὲ ἀπὸ τῆς ξένης προσιόντας μὴ δέχε-

r) II, 371. s) προσχοῦσθαι P. t) τοῖς πλέουσιν inserit Etymol. M. p. 566, 30. u) πλὴν τοῦ κατὰ τὸ Ἡράκλειον, εἴτε καὶ Θεμισκύρειον ἄκρον P. πλὴν τοῦ κατὰ τὸν Ἡράκλειον. Etymol. M., ad quem locum Sylburg. Nostri τόπον in κόλπον mutandum judicat.

σθαι. Διονύσιος δὲ ἐν δευτέρῳ κατὰ Λιβύην αὐτὰς ᾠκηκέναι φησί· ῥώμῃ δὲ διενεγκούσας καὶ τρεψαμένας τοὺς ὁμόρους, ἐλθεῖν καὶ ἐπὶ τὴν Εὐρώπην, καὶ πολλὰς αὐτόθι πόλεις κτίσαι· ὑποτάξαι τε αὐταῖς τὸ Ἀτλαντικὸν ἔθνος, ὃ ἦν δυνατώτατον τῶν τῆς Λιβύης. Ζηνόθεμις δὲ αὐτάς φησιν ᾠκηκέναι ἐν Αἰθιοπίᾳ, καὶ διερχομένας ἐπὶ τὸ ἀντιπέραν, συγγίνεσθαι τοῖς αὐτόθι ἀνδράσιν· καὶ εἰ μὲν θῆλυ ἀποκυήσειαν, προσεθίζειν τῇ [αὐτῇ] ἀγωγῇ· εἰ δὲ ἄῤῥεν, τοῖς ἀνδράσι διδόναι.

Λ ι μ ε ν ή ο χ ο ν v) ἄ κ ρ η ν. Ἐὰν μὲν τὴν συνεχομένην, προπαροξυτόνως· ἐὰν δὲ τὴν συνέχουσαν τὸν λιμένα, παροξυτόνως.

V. 970. Τ ῆ ς ο ἵ γ' ἐ ν κ ό λ π ῳ. Τῆς προειρημένης ἄκρας ἐν τῷ κόλπῳ ὥρμησαν w).

V. 972. Τ ῷ δ' ο ὔ τ ι ς π ο τ α μ ῶ ν. Ὅτι ὁ Θερμώδων ἐν τῇ Λευκοσυρίᾳ ἐστὶν, ἣν πρότερον Ἀμαζόνες ᾤκουν, οὐκ ἀγνοεῖται. Φησὶ δὲ αὐτὸν Ἀπολλώνιος ἑκατὸν τεσσάρων δεούσας καταχεῖν ἀποῤῥύσεις εἰς ἄλλα καὶ ἄλλα μέρη, ῥεούσας ἀπὸ μιᾶς πηγῆς. Ἄλλοι δέ φασι, πόρους ἑτέρους δέχεσθαι εἰς αὐτόν. Ὁ αὐτὸς δὲ οὗτος Ἀράξης ἐκαλεῖτο τοπρότερον, ὁμωνύμως τῷ ἐκ τῆς Ἀρμενίας ῥέοντι.

V. 973. Π α ρ ὲ ξ ἔ θ ε ν. Περισσή ἐστιν ἡ π α ρ ά. Ἔστι γὰρ, ἐξ αὐτοῦ χωρὶς βάλλων τοσαῦτα ῥεύματα ἀπὸ μιᾶς πηγῆς ἄλλος οὐκ ἔστι ποταμός.

V. 975. Π ε μ π ά ζ ε ι ν τὸ ψηφίζειν καὶ μετρεῖν σημαίνει.

V. 978. Ἔ ν θ ε ν δ' α ἰ π υ τ έ ρ α ν x). Ἐκ τῆς ἀνωτάτω (φησὶ) πηγῆς καταντικρὺ φερόμενον τὸν Θερμώδοντα ὑψηλὴ ὑποδέχεται γῆ. Ὅθεν πολλὰς ἔχει ἀποῤῥύσεις καὶ ἐπιστροφὰς, διὰ τὸ τὸ ὕδωρ ἐκτρέπεσθαι.

V. 980. Α ἰ ε ὶ δ' ἄ λ λ υ δ ι ς ἄ λ λ η. Ἀεὶ δὲ ταπεινῆς οὔσης τῆς χώρας, τοὺς μὲν τῶν πόρων εἰς μακρὰν ἔχει πεμπομένους, τοὺς δὲ ἐγγύς.

V. 981. Χ θ α μ α λ ῆ ς, ἀντὶ τοῦ ταπεινῆς.

V. 983. Ὁ δ' ἀ μ φ α δ ό ν y) [ἀντὶ τοῦ φανερῶς]. Ὁ δ' ὑπὸ τὴν κυρτὴν ἄκραν συμμεμιγμένος τοῖς ἄλλοις, εἰς τὸν Εὔξεινον πόντον ῥεῖ.

V. 984. Κ υ ρ τ ὴ ν δὲ τὴν ἄκραν φησὶν εἶναι, διὰ τὸ ἐπικαμπῆ εἶναι.

V. 987. Ἐ π η τ έ ε ς. Λόγιαι. Παρὰ τὸ ἔπος. Ἢ, οὐ συγγνώμονες καὶ προμηθεῖς, ἀλλὰ θρασεῖαι καὶ ἀπερίσκεπτοι.

V. 988. Δ ο ι ά ν τ ι ο ν. Πεδίον Θερμώδοντος, ἀπὸ Δοίαντος οὕτω κληθέν.

V. 990. Γ ε ν ε ὴ ν ἔ σ α ν Ἄ ρ ε ο ς. Ἁρμονία, νύμφη ναΐς· ἧς καὶ Ἄρεως Ἀμαζόνας εἶναι φησὶ Φερεκύδης, ᾧ ἕπεται Ἀπολλώνιος.

v) λιμενίοχον P. w) Leg. ὥρμισαν. x) αἰπυτέρην P. y) ἐμφαδὸν P.

V. 992. (*Ἄλσεος Ἀκμονίοιο.*) Οὐδέποτε ἄλσος Ἀκμόνιον[z]) ἐδήλωσεν Εἰρηναῖος. Ἔστι δὲ περὶ τὸν Θερμώδοντα. Μέμνηται αὐτοῦ Φερεκύδης (ἐν β).

(V. 995. *Ἔνθα Θεμισκύριαι.* Αἱ ἐκ τῆς Θεμισκύρας (φησὶν) Ἀμαζόνες ἐπὶ τὴν ἄκραν, ἔνθα κατέπλευσαν, ὡπλίζοντο, ἔφθασαν δὲ ἀνενεχθέντες οἱ ἥρωες.)

V. 999. *Λυκάστιαι.* [Λυκάστιον] χωρίον τῆς Λευκοσυρίας, ἀφ' οὗ Λυκαστίας εἶπε τὰς Ἀμαζόνας. Χαδησίας δὲ αὐτὰς εἶπεν Ἑκαταῖος, ἀπὸ τοῦ χαδῆσαι[a]). Χωρὶς οὖν τὰς ἐκ Θεμισκύρας φησὶ, καὶ χωρὶς τὰς (ἐκ) Λυκαστίας ὁπλίζεσθαι κατὰ τῶν ἡρώων, διὰ τὸ κεχωρισμένως οἰκεῖν. Ἔφθασαν δ' ὅμως προαναχθέντες[b]) οἱ ἥρωες.

V. 1005. *Στυφελήν.* Τραχεῖαν καὶ σκληράν. Οὕτως Κλειτόριοι λέγουσιν, ὥς φησι Ζηνόδοτος ἐν Γλώσσαις· Κυρηναῖοι δὲ, τὴν χέρσον. Τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ χαλεποῦ, ὡς τὸ,

ἀπὸ στυφελοῦ Ἀφροδίτης.

V. 1006. *Ὦνος* δέ ἐστι τὸ τῆς τροφῆς τίμημα.

(Οἱ δὲ Χάλυβες μεταλλεύοντες σίδηρον, πωλοῦσι, καὶ οὕτω τὰ ἐπιτήδεια πορίζονται, τραχεῖαν ἔχοντες πρὸς καρπὸν τὴν γῆν. Προείρηται δὲ ἤδη περὶ αὐτῶν.)

V. 1008. *Ὀτλεύουσιν.* Ὑπομένουσι. Διὰ τὸ χαλκεύειν αὐτοὺς τὸν σίδηρον, περὶ τῷ καπνῷ ταλαιπωρεῖν φησί.

Κελαινὴν λιγνὺν τὴν αἰθάλην φησί.

V. 1010. *Τιβαρηνίδα γαῖαν.* Τιβαρηνοὶ, ἔθνος Σκυθίας. Οὗτοι δικαιότατοι λέγονται. Καὶ οὐδέποτε μάχην τινὶ συνέβαλον, εἰ μὴ πρότερον καταγγείλειαν καὶ ἡμέραν καὶ τόπον καὶ ὥραν τῆς μάχης. Ἐν δὲ τῇ τῶν Τιβαρηνῶν γῇ αἱ γυναῖκες, ὅταν τέκωσι, τημελοῦσι τοὺς ἄνδρας, ὥσπερ λεχούς· (ὡς ἱστορεῖ Νυμφόδωρος ἐν τισι νόμοις[c]).)

V. 1015. *Ἱερὸν δ' αὖτ' ἐπὶ τοῖσιν ὄρος.* Ὄρος οὕτω καλούμενον τὸ καθῆκον εἰς τὸν Εὔξεινον πόντον. Ἄλλως. Τοῦτο καθῆκόν ἐστιν εἰς τὸν Εὔξεινον πόντον. Μέμνηται αὐτοῦ καὶ Κτησίας ἐν τῷ ᾱ Περιόδων, καὶ Σουΐδας ἐν β, περὶ τοὺς λεγομένους Μάκρωνας· ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῷ τοῦ Πόντου Περίπλῳ· ὃς καὶ ρ' ἀπέχειν σταδίους αὐτό φησι τῆς Τραπεζοῦντος. Ὁ δὲ Εἰρηναῖος Μνησίμαχόν φησι περὶ αὐτοῦ ἱστορεῖν ἐν ᾱ περὶ Σκυθῶν, ἀγνοῶν. Ὁ γὰρ Μνησίμαχος [ὡς] ἐν τῇ Εὐρώπῃ μέμνηται κειμένης τῆς Σκυθικῆς· ὁ δὲ Ἀπολλώνιος καὶ οἱ προειρημένοι περὶ τῆς Ἀσίας διαλέγονται. Ἔστι καὶ ἄλλο Ἱερὸν ὄρος Θρᾴκης.

V. 1026. *Ξυνῇ φιλότητι.* Οὐχ ὡς αὐτῶν συνερχομένων ταῖς ἀλλήλων γυναιξὶ τοῦτο λέγει, ἀλλὰ ἕκαστος τῇ ἑαυτοῦ φανερῶς.

V. 1030. *Λιμῷ μιν κεῖν' ἦμαρ.* Ἱστορεῖ Ἔφορος καὶ

z) Ἀλκμώνιον P. a) Χαδησίον P. b) Sic emendavi. Vulgo προσανεχθέντες. P. προανενεχθέντες. c) ἐν τοῖς Νόμοις corrigit Rutgers. Var. lect. IV, 20.

Νυμφόδωρος περὶ τούτων, ὅτι τὸν βασιλέα αὐτῶν ἄδικόν τι κρίναντα ἐγκλείουσι καὶ λιμαγχονοῦσι.

V. 1032. Τὴν Ἀρητιάδα νῆσον φασὶν ὑπὸ Ὀτρήρας τῆς Ἄρεος κατοικισθῆναι. Περὶ δὲ τῶν ἐν αὐτῇ ὀρνέων μέμνηται Τιμάγητος [d]. Εἰσὶ δὲ σιδηρόπτεροι, αἳ λέγονται Στυμφαλίδες.

(V. 1053. Οὐδὲ γὰρ Ἡρακλέης. Τὰς Στυμφαλίδας ὄρνιθας (φησὶν) οὐκ ἠδύνατο ἀπώσασθαι, εἰ μὴ κρόταλον χαλκοῦν καὶ ψόφον ποιῶν ἐξεφόβησεν.)

V. 1054. Πλωΐδες δὲ ὄρνιθες καλοῦνται, διὰ τὸ ἐν τῇ λίμνῃ αὐτὰς νήχεσθαι τῆς Ἀρκαδίας, ἃς Ἡρακλῆς ἀπεδίωξεν.

Στύμφηλος δὲ, πόλις Ἀρκαδίας· καὶ Στυμφαλὶς δὲ, λίμνη. Καὶ Ὅμηρος· [e]

[Οἵ] Στύμφηλόν τ' εἶχον.

Στυμφαλίδες δὲ λέγονται περὶ αὐτὴν ὄρνιθες, ἃς πλωΐδας εἶπεν Ἀπολλώνιος. Οὕτω δὲ αὐτὰς ὀνομάζει καὶ Σέλευκος ἐν Συμμίκτοις, καὶ Χάρων, αὐτοῦ τοῦ Ἀπολλωνίου γνώριμος, (ἐν τῷ Περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου.) Ἰδίως δὲ Μνασέας φησὶ Στυμφάλου [f] τινὸς ἥρωος καὶ Ὄρνιθος γυναικὸς γενέσθαι Στυμφαλίδας θυγατέρας· ἃς ἀνελεῖν τὸν Ἡρακλέα, ὅτι οὐ προσεδέξαντο αὐτὸν, καὶ ἐξένισαν τοὺς Μολίονας. Φερεκύδης δέ φησιν, οὐ γυναῖκας, ἀλλ' ὄρνιθας εἶναι, καὶ ἀναιρεθῆναι πρὸς Ἡρακλέους, πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς. Ὁμοίως καὶ Ἑλλάνικός φησιν. Τὴν δὲ Στυμφαλίδα λίμνην φασὶ διὰ βερέθρων ἐκδοθεῖσαν ξηρανθῆναι.

V. 1056. Πλαταγήν. Ὀξυτόνως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου. Σημαίνει δὲ τὸν κρόταλον. [Βέλτιον δὲ ἴσως, τὴν μὲν πλαταγὴν, τὸν ἦχον, ὀξύνειν, τὴν δὲ πλατάγην, τὸ κρόταλον, παροξύνειν.] Φασὶ δὲ αὐτὴν ἡφαιστότευκτον οὖσαν, Ἡρακλεῖ παρὰ τῆς Ἀθηνᾶς δοθῆναι. Ὁ δὲ Ἑλλάνικός φησιν αὐτὸν [τὸν Ἡρακλέα ἑαυτῷ] κατασκευάσαι.

V. 1058. Ἀτυζηλῷ. Ἐκπληκτικῷ. Περισπαστέον δὲ τῷ ἀτυζηλῷ. Ἔστι γὰρ ἀπὸ ὀξυτόνου τοῦ ἀτυζηλὸς, ὡς Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου.

V. 1061. Ἀερσιλόφους τρυφαλείας. Ὧν οἱ λόφοι ἐπηρμένοι εἰσὶ καὶ μετέωροι.

V. 1062. Ἀμοιβαδίς. Ἀντὶ τοῦ ἀμοιβαίως.

[V. 1066. Ἐπήορα λέγεται τὰ ἐπηρμένα.]

V. 1069. Ἐπίῤῥοθος βουλὴ, ἡ ὠφέλιμος.

V. 1074. Ὡς δ' ὅτε τις κεράμῳ. Ταῖς κεραμίσι καταστεγάζει.

V. 1076. Ἄλλῳ δ' ἔμπεδον. Ἄλλος δὲ ἄλλῳ (φησὶ) κέραμος ἀνθίσταται ἀσφαλῶς καὶ συνήρμοσται. Ἐπαμοιβοὶ γὰρ, οὐχ οἱ ἀμείβοντες, ἀλλ' οἱ ἐπηλλαγμένοι τὴν σύνθεσιν.

(V. 1078. Οἵη δὲ κλαγγή. Ὁποία δὲ βοὴ γίνεται ἐν πολέμῳ, ὁπόταν ἀλαλάξαντες ξυνέρχωνται.)

d) Sic P. Vulgo Τιμάγνητος. e) Il. II, 608. f) Στυμφίλου P.

V. 1086. *Ἐνναέται.* Κατ' ἐξαίρεσιν τοῦ ῑ, ἵν' ᾖ ἐνναιέται. Κλεινίας δέ φησι καὶ τὸν ναόν ποτε οὕτως εἰρῆσθαι ἔνναιον, διὰ τὸ ἐνναίειν ἐν αὐτῷ τοὺς θεούς.

[Τέγος δὲ ἡ ὀροφὴ, οὗ γενικὴ πληθυντικὴ τεγέων.]

V. 1087. *Ἥνται ἀκήν.* Κάθηνται ἐν οἴκῳ [σιωπῶντες, μηδὲν] ἐπιστρεφόμενοι τοῦ χειμῶνος, ἢ τῆς χαλάζης, διὰ τὸ ἐξηρτημένους [g]) αὐτοὺς εἶναι.

V. 1088. *Μέλαθρον.* Τὴν ὀροφήν. Κράτης δὲ τὴν δοκὸν ἐδέξατο, ὡς καὶ παρὰ τῷ ποιητῇ [h])·

— Αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον.

V. 1089. *Ὡς πυκινὰ πτερά.* Χαλάζης πυκνότερα ἐφίεσαν αὐτοῖς πτερὰ, φεύγοντες διὰ τῆς θαλάσσης. Πιθανῶς δὲ ὁ Πείσανδρος τοὺς ὄρνιθάς φησιν εἰς Σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεσαν.

V. 1091. *Τίς γὰρ δὴ Φινῆος.* Τοῦτο ἐρώτησις ὡς ἀπὸ τοῦ ποιητοῦ πρὸς τὰς Μούσας. (Τί φρονῶν (φησὶν) ὁ Φινεὺς ἐκέλευσεν αὐτοῖς προσορμισθῆναι τῇ τοῦ Ἄρεος νήσῳ; καὶ τίνα ὠφέλειαν αὐτοῖς προορώμενος, τοῦτο προσέταξεν;) Εἶτα, ὥσπερ ἐμπνευσθεὶς, ἐπιφέρει·

Υἷηες Φρίξοιο —

(Κατὰ δὲ τὴν Ἀρητιάδα νῆσον οἱ τοῦ Φρίξου υἱοὶ ἐναυάγησαν, ἔνθα ἦν καὶ τὰ σιδηρόπτερα ὄρνεα.)

(V. 1094. *Υἷηες Φρίξοιο.* Οἱ παῖδες Φρίξου ἔπλεον εἰς Ὀρχομενὸν ἐκ Κόλχων, ἵνα τὰ πατρῷα κληρονομήσωσιν· ναυαγήσαντες δὲ ἐξεβράσθησαν πρὸς τὴν Ἀρητιάδα νῆσον. Ὅθεν ἀναλαβόντες αὐτοὺς οἱ Ἀργοναῦται ἔσχον καθηγεμόνας, καὶ πάλιν αὐτοὺς ἀπήγαγον εἰς Ὀρχομενόν.)

V. 1099. *Ζεὺς δ' ἀνέμου.* Δεικνὺς τὴν ἑῴαν ἐπιτολὴν τοῦ ἀρκτούρου, (βορέαν ἐποίησε πνεῖν, ὅπως ῥαδίως ὄμβρος καὶ ταραχὴ γένηται.) Τοῦτο δὲ ἔφη, ἐπεὶ κατὰ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου σφοδροὶ καταχέονται ὄμβροι, ὥς φησι Δημόκριτος ἐν τῷ Περὶ ἀστρονομίας. Καὶ Ἄρατος [i])·

Φράζεσθαι δ' αἰνοῦ μεμνημένος ἀρκτούροιο.

Ἔστι δὲ ὁ ἀρκτοῦρος ἀστὴρ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος. Εἴωθε δὲ καὶ ὁ βορέας ὄμβρους καταῤῥήσσειν.

V. 1101. *Ἠμάτιος.* Ὁ ἡμερινός. Κατὰ τὴν ἡμέραν οὖν, φησὶν, ὁ βορέας ἐτίνασσε τὰ φύλλα.

V. 1102. *Ἀήσυρος* δὲ, ὁ ἐλαφρῶς πνέων. Ἀπὸ τοῦ ἄω τὸ πνέω.

V. 1107. *Μυδαλέοι.* Οἱ κάθυγροι.

V. 1110. *Ῥόθιον.* Τὸ κῦμα.

V. 1112. *Ὠρέξαντο,* ἀντὶ τοῦ ἐλάβοντο.

Οἷά τε πολλά. Οἷα πολλὰ ἦν πρότερον μὲν συνηρμοσμένα τοῖς γόμφοις, τότε δὲ διαφθαρείσης τῆς νεὼς διεσκορπίσθη τὰ ξύλα.

g) ἐξηρτυμένους legi jubet Schaefer. h) Hom. Od. XXII, 239. i) Arat. Phaen. 745.

V. 1113. Ῥαισθεῖσα. Διαφθαρεῖσα.

Κεκέδαστο, ἀντὶ τοῦ διεσκόρπιστο.

V. 1114. Παρὲξ ὀλίγον. Παρ᾽ ὀλίγον ἐκ τοῦ θανάτου.

V. 1121. Νύχθ᾽ ὑπὸ λυγαίην. Τὴν σκοτεινήν. Ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ. Καὶ γὰρ ἐκεῖνο μέλαν. Καὶ τὸν ἐνιαυτὸν λυκάβαντα, οἱονεὶ λυγάβαντα, ἐπεὶ μετὰ λύγης βαίνει. Σοφοκλῆς Πολυξένῃ·

Ἀπ᾽ αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους [k]).

V. 1123. Ἄργος δὲ παροίτατος. Εἷς τῶν Φρίξου παίδων οὗτος. Τούτους δὲ Ἡρόδωρός φησιν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός· Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς Μεγάλαις Ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου. Καὶ οὗτος μέν φησιν αὐτοὺς τέσσαρας, Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσωρον [l])· Ἐπιμενίδης δὲ καὶ πέμπτον προστίθησι Πρέσβωνα.

V. 1124. Ἐποψίου. Ἐπόψιος, ἔποπτος.

V. 1129. Ὅσσον θ᾽ εἴλημα [m]). Εὐτελὲς καὶ βραχύτατον περίβλημα.

Ἐμβεβαῶτες. Μετοχὴ ἀντὶ ῥήματος κεῖται τοῦ ἐμβεβήκαμεν.

V. 1144. Κριοῦ ἐπεμβεβαώς. Διονύσιος ἐν τοῖς Ἀργοναύταις φησὶ Κριὸν γεγονέναι τροφέα Φρίξου· ὃν αἰσθόμενον τῆς ἐπιβουλῆς Ἰνοῦς, ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν (ποιήσασθαι). Ὅθεν καὶ μεμυθεῦσθαι, ὡς ὑπὸ κριοῦ διασωθείη. Ἡρόδωρος δέ φησιν, ἐξ Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας, Σχοινέα, Ἐρύθριον, Λεύκωνα, (Ποῖον)· νεωτάτους δὲ Φρίξον καὶ Ἕλλην· οὓς διὰ τὴν Ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι. Τελευτῆσαι δὲ τὴν Ἕλλην κατὰ Πακτύην φασὶν, ὡς καὶ Ἑλλάνικος μαρτυρεῖ. Ἰνοῦς δὲ καὶ Ἀθάμαντος Λέαρχος καὶ Μελικέρτης.

Τόν ῥα χρύσειον. Λέγεται γὰρ τῇ τοῦ Ἑρμοῦ ἐπαφῇ τὸ δέρος τοῦ κριοῦ γενέσθαι χρυσοῦν.

V. 1146. Ἑῇς ὑποθημοσύνῃσι. Τὸν κριὸν (φησὶν) ἔθυσε ταῖς ἑαυτοῦ ὑποθήκαις, τοῦτ᾽ ἔστι, κατὰ συμβουλὴν αὐτοῦ τοῦ κριοῦ. Αὐτὸς γὰρ ὁ κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ, τοῦτο ποιεῖν προσέταξε.

V. 1147. Φυξίῳ ἐκ πάντων. Φύξιος Ζεὺς παρὰ Θεσσαλοῖς, ἤτοι ἐπειδὴ τὸν ἐπὶ Δευκαλίωνος κατέφυγον κατακλυσμὸν, ἢ διὰ τὸ καταφυγεῖν τὸν Φρίξον εἰς αὐτόν

V. 1149. Χαλκιόπην. Φερεκύδης (ἐν ἕκτῳ) Εὐηνίαν [n]) αὐτήν φησι καλεῖσθαι. Ἐπώνυμον δὲ αὐτῇ Χαλκιόπη καὶ Ὀφιοῦσα.

V. 1157. Συνηβολίῃ. Συνηβολίη, τὸ σύμβολον, ἢ ἡ συμβουλή [o]).

V. 1159. Κατὰ μοῖραν. Κατὰ τὸ πρέπον.

V. 1160. Γνωτοί. Οἱ συγγενεῖς. Κρηθεὺς γὰρ καὶ Ἀθά-

k) σκότους P. l) Κύτωρον P. m) ὅσον θ᾽ εἴλυμα P. n) Νηνίαν. o) συμβολή corrigit Schaefer.

μας, ἀδελφοί. Κρηθέως, Αἴσων. Αἴσονος, Ἰάσων. Ἀθάμαντος δὲ, Φρίξος. Φρίξου, Ἄργος.

V. 1172. Στιάων. Στῖαι αἱ ψῆφοι παρὰ Σικυωνίοις καλοῦνται. Ἡ ἐσχάρα οὖν καὶ ὁ βωμὸς ἐκ ψήφων κατεσκεύαστο. Καλλίμαχος·

— — Πολύστιόν τε μέτωπον.

V. 1176. Ἐπηετανόν κομέουσαι, ἀντὶ τοῦ ἐπιμελῶς καὶ ἐκ πολλοῦ τρέφουσαι.

V. 1177. Ἐπαρτέα. Ἑτοίμην.

V. 1179. Ζεὺς αὐτός. Τὸν Δία φησὶν ἐπιδέρκεσθαι ἕκαστα ὁ Ἰάσων, καὶ τὰ ἑξῆς· ἅμα μὲν παραμυθούμενος τὸν Ἄργον, (πρὸς αὐτὸν γὰρ ὁ λόγος) ἅμα δὲ καὶ λεληθότως βοήθειαν αἰτῶν παρ' αὐτοῦ, ὡς ἂν συνεργήσῃ αὐτοῖς ἀνακομίσαι τὸ δέρας εἰς τὴν Ἑλλάδα.

[V. 1186. Μετὰ Φθίην. Οἱ μὲν τὴν Φθίαν Ὀρχομενοῦ πόλιν φασὶν εἰρῆσθαι, Φθίην πόλιν Ὀρχομενοῖο, παρόσον οἱ Ὀρχομένιοι ἄποικοί εἰσι Θεσσαλῶν. Δύναται δὲ καὶ Ὀρχομενοῦ μνημονεύειν τοῦ μεθορίου Μακεδονίας καὶ Θεσσαλίας. Ἔστι γὰρ Ὀρχομενὸς καὶ ὄρος καὶ πόλις Θεσσαλίας, καὶ Βοιωτίας, καὶ Ἀρκαδίας, καὶ Πόντου.

[V. 1189. Τὸ δὲ κείνην γε κακὸν καὶ τὰ ἑξῆς περὶ τῆς ναυηγησάσης νεὼς λέγει, ἐν ᾗ οἱ τοῦ Φρίξου υἱοὶ ἔπλεον.]

V. 1193. Ἐπίῤῥοθοι. Ἐπιῤῥοθεῖν κυρίως τὸ τοῖς κυσὶν κελεύειν, καὶ ἐρεθίζειν· [σημαίνει δὲ] καὶ τὸ τῇ νηῒ συνεργεῖν, παρὰ τὸ ῥόθιον, ὅ ἐστι τὸ κῦμα. Ἐνταῦθα δὲ ἐπίῤῥοθον ἁπλῶς τὸν βοηθὸν λέγει.

V. 1195. Ζηνὸς χόλον. Διὰ τὸ μηνίσαι[p]) τὸ δαιμόνιον τοῖς ἀπὸ τοῦ Αἰόλου, Φρίξου κινδυνεύσαντος. Νοεῖται δὲ ἐν τῷ χόλον ἡ διὰ, ἤγουν διὰ τὸν χόλον τοῦ Διός· ὡς τὸ, σὴν χάριν, ἀντὶ τοῦ διὰ τὴν σὴν χάριν. Τοιαύτῃ γὰρ προφάσει ὑπὸ Πελίου ἐξεπέμφθη.

V. 1196. Ἔστυγον. Ἐστύγνασαν. Ηὐλαβήθησαν.

V. 1197. (Τεύξεσθαι ἐνηέος. Οὐ γὰρ ὑπελάμβανον ἡδέως καὶ προσηνῶς προσδεχθησομένους αὐτοὺς ὑπὸ τοῦ Αἰήτου, διότι συνῆσαν τῷ Ἰάσονι.) [Τὸ δὲ ἐντεύξεσθαι τὸ ἐντυχεῖν σημαίνει.]

Ἐνηέος. Προσηνέος, ἀγαθοῦ.

V. 1199. Ἀτεμβόμενος. Οὐχ Ὁμηρικῶς, ἀντὶ τοῦ στερισκόμενος. Κεῖται γὰρ νῦν ἐπὶ τοῦ δυσχεραίνων καὶ μεμφόμενος ἐπὶ τοιοῦτον αὐτοὺς στόλον στέλλεσθαι.

V. 1204. Στεῦται. Διαβεβαιοῦται.

V. 1210. Καυκάσου ἐν κνημοῖσι. Περὶ τὸν Καύκασον (φασὶν) ἐν τῇ Τυφαονίᾳ πέτρᾳ κεραυνωθεὶς ὁ Τυφὼς, ἰχῶρας τινὰς ἀφῆκεν, ἐξ ὧν ἐγένετο ὁ τὸ δέρος φυλάσσων ὄφις. Ὅτι δὲ ἐπὶ τὸν Καύκασον κατέφυγεν ὁ Τυφὼς διωκόμενος, καὶ ὅτι καιομένου τοῦ ὄρους ἔφυγεν ἐκεῖθεν εἰς Ἰταλίαν, ὅπου τὴν Πιθη-

p) κακῆσαι P. μνησικακῆσαι suspicatur Schaefer.

κοῦσαν αὐτῷ περιῤῥιφῆναι νῆσον, Φερεκύδης ἐν τῇ Θεογονίᾳ ἱστορεῖ. (Οὐ μέντοι ὅτι καὶ εἰς τοὺς περὶ Συρίαν τόπους ἠλάθη, ὥς φησιν Ἀπολλώνιος.)

V. 1211. *Τυφάονα.* Οὗτος (φησὶ) πληγεὶς ὑπὸ Διὸς, ὡς εἶχεν, εἰς τοὺς περὶ Συρίαν τόπους καὶ τὸ Πηλούσιον παρεγένετο, διωκόμενος ὑπὸ Διός· ὅπου βυθισθεὶς κεῖται ἐν τῇ Σερβωνίδι λίμνῃ. Διήκει δὲ αὕτη ἀπὸ Συρίας μέχρι Πηλουσίου. Τὰ δ' αὐτὰ περὶ τοῦ Τυφῶνος καὶ Ἡρόδωρος φησίν· ἔνθα καὶ περὶ τῆς Νύσης ἱστορεῖ, λέγων·

Ἔστι δέ τις Νύση [q]), ὕπατον κέρας ἀνθέον ὕλῃ [r]),
τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.

Ὁ δὲ Καύκασος διήκει ἀπὸ τῆς Ἀρμενίων χώρας [s]) ἕως Κόλχων. Ἡ δὲ Σερβωνὶς λίμνη διάκειται περὶ τὸ Πηλούσιον τῆς Αἰγύπτου.

V. 1219. (*Μηδ' οὕτως ἤθεῖε.* Πρὸς τὸ, *τῷ καὶ περιδείδια ναυτίλλεσθαι*, ἀπήντησεν ὁ Πηλεὺς, κελεύων μὴ δεδιέναι. Διὸ *θυμῷ* γραπτέον. Γράφεται δὲ καὶ *μύθῳ*, ἵνα ᾖ, μὴ ἐκφόβει ἡμᾶς τῷ περὶ Αἰήτου λόγῳ. Οὐ φέρεται δὲ οὕτως, ἀλλ' ἐν πᾶσι, *δειδίσσεο θυμῷ.* Κατ' οὐδὲν γὰρ (φησὶ) τοῦ Αἰήτου ἐσμὲν χείρους.)

Τὸ δὲ, *ἤθεῖε*, οἶμαι [ἀπὸ τοῦ θείου] κατ' ἐπένθεσιν τοῦ η γεγονέναι, ὥσπερ καὶ τὸ βαιὸς, ἠβαιός· μύω, ἠμύω. Σημαίνει δὲ κατὰ τὸ πρόχειρον τὸ θεῖε, συγγενές. Ἢ τὸ θαυμάσιε· μηδαμῶς ὦ θαυμάσιε. Ἢ τὸ καλέ.

V. 1231. *Φιλυρίδα* [t]) *νῆσον.* Τὴν τῶν Φιλύρων φησὶν, ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ, κατοικούσης περὶ τοὺς τόπους τούτους. Κρόνου δὲ μιγνυμένου αὐτῇ, ὅτε ἐβασίλευε Τιτάνων, τὴν Ῥέαν αὐτοὺς ἐπαυτοφώρῳ καταλαβεῖν. Ὅθεν τὸν μὲν Κρόνον αἰδεσθέντα εἰς ἵππον μεταβληθῆναι, τὴν δὲ φυγεῖν εἰς Θεσσαλίαν [,καὶ ἐκεῖ τὸν Χείρωνα τεκεῖν]. (Φερεκύδης φησὶν, ὅτι Κρόνος ἀπεικασθεὶς ἵππῳ ἐμίγη τῇ Φιλύρᾳ τῇ Ὠκεανοῦ·) καὶ διὰ τοῦτο διφυὴς ὁ Χείρων. Σουΐδας δὲ ἐν πρώτῳ Θεσσαλικῶν τὸν Χείρωνα Ἰξίονος εἶναι παῖδα φησὶν, ἀδελφὸν δὲ Πειρίθου [u]).

V. 1233. *Κρηταῖον* ὄρος, τὸ Κρητικόν. Γέγονε δὲ καθ' ὁμοιότητα τοῦ Σιναῖον.

V. 1237. Τὸ δὲ *χαιτήεις*, χαίτην ἔχων. Ἀπὸ τῆς χαίτης, ὥσπερ ἀπὸ τοῦ ἕρση, ἑρσήεις· καὶ τιμὴ, τιμήεις.

(V. 1242. sq. Περὶ *Μακρώνων* καὶ *Βεχείρων* καὶ *Σαπείρων* προείρηται.)

V. 1246. Εἰπὼν δὲ, *μυχὸς διεφαίνετο πόντου*, ἔδειξεν, ὅτι ἐν τῷ μυχῷ τοῦ πόντου ἡ Κολχική.

V. 1247. *Καὶ δὴ Καυκασίων.* Τὰ προσαγορευόμενα *Καυκάσια* Ἐρατοσθένης πλησίον εἶναι φησὶ τῆς (προσαγορευομένης) Κασπιανῆς θαλάσσης.

Ἐρίπναι. Τῶν Καυκασίων ὀρῶν αἱ ἀποῤῥῶγες καὶ ἐξοχαί.

q) Νύσση P. r) ἀνθέων ὕλη P. s) τῶν Ἀρμενίων ὀρῶν P. t) Φιλυρηΐδα P. u) Πειρίνθου P.

Τινὲς δὲ *ἐρίπνας*, τὰς τραχείας καὶ εἰς ὕψος ἀνεχούσας πέτρας φασί.

V. 1248. *Τόθι γυῖα.* (Ὁ Προμηθεὺς ἐδέδετο ἐν τῷ Καυκάσῳ, καὶ ὁ ἀετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν.) Ἀγροίτας δὲ ἐν τρισκαιδεκάτῃ τῶν Σκυθικῶν δαπανᾶσθαι φησὶ τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ τοῦ ἀετοῦ, διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Ἀετὸν φθείρειν. Ἧπαρ δὲ παρα πολλοῖς v), ὥσπερ καὶ οὖθαρ, τὴν εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ἐξοχετεύσαντος διόρυξι τὸν ποταμὸν, τόν τε ἀετὸν δόξαι ὑπ᾽ αὐτοῦ κεχωρίσθαι, καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν. (Θεόφραστος δὲ τὸν Προμηθέα φησὶ, σοφὸν γενόμενον, μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας. Ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον, ὡς ἄρα πυρὸς μεταδοίη. Καὶ Ἡρόδωρος ξένως περὶ τῶν δεσμῶν τοῦ Προμηθέως ταῦτα. Εἶναι γὰρ αὐτὸν Σκυθῶν βασιλέα φησί· καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια, διὰ τὸν καλούμενον Ἀετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν Σκυθῶν· ἐπιφανέντα δὲ Ἡρακλέα, τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασσαν, (καὶ διὰ τοῦτο μεμυθεῦσθαι ἀνῃρηκέναι τὸν ἀετὸν Ἡρακλέα) τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν.) Φερεκύδης δὲ ἐν δευτέρῳ, Τυφῶνος καὶ Ἐχίδνης τῆς Φόρκυνός φησι τὸν Ἀετὸν τὸν ἐπιπεμφθέντα Προμηθεῖ· καὶ ὅτι δὲ ὁ Ἀετὸς ἤσθιεν τῆς ἡμέρας τοῦ ἥπατος, τὸ δὲ λειπόμενον ηὔξετο τῆς νυκτὸς, καὶ ἐγίνετο ἴσον.

V. 1249. *Ἰλλόμενος χαλκείῃσιν.* Δεθῆναι τὸν Προμηθέα φησὶν Ἡσίοδος, καὶ τὸν ἀετὸν ἐπιπεμφθῆναι αὐτῷ διὰ τὴν τοῦ πυρὸς κλοπήν. Δοῦρις δέ φησι, διὰ τὸ τῆς Ἀθηνᾶς ἐρασθῆναι. Ὅθεν τοὺς περὶ τὸ Καυκάσιον οἰκοῦντας μόνῳ w) Διῒ καὶ Ἀθηνᾷ μὴ θύειν, διὰ τὸ κολάσεως αἰτίους Προμηθεῖ γενέσθαι· καθ᾽ ὑπερβολὴν δὲ σέβειν Ἡρακλέα, τῆς τοῦ ἀετοῦ τοξείας χάριν. Εἰκότως οὖν ὁ Ἀπολλώνιος, περὶ Καύκασον γενόμενος, καὶ τούτων ἐμνήσθη.

V. 1251. *Τὸν μὲν ἐπ᾽ ἀκροτάτης.* Παρὰ τὴν ἑσπέραν (φησὶν) εἶδον οἱ ἀριστεῖς τὸν ἀετὸν ἐπὶ τὸν Προμηθέα.

V. 1253. *Παραιθύξας* δὲ, παραπνεύσας, τοῦτ᾽ ἔστι, πνοὴν ποιήσας, τῇ βίᾳ τῶν πτερύγων ἐτίναξε τὰ ἱστία.

V. 1255. *Ἶσα δ᾽ ἐϋξέστοις.* Τὰ ἐν ταῖς πτέρυξι πτερὰ ἴσα εἶχεν ἐρετμοῖς, ὅ ἐστι κώπαις. Τοῦτο δέ φησι δεικνὺς τὸ μέγεθος τοῦ ὀρνέου.

(*Αἰθερίοιο.* Ἀντὶ τοῦ ἀεροπόρου.)

V. 1256. *Ἐν τῷ, δηρὸν οὐ μετέπειτα*, ἀναστρεπτέον, ἔπειτα δὲ οὐ μεταδηρόν.

V. 1260. (*Ἄργοιο.* Τοῦ Φρίξου υἱοῦ.)

Ἀλημοσύνῃ. Τῇ ἐμπειρίᾳ τῶν τόπων.

(V. 1270. *Πεπτάμενον* Ἡρωδιανὸς παροξύνει.)

V. 1272. *Μελισταγέας.* Γλυκείας.

v) Leg. ποιηταῖς. w) μόνους P.

V. 1273. Ἐνναέταις τε θεοῖς. Τοῖς ἐγχωρίοις θεοῖς. Τοὺς γὰρ ἐπιδημοῦντας ἔθος ἦν ἐν τῇ ἀλλοδαπῇ θύειν θεοῖς ἐπιχωρίοις καὶ ἥρωσι. Τοῦτο φασὶ καὶ Ἀλέξανδρον ποιῆσαι τὸν Μακεδόνα (ἐν Ἰλίῳ).

V. 1275. Καὶ νηὸς ἐναίσιμα. Τὰ καθήκοντα. (Οἷον ἐπ' ἀγαθοῖς καὶ εὐπροσδέκτοις.)

V. 1279. Εἴτ' οὖν μειλιχίῃ. Εἴτε πράως φροσφερόμενοι τῷ Αἰήτῃ ἀποπειραθείημεν αὐτοῦ, εἴτε ἄλλως πως.)

V. 1280. Ἐπήβολος δὲ, ἀσφαλής. Οὕτω καὶ Ἀμερίας ἀπέδωκεν ἐν ταῖς Γλώσσαις.

V. 1281. Παρηγορίῃσιν. Παρηγορία, ἡ προτροπὴ καὶ ἡ συμβουλή.

V. 1282. Ὑψόθι νῆ' ἐκέλευσεν. Ἐν τῷ βάθει τοῦ ποταμοῦ. μὴ προσορμισθέντες τῇ γῇ. (Ὅμηρος [x])·

Ὕψι δ' ἐπ' εὐνάων ὁρμίσομεν.)

Ἐπ' εὐναίῃσιν ἐρύσαι. Ἐπὶ τῶν ἀγκυρῶν ἑλκύσαι, ταῖς ἀγκύραις ὁρμίσαι.

V. 1283. Δάσκιον. Τὸ δασύσκιον, κατὰ συγκοπήν.

x) Il. XIV, 77.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Τοῦ τρίτου λόγου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια, ἔστι τάδε. Ἥρα καὶ Ἀθηνᾶ βουλευσάμεναι πείθουσι τὴν Ἀφροδίτην τῇ Μηδείᾳ ἐπιπέμψαι τὸν Ἔρωτα. Ἰάσων δὲ μετὰ τῶν Φρίξου υἱῶν παραγενόμενος πρὸς τὸν Αἰήτην, ἀξιοῖ λαβεῖν τὸ δέρος. Ἀγανακτήσας δὲ ὁ Αἰήτης, ἄθλους αὐτῷ προστάττει μεγάλους· ὥστε τοὺς πυρίπνους ταύρους ζεῦξαι, καὶ σπεῖραι τοὺς τοῦ δράκοντος ὀδόντας, ὑφ' ὧν ἀνεδίδοντο γίγαντες· οὐ μόνον δὲ σπεῖραι, ἀλλὰ καὶ τὸν γηγενῶν στάχυν θερίσαι. Μήδεια δὲ, διὰ τὸν ἐπὶ τὸν Ἰάσονα ἔρωτα, ὑπάγεται ὑπὸ τῆς Χαλκιόπης τοῖς υἱοῖς αὐτῆς βοηθῆσαι. Καὶ δὴ συνθεμένη καὶ συντυχοῦσα τῷ Ἰάσονι κατὰ τὸ τῆς Ἑκάτης ἱερὸν, δίδωσί τε τὰ φάρμακα, καὶ ὑποτίθεται, ὃν τρόπον δεῖ πρὸς τὸ θέρος τῶν γιγάντων ἁρμόσασθαι. Τοῖς δὲ φαρμάκοις χρησάμενος ὁ Ἰάσων, ἤνυσε παρὰ πᾶσαν ἐλπίδα τοῦ Αἰήτου τοὺς προβληθέντας ἄθλους.

V. 1. *Εἰ δ' ἄγε νῦν Ἐρατώ.* (Τὴν Ἐρατὼ φασὶν ὄρχησιν εὑρηκέναι. Εὐλόγως δὲ ὁ Ἀπολλώνιος μεμοιρᾶσθαι τὴν Ἐρατὼ φησὶ τῶν τῆς Ἀφροδίτης ὀργίων, λέγω δὴ τῶν γαμικῶν. Γάμοις δὲ ἄρα καὶ ὄρχησις ἕπεται.)

Ἐν δὲ τοῖς εἰς Μουσαῖον ἀναφερομένοις δύο ἱστοροῦνται γενέσεις Μουσῶν· πρεσβυτέρων μὲν, μετὰ τοῦ Κρόνου γενομένων· νεωτέρων δὲ, τῶν ἐκ Διὸς καὶ Μνημοσύνης.

Λέγεται τῶν Μουσῶν ἡ μὲν Κλειὼ, εὑρηκέναι τὴν ἱστορίαν· Θάλεια δὲ, γεωργίαν καὶ τὴν περὶ τὰ φυτὰ πραγματείαν· Εὐτέρπη δὲ, μαθήματα· Τερψιχόρη, παιδείαν· Ἐρατὼ, ὄρχησιν· Πολύμνια, λύραν· Μελπομένη, ᾠδήν· Οὐρανία, ἀστρολογίαν· Καλλιόπη, ποίησιν.

Ἀπορεῖται δὲ, πρῶτον μὲν, διὰ τί οὐκ ἀρχόμενος τῆς ποιήσεως [ὁ Ἀπολλώνιος] ἐπεκαλέσατο τὰς Μούσας, νῦν δ' αὐτὸ ποιεῖ· δεύτερον δὲ, διὰ τί τὴν Ἐρατὼ καὶ οὐ τὰς ἄλλας ἐπικαλεῖται. Ῥητέον οὖν πρὸς μὲν τὸ πρῶτον, ὅτι ἀρχόμενος μὲν εἰκότως Ἀπόλ-

λωνα τὸν τῶν Μουσῶν ἀρχηγέτην ἐπεκαλέσατο· ἐνταῦθα δὲ, ἐπειδήπερ περὶ γάμων καὶ θαλίας διαλέγεσθαι μέλλει, θαλιῶν δὲ προστάτιδες αἱ Μοῦσαι, διὰ τοῦτο νῦν τὰς Μούσας ἐπικαλεῖται. Ὅτι δὲ θαλιῶν εἰσὶ προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται·

Οὐδέ τι λήγονται Μουσάων a) βροτοί. αἱ γὰρ ἔασι
κοίρανοι, αἷσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί.

Πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐπειδὴ ἐν τοῖς Ὀρφικοῖς εὑρέτις ὀρχήσεως ἡ Ἐρατὼ παραδίδοται, μέλλει δὲ ὁ Ἀπολλώνιος τὸν τῆς Μηδείας καὶ Ἰάσονος γάμον διηγεῖσθαι, διὰ τοῦτο τὴν εὑρέτιν τῆς ἐπιβαλλούσης τῶν γάμων ὀρχήσεως ἐπικαλεῖται Μοῦσαν. Διὸ καὶ μετ' ὀλίγα ἐπήνεγκε μεμοιρᾶσθαι [τὴν Ἐρατὼ] τῶν τῆς Ἀφροδίτης ὀργίων. Τῷ γὰρ γάμῳ καὶ ὄρχησις ἕπεται. Ῥιανὸς δέ φησι μηδὲν διαφέρειν [ἢ μίαν] ἢ πάσας ἐπικαλεῖσθαι τὰς Μούσας, λέγων οὕτως·

Πᾶσαι δ' εἰσαΐουσι, μιᾶς ὅτε τοὔνομα λέξεις.

Ἴσως δὲ καὶ ἐπειδὴ περὶ ἔρωτος μὲν διαλέγεται, ἡ Ἐρατὼ δὲ παρὰ τὸ ἐρᾶν παράγεται, διὰ τοῦτο ταύτης μνημονεύει, τὸ κοινὸν εὐεργέτημα αὐτῇ ἀνατιθεὶς διὰ τὸ ὄνομα.

Ἐρατώ. Ἀντὶ τοῦ Ἐρατοῖ, Ἀττικῶς.

Τὸ ἑξῆς, παρίστασο καὶ εἰπέ.

V. 6. Ἀνωΐστως. Ἀνυπονοήτως.

V. 13. Μεθ' Ἑλλάδα. Ἀντὶ τοῦ εἰς Ἑλλάδα.

V. 16. Ἀποτροπᾶσθαι. Ἀποτρέπεσθαι. (Ὁ δὲ νοῦς, ὅμως οὐδεμίαν πεῖραν παριέναι δεῖ.)

V. 17. Τὴν δὲ παρ' ἄσσον. Παραχρῆμα, εὐθέως. Ἢ λείπει τὸ καθημένην.

V. 19. Ἀπηλεγέως. Σημαίνει μὲν καὶ τὸ ἀληθῶς καὶ ἁπλῶς, ἔτι δὲ καὶ τὸ σοφῶς· νῦν δὲ ἀντὶ τοῦ ἀποτόμως. Ἐπιφέρει γάρ· ἀλλά τοι οὔπω φράσσασθαι νοέω.

V. 23. Ἄνδιχα πορφύρουσαι. Διῃρημένως μεριμνῶσαι.

V. 25. Μετὰ Κύπριν. Πρὸς τὴν Κύπριν.

Ἐπιπλόμεναι. Παραγενόμεναι καὶ ἐπελθοῦσαι.

V. 26. Παιδὶ ἐῷ. Ἀπολλώνιος μὲν Ἀφροδίτης τὸν Ἔρωτα γενεαλογεῖ· Σαπφὼ δὲ, Γῆς καὶ Οὐρανοῦ· Σιμωνίδης δὲ, Ἀφροδίτης καὶ Ἄρεος,

Σχέτλιε παῖ δολόμηδες b) Ἀφροδίτας, τὸν Ἄρει δολομηχάνῳ τέκεν.

Ἴβυκος δὲ καὶ Ἡσίοδος ἐκ χάους λέγει [γενέσθαι] τὸν Ἔρωτα. Ἐν δὲ τοῖς εἰς Ὀρφέα Κρόνου γενεαλογεῖται·

Αὐτὰρ Ἔρωτα Κρόνος καὶ πνεύματα πάντ' ἐτέκνωσε.

V. 28. Θέλξαι ὀϊστεύσας. Νῦν ἀντὶ τοῦ ἀπατῆσαι, τὸ μὴ κρατῆσαι ἑαυτῆς διὰ τὸν ἔρωτα.

a) Μουσέων P. recte. b) δολόμητες P. perperam.

V. 30. *Πυκινὴ δὲ*, ἄνευ τοῦ ἄρθρου, καλῶς. Ἀντὶ τοῦ, πυκνὴ καὶ συνετὴ ἤρεσεν αὐτῇ εἶναι ἡ βουλή.

V. 37. *Ὄῤῥα τέ οἱ δεῖμεν.* Ὄῤῥα τε. Οἱ Ἀρισταρχειοι δι' ἑνὸς ρ τὰ τοιαῦτα γράφουσιν· Ἡρακλέων δ' ἐν δυσίν. Ὡς καὶ παρὰ τῷ ποιητῇ [c])·

Τόῤῥα τότ' ἐκ χηλοῖο λαβών.

V. 39. *Αἰθούσῃ.* Αἴθουσαν, τὴν παστάδα [d]).

V. 41—43. *Ἀλλ' ὁ μὲν ἐς χαλκεῶνα.* Τῶν ἐν Αἰόλου νήσων Ἱέρα καλουμένη, ἐν ᾗ φασὶ τὸν Ἥφαιστον χαλκεύειν. *Πλωτὴν* [e]) δὲ αὐτὴν εἴρηκεν, ἀκολουθήσας τοῖς περὶ Ἰταλίαν καὶ Σικελίαν μυθολογοῦσι τὴν Ὀδυσσέως πλάνην. Ἢ ὅτι τὸ παλαιὸν αἱ νῆσοι πᾶσαι ἐπλανῶντο, καὶ βάσεις οὐκ εἶχον. Καλλίας [f]) δὲ οὐ τὴν Ἱέραν φησὶν ἀνακεῖσθαι Ἡφαίστῳ, ἀλλὰ τὴν Λιπάραν·

Νήσῳ ἐνὶ Λιπάρῃ.

Εἰσὶ δὲ αἱ τοῦ Αἰόλου νῆσοι ἑπτὰ αὗται, Στρογγύλη, Εὐώνυμος, Ἱέρα, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης, περὶ Σικελίαν.

Ἀλλ' ὁ μέν. Τῶν Αἰόλου νήσων ἐστὶν ἡ Ἱέρα καλουμένη, ἐν ᾗ φασὶ τὸν Ἥφαιστον χαλκεύειν. Ἱστορεῖ Καλλίας ἐν δεκάτῳ τῶν περὶ Ἀγαθοκλέα· λέγων εἶναι καὶ ὄροφον ὑψηλὸν, ἐφ' οὗ κρατῆρες εἰσὶ δύο· ὧν ὁ ἕτερος ἐστὶ τὴν περίμετρον τριστάδιος, ἐξ οὗ πολὺ φέρεται φέγγος, ὥστε ἐπὶ πολὺν τόπον διήκειν φωτισμόν. Ἔπειτα ἐκ τοῦ χάσματος ἀναφέρονται διάπυροι λίθοι ἀπλετομεγέθεις. Καὶ τηλικοῦτος βρόμος γίνεται, καθ' ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν Ἥφαιστον, ὥστε ἐπὶ πεντακόσια στάδια ἀκούεσθαι τὸν ἦχον. Οἱ δὲ ἐκ τοῦ ἐκφυσήματος ἀναῤῥιπτούμενοι μύδροι, διὰ τὴν ἐκπύρωσιν πάντοτε ἰώδεις εἰσὶ καὶ διακεκαυμένοι τὴν ὄψιν, καὶ τὴν δύναμιν καθ' ἥλιον ἔχουσιν. Νύκτωρ μὲν οὖν πάντα τὰ περὶ τὴν ἐργασίαν τοῦ θεοῦ γινόμενα καλῶς δηλοῦται· μεθ' ἡμέραν δὲ ἐκ τῆς κορυφῆς, ὅθεν ἡ φλὸξ ἀνίησιν, ὥσπερ νέφος ὑπερκείμενον ὁρᾶται.

Διὰ δὲ τοῦ λέγειν, *δαίδαλα χάλκευεν ῥιπῇ πυρὸς*, ἐμφαίνει [g]) περὶ τῆς λεγομένης ὑπὸ τοῦ Καλλίου ἀναφυσήσεως τοῦ πυρὸς ἐκ τοῦ χάσματος.

Ἠρι. Ἕωθεν.

V. 48. *Ἔσχεθεν.* Ἐπαύσατο κτενίζεσθαι.

V. 50. *Ἀψήκτους.* Ἀκτενίστους.

V. 52. *Ἠθεῖαι.* Προσφώνησις παρ' Ὁμήρῳ νεωτέρων πρεσβυτέρους. Ἀπολλώνιος δὲ συλληπτικῇ τῇ φράσει κέχρηται· τὸ γὰρ τῇ Ἥρᾳ προσὸν καὶ κατὰ τῆς Ἀθηνᾶς ἔταξεν. Ταῦτα δὲ ἁρμόσει λέγεσθαι κατὰ τὴν Ὁμήρου ποίησιν. Κατὰ δὲ τοὺς νεωτέρους, οὐ μόνον Ἀθηνᾶς καὶ Ἥρας, ἀλλὰ καὶ Διός ἐστι πρεσβυτέρα ἡ Ἀφροδίτη. Ἡσίοδος γὰρ αὐτὴν ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ φησὶ γενέσθαι.

V. 53. *Δηναιὰς δὲ*, πολλοῦ χρόνου ὀφθείσας.

c) Il. XVI, 228. d) παραστάδα P. e) πλαγκτὴν P. f) Leg. Καλλίμαχος, est enim locus Hymn. Dian. v. 47. g) συμφωνεῖ P.

Οὔτι πάρος γε. Παραγράφει τὸ Ὁμηρικόν [h])·

— — πάρος γε μὲν οὔτι θαμίζεις.

V. 56. *Κερτομέεις.* Εἰρωνεύῃ.

Συνορίνεται. Ταράσσεται, θορυβεῖται.

V. 62. *Λυσόμενος χαλκέων.* Τὸν Ἰξίονα παρείληφεν, ὅτι δοκεῖ ἐπικεχειρηκέναι τῇ Ἥρᾳ. Φλεγύου δὲ υἱὸς Ἰξίων, ὡς καὶ Εὐριπίδης·

Φλεγύου [i]) υἱὲ δέσποτ' Ἰξίων.

Φερεκύδης δὲ, Αἴτωνος. Φησὶ δὲ, ὡς γαμήσας Δῖαν τὴν Ἠϊονέως θυγατέρα, πολλὰ ὑπέσχετο δώσειν δῶρα [k]). Ἐλθόντος δὲ ἐπὶ ταῦτα τοῦ Ἠϊονέως, βέρεθρον ποιήσας καὶ πυρακτώσας, σκεπάζει αὐτὸ λεπτοῖς ξύλοις καὶ κόνει λεπτῇ· ἐμπεσὼν δὲ ὁ Ἠϊονεὺς ἀπόλλυται. Λύσσα δὲ τῷ Ἰξίονι ἐνέπεσε διὰ τοῦτο, καὶ οὐδεὶς αὐτὸν ἤθελεν ἁγνίσαι οὔτε θεῶν οὔτε ἀνθρώπων· πρῶτος γὰρ ἐμφύλιον ἄνδρα ἀπέκτεινεν. Ἐλεήσας δὲ αὐτὸν ὁ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ, παρακομίζει αὐτῷ. Καὶ ὕστερον ποιήσας τετράκνημον τροχὸν, καὶ δεσμεύσας αὐτὸν, τιμωρεῖται.

V. 68. *Εὐνομίης.* *Εὐνομία*, δικαιοσύνη· καὶ ἡ καλοπραγία.

V. 69. *Νιφετῷ παλύνετο.* Τῇ χιόνι ἐσκέπαστο.

V. 72. *Ὀλοφύρατο.* Ὅτι τὸ *ὀλοφύρατο* εἴληπται ἐπὶ τοῦ ἠλέησεν. Ὀλοφυρόμενος· συμπαθῶν, πάσχων.

V. 73. *Διεκπροαλές.* Κατώφορον, κατωφερές· καὶ ἐπὶ τὴν ἅλα προϊὸν, ῥοῶδες.

V. 76. (*Κύπριν.* Λείπει τὸ ἀκούσασαν.)

Νεοστασίῃ. Ἀντὶ τοῦ, ἐν ἐπιστάσει ἐγένετο νέων μύθων. Ἢ μύθων ἐπίστασις εἶλεν αὐτὴν, καὶ νεωστὶ προσπεπτωκότος λόγου σύννοια.

V. 77. Ὁ δὲ νοῦς, ἐσέβετο δὲ, τιμωμένην ὑπὸ τῆς Ἥρας ἑαυτὴν βλέπουσα.

Ἀντομένην. Ἱκετεύουσαν, λισσομένην.

V. 86. *Παρθένον Αἰήτεω.* Ἀντὶ τοῦ θυγατέρα ἁπλῶς. Δύναται δὲ καὶ οὕτως ἀκούεσθαι, τῶν Αἰήτου θυγατρῶν τὴν οὖσαν παρθένον.

V. 89. *Δολόεσσα.* Ἀντὶ τοῦ φρονίμη. Ἔστι γάρ ποτε ὁ δόλος καὶ ἐπὶ τῆς φρονήσεως.

V. 95. *Μενέηνα.* Ὠργίσθην. [*Περισχομένη κακότητι.*] Ὑπεράλγησα.

V. 97. *Χαλεφθείς.* Ὁ νοῦς, χαλεπῶς γάρ μοι χαλεπαίνων, ἠπείλησεν, εἰ μὴ ἀποσχοίμην τὰς χεῖρας, ἕως ἔτι τοῦ θυμοῦ κρατεῖ, ὡς μεμφοίμην ἐμαυτῇ.

V. 99. Τὸ δὲ *ἑοῖ* οὐκ εὖ κεῖται· ἀντὶ τοῦ ἐμοὶ γὰρ λαμβάνεται.

V. 106. *Ῥαδινῆς.* Τρυφερῆς. Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν·

Ῥαδινοὺς πώλους.

h) Il. XVIII, 386. i) Φλεγύαντος P. k) ἔδνα P.

Ἴβυκος δὲ ἐπὶ τῶν τὸν οὐρανὸν βασταζόντων κιόνων ῥαδινοὺς ἀντὶ τοῦ εὐμεγέθεις λέγει. Στησίχορος ἐπὶ τοῦ εὐτόνου·

— — ῥαδινοὺς δ' ἐπέπεμπον[1]) ἄκοντας.

V. 107. Παραβλήδην. Ἀντὶ τοῦ παραβάλλουσα τοῖς εἰρημένοις. Οὐ γὰρ ἀκουστέον ἐπὶ τοῦ ἀπατᾷν. (Παλαμήδης δὲ, ἐξ ἀντιβολῆς, ἢ παραλογιστικῶς. Νῦν δὲ, ἐξ ἀποκρίσεως.)

V. 112. Παλίσσυτοι. Ὀπισθόρμητοι.

V. 114. Ἀπάνευθε Διός. Ἀμφίβολος ἡ φράσις. Τὸ μὲν γὰρ δηλοῖ ἀπάνευθε Διὸς, χωρὶς τοῦ Διός· ὃ καὶ μᾶλλον. Ἢ λείπει τὸ ἄλλων, ἵν' ᾖ, χωρὶς τῶν ἄλλων ἐν τῇ Διὸς ἀλωῇ.

(V. 115. Τὸν δὲ Γανυμήδην Ὅμηρος οὐχ ὑπὸ Διὸς ἡρπάσθαι, ἀλλ' ὑπὸ θεῶν, φησίν· οὐδὲ δι' ἔρωτα καὶ πόθον, ἀλλ' ὥστε Διῒ οἰνοχοεύειν[m])·

Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν.)

V. 118. Ἑψιόωντο. Ἀντὶ τοῦ ἔπαιζον. Φίλων δὲ, ἀντὶ τοῦ ὡμίλουν, παρὰ τὸ ἔπος.

V. 120. Μάργος Ἔρως. Κατὰ μετωνυμίαν, ὁ μαργαίνειν ποιῶν. Ὡς καὶ, μαινομένου Διονύσου. Καὶ Ἀνακρέων·

Τακερὸς δ' ἔρως.

Καὶ Ὅμηρος, χλωρὸν δέος.

Ἡ δὲ λαιὰ ἐσχημάτισται ἀπὸ τοῦ λῴου, ὅ ἐστι βελτίονος. Ὅθεν καὶ εὐώνυμος.

V. 122. Ὀκλαδόν. Ἀντὶ τοῦ ὀκλάσας.

V. 123. Δοιώ. Λείπει τὸ ἀστραγάλους.

V. 125. Ἐπὶ προτέροισιν ὀλέσσας. Καὶ τούτους ἐπαπολέσας τοῖς προτέροις, κεναῖς χερσὶν ἀμηχανῶν, ἤτοι ἐν ἀπορίᾳ γενόμενος, μὴ δυνηθεὶς νικῆσαι τὸν Ἔρωτα, ἀπῆλθε. Συμπαίζει γὰρ ὁ Γανυμήδης τῷ Ἔρωτι.

V. 127. Ἐπιπλομένην. Ἀντὶ τοῦ ἐπελθοῦσαν. (Ἢ ταρασσομένην ἐνταῦθα.)

V. 129. Τίπτ' ἐπιμειδιάας. Τί γελᾷς κακὸν μέγα καὶ ἄῤῥητον; ἢ αὐτὸν ματαίως ἐξηπάτησας καὶ παρελογίσω, οὐδὲ δικαίως αὐτοῦ περιεγένου, ἀλλὰ παρελογίσω ἄπειρον αὐτὸν ὄντα;

V. 133. Ἀδρήστεια. Αὕτη τροφὸς Διὸς [, ἀδελφὴ δὲ Κουρήτων]. Καλλίμαχος· Σὲ δὲ κοίμησεν Ἀδρήστεια ἀδελφὴ Κουρήτων[n]).

V. 134. Ἄντρῳ ἐν Ἰδαίῳ. Ἢ τῷ τῆς Κρήτης, ἢ τῷ τῆς Τροίας. Ἀντιποιοῦνται γὰρ καὶ Τρῶες τῆς τοῦ Διὸς γενέσεως, καθά φησι Δημήτριος ὁ Σκήψιος.

V. 137. Κύκλα. Κύκλα λέγει τοὺς ῥόμβους, κυκλώματα. Ἰωνικῶς δὲ τὰ κύκλα ἀντὶ τοὺς κύκλους, ὡς λύχνα καὶ δίφρα.

V. 138. Ἁψῖδες δὲ, αἱ συναφαί.

Περιηγέες δὲ, περιφερεῖς, περίδρομοι.

V. 140. Ἑαῖς. Ἔδει τεαῖς εἰπεῖν.

V. 141. Ὁλκόν. Νῦν τὴν διαδρομὴν τοῦ ἀστέρος λέγει.

l) ἔπεμπον P. male. m) Il. XX, 234. n) Callim. Hymn. in Iov. v. 47.

V. 143. Θέλξον. Ἀντὶ τοῦ λῦσον τὴν ψυχήν.

V. 144. Ἀμβολίαν, τὴν βραδυτῆτα.

Ἀφαυροτέρη. Ἐλάσσων.

V. 146. Μείλια. Τὰ παίγνια, (δι' ὧν οἱ παῖδες μειλίσσονται.) Ὅμηρος ἐπὶ τῶν ξενίων [o])·

— — ἐγὼ δ' ἐπὶ μείλια δώσω

πολλὰ μάλα.

V. 148. Ἀγανοῖσιν. Οὕτω τὸ ἑξῆς, ἡ δὲ ἐπειρύσασα [p]) παρειὰς κῦσε, ποτισχομένη, περιλαβοῦσα καὶ ἁπτομένη [q]), ἀγανοῖς μύθοις ἀμείβετο μειδιόωσα.

V. 153. Ἐνισκίμψῃς [r]). Ἐνεργήσῃς, ἐπιβάλῃς.

V. 158. Βῆ δὲ δι' ἐκ μεγάροιο. Διὰ τούτων τῶν στίχων παραγράφει τὰ εἰρημένα ὑπὸ Ἰβύκου, ἐν οἷς περὶ τῆς Γανυμήδους ἁρπαγῆς εἶπεν, ἐπὶ [s]) τῇ εἰς Γοργίαν ᾠδῇ. καὶ ἐπιφέρει περὶ τῆς Ἠοῦς, ὡς ἥρπασε Τιθωνόν.

V. 166. Ἐν αἰθέρι. Ἀντὶ τοῦ ἀν' αἰθέρα.

V. 167. Ἑῆς ἐπὶ σέλμασι νηός. Ἑῆς ἔδει εἰπεῖν, ἢ σφῆς· ἵν' ᾖ, τῆς ἑαυτῶν. Τὸ μὲν γὰρ σφῆς, τῆς ἑαυτῶν· τὸ δὲ ἑῆς, τῆς ἑαυτοῦ.

(V. 173. Ξυνὴ γὰρ χρειώ. Κοινὴ γὰρ ἡ χρεία καὶ οἱ λόγοι.

V. 174. Ὁ δὲ σῖγα νόον. Ὁ δὲ κατὰ σιγὴν πράττων καὶ ἐν ἑαυτῷ κρύπτων τὸ συμφέρον, οὗτος τὴν σωτηρίαν ἡμῶν παραιρεῖται.)

V. 186. Σφέτερον κτέρας. Οὐκ ὀρθῶς τὸ σφέτερον. Ἔστι γὰρ τρίτον πρόσωπον πληθυντικόν. καὶ ἁμαρτάνει. Ἔδει γὰρ ἑνικὸν, καὶ οὐ πληθυντικόν· ἀποχωρίσαι ἑὸν κτέρας.

V. 187. Λωΐτερον. Ἀντὶ τοῦ λῷον, συγκριτικόν. Τὸ δὲ λωΐτερον παρῆκται διὰ τὸ μέτρον.

V. 190. Ὅδε καί ποτε. Ἀπὸ ὀξείας τὴν πρώτην συλλαβήν. Κατὰ ἀναφορὰν γὰρ λέγεται ἐπὶ τοῦ Αἰήτου. (Τὸ δὲ ἑξῆς, ὅδε καί ποτε Φρίξον ἔδεκτο πατρὸς φεύγοντα θυηλάς.)

V. 199. Ἐπὶ θρωσμοῦ πεδίοιο. Τοῦ ὑπερκειμένου τοῦ ποταμοῦ τόπου, ὅπου ἐστὶ θορεῖν [t]) καὶ πηδῆσαι ἀπὸ τῆς νεώς.

V. 200. Κιρκαῖον πεδίον. Ἀπὸ Κίρκης. Τὴν δὲ Κίρκην τινὲς μὲν Αἰήτου ἀδελφὴν, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. Ταύτην Διονύσιος ὁ Μιλήσιος ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Περσέως, ἀδελφὴν δὲ Μηδείας λέγει. Ἡλίῳ γάρ φησιν υἱοὺς γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις· οἷς ὀνόματα ἦν Περσεὺς καὶ Αἰήτης. Τούτους δὲ κατασχεῖν τὴν χώραν· καὶ Αἰήτην μὲν Κόλχους καὶ Μαιώτας, Περσέα δὲ τῆς Ταυρικῆς βασιλεῦσαι· καὶ [τὸν Περσέα πρεσβύτερον ὄντα] γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινὰ, καὶ γενέσθαι αὐτῷ [ἐξ αὐτῆς] θυγατέρα, ᾗ ὄνομα Ἑκάτη. (Οἱ δὲ ἐκ νύμφης τινὸς ἐγχωρίας τὴν Ἑκάτην

o) Il. IX, 147. p) ἐπερείσασα P. q) ἀντομένη P. r) ἐνισκίμψῃ P. s) ἐν P. rectius. t) θορεῖν P.

φασὶν αὐτῷ γενέσθαι,) ἀνδρικὴν περὶ τὰ κυνηγετικὰ, καὶ [περὶ τὰς καλουμένας Ἑκὰς διατρίβουσαν] πρώτην θανασίμους ῥίζας εὑρεῖν· καὶ ἐμπειροτάτην γεγονέναι τῶν τε δηλητηρίων καὶ τῶν ἰᾶσθαι δυναμένων, καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. Ταύτην γήμασθαι πεμφθεῖσαν εἰς Κόλχους Αἰήτῃ τῷ πατραδέλφῳ· ἀφ' ἧς γενέσθαι Κίρκην καὶ Μήδειαν. Τὴν δὲ Κίρκην, πρεσβυτέραν οὖσαν, ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα, τὰ μὲν διακούσασαν παρ' αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυῖαν, πολλὰ καὶ δεινὰ [φάρμακα]. Μήδειαν δὲ, νεωτέραν μὲν Κίρκης, οὐχ ἡττωμένην δὲ αὐτῆς. Ταῦτα μὲν (οὗτοι) [Διονύσιος]. Ἡσίοδος δέ φησι [ἐν τῇ Θεογονίᾳ] τὴν Κίρκην τοῦ Ἡλίου θυγατέρα εἶναι ἐν τοῖσδε τοῖς ἔπεσι·

Κίρκη δ', Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
τίκτεν Ὀδυσσῆϊ ταλασίφρονι ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε [u]).

V. 202. Τῶν καὶ ἐπ' ἀκροτάτων. Τὰ τῶν ἀρσένων σώματα οὐ θέμις Κόλχοις οὔτε καίειν οὔτε θάπτειν· βύρσαις δὲ νεαραῖς εἰλοῦντες [v]) ἐκρέμων τῶν ἀρσένων τὰ σώματα, τὰ δὲ θήλεα τῇ γῇ ἐδίδοσαν, ὥς φησι Νυμφόδωρος, ᾧ ἠκολούθησε. Σέβονται δὲ μάλιστα οὐρανὸν καὶ γῆν.

V. 209. Ἡ γάρ κε δίκη θεσμοῖο. Ἀντὶ τοῦ, οὗτος γὰρ ὁ τρόπος τοῦ νόμου.

(V. 215. Τεθηπότες ἕρκε' ἄνακτος. Τὴν ὀχύρωσιν τῆς οἰκήσεως. Τῶν οἰκημάτων τὴν ἀσφάλειαν.)

V. 218. Χαλκείαις ἐπὶ γλυφίδεσσιν. Ἐπὶ χαλκοῖς τορεύμασιν, ἢ χαλκοῖς κιονοκράνοις.

V. 222. Ἐλάχηνεν. Ὤρυξεν, ἔσκαψεν. Καταστρέφει δὲ εἰς τὸ κατεσκεύασεν.

V. 224. Θυώδει νᾶεν ἀλοιφῇ. Ἀρώμασι μεμιγμένον ὕδωρ ἔῤῥει, ἢ εὐῶδες ἔλαιον.

V. 225. Ἡ δ' ἄρ' ὕδωρ προρέεσκεν. Ὁ Ἀπολλώνιος κατὰ τὴν Πλειάδων δύσιν λέγων τὴν κρήνην θερμὸν ῥεῖν, κατὰ δὲ τὴν ἐπιτολὴν ψυχρὸν, οὐ παρέστησεν εἰλικρινῶς τὸν καιρόν. Δύο γάρ εἰσιν ἐπιτολαὶ τῶν ἀπλανῶν ἄστρων, καὶ δύο δύσεις. Ἑῴα μέν ἐστιν ἐπιτολὴ, ὅταν ἔξω τῶν αὐγῶν τοῦ ἡλίου πρῶτον ἵσταταί τι ἄστρον, καὶ πρὸ αὐτοῦ ἀνατέλλον ὀφθῇ. Ἑῴα δὲ δύσις, ὅταν ἡλίου πρὸς τὴν ἀνατολὴν ὄντος ὁραθῇ τι ἄστρον περὶ τὰς δύσεις ὕστατον δῦνον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα δύνει. Ἑσπερία δὲ ἐπιτολὴ, ὅταν δύνοντος ἡλίου ὁραθῇ τι ἄστρον ἐπὶ τῆς ἀνατολῆς πρῶτον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα ἀνίσχει. Ἑσπερία δὲ δύσις λέγεται, ὅταν ἡλίου δύνοντος ἄστρον ὁραθῇ τι πρὸ τῶν ἄλλων ἐγκαταδῦνον αὐτὸ, ὡς ἂν ὑπὸ ταῖς αὐγαῖς τοῦ ἡλίου γένηται. Ὁ δὲ ὑπὸ ταῖς αὐγαῖς χρόνος πᾶς κρύψις ὀνομάζεται.

V. 226. Αἱ δὲ Πληϊάδες, Πληϊόνης τῆς Ὠκεανοῦ καὶ Ἄτλαντος· ὡς μέν τινες, ἀπὸ τῆς μητρὸς ἔσχον τὴν ἐπωνυμίαν· ἢ μᾶλλον παρὰ τὸν πλειῶνα, ὅ ἐστιν ἐνιαυτός. Σημαντικαὶ γὰρ

u) Hesiod. Theog. 1011. v) ἐνειλοῦντες P. rectius.

αὗται καὶ χειμῶνος καὶ θέρους. Αὗται δὲ τὴν ἐναντίαν ἀεὶ πορείαν ποιοῦνται τῷ Ὠρίωνι. Συναντῆσαι γάρ ποτε λέγεται τῇ Πληϊόνῃ μετὰ τῶν θυγατέρων (κατὰ τὴν Βοιωτίαν·) καὶ εἰς ἔρωτα ταύτης ἐκπεσὼν [w]) ἐδίωκεν, ἡ δὲ ἔφευγεν. Γενέσθαι δὲ τὸν δρόμον αὐτῶν φασὶν ἀδιάλειπτον· καὶ οὕτω καταστερισθῆναι τὰς Πληϊάδας τὸν Ὠρίωνα φεύγουσας.

V. 230. sq. Ὅτι δὲ χαλκόποδες οἱ ταῦροι, καὶ πῦρ πνέοντες, καὶ Φερεκύδης φησί.

V. 232. Πρὸς δὲ καὶ αὐτόγυον. Δύο ἀρότρων εἰσὶν εἴδη. Τὸ μὲν, πηκτὸν, τὸ δὲ, αὐτόγυον. Πηκτὸν μὲν, τὸ ἐκ συμβολῆς ἔχον τὸ ἔλυμα. Ἔστι δὲ τὸ ἔλυμα, ἐν ᾧ ὁ ὕνις ἐντίθεται. Τὸ δὲ ξύλον τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας γύης καλεῖται. Τὸ δὲ ἀπὸ τοῦ γύου, ἱστοβοεύς. Τοῦ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιτιθέμενα, οἱ μὲν ζεύγλας, οἱ δὲ μέσσαβα λέγουσι. Τοιοῦτον μὲν τὸ πηκτόν. Αὐτόγυον δέ ἐστιν, οὗτινος τὸ ἔλυμα οὐκ ἔστιν ἐκ συμβολῆς. Τὴν δὲ κατασκευὴν τῶν ἀρότρων Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ καταγράφει.

V. 233. Ἤλασεν ἠελίῳ τίνων χάριν. Πέπλασται ὁ μῦθος διὰ τὴν τῶν ποδῶν χωλότητα. Οὐ μέντοι πιθανῶς. Μείζονα γὰρ εἶχεν δύναμιν τῶν γιγάντων, δι' ἧς αὐτοὺς ἐτρέψατο [x]) ἄν. Ὁ μέντοι Ἀπολλώνιος αἰτίαν ἀποδέδωκε, δι' ἧς ὁ Ἥφαιστος κατεσκεύασε τῷ Αἰήτῃ τούς τε χαλκώνυχας ταύρους καὶ τὸ ἄροτρον. Ὅτι δὲ δυνατὸς ἦν Ἥφαιστος, Ὅμηρος ἔδειξεν ἐπὶ Ξάνθου τοῦ ποταμοῦ.

V. 234. Φλεγραίῃ. Φλέγρα πεδίον [y]) Θρᾴκης, περὶ Παλλήνην, ἔνθα οἱ θεοὶ τοὺς γίγαντας ἐπολέμησαν.

V. 235. Μέσσαυλος. Τὸ μέσον τῆς αὐλῆς, ὅπου τῶν βοῶν αἱ στήσεις. Μέσαυλον δὲ οἱ Ἀττικοὶ τὴν φέρουσαν εἴς τε τὴν ἀνδρωνῖτιν καὶ γυναικωνῖτιν.

V. 237. Δαιδαλέη δ' αἴθουσα. Στοὰ δὲ ποικίλη ἦν ἑκατέρωθεν τῆς οἰκίας.

V. 238. Λέχρις. Ἐκ πλαγίου δὲ τῆς αἰθούσης ὑψηλότεραι ἦσαν οἰκοδομαί· ὅ ἐστι πύργοι.

V. 242. Τὸν μὲν Καυκασίη. Ὁ τὰ Ναυπακτικὰ πεποιηκὼς Εὐρυλύτην [z]) αὐτὴν λέγει. Διονύσιος δὲ (ὁ Μιλήσιος) Ἑκάτην μητέρα Μηδείας καὶ Κίρκης, ὡς προείρηται. Σοφοκλῆς Νεαίραν, μίαν τῶν Νηρηΐδων. Ἡσίοδος δὲ Ἰδυῖαν·

Αἰήτης δ' υἱὸς φαεσιμβρότου Ἠελίοιο,
γῆμε θεῶν βουλῇσιν Ἰδυῖαν [a]) καλλιπάρῃον [b]).

Ἐπιμενίδης δέ φησι Κορίνθιον τῷ γένει τὸν Αἰήτην· μητέρα δὲ αὐτοῦ Ἐφύραν φησί. Διοφάνης δὲ ἐν τῇ ᾱ τῶν Ποντικῶν ἱστοριῶν Ἀντιόπην φησὶν Αἰήτου μητέρα.

w) ἐμπεσὼν P. rectius. x) κατεστρέψατο P. y) πόλις P. z) Ἐριαύγην P. simillimum nostro, si maiusculis scribas. a) Εἰδυῖαν P. et sic antea. b) Hesiod. Theog. 957.

Προγενέστερον δέ φασι τὸν Ἄψυρτον Μηδείας γενέσθαι Αἰήτῃ ἐξ Ἀστεροδείης τῆς Ὠκεανοῦ καὶ Τηθύος θυγατρός.

V. 255. Ἔκτοθι πᾶσαι. Ἀντὶ τοῦ ἐκτὸς[c]), ἵνα τὸ εἰς τόπον σημαίνῃ.

V. 257. Ὑψοῦ χάρματι. Ἔδει ὑψόσε. Τὸ γὰρ ὑψοῦ τοῦ ἐν τόπῳ δηλωτικόν ἐστι· τὸ δὲ ὑψόσε τοῦ εἰς τόπον. Ὅμηρος[d])·

Ὑψοῦ ἐπὶ ψαμάθοιο.

V. 260. Οὐκ ἄρ' ἐμέλλετον. Ἀφροντίστως με καταλιπόντες, ὅμως οὐκ ἐμέλλετε μακρὰν πορεύεσθαι. Ὑποστρέψαι οὖν ὑμᾶς ἡ μοῖρα πεποίηκε.

V. 261. Τηλόθι. Κἀνταῦθα ἀντὶ τοῦ τηλόσε.

V. 262. Ἔκ ποθεν ἄτης. Ἀντὶ τοῦ, ἔκ τινος βλάβης.

(V. 265. Ὀρχομενοῖο. Καὶ Ἑλλάνικός φησι τὸν Ἀθάμαντα Ὀρχομενὸν ᾠκηκέναι.)

V. 267. Ἑὴν μητέρα. Ἀντὶ τοῦ ὑμετέραν.

V. 275. Πολιοῖο. Πολιὸν τὸ διαφανές.

V. 276. Τετρηχώς. Ὁ δεδαμασμένος[e]).

Οἶστρος. Διαφέρει οἶστρος μύωπος. Ὁ μὲν γὰρ μύωψ ἀπογεννᾶται τῶν ξύλων, ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων.

V. 277. Τὸ δὲ τέλλεται, κατὰ ἀφαίρεσίν ἐστι τοῦ σ, ἀντὶ τοῦ στέλλεται.

V. 281. Ὀξέα δενδίλλων[f]). Ἀντὶ τοῦ, συστρέψας ἑαυτὸν καὶ ἀποκαλύψας[g]), ὀξέως παρεπιστρεφόμενος, καὶ εἰς αὐτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος δὲ ἐπὶ τοῦ στρέφειν τέθεικε τὴν λέξιν, τὸ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεκκλίνοντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ Ἀπολλόδωρος. Σοφοκλῆς δὲ ἐπὶ τοῦ περιβλέπειν τέθεικε τὴν λέξιν.

V. 288. Ἀμαρύγματα. Τὰς λαμπάδας[h]) τῶν ὀφθαλμῶν λέγει.

Καί οἱ ἄηντο. Πνοὴν ἔπεμπον, ἢ ἐμετεωρίζοντο.

V. 291. Ὡς δὲ γυνή. Καὶ Ὅμηρος[i])·

Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ.

V. 294. Ἄγχι μάλ' ἐγρομένη. Ἀντὶ τοῦ ἐγγύς. Τίθεται δὲ καὶ ἐπὶ χρόνου. Μένανδρος·

Ἔγημεν ἔναγχος.

ἀντὶ τοῦ νῦν, ἢ ἀντὶ τοῦ ταχέως.

V. 296. Εἰλυμένος. Κεκαλυμμένος. Οἷον κεκρυμμένος· εἰς γὰρ τοῦτο καταστρέφει.

V. 298. Ἀκηδείῃσι. Ταῖς πολυκηδείαις. τοῦτ' ἔστι ταῖς λύπαις.

V. 302. Σφετέρης. Ἀντὶ τοῦ ἰδίας.

V. 306. sq. Ἠέ τις ἄτη. Οἷον, κακόν τι ὑμᾶς ἐνεπόδισε κατὰ τὸν πλοῦν. Τὸ γὰρ ἐνέκλασε, κατὰ μεταφορὰν, ἐνεπόδισε.

c) ἔκτοσε P. rectius. d) Il. I, 486. e) Τετρυχὼς, ὁ τετραχυμμένος. P. f) δενδύλλων P. g) ἐπικάμψας suspicatur Schaefer. h) λαμπηδόνας P. rectius. i) Od. V, 488.

V. 311. *Κίρκην Ἑσπερίης.* Ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσέως πλάνην· ὧν ἀρχηγὸς Ἡσίοδος, κατῳκηκέναι λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει.

Ἑσπερίης εἴσω χθονός. Περὶ τὴν Ἰταλίαν ᾤκησεν ἡ Κίρκη· ὅθεν ὄρος Κιρκαῖον ἀπ' αὐτῆς πολυφάρμακον. Φησὶ δὲ Ἀπολλώνιος, Ἡσιόδῳ ἑπόμενος, ἐπὶ τοῦ ἅρματος τοῦ ἡλίου εἰς τὴν κατὰ Τυῤῥηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν. *Ἑσπερίαν* δὲ αὐτὴν εἶπεν, ἐπεὶ πρὸς δυσμὰς κεῖται.

V. 322. *Ποτὶ ξερόν.* Ἐπὶ τὸ ξηρὸν ἀπὸ τοῦ ὑγροῦ τῆς θαλάσσης. Ἡ δὲ *ποτὶ* πρόθεσις παρὰ μὲν Δωριεῦσι [ἀντὶ τῆς] πρὸς, παρ' ἡμῖν δὲ καὶ Ἴωσιν εἴληπται ἀντὶ τῆς παρά. Ὅμηρος [k])·
— — — ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ.
Καὶ ἡ Δωρικὴ παροιμία, τὸν λίθον ποτὶ τὸ σπάρτον [l]) ἄγοντας.

V. 327. *Νηὸς ἑῆς.* Κακῶς τὸ *ἑῆς*, ἐπὶ πλήθους. Ἔστι γὰρ ἑνικόν. Ἔδει δὲ εἰπεῖν σφετέρης.

V. 335. *Σφωϊτέρη.* Κακῶς εἶπεν ἐπὶ ἑνικοῦ. Ἔστι γὰρ δυϊκόν.

(Ὁ δὲ Ἰάσων ἀπὸ Αἰόλου τὸ γένος κατάγει, ὡς Ἑλλάνικος.)

V. 337. *Στεῦται ἀμειλίκτοιο.* Ὁ νοῦς, Ὁρίζεται δὲ τοὺς ἀπ' Αἰόλου οὐκ ἐκφεύξεσθαι τὸν ἀνεξίλαστον χόλον τοῦ Διὸς, οὐδὲ τὸ μίασμα καὶ τὴν Φρίξου ποινὴν, πρὶν τὸ κῶας εἰς τὴν Ἑλλάδα κομισθῆναι. Τὸ δὲ ἑξῆς, Στεῦται δὲ Αἰολιδῶν γενεὴν οὐχ ὑπαλύξειν ἀμειλίκτοιο Διὸς μῆνιν καὶ χόλον, πρὶν ἐς Ἑλλάδα ἱκέσθαι.

V. 342. *Τάων.* Τῶν Κολχικῶν κακίστης ἐτύχομεν νηός.

Ἐπεκύρσαμεν. Ἐνετύχομεν.

Ἤλιθα. Ἀθρόως.

(V. 350. *Αὐτῷ.* Ἀντὶ τοῦ σοί.

V. 354. *Δῆθεν.* Παρέλκεται τὸ *δῆθεν*. Εἰ δὲ προαιρῇ, φησὶν, ἑκάστου γνῶναι τὴν γενεὰν καὶ τοὔνομα, πάντα ἐξείποιμι.

V. 356. *Οἱόπερ.* Οὗτινος χάριν.

V. 359. *Οὕτω κεν γνωτός.* Ἀντὶ τοῦ συγγενής· ἢ ἀνεψιδοῦς, δισεξάδελφος. Κρηθεὺς καὶ Ἀθάμας ἀδελφοὶ, Αἰόλου παῖδες. Κρηθέως Αἴσων, Αἴσονος Ἰάσων· Ἀθάμαντος δὲ Φρίξος, οὗ Ἄργος.)

V. 368. *Ἠερέθοντο.* Ἐμετεωρίζοντο τῷ νῷ χολουμένῳ. Ἀντὶ τοῦ οἰδαίνοντο, ἐφυσῶντο.

(V. 375. *Αὐτίκα.* Ἀντὶ τοῦ νῦν.

V. 376. Ἐν δὲ τῷ *νέεσθαι*, ἀπὸ κοινοῦ τὸ ἔολπα.)

Ἄλλως. Ἐν δὲ τῷ *αὐτίχ' ὁμαρτήσαντες*, προσεκτέον, ὅτι ἀσαφῶς εἴρηται. Ἴσως οὖν *αὖθις* ἀντὶ τοῦ *αὐτίκα* ῥητέον [m])· καὶ ἀντὶ τοῦ ἀφ' *Ἑλλάδος*, *εἰς* [n]) *Ἑλλάδα*· ἵν' ᾖ, οὐκ ἄφαρ ὑποστρέψετε εἰς Ἑλλάδα. Ἢ [o]) στίξαντας εἰς τὸ *Ἑλλάδα* τελείαν,

k) Il. I, 245. l) τὰν σπάρταν P. recte. m) ληπτέον P. male. n) ἐφ' P. recte. o) εἶτα P.

τὸ ἑξῆς ἐπιφέρειν δεῖ, οὐκ ἐπὶ κῶας δεῦρο νέεσθε, ἐπὶ τὰ σκῆπτρα δὲ καὶ τὴν βασίλειον τιμήν. Ὥστε οὐ γραπτέον, οὐδ' ἐπὶ κῶας, ἀλλ', οὐκ ἐπὶ κῶας· οὐδὲ, σκῆπτρά τε, ἀλλὰ, σκῆπτρα δέ. Οἱ δὲ σχολιογράφοι ἐοίκασιν ἄλλῃ τινὶ γραφῇ ἐντυχεῖν· φασὶ γὰρ ἀπὸ κοινοῦ νοεῖσθαι τὸ ἔολπα. Οὐδαμοῦ δὲ εἴρηται τὸ ἔολπα.

V. 386. Αἰήτη, σχέο μοι. Ὦ Αἰήτη, ἐπίσχες ἢ ἀνάσχου μοι περὶ τούτου τοῦ στόλου.

V. 388. Οὐδὲ μὲν ἱέμενοι. Οὐδὲ ἐφιέμενοι τῆς σῆς βασιλείας.

V. 395. Σφωϊτέροισι. Κακῶς τῷ σφωϊτέροισιν ἐχρήσατο. Ἔδει γὰρ εἰπεῖν τεοῖσι [p]).

(V. 396. Τὸ δὲ ἴσκεν Ὁμηρικῶς.)

V. 399. Πειρήσαιτο βίην. Πεῖραν λάβοι τῆς ἰσχύος τῶν ἡρώων.

V. 400. Ὑποβλήδην. Κακῶς τὸ ὑποβλήδην. Κεῖται γὰρ πρὶν ἢ καταλῆξαι τὸν ἕτερον λέγοντα.

(V. 401. Τὸ δὲ, διηνεκέως ἀγορεύεις, ἀντὶ τοῦ μακρηγορεῖς.)

V. 406. Ἑλλάδι κοιρανέοντα. Τὸν Πελίαν λέγει.

(Τὸ δὲ ἄνω ῥηθὲν μεγαίρω, ἀντὶ τοῦ οὐ φθονῶ ὑμῖν, ὡς ὁ Πελίας. Πεῖραν δὲ λαβὼν τῆς σῆς ἀνδρείας παρέξω τὸ δέρας· οὐ γὰρ φίλον μοι τὸ φθονεῖν.)

V. 408. Ὀλοόν. (Τὸν ἆθλον.) [Τὸ μέγα καὶ ἀνύποιστον.]

V. 409. Δοιώ μοι πεδίον. Καὶ Ἀντίμαχος ἐν τῇ Λυδῇ (ἡφαιστοτεύκτους) [χαλκόποδας] τοὺς ταύρους ἀπεφήνατο.

(V. 411. Στυφελήν. Τραχεῖαν.)

V. 412. Πεντηκοντόγυόν φησι Φερεκύδης (ἐν τῇ ἕκτῃ).

V. 413. (Σπόρον. Πυρόν.)

Ὁλκοῖσι. Ταῖς ἐγχαράξεσιν. Ἑλκομένου γὰρ τοῦ ἀρότρου, ἡ γῆ διαῤῥήγνυται.

(Δηοῦς. Δήμητρος.

V. 416. Κείρω. Κτείνω.)

Περισταδόν. Περιεστῶτας καὶ ἐναντιουμένους. (Ἢ ἐξισοῦντας.)

V. 422. Πάρος. Νῦν ἐπὶ τόπου τὸ πάρος. Κεῖται δὲ καὶ ἐπὶ χρόνου.

V. 427. sqq. Περιπολλὸν ἐέργεις. Ὁ νοῦς, λίαν με τῷ δικαίῳ ἐγκλείεις. (Διόπερ ἐγὼ καίπερ ὑπερφέροντα τῇ βίᾳ τὸν ἆθλον ἐποίσω μέχρι θανάτου.)

Ἀρσενικῶς δὲ εἶπε τὴν μοῖραν μόρον.

(Οὐ γὰρ ἔτ' ἄλλο. Οὐδὲν γὰρ ἀνθρώποις χεῖρον ἀνάγκης, καθ' ἣν ἀφίγμεθα πρὸς σὲ βιασθέντες ὑπὸ τοῦ βασιλέως.)

V. 438. Μετελθεῖν. Ἡ μετὰ ἀντὶ τῆς πρός. πρὸς ἀμείνονα φῶτα ἐλθεῖν.

(V. 439. Ἀπηλεγέως. Ἀποτόμως.)

p) ἰδίοις P.

V. 441. sq. Τὸ μεσσηγὺς αἰτίας ἀποδοτικὸν, διὰ τί κατόπιν ἐκείνων ἐπορεύετο ὁ Ἄργος. Διότι, φησὶν, ἔνευσε τοῖς ἀδελφοῖς αὐτοῦ ἔτι λιπέσθαι καὶ μεῖναι ἐν τῇ οἰκίᾳ. Οἱ δ' ᾔεσαν καὶ ἐξῆλθον, οἱ περὶ Ἰάσονα δηλαδή.

V. 444. Ἐπ' αὐτῷ δ' ὄμματα. Ἔχουσα οὖν τὰ ὄμματα ἐπ' αὐτῷ λοξὰ, παραθεμένη τὴν λιπαρὰν καλύπτραν, ἐθαύμαζε.

(V. 446. Κῆρ' ἄχεϊ. Τῇ λύπῃ τὴν ψυχὴν καιομένη καὶ ἁλίσκουσα.

Νόος δέ οἱ. Ὁ νοῦς, τῷ δὲ νῷ ἀνεθεώρει τὸν Ἰάσονα. Οἷον, καθάπερ ὀνείρῳ μετέωρος ἐπορεύετο κατὰ τὰ ἴχνη τοῦ Ἰάσονος.)

V. 453. Προπρὸ δ' ἄρ'. Ἐμφαντικῶς αἱ προθέσεις τὴν συνεχῶς ἀνειδωλοποιοῦσαν τῷ νῷ ἐμφαίνουσι. Καὶ παρ' Ὁμήρῳ, προπροκυλινδόμενος.

[V. 455. Ἐν δὲ τῷ οἷά τε ἔειφ' τὸ οἷα θαυμαστικῶς κεῖται.]

(V. 460. Ὀδύρετο δ' ἠΰτε. Ἐθρήνει δ' αὐτὸν ὡς ἤδη τεθνηκότα.

V. 461. sq. Ἐλέῳ δὲ συνεχομένη, ἔκλαιεν ἐπ' αὐτῷ λυπουμένη.)

V. 464. Εἴθ' ὅγε. Τὸ εἴτε οὐ πρὸς τὸ φθίσεται, ἀλλὰ πρὸς τὸ προφερέστατος ἀναφέρειν δεῖ, ἵν' ᾖ, εἴτε ὅγε προφερέστατος τῶν ἡρώων φθίσεται, εἴτε χείρων, ἤγουν χείριστος. Κεῖται γὰρ τὸ συγκριτικὸν ἀντὶ ὑπερθετικοῦ.

V. 466. Ἐῤῥέτω. Φθειρέσθω. Ἢ ὤφελε χωρισθῆναι ἀπαθὴς, μηδὲν παθών. Τοῦτο γὰρ σημαίνει τὸ ἀκήριος.

V. 467. Πότνα θεὰ Περσηΐ. Περσηΐδα τὴν Ἑκάτην λέγει, ὡς τοῦ Περσέως θυγατέρα. Τινὲς δὲ αὐτήν φασι Διὸς εἶναι παῖδα. Ἐν δὲ τοῖς Ὀρφικοῖς Δήμητρος γενεαλογεῖται·

Καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν.

Βακχυλίδης δὲ Νυκτός φησιν αὐτὴν θυγατέρα·

Ἑκάτα, δαδοφόρου q) Νυκτὸς μεγαλοκόλπου r) θύγατερ.

Μουσαῖος δὲ, Ἀστερίας καὶ Διός. Φερεκύδης δὲ, Ἀρισταίου τοῦ Παίονος.

V. 470. Οὕνεκεν. Ὅτι οὐκ ἐπιχαίρω ἐγὼ κακοῖς. Ὁ δὲ λόγος ἐρωτικός.

V. 471. Ἐόλητο. Ἐτετάρακτο καὶ ἐν ἀγωνίᾳ ἦν.

(V. 474. Ὑπερβατόν ἐστι. Τὸν γὰρ Ἰάσονα ὁ Ἄργος προσέειπεν.

V. 478. Ἑκάτης. Εἰς ἣν αἱ φαρμακίδες ἀναφέρονται.)

V. 482. Ἀντιβολήσων. Συναντήσων. Καταστρέφει δὲ εἰς τὸ κοινολογήσομαι, συντάξομαι.

V. 485. Ὦ πέπον. Ὦ γλυκύτατε, προσφιλέστατε. Ἐπεὶ καὶ ὁ πέπων μελίχρους.

q) δαιφόρου P. δαδοφόρος emendarunt Ruhnk ad Hymn. in Cer. v. 24. Ilgen. ad Homer. Hymn. p. 517. et Jacobs. Animadv. ad Anthol. I, 1 p. 390. r) μελανοκόλπου corrigunt Ilgen. l. c. et Jacobs. p. 391.

(V. 490. *Παρεόντας.* Τὸν Ἰάσονα καὶ τοὺς σὺν αὐτῷ.

V. 493. *Ἀντικρύ.* Φανερώτατα, ἐναντιώτατα.)

V. 494. *Διειρομένοισι.* Διερευνῶσιν, ἢ λέγουσιν. (Ὁ γὰρ νοῦς, Ἐναντίως ἡμῖν ἔχει. οὐ γάρ ἐστι τελεσθησόμενον οὔτε ἐμοὶ λέγοντι, οὔτε ὑμῖν ἐρευνῶσι τὰ ἐπιτασσόμενα.)

V. 497. *Ἐφίετο.* Ἐνετείλατο [s]).

(V. 500. *Ὃ δή νύ οἱ.* Τὸ ἑξῆς, ὅπερ αὐτῷ συντόμως ὑπεσχόμην. Οὐκ ἦν γὰρ ἄλλο τι σκέψασθαι βέλτιον.

V. 502. *Ἀνήνυτος.* Δυσκατόρθωτος.)

V. 510. *Πεφυλαγμένος ἐντύναιο* [t]). Φυλάττων τὴν ὑπόσχεσιν παρασκευάζου. Ἐντύνω γὰρ, τὸ παρασκευάζω.

V. 511. *Ἑῇ.* Κακῶς τὸ ἑῇ· τρίτου γάρ ἐστι προσώπου. Ἔδει δὲ σῇ.

V. 513. (*Οὐ γὰρ ἔγωγε.* Ἀντὶ τοῦ, ἐγὼ οὐκ ἀνέξομαι. Τί γὰρ πλέον ἢ θάνατός με περιμένει;)

Ὁ μὲν Ἀπολλώνιος τούτους φησὶ προαιρεῖσθαι ζεῦξαι τοὺς βόας· ὁ δὲ τὰ Ναυπακτικὰ ποιήσας πάντας ἀριθμεῖ τοὺς ὑπ' αὐτοῦ φερομένους ἀριστεῖς.

(V. 523. *Ἀλλά τιν' οἴω.* Δύναται, φησὶν, ἡ μήτηρ ἡ ἐμὴ πεῖσαι τὴν Μήδειαν συνεργῆσαι τὸν ἆθλον.) [Ἔτι δὲ ὁ μὲν Ἀπολλώνιος Ἄργον φησὶν ἐμποδίσαι τοὺς ἥρωας ὑποστῆναι βουλομένους τὸν ἀγῶνα.] Ἐν δὲ τοῖς Ναυπακτικοῖς Ἴδμων ἀναστὰς Ἰάσονα κελεύει ὑποστῆναι τὸν ἆθλον.

V. 529. *Δάε.* Ἀντὶ τοῦ ἐδίδαξε.

V. 530. *Νήχυτον ὕδωρ.* Τὸ πολύχυτον. Τὸ γὰρ νη καὶ στέρησιν σημαίνει καὶ ἐπίτασιν. Καὶ ἀχύνετον ὕδωρ, τὸ πολὺ, κατὰ Ἴωνας καὶ Σικελιώτας. (Διονύσιος·

Πλαζομέναις ἵνα λύσσαν ἀχύνετον ἧκα βαλοῦσα.)

V. 533. (*Ἄστρα τε καὶ μήνης.* Τὸν παραδεδαμένον μῦθον λέγει, ὡς αἱ φαρμακίδες κατάγουσι τὴν σελήνην. Τινὲς δὲ καὶ τὰς ἐκλείψεις ἡλίου καὶ σελήνης καθαιρέσεις ἐκάλουν τῶν θεῶν.) Τὸ παλαιὸν ᾤοντο αἱ φαρμακίδες τὴν σελήνην καὶ τὸν ἥλιον καθαιρεῖν. Διὸ καὶ μέχρι τῶν Δημοκράτους [u]) χρόνων πολλοὶ τὰς ἐκλείψεις καθαιρέσεις ἐκάλουν. Σωσιφάνης ἐν Μελεάγρῳ·

Μάγοις [v]) ἐπῳδαῖς πᾶσα Θεσσαλὶς κορη,
ψευδὴς [w]) σελήνης αἰθέρος καταιβάτις.

(V. 539. *Τάχα.* Τὸ τάχα ἐν δισταγμῷ κεῖται. Τινὲς δὲ καὶ ἀντὶ τοῦ ταχέως.)

V. 541. Ἀπολλόδωρός φησιν ἐν τῷ περὶ θεῶν, ὅτι ἡ περιστερὰ ἱερὰ Ἀφροδίτης. διὸ καὶ λάγνον [x]). [Καὶ τὸ ὄνομα δηλοῖ.] παρὰ γὰρ τὸ περισσῶς ἐρᾶν λέγεται.

(V. 551. *Κέαρ δέ μοι.* Ὡς δὲ ἡ ψυχή μου προορᾶται, οὕτως γένοιτο.

V. 564. *Μεμαώς.* Ἀντὶ τοῦ ὀργιζόμενος νῦν. Οὐ γὰρ ἐπὶ κακοῖς τὶς πρόθυμός ἐστι.

s) ἐνετέλλετο P. t) ἐντύνεο P. Theocrit. p. 318. v) Μάγοιο P. u) Δημοκρίτου P. cf. Heins. Lect. w) δευδὴς P. x) λάγνη P.

V. 579. Στεῦτο. Ἀπὸ κοινοῦ τὸ στεῦτο.)

V. 583. Ἀποφλύξωσιν. Ἀντὶ τοῦ ἐκφυσήσωσιν. Καταστρέφει δὲ εἰς τὸ ἐκπνεύσωσιν. Ἔνθεν καὶ ὁ φλύαρος.

(V. 584. sq. Οὐδὲ γὰρ δέχθαι. Λείπει τὸ ὑπέμεινεν.)

V. 587. Εἰ μή οἱ Ζεύς. Ἄγγελόν φησιν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι, κελεύοντα δέξασθαι τὸν Φρίξον, ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. Ὁ δὲ τὸν Αἰγίμιον ποιήσας, διὰ τὸ δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. Λέγει δὲ, ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας, οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων.

V. 588. Ὥς κεν προσκηδέος. Ὅπως ἂν εὐμενοῦς ἀντιάσειεν ὁ Φρίξος τοῦ Αἰήτου. [Ἀντιᾷν τὸ ἀπολαύειν.]

V. 594. Νόσφιν δ' οἷ αὐτῷ μείλια τίσειν. Τιμωρίαν ἀποτίσειν. Χωρὶς δὲ αὐτῷ δώσειν τιμωρίαν ἔλεγεν τοὺς Φρίξου παῖδας. (Τούτους γὰρ αὐτῷ κακοὺς ἄνδρας ἐπάγειν, ὅπως αὐτοῦ τῆς βασιλείας ἐγκρατεῖς γένωνται, ὡς καὶ παρὰ τοῦ ἰδίου πατρὸς Ἡλίου ἠκηκόει.) Ὅτι δὲ χρησμὸς ἦν Αἰήτῃ δεδομένος, ὑπὸ τῶν αὐτοῦ ἐγγόνων ἀπολέσθαι, καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις ἱστορεῖ. Τούτου ἕνεκα καὶ τὴν ζεῦξιν τῶν ταύρων λέγει αὐτὸν ἐπινοῆσαι.

V. 597. Ἀκηδέες. Ἀκηδὴς, ὁ ἀφρόντιστος, καὶ ὁ μὴ φροντίζων ἑτέρων [y]).

(V. 599. Χρῆναι. Γράφεται χρειώ.)

V. 600. Σφωϊτέρης. Κακῶς τὸ σφωϊτέρης δυϊκὸν ἐπὶ ἑνικοῦ ἐχρήσατο. Ἔδει γὰρ εἰπεῖν ἑῆς, ἵν' ᾖ, τῆς ἑαυτοῦ εἶναι δέος. Λείπει τὸ ὑπελάμβανεν.

V. 601. Τῷ κε καὶ ἐλδομένους. Παρατατικὸν εἴληφεν ἀντὶ ὑπερσυντελικοῦ. Καὶ ἔστιν ὑπερβατὸν ἡ φράσις, καὶ λείπει τὸ ὡς. Τὸ γὰρ ἑξῆς οὕτως ἐστὶ, διὸ καὶ ἐπιθυμοῦντας μακρὰν πλεῦσαι, προσεκδεκτέον καὶ τοῦτο, ὡς πατρὸς ἐντολῇ φράσαντος πέπομφεν αὐτούς.

V. 610. Παρηγορέεσκεν. Παρεκάλει. Ἐφιλοφρονεῖτο.

V. 615. Ἀμφαδά [z]). Ἀκουστὰ, φανερά.

V. 616. Κατελώφεεν. Ἐκ τῶν λυπῶν αὐτὴν κατέπαυεν ὁ ὕπνος.

(V. 622. Σφέτερον. Καὶ νῦν κακῶς τὸ σφέτερον. Πληθυντικὸν γάρ ἐστιν ἑνικοῦ πρόσληπτικόν. Ἔδει δὲ ἑὸν δόμον εἰπεῖν.

V. 625. Σφωϊτέρους. Οὐχ ὑγιῶς οὐδὲ νῦν τὸ σφωϊτέρους. Δυϊκὸν γάρ ἐστιν ἐπὶ ἑνικοῦ. Ἔδει οὖν εἰπεῖν ἑούς.

V. 628. Ἄμφω. Ἀμφότεροι δὲ ἐπέτρεψαν τῇ κόρῃ τὴν δίκην, ὁμολογήσαντες ἐμμένειν οἷς ἂν δικάσῃ.)

V. 629. (Ὥς κεν ἰθύσειεν. Ὡς ἂν ταῖς διανοίαις ἐπιβάλοι.) [Ἰθύνειν ἐνταῦθα τὸ δικάζειν.]

V. 641. Ἔμπα. Ἀντὶ τοῦ ἔμπης.

y) ἕτερον P. z) ἀμφαδὸν P.

(V. 656. Ὡς δ' ὅτε τις. Ὁ νοῦς, Καθάπερ δὲ νύμφη ἐκδοθεῖσα ὑπὸ τῶν γονέων καὶ τῶν ἀδελφῶν εἰς γάμον, ἀπολόμενον κατά τινα μοῖραν τὸν γήμαντα, πρὶν ἐπ' ἀλλήλοις τερφθῆναι, διακαιομένη τὴν ψυχὴν ὑπὸ λύπης, ἐν τῷ θαλάμῳ κλαίει· αἰδουμένη καὶ τῶν θεραπαινίδων τὴν ἐντροπὴν, ἵνα μή τις αὐτῶν μωμήσηται, προσιουσῶν γυναικῶν.

V. 662. Χῆρον. Ἔρημον.)

V. 663. Ἐπιστοβέωσι. Χλευάζουσαι λοιδορήσωσι. Μωμήσωνται.

V. 665. Ἐπιπρομολοῦσα. Περιττεύει ἡ ἐπὶ πρόθεσις. Ὡς ἐν τῷ ἐπιβουκόλος.

V. 666. Ἑπέτις. Ἀκόλουθος ἦν νεάζουσα.

Κουρίζουσα. Νεάζουσα.

(V. 668. Ἀρέσασθαι. Πείσειν.)

V. 676. Θευμορίη. Ἐκ θεῶν μεμοιραμένη νόσος περιέδραμεν.

(V. 680. Ἵνα. Ὅπου.)

[V. 687. Ἐπεκλονέεσκον ἀντὶ τοῦ ἐθορύβουν.]

V. 688. Περί μοι παίδων. Ὑπὸ τῶν υἱῶν σου ἄηται, τοῦτ' ἔστι τετάρακται, ἡ ψυχή μου, μὴ αὐτοὺς σὺν τοῖς ξένοις ὁ πατὴρ ἀποκτείνῃ.

V. 689. Μή σφε. Μὴ αὐτούς. Κατὰ ἀφαίρεσιν γὰρ ἐκ τοῦ σφέας.

(V. 690. Νέον. Νεωστί.)

V. 694. Ἀντιάσειε. Παρακαλέσειε. Δυσωπήσειε.

V. 700. (Σύν τε δρήστειρα. Ὅπερ σοι εἴπω, φυλάξαι ἐν τῇ ψυχῇ, καὶ συνεργὸς γενέσθαι.) [Συνδρήστειρα ἡ συνεργός.]

[V. 714. Κόλχων ὅρκον λέγει τὸν οὐρανὸν καὶ πὴν γῆν· κατ' ἐκείνων γὰρ ὤμνυον.]

V. 724. Ἀνέπτατο χάρματι. Ἄνεσιν ἔσχεν αὐτῆς ἡ ψυχὴ ἐν χαρᾷ γενομένης. (Πιθανῶς δὲ χαρακτηρίζει ἡμῖν τὸν ἔρωτα.)

(V. 730. Εἰ ἔτι σῆς. Εἴτι σου προκρίναιμι ἢ τῶν σῶν παίδων.

V. 730. Οἴσομαι εἰς Ἑκάτης. Ἔν τισι φέρεται μετὰ τὸν,

Οἴσομαι εἰς Ἑκάτης θελκτήρια φάρμακα ταύρων,

καὶ ἕτερος στίχος,

Οἰσομένη ξείνῳ ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρε.

Ἔν τισι δὲ οὐ φέρεται, ὡς ἐνταῦθα.

V. 740. Παισί τ' ἀρωγήν. Τὰ ὁμολογηθέντα ὑπὸ τῆς Μηδείας τοῖς παισὶν αὐτῆς ἡ Χαλκιόπη διεσάφησεν.)

V. 742. Στυγερὸν δέος. Κατὰ μετωνυμίαν εἶπεν τὸ φόβου ποιητικόν.

V. 743. Τοῖα παρέξ. Τοιαῦτα ἄνευ τῆς τοῦ πατρὸς γνώμης ἐπὶ τῷ Ἰάσονι βουλεύσασθαι.

[V. 745. Ἑλίκην δὲ λέγει τὴν μεγάλην ἄρκτον.

V. 748. Τὸ δὲ ἀδινὸν ἀντὶ τοῦ ἀδινῶς. Λείπει τὸ θρηνοῦσαν.

V. 750. Μελαινομένη δὲ νὺξ ἡ σκοτουμένη καὶ ἀσέληνος.]

V. 751. Ἀλλὰ μάλ' οὐ Μήδειαν. Παρέλκει τὸ μάλα. Τὸ δὲ ἑξῆς, ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπέλαβε γλυκερὸς ὕπνος, δειδυῖαν ταύρων κρατερὸν μένος.

V. 752. Αἰσονίδαο πόθῳ. Οὐχ ὑγιῶς τέθεικεν τὸν πόθον ἀντὶ τοῦ ἔρωτος. Πόθος γάρ ἡ ἐπιζήτησις· ὁ δὲ ἔρως ἐπιτεταμένον ἐστὶ πάθος.

V. 753. Δειδυῖαν. Τοῦ δείδω ῥήματος παρακείμενος δείδια. Ἀφ' οὗ μετοχὴ κατὰ συγκοπὴν δειδώς· τὸ θηλυκὸν δειδυῖα.

[V. 754. Νειὸν δὲ Ἄρηος τὸν ἀρούμενον ὑπὸ τῶν βοῶν τόπον.]

V. 755. Ἔθυεν. Ὥρμα, ἐκινεῖτο. Ἔνθεν καὶ θυάδες, αἱ βάκχαι.

(V. 756. Ἠελίου ὥς τίς τε δόμοις. Καθάπερ τὶς αὐγὴ ἡλίου κατ' οἶκον ἐξ ὕδατος ἀναφέρεται πρὸς τοῖχον, ὅπερ νεωστὶ κέχυται ἢ ἐν λέβητι ἢ ἐν κάδῳ· εἰς ἑκάτερα δὲ τὰ μέρη συνεχῶς κινεῖται στρεφομένη.)

[V. 758. Γαυλὸς δὲ ὁ κάδδος, ὃ λέγεται βέδουριν.

V. 759. Ὠκεῖα δὲ στροφάλιγξ ἡ ταχεῖα στροφή.]

V. 762. Τεῖρ' ὀδύνη. Κατεπόνει αὐτὴν ἡ ὀδύνη καίουσα. Ὅμηρος [a])·

— — κατασμύξαι πυρὶ νῆας.

V. 764. Ἔνθ' ἀλεγεινότατον. Καθ' ὃν τόπον ἄλγιστόν ἐστι μέρος τῆς ψυχῆς, ὅταν ἀδιαλείπτως τις τῷ ἔρωτι κατέχηται. Ἐπιμένει δὲ πιθανῶς τῷ χαρακτῆρι ἑλκομένης μὲν τῷ πάθει, λογισμῷ δὲ κρατουμένης.

V. 765. Ἐνισκήψωσιν [b]). Ἐμπέσωσι.

V. 767. Καταφθίσθαι. Τῷ ἔρωτι δηλαδή. [Καὶ ὅρα ὅπως ἕλκεται μὲν ὑπὸ τοῦ πάθους, κρατεῖται δὲ ὑπὸ τοῦ λογισμοῦ.]

V. 769. Ὀτλησέμεν. Ὑποφέρειν τὴν ἄτην ἐσκέψατο. [Τὸ δὲ εὔκηλον ἀντὶ τοῦ εὐκήλως, ἤτοι ἡσύχως.]

(V. 775. Ἀχαιΐδα. Ἀντὶ τοῦ Θεσσαλικήν. Ὅμηρος [c])·

Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.)

V. 780. (Φάρμακα μησαμένη. Λείπει τὸ δοῦναι.) Περιττὴ δὲ ἡ ἐπὶ πρόθεσις.

V. 781. Τίς μῆτις. Τίς δέ μοι ἔσται παραλογιστικὴ βουλὴ τῆς βοηθείας.

V. 784. Ἄμμι. Ἀντὶ ἑνικοῦ τοῦ ἐμοὶ κεῖται τὸ ἄμμι.

[V. 785. Ἐπαμείρεται ἀντὶ τοῦ στερηθήσεται.]

V. 791. Ἐπιλλίζουσιν. Ἐπικαταμωμήσονται, [καταμωκεύουσι.] Κυρίως δὲ τὸ τοὺς ὀφθαλμοὺς ἐπικλίνειν καταμωκώμενον [d]).

a) Il. IX, 653. b) ἐνισκίμψωσι P. c) Il. II, 684. d) καταμωκευόμενον P.

(V. 796. Καὶ οὖς. Κακῶς τὸ οὖς. Βέλτιον δὲ τὸ ἑοὺς, ἵνα ἐκ τῶν γυναικῶν ᾖ ὁ λόγος.)

V. 802. Φωριαμόν. Νῦν τὴν κοιτίδα λέγει. Σαφὲς δ' ἐκ τοῦ, ἐνθεμένη ἐπὶ γούνασιν. Ἐτυμολογεῖ δὲ τὴν φωριαμὸν Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ·

Φωριαμὸν δ' ὀνόμηναν, ὅ μιν κύθε φώριον ἄγρην·
ἐκ τοῦ φωριαμὸς κικλήσκεται ἀνθρώποισιν.

[Ῥαιστήρια δὲ τὰ φθαρτικά.]

V. 805. Ἀστεγές. Ἀντὶ τοῦ πολυστεγές. Τὸ γὰρ α νῦν ἐπιτατικόν· ὡς ἄξυλος ὕλη.

V. 807. Τόφρα πάσαιτο. Τὸ τόφρα ἀντὶ τοῦ ὄφρα κεῖται. Τὸ δὲ ὄφρα, ποτὲ μὲν τὸ ἵνα δηλοῖ, Ὅμηρος [e])·

Ὄφρα μὴ ἄσπερμος γενεὴ —

ποτὲ δὲ προηγούμενόν ἐστιν, ἀνταποδοτικὸν ἔχον τὸ τόφρα. Ὅμηρος [f])·

Ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ.

(Τὸ πάσαιτο οὐχ ὑγιῶς. Οὐ γὰρ εἰς κόρον ἡ τούτου μετάληψις.

V. 813. Ἐνὶ ζωοῖσι. Τὰ ἐν τῷ ζῆν ἀρεστὰ ἐλογίζετο.)

V. 836. Λήθη ἀχέων. Λήθην ποιουμένη τῶν τε παρουσῶν λυπῶν καὶ τῶν ἐπαυξηθησομένων.

V. 847. Δαίραν μουνογένειαν. [Τὸ κούρην μουνογένειαν γράφεται καὶ Δαῖραν μουνογένειαν.] Τὸ Δαίραν κατ' ἔλλειψίν ἐστι τοῦ ε, διὰ τὸ μέτρον. Δάειρα γάρ ἐστι. (Λέγει δὲ τὴν Περσεφόνην, ὡς δηλοῖ διὰ τὸ μουνογένειαν.) Νυχίαν δὲ εἶπεν, ἤτοι διὰ τὸ χθονίων βασιλεύειν, νύκτα γὰρ τὸν ἀφώτιστον τόπον φασίν, ἢ ἣν νυκτὸς οὔσης ἐξιλάσκονται. Εὔλογον γὰρ τὴν τῶν νυχίων τόπων κρατοῦσαν κατὰ τὴν τῆς νυκτὸς ὥραν ἱλάσκεσθαι. Ὅτι δὲ τὴν Δαίραν Περσεφόνην καλοῦσι, Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ [g]) συγκατατίθεται. Καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαίραν.

[Ἀρεσάμενος δὲ ἀντὶ τοῦ φιλοφρονησάμενος. Τὸ δὲ ἰκμαίνοιτο ἀντὶ τοῦ ὑγράνειεν ἢ εὐφράνειεν.

V. 851. Ἀνέσχε δὲ ἀντὶ τοῦ ἀνεδόθη τὸ φάρμακον.]

V. 858. Τῆς οἵην τ' ἐν ὄρεσσι. Τὸ ἀποφερόμενον ὑγρὸν, ὀπὸν εἶπε τῆς φηγοῦ.

V. 859. Κασπίῃ ἐν κόχλῳ. Κάσπιον πέλαγος παρὰ τῷ ὠκεανῷ· παρ' ᾧ καὶ ἔθνος Κάσπιον, ὅμορον Πέρσαις. Ἔχει δὲ ὁ ὠκεανὸς μεγίστους κόχλους [h]), ἐφ' ὧν, φησὶ, τὸ φάρμακον εἵλετο. Ἰδίως δὲ ὁ ποιητὴς τερατεύεται τὰ περὶ τὴν ῥίζαν. Παρ' οὐδενὶ γὰρ τῶν ῥιζοτόμων εἴρηται. Τὸ δὲ ἄνθος αὐτοῦ φησὶ παραπλήσιον Κωρυκίῳ κρόκῳ. Τὸ δὲ Κωρύκιον, καὶ χωρίον τῆς Κιλικίας, ἐν ᾧ διάφορος γίνεται κρόκος.

Περὶ τῆς Κασπίας θαλάσσης ἱστορεῖ Ἀρτεμίδωρος ἐν τῇ Ἐπι-

e) Il. XX, 303. f) Il. VIII, 66. g) Ἐξηγηματικῷ P. h) κόλχους P.

τομῇ τῶν Γεωγραφουμένων. Ἔστι δὲ πλησίον τοῦ ὠκεανοῦ· ᾗ παράκειται ἔθνος ὠνομασμένον Κάσπιον, ὅμορον δὲ Πέρσαις.

V. 860. Ἑπτὰ μέν. Ἐφ' ἑπτὰ ποταμῶν λουσαμένη ὕδασι. Τερατεύεται δέ.

V. 861. Ἑπτάκι δὲ Βριμώ. Ἑπτάκις δέ φησι καὶ τὴν Ἑκάτην ἐπικαλέσασθαι. Δοκοῦσι γὰρ αἱ φαρμακίδες τὴν Ἑκάτην ἐπάγεσθαι. Βριμὼ δὲ αὐτὴν προσηγόρευσε, διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς δαίμονος, καὶ φάσματα ἐπιπέμπειν τὰ καλούμενα ἑκαταῖα [i])· καὶ πολλάκις αὐτὰ μεταβάλλειν τὸ εἶδος, διὰ τὸ Ἔμπουσαν καλεῖσθαι. Ἢ παρὰ τὸν βρόμον, τὸν τοῦ πυρὸς ψόφον·

(Τόσσος γὰρ πέλεται βρόμος [k]).)

Ἡ γὰρ θεὸς λαμπαδοῦχος. Τὸ δὲ βρι ἐπιτάσεώς ἐστιν, ὡς τὸ,

— — βριήπυος ὄβριμος Ἄρης [l]).

Ἴσως οὖν Βριμὼ, ἡ μεγάλην ἔχουσα μῆνιν, βρίμηνίς τις οὖσα.

V. 865. Τιτηνίδος. Ἐπεὶ τῶν Τιτάνων ἦν ὁ Προμηθεὺς, δι' ὃ τὴν ῥίζαν ἔφη Τιτηνίδα, διὰ τὸ ἐκ Προμηθέως βεβλαστηκέναι, ὃς εἷς ἦν τῶν Τιτάνων [,διὰ τοῦτο τὴν ῥίζαν ἔφη Τιτανίδα τοῦ φαρμάκου]. Διὰ τούτων δὲ τερατεύεται τὰ περὶ τὴν τομὴν τῆς ῥίζης, καὶ τὸ συμπάσχειν τὸν Προμηθέα ἐπὶ τῇ ταύτης τομῇ.

V. 876. Διαροῖσιν. Λαμπροῖς, ἢ καθαροῖς. Ὅμηρος δὲ ἀντὶ τοῦ θερμοῖς.

Παρθένιος δὲ, ποταμὸς Παφλαγονίας.

Παραγράφει δὲ τὰ ἐν Ὀδυσσείᾳ [m])·

Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα.

V. 881. Ἀμορβάδας [n]) τὰς ἀκολούθους φησί.

V. 890. Ἱεμένη. Ἀντὶ τοῦ ἱεμένως, προθύμως.

Ἡ δὲ μετὰ ἀντὶ τῆς πρός· ἵν' ᾖ, πρὸς τὰς δμωάς.

V. 891. Οὐδ' ἐνόησα. Ὁ δὲ ἀντὶ τοῦ γάρ.

V. 899. Λεξάμεναι. Ἀντὶ τοῦ συλλεξάμεναι. Ἢ ἀνακλιθεῖσαι. Ὡς καὶ Ὅμηρος [o])·

Λέξεται ἐν μέσσησι νομεύς [p]).

V. 902. Παρατρέπει. Προτρέπει.

(V. 903. Σῖγα ἔχετε. Σιωπῇ κατέχετε, μαθοῦσαι ἐξ ἐμοῦ.)

V. 905. Ὑπέστη. Κατεδέξατο ἐπὶ τοῖς βουσὶν ἀγωνίσασθαι. Ἡ περὶ, ἀντὶ τῆς ὑπό.

V. 908. Εἰς ὠπήν. Εἰς ὄψιν μου, ἐναντίον ἐμοῦ.

V. 914. Κασιγνήτων. Λείπει ἡ παρά· ἵν' ᾖ, παρὰ τῶν κασιγνήτων εἰσήκουσε τὴν Μήδειαν κατὰ τὸν ὄρθρον ἀφίξεσθαι εἰς τὸν τῆς Ἑκάτης ναόν.

V. 917. Ἐσθλὸς μέν. Ὁ νοῦς, ἀγαθὸς μὲν καὶ ἐπιφανέντας καὶ ἀπιόντας εὖ σημειώσασθαι.

V. 929. Λακέρυζαι. Αἱ φλύαροι διέτριβον καὶ ἔμενον.

V. 932. Ἀκλειής. Ἄδοξος.

V. 935. Ἐπήλυδες. Οἱ ξένοι, καὶ οἱ ἀκόλουθοι.

i) Ἑκάτεια P. k) Il. XIV, 396. l) Hom. Il. XIII, 521. m) Od. VI, 102. n) Ἁμορβάδας P. o) Od. IV, 413. p) μέσσοισι νομεῦσι P.

V. 938. Ἴσκεν ἀτεμβομένη. Ἔλεγε μεμφομένη τῷ Μόψῳ.

V. 939. Ὀμφήν. Φήμην.

Θεήλατον. Τὴν ὑπὸ τῆς θεᾶς Ἥρας ἐλασθεῖσαν καὶ λεχθεῖσαν.

[V. 941. Δήεις ἀντὶ τοῦ εὑρήσεις.]

V. 942. Ἤ τοι συνέριθος. Ἥτις Κύπρις συνεργὸς καὶ συμπράκτρια τῶν σῶν κινδύνων γενήσεται.

V. 946. (Λίσσεό μιν. Εἶπε γὰρ Φινεύς·
— — ἐν γὰρ τῇ κλυτὰ πείρατα κεῖται ἀέθλου.)

Παρατροπέων. Παρατρέπων, παραπείθων.

(V. 949. Ἀθύροι. Παίζοι.)

V. 955. Δοάσσαι. Ἔδοξεν ἀκούειν παραδραμόντα. Τοῦ δὲ δοάσσαι τὸ θέμα δοάζω. Σημαίνει δὲ τὸ νομίσαι.

V. 963. Θερμὸν δέ. Καὶ τὸ ἐρύθημα δὲ τὸ θερμὸν τὰς παρειὰς κατέλαβεν. Οἷον, ἐρυθρὰ ἐγένετο.

V. 971. Ὁμάδησαν. Κατεχρήσατο· ὅμαδος γὰρ κυρίως ἐπὶ ἀνδρῶν, ὁμόαυδός τις ὤν.

V. 974. Θευμορίῃ. Τῇ ἐκ θεῶν μεμοιραμένῃ αὐτῇ ἄτῃ.

V. 976. Οἷοί τε δυσαυχέες. Οἱ καυχώμενοι ἀλαζονικῶς ἐν ἑτέρων διαβολαῖς.

V. 982. Τερπνοῖς. Παραλογιστικοῖς.

V. 983. Φηλώσῃς. Ἀπατήσῃς. Ἀπὸ τοῦ φήληκος, τοῦ ἀώρου σύκου.

(V. 993. Ἐς Ἑλλάδα. Ἑλλάδα νῦν τὴν Φθιωτικὴν ὅλην χώραν, ὁμωνύμως τῇ πόλει· ὃν τρόπον Ἄργος, καὶ ἡ πόλις καὶ ἡ χώρα.)

V. 997. Δή ποτε καὶ Θησῆα. Διὰ τούτων ἠθικῶς προκαλεῖται τὴν Μήδειαν εἰς τὸ ἀποπλεῦσαι σὺν αὐτῷ· παράδειγμα φέρων τὴν Ἀριάδνην τὴν Θησέως σώτειραν· στέφανον αὐτῆς καταστερίσθαι λέγων· οὐ πάντα ἀληθεύων. Καταλέλειπται γὰρ ὑπὸ Θησέως ἐν Νάξῳ, πεπαρθένευται [q]) δὲ ὑπὸ Διονύσου [r]) κατά τινας. ἐξ ἧς παιδοποιεῖ Οἰνωπίονα, Θόαντα [s]), Στάφυλον, Λάτραμυν, Εὐάνθη, Ταυρόπολιν. Ὅτι δὲ [οὐ συνεγένετο Θησεὺς Ἀριάδνῃ,] οὐδὲ ἤγαγεν αὐτὴν εἰς Ἀθήνας, (τελευτῆσαί τε καταλειφθεῖσαν ὑπὸ Θησέως,) Ὅμηρος μαρτυρεῖ, δι' ὧν ὁ Ὀδυσσεύς φησι [παρὰ τοῖς Φαίαξι] [t])·

Φαίδρην τε Πρόκριν [u]) τε ἴδον, καλήν τ' Ἀριάδνην,
κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε Θησεὺς
γήμας οὐδ' ἀπόνητο [v]).

Οτι δὲ ὁ στέφανος ὑπὸ Διονύσου κατηστέρισται, Ἄρατός φησιν [w])·

Αὐτοῦ κἀκεῖνος στέφανος [x]), τὸν ἀγαυὸν ἔθηκεν
σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης.

q) διαπεπαρθένευται suspicatur Schaefer. r) Διοσκούρου P. s) Θάλητα P. t) Od. XI, 320. u) Πρόκνην P. v) ἥν ποτε γῆμεν Θησεὺς οὐδ' ἀπόνητο. P. w) Arat. Phaen. 71. x) στέφανον P.

(V. 1000. *Ἀλλ' ἡ μέν.* Διὰ τούτων προτρέπεται τὴν Μήδειαν πλεῖν σὺν αὐτῷ· παράδειγμα φέρων τὸν Ἀριάδνης ἔρωτα, ὅτι συναπῆρε τῷ Θησεῖ εἰς Ἀθήνας.)

V. 1007. *Ἐπητείῃσιν.* Ἐπιστήμαις, φρονήσεσιν. Καὶ Ὅμηρος [y])·

— — ἐπήτῃ δ' [z]) ἀνδρὶ ἔοικας.

V. 1009. *Νεκτάρεον.* Ἀντὶ τοῦ προσηνές. Ἐγὼ δέ φημι λαρὸν, παρὰ τὸ νέκταρ.

V. 1013. *Προπρὸ δ' ἀφειδήσασα.* Γράφεται, προπρὸ δὲ μειδήσασα. Ἐμφαντικὴ ἡ ἐπαναδίπλωσις τῆς προθέσεως· ἐμφαίνει γὰρ μᾶλλον τὸ μετὰ σπουδῆς καὶ προχείρως γεγενῆσθαι τὴν δόσιν.

Ἀφειδήσασα. Ἀφροντιστήσασα πρὸς τοῦτον εἰπεῖν. Ἀντὶ τοῦ, μηκέτι ἀκριβωσαμένη, ἢ πολυπραγμονήσασα, ἀφεῖλεν ἐκ τῆς στηθοδεσμίδος τὸ φάρμακον. Διὰ δὲ τούτου φαίνεται ἡ ἐπίτασις τοῦ ἔρωτος.

V. 1015. *Ἀρύσασα.* Ἀντὶ τοῦ ἀφελομένη, ἀπαντλήσασα. Ἢ ἐκκενώσασα.

V. 1018. *Ἀμαρυγάς.* Τὰς οἷον συνεχεῖς κινήσεις. Καὶ ἐπὶ τοῦ πυρὸς λέγεται ἀμαρύσσειν, ἀπὸ τοῦ τὴν φλόγα συνεχῶς ἀΐσσειν. Ὅμηρος [a])·

Μαρμαρυγὰς θηεῖτο ποδῶν —

τὴν κατεπάλληλον [b]) δηλῶν κίνησιν.

V. 1020. *Τηκομένη.* Τὸ Ὁμηρικὸν παρέφρασεν [c])·

Ἰάνθη δ' ὡσεί τε περὶ σταχύεσσιν ἔερση
ληΐου ἀλδήσκοντος.

Τὸ μὲν οὖν τηκόμενον πάντως καταχεῖται. Ὅμηρος [d])·

Αἶψα δ' ἰαίνετο κηρὸς, ἐπεὶ κέκλετο μεγάλη ἲς
ἠελίοιο.

Οὐ πάντως δὲ, εἴ τι ἰαίνεται, τοῦτο καὶ τήκεται. Ὅθεν Ὅμηρος, εἰπὼν ἰάνθη, ἐπήνεγκεν ὡσεί τε, μεταφορικῶς λέγων, ὅτε ὀρθὸν ἔχουσι τὸν στάχυν, οἷον μετεωριζόμενον. ὥστε εἶναι τὸ νοούμενον ἐμφατικὸν τῆς τῶν σταχύων ἡδονῆς, καθάπερ ἐμψύχων, τῆς δρόσου ἀντεχομένης τῶν καρπῶν. οὕτω καὶ τὴν ψυχὴν τοῦ Μενελάου εἰς τέρψιν μετῆχθαι τοῖς λόγοις τοῦ Ἀντιλόχου. Τὸ δὲ τήξει παραβάλλειν τὴν τερπομένην ψυχὴν οὐ πιθανόν. Δύναται μὲν οὖν ἀναγινώσκεσθαι καὶ τὸ τήκεται ἐπὶ τέρψεως· τὸ γὰρ τηκόμενον πάντως λύεται καὶ μαλάσσεται. Ἔστιν οὖν εἰπεῖν, ὅτι πᾶσα διελύθη, ἐφηπλώθη ἡ Μήδεια.

V. 1029. *Διαμμοιρηδὰ φυλάξας.* (Τινὰ λέγει τῶν ζωδίων μεσουρανοῦντα παραφυλάττεσθαι κατὰ τὸ μεσονύκτιον, τῶν πρὸς τῷ ὁρίζοντι, ἃ μὲν δύνοντα, ἃ δὲ ἀνατέλλοντα, ἢ τοῦ τῆς ἄρκτου ὑψώματος. Ἄλλως.) Τὸ *διαμμοιρηδὰ*, ἀντὶ τοῦ, κατὰ

y) Od. XVIII, 127. z) δ' om. P. a) Od. VIII, 265. b) ἀκατάλληλον P. ἀλλεπάλληλον suspicatur Schaefer. c) Il. XXIII, 598. d) Od. XII, 175.

ἴσας μοίρας εἰς ζώδια διαιρεῖσθαι τὸν οὐρανὸν, ὡς εἶναι μεσουρανοῦντα τῶν ζωδίων τὰ κατὰ τὴν ἑσπέραν ἀνατέλλοντα.

V. 1032. Περιηγέα. Τὸν περιφερῆ καὶ στρογγύλον.

V. 1033. Ἀρνειὸν σφάζειν. Ἀντὶ τοῦ σφάξον καὶ ἀδιαμέριστον θὲς ἐπὶ τὸ πῦρ.

Ὠμοθετεῖν δέ ἐστι, τὸ τοῦ ἱερείου ὠμοῦ ἀπάρχεσθαι τῶν μελῶν.

V. 1035. Μουνογενῆ. Ἡσίοδος·

Οὐδέ τι e) μουνογενὴς ἧσσον f) θεὰ ἔμμορε τιμῆς.

Μουσαῖος ἱστορεῖ Δία ἐρασθέντα Ἀστερίας, μιγῆναι· καὶ μιγέντα δοῦναι [αὐτὴν] τῷ Περσεῖ, ἐξ ἧς τεχθῆναι αὐτῷ τὴν Ἑκάτην.

V. 1040. Κολούσας. Ἀτελῆ καὶ ἄπρακτα ποιήσας ἕκαστα τῶν ἐνεργουμένων. Σοφοκλῆς δὲ ἐν ταῖς Κολχίσιν εἰσάγει τὴν Μήδειαν ὑποτιθεμένην τῷ Ἰάσονι περὶ τοῦ ἄθλου δι' ἀμοιβαίων.

V. 1057. Τὸ δὲ στιβαρώτερον ἀντὶ τοῦ στιβαροῦ· τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ.

V. 1065. Ἑοῖο. Τῇ κτητικῇ ἀντὶ τῆς πρωτοτύπου· ἐμοῖο γὰρ, σοῖο. ἧς τὸ ἀκόλουθον οἷο, ἀντὶ τοῦ αὐτῆς.

V. 1074. Ἠὲ καὶ Αἰαίης. Νῆσος ἐν τῷ Φάσιδί ἐστιν ἡ Αἰαία, ἐν ᾗ τὸ δέρας ἔκειτο. Αὕτη δέ ἐστι Κόλχων μητρόπολις.)

V. 1085. Ἔστι τὶς αἰπεινοῖσιν. Ὅτι ἡ Θεσσαλία περιέχεται ὄρεσι κυκλόθεν, Ἡρόδοτος ἱστορεῖ. Ὅτι δὲ Προμηθέως υἱὸς Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικός φησι· καὶ ὅτι δώδεκα θεῶν βωμὸν ἱδρύσατο. Εἰς αὐτὴν δὲ καὶ ἄλλων ποταμῶν εἰσβαλλόντων, τεσσάρων δὲ μάλιστα τῶν δοκίμων, Πηνειοῦ, καὶ Ἀπιδανοῦ, καὶ Πανισοῦ, καὶ Ἐνιπέως, τούτων συμμιγνυμένων, ὁ Πηνειὸς τῷ ὀνόματι κατακρατῶν, [μόνος τε εἰς τὴν θάλατταν ἐκβάλλει, καὶ] ἀνωνύμους τοὺς ἄλλους ποιεῖ.

V. 1086. Καὶ εὔβοτος. Πρὸς τὸ βόσκειν ἐπιτηδεία· ἢ καλὰ θρέμματα ἔχουσα.

Ἔνθα Προμηθεύς. Ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων, Ἡσίοδος ἐν πρώτῳ Καταλόγων φησί· καί ὅτι Προμηθέως καὶ Πύῤῥας Ἕλλην. Ὅτι δὲ καὶ ὁ Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικος ἐν πρώτῳ τῆς Δευκαλιωνίας φησίν. Καὶ ὅτι δώδεκα θεῶν βωμοὺς ὁ Δευκαλίων ἱδρύσατο, Ἑλλάνικος ἐν τῷ αὐτῷ φησὶ συγγράμματι.

V. 1087. Ἰαπετιονίδης. Ἐκ τίνος γυναικὸς ὁ Δευκαλίων ἐγένετο Προμηθεῖ, σεσιώπηται. Ἔστι δὲ καὶ ἕτερος Δευκαλίων, περὶ οὗ Ἑλλάνικος ἱστορεῖ· καὶ ἄλλος, ὁ Μίνωος, περὶ οὗ Φερεκύδης· καὶ τέταρτος, ὁ Ἄβαντος, οὗ μνημονεύει Ἀρίστιππος ἐν Ἀρκαδικοῖς.

V. 1090. Αἱμονίην δή. Αἱμονία τοπρότερον ἡ Θεσσαλία ἐκαλεῖτο· ἄλλας δὲ ἔσχεν ὀνομασίας. Ἐλέγετο δὲ καὶ Πυῤῥοδία ἀπὸ Πύῤῥας τῆς Δευκαλίωνος. (Ἡ Θεσσαλία ἐκαλεῖτο τοπαλαιὸν Πύῤῥα,) ὡς Ῥιανός·

e) οὐδ' ὅτι P. f) ἶσον P.

Πύῤῥαν δή ποτε τήνγε παλαιότεροι καλέεσκον,
Πύῤῥης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο·
Αἱμονίην δ' ἐξαῦτις ἀφ' Αἵμονος, ὅν ῥα Πελασγὸς
γείνατο φέρτατον υἱόν. ὁ δ' αὖ τέκε Θεσσαλὸν Αἵμων.
τοῦ δ' ἄπο Θεσσαλίην λαοὶ μετεφημίξαντο.

Οἱ δὲ ἀπὸ Θεσσαλοῦ τοῦ Φειδίππου πατρὸς, τοῦ Ἡρακλείδου [g]), μετὰ τὰ Τρωϊκὰ κληθῆναι φασί. Διαιρεῖται δὲ εἰς μέρη τέσσαρα, Πελασγιῶτιν, Θεσσαλιῶτιν, Ἰωλκῖτιν Φθιῶτιν. Ταῦτα παρατίθεται Ἀπολλόδωρος ἐν Νεῶν καταλόγῳ.

[V. 1093. Ἰστέον δὲ ὅτι Αἶα μέν ἐστι μητρόπολις Κόλχων· Αἰαίη δὲ νῆσος ἐν Φάσιδι, ἐν ᾗ τὸ δέρας ἐκαλεῖτο, ὥς φησι Φερεκύδης, ἧς νῦν Ἀπολλώνιος μέμνηται. Αἰαίη δὲ λέγεται κτητικῶς ἀπὸ τῆς Αἴας, κατὰ πλεονασμὸν τῆς αι διφθόγγου.]

V. 1094. *Αἰολίδην.* Οὐκ ἀπὸ Αἰόλου, ἀλλ' ἀπὸ τῶν Αἰόλου. Σισύφου γὰρ [τοῦ Αἰόλου] παῖδες ἐγένοντο Ἄλμος καὶ Πορφυρίων· Χρυσογόνης δὲ τῆς Ἄλμου καὶ Ποσειδῶνος Μινύας, (ὁ τὸν Ὀρχομενὸν κτίσας. Καὶ κατὰ τοῦτο εἴρηται Αἰολίδης, ὅτι Σίσυφος Αἰόλου ἐγένετο.) Μινύας δὲ κατὰ μητέρα Αἰολίδης, πατρὸς δὲ Ποσειδῶνος. Τοῦτον οὖν Ἀπολλώνιός φησιν εἰς τὴν Βοιωτίαν εἰσβαλόντα, ὅμορον Θηβαίοις Ὀρχομενὸν κτίσαι.

V. 1100. *Αἴθε γὰρ ὡς Θησῆϊ.* Πιθανῶς ἄγαν προτρέπεται αὐτὴν εἰς τὸ ὁμολογῆσασθαι τῷ Ἰάσονι τὴν προαίρεσιν αὐτῆς, κατεστοχασμένος τὸν ἔρωτα.

V. 1102. *Καταψύχων.* Καταμαλάττων.

V. 1104. *Ἀδινῷ.* Ἀδινὸν ἐνταῦθα μὲν τὸ οἰκτρὸν καὶ λυπηρόν.

V. 1124. *Πορσανέουσι.* Νῦν ἀντὶ τοῦ τιμήσουσι, καὶ ὡς θεὸν νομίσουσι σεπτήν· ὅταν δὲ λέγῃ ὁ Ἰάσων,

Ἡμέτερον δὲ λέχος θαλάμοις ἔνι κουριδίοισι
πορσανέεις,

δηλοῖ ὅτι προσκτήσῃ κ. τ. ἑ.

V. 1129. *Πορσανέεις.* Δηλοῖ ὅτι προσκτήσῃ καὶ αὐξήσεις· δι' οὗ τὴν συμβίωσιν σημαίνει.

V. 1131. *Κατείβετο.* Κατετήκετο, τῶν Ἰάσονος ἀκούουσα ῥημάτων.

V. 1138. *Ἐδεύετο.* Ἐδέετο. Ἔχρηζεν. Ἀπῄτει. Ἢ ὅτι ἐνελείπετο ὁ τῆς ἡμέρας καιρός.

V. 1145. *Ἀβολήσομεν.* Συντευξόμεθα.

V. 1150. *Περιπλομένας.* Παριούσας [h]). Ἐπεὶ καὶ πλόος λέγεται ἡ ὁδός. Καλλίμαχος·

Ἔγρει καί τιν' ἔχοντα περίπλοον [i]).

V. 1151. *Μεταχθονίη.* Οὐχ ἡνιοχοῦντος τοῦ νοῦ.

[V. 1156. Τὸ δὲ *περὶ παισὶν* ἀντὶ τοῦ ὑπὲρ τῶν παίδων, ὅμοιον τῷ, περὶ ξανθῷ Μενελάῳ [k]).]

g) Θεσσαλοῦ τοῦ Ἡρακλέους τοῦ Φειδιππίδου πατρὸς P. h) περιϊούσας P. i) ἔγρει ἔχον τὸν περίπλοον P. k) Hom. Il. X, 240.

V. 1157. *Παλιντροπίῃσιν.* Ἤτοι ταῖς παρεπιστροφαῖς· ἢ διὰ τὸ ἔμπαλιν τετράφθαι αὐτῆς τὴν ψυχήν. ἡ δὲ τῇ ὑποστροφῇ ἐν ἀπόρῳ καταστᾶσα.

[V. 1159. *Σφέλας* δὲ λέγει τὸ ὑποπόδιον τοῦ θρόνου.]

V. 1169. *Οἰόθεν οἶος ἑταίρων.* Οὐχ ἁρμόζει νῦν τὸ οἰόθεν οἶος. (Μόνος γὰρ ἀπὸ πολλῶν.) [Κυρίως τὸ μόνος ἀπὸ μόνου σημαίνει·

νῦν μὲν δὴ σάφα εἶσε καὶ οἰόθεν οἶος [1]).]

Ἦν δὲ εἰπεῖν, οἶος ἀπ' ἄλλων.

[V. 1171. *Κνέφας* δὲ *νυκτὸς* ἀντὶ τοῦ νὺξ περιφραστικῶς.]

V. 1172. (*Εὔκηλοι μέλλοντο.* Σολοικισμός. Ὁ γὰρ λόγος, ἥσυχοι ἐμέλλοντο αὐτοῖς, ὡς ἀλλήλων τινῶν μελλόντων αὐτοῖς. Ἔδει δὲ εἰπεῖν, ἐμέλλοντο σφέων, ὅ ἐστιν ἑαυτῶν.) [*Ἐμέλοντο* ἀντὶ τοῦ ἐφρόντιζον.]

V. 1178. *Ἀονίοιο δράκοντος.* Ἀντὶ τοῦ; Βοιωτικοῦ. (Ἀονία γὰρ τοπρότερον ἡ Βοιωτία.)

Ὠγυγίας δὲ τὰς Θήβας ἀπὸ Ὠγύγου τοῦ βασιλεύσαντος αὐτῶν. Κορίννα δὲ τὸν Ὤγυγον Βοιωτοῦ υἱὸν εἶπεν [m]). Ἀπὸ τούτου δὲ καὶ Ὠγύγιαι τῶν Θηβῶν πύλαι.

V. 1179. (Περὶ δὲ Εὐρώπης καὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ πρώτῃ τῶν Θηβαϊκῶν παραδόξως συνείλεχε πολλὴν τὴν ὕλην διαφωνοῦσαν.)

Κάδμος ὅτ' Εὐρώπην. Περὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ συναγωγῇ τῶν Θηβαϊκῶν παραδόξως ἱστορεῖ· καὶ Ἑλλάνικος ἐν ᾱ Φορωνίδος· ἱστορῶν ὅτι καὶ τοὺς ὀδόντας ἔσπειρε τοῦ δράκοντος κατὰ Ἄρεος βούλησιν, καὶ ἐγένοντο πέντε ἄνδρες ἔνοπλοι, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ὑπερήνωρ, Ἐχίων. Ὁ δὲ Ἀπολλώνιος πολλοὺς οἴεται καὶ ἄλλους πολλοῖς πεπολεμηκέναι. Ἐν δὲ τῷ τρίτῳ [n]) τῆς Μουσαίου Τιτανογραφίας λέγεται, ὡς Κάδμος ἐκ τοῦ Δελφικοῦ [χρηστηρίου] ἐπορεύετο, προκαθηγουμένης αὐτῷ τῆς βοός. Ἱππίας δὲ ὁ Δήλιος ἐν Ἐθνῶν ὀνομασίαις φησὶν, ἔθνος τι καλεῖσθαι Σπαρτούς· καὶ ὁμοίως Ἀτρόμητος. Φερεκύδης δὲ ἐν τῇ πέμπτῃ [o]) οὕτω φησίν· Ἐπειδὴ Κάδμος κατῳκίσθη ἐν Θήβῃσιν, Ἄρης διδοῖ αὐτῷ καὶ Ἀθηναίη τοῦ ὄφιος τοὺς ἡμίσεις ὀδόντας, τοὺς δὲ ἡμίσεις Αἰήτῃ. καὶ ὁ Κάδμος (αὐτίκα) σπείρει αὐτοὺς εἰς τὴν ἄρουραν, Ἄρεος κελεύσαντος. καὶ αὐτῷ ἀναφύονται ἄνδρες [πολλοὶ] ὡπλισμένοι. ὁ δὲ Κάδμος δείσας βάλλει αὐτοὺς λίθοισιν. οἱ δὲ, δοκέοντες ὑφ' ἑαυτῶν βάλλεσθαι, κτείνουσί τε ἀλλήλους, καὶ θνήσκουσι· πλὴν πέντε ἀνδρῶν, Οὐδαίου, Χθονίου, Ἐχίονος, Πέλωρος καὶ Ὑπερήνορος. καὶ αὐτοὺς ὁ Κάδμος ποιεῖται πολίτας, κατοικίσας αὐτοὺς ἐν Θήβαις.

V. 1186. *Κάδμος Ἀγηνορίδης.* Τοὺς περιλειφθέντας ἐν τῇ μάχῃ σὺν Κάδμῳ κατοικῆσαι ἐν Θήβαις φησί. Λέγει δὲ

1) Hom. Il. VII, 226. m) Υἱὸν δὲ Ὠγύγου Κοῤῥίνναν λέγουσι γενέσθαι. P. n) τῷ ᾱ P. o) ἐν ϛ P.

καὶ Ἑλλάνικος, ὅτι Κάδμος ἐξελὼν τοῦ ὄφεως τοὺς ὀδόντας ἔσπειρεν. ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ἐχίων, Ὑπερήνωρ. Καὶ ὁ μὲν Ἑλλάνικος μόνους φησὶ τούτους βεβλαστηκέναι, ὁ δὲ Ἀπολλώνιος πολλοὺς καὶ ἄλλους, (Ἴδρυσεν ὄχλον γηγενῆ Ἄρεος ἀμώοντος ὅσοι ὑπὸ δουρὶ λίποντο) καὶ ἀλλήλους πεφονευκέναι. Ἄλλως. Οἱ μὲν Ἀγήνορος λέγουσι τὸν Κάδμον, οἱ δὲ Φοίνικος. Φερεκύδης δὲ ἐν δ' οὕτω φησίν· Ἀγήνωρ δὲ ὁ Ποσειδῶνος γαμεῖ Δαμνὼ τὴν Βήλου. τῶν δὲ γίνονται Φοίνιξ καὶ Ἰσαίη, ἣν ἴσχει Αἴγυπτος· καὶ Μελία, ἣν ἴσχει Δαναός. ἔπειτα ἐνίσχει [p]) Ἀγήνωρ Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ, τοῦ δὲ γίνεται Κάδμος.

V. 1191. sq. Ἥλιος μὲν ἄπωθεν. Ἐρεμνὴν γαῖαν λέγει τὴν ὑπὸ τὸν ὁρίζοντα. Δύσιν γὰρ εἴρηκε τὸν ὑπὸ τῶν ἀρχαίων παραδεδομένον ὁρίζοντα. Αἰθίοπας δὲ λέγει τοὺς πρὸς τῇ δύσει. Ἐρεμνὴν δὲ γῆν, τὸ ἀφανὲς ἡμισφαίριον τὸ περὶ τὸ ἔρεβος. Τοιοῦτον δὲ ἀκουστέον τὸν ὑπὸ τὸν ὁρίζοντα τόπον παρ' Ἀπολλωνίῳ. Ἑσπέριον δὲ τὸν ἥλιον εἴρηκε, τὴν ὥραν σημαίνων, καθ' ἣν ὥραν παρέπεται αὐτῷ τὸ δύνειν. Νεάτας δὲ ἄκριας τῶν Αἰθιόπων, τὰς ἐσχατιάς, ὡς ὑπερκειμένας τὴν οἰκουμένην. Οὐκ ὀρθῶς δὲ εἴρηκεν, ὑπὲρ ἄκριας Αἰθιόπων τὸν ἥλιον δύνειν. Ὁ γὰρ ὁρίζων κύκλος, οὐκ ὢν τῇ φύσει, τῇ ὄψει ἐπισημαίνεται.

(V. 1193. Νὺξ δ' ἵπποισιν. Νεώτερος τῶν Ὁμήρου χρόνων ἡ τοῦ ἅρματος ὑπόζευξις.)

V. 1195. Αὐτίκ' ἐπεί. Πρὸς τὸ κλίμα τῆς Ἑλίκης φησὶν ἀναβλέψαντα τὸν Ἰάσονα σημειώσασθαι τὸν καιρὸν τὸν εἰρημένον ὑπὸ τῆς Μηδείας αὐτῷ.

V. 1202. Ὑπεύδιος. Ὑπ' ἀνθρώπων εὔδιος. Ἀντὶ τοῦ, ἐν εὐδίᾳ καὶ ἡσυχίᾳ τυγχάνων ἀνθρώπων ὑγρὸς τόπος.

V. 1206. Ἀδινῆς εὐνῆς. Νῦν οἰκτρᾶς, λυπηρᾶς, διὰ τὴν ἀπόλειψιν.

V. 1210. Ἐπὶ δὲ μιγάδας. Τὰς μεμιγμένας· ἢ τὰς συμμιγεῖς ἔκ τινων.

V. 1213. Κευθμὸς δὲ, ὁ κρύφιος τόπος.

Ὕπατος, ὁ ὑψηλός· ἢ ὁ ἐνδότατος.

V. 1214. Πέριξ δέ μιν ἐστεφάνωντο. Ὅτι δράκουσι καὶ δρυΐνῳ κλάδῳ στέφεται ἡ Ἑκάτη, καὶ Σοφοκλῆς ἐν Ῥιζοτόμοις τὸν χορὸν πεποίηκε λέγοντα· Ἥλιε δέσποτα καὶ πῦρ ἱερὸν τῆς εἰνοδίας Ἑκάτης, ἔγχος τὸ δι' Ὀλύμπου πολλὸν [q]) φέρει καὶ γῆς ναίουσ' [r]) ἱερὰς τριόδους στεφανωσαμένη δρυσὶ [s]) καὶ πλείστοις ὤμῳ σπειρήμασι δρακόντων.

V. 1219. Ἑλειονόμοι νύμφαι. Αἱ ἐν τοῖς ἕλεσιν ἀναστρεφόμεναι.

V. 1220. Εἰαμενή. Ὁ κάθυγρος τόπος.

p) ἔπειτεν ἴσχει corrigit Schaefer. q) πολλοῦ P. r) καίουσα P. s) δρυΐ P.

Ἀμαραντίου. Ἀμαράντιοι, ἔθνος βάρβαρον ὑπὲρ Κόλχων ἐν τῇ ἠπείρῳ. ὅθεν αἱ τοῦ Φάσιδος πηγαὶ ἐξερεύγονται. Ἢ ὄρος Κολχικὸν καλούμενον Ἀμαράντιον, ὅθεν ὁ Φᾶσις καταφέρεται.

V. 1226. *Θώρηκα στάδιον.* Ὅτι οὐκ ἦν ἁλυσιδωτὸς, ἀλλὰ σταδιαῖος. Ἀπὸ τῆς στάσεως ἐσχημάτισται. Τινὲς δὲ στάδιον τὸν εὐπαγῆ· ὃν καὶ ὁ Καλλίμαχος λέγει·

— — στάδιον δ' ὑφίεστο [t]) χιτῶνα.

V. 1227. *Σφωϊτέραις χερσί.* Ταῖς ἑαυτοῦ, ἰδίαις.

Φλεγραῖον. Τὸ ἀπὸ Φλέγρας. Φλέγρα δὲ πεδίον Θράκης περὶ Παλλήνην.

Μίμας δὲ, τὸ κύριον τοῦ Γίγαντος.

V. 1231. *Πολύῤῥινον σάκος*, τὸ πολύβυρσον.

V. 1236. *Φαέθων.* Ὅτι ὁ Ἄψυρτος καὶ Φαέθων ἐκαλεῖτο, ὥς φησι Τιμώναξ ἐν δευτέρῳ Σκυθικῶν.

V. 1240. *Οἷος δ' Ἴσθμιον.* Ἴσθμια τὰ ἐν Ἰσθμῷ τελούμενα τῆς Κορίνθου, πρότερον μὲν τῷ Ποσειδῶνι, ὕστερον δὲ Μελικέρτῃ, κατὰ κέλευσιν τοῦ τότε τῆς Κορίνθου βασιλεύοντος Σισύφου τοῦ Αἰόλου· ὅτε προσβρασθὲν τὸ τοῦ Μελικέρτου σῶμα (ἰδὼν τῇ Κορίνθῳ, ἐπέγνω ἀδελφιδοῦν ὄντα, Ἀθάμαντος τοῦ Αἰόλου υἱὸν ἐτίμησεν,) ὡς ἔδει, τῷ ἀγῶνι τῷ Ἰσθμικῷ, ἐν ᾧ οἱ νικῶντες πίτυϊ ἐστέφοντο πάλαι, ὕστερον δὲ ξηρῷ σελίνῳ. Μουσαῖος δὲ ἐν τῷ περὶ Ἰσθμίων δύο φησὶ γίνεσθαι ἀγῶνας ἐν τῷ Ἰσθμῷ· καὶ τὸν μὲν Ποσειδῶνος εἶναι, τὸν δὲ Μελικέρτου.

V. 1241. (*Ἢ Ταίναρον.* *Ταίναρον* ἀκρωτήριον τῆς Λακωνικῆς.)

Λέρνη δὲ, κρήνη τοῦ Ἄργους, ἱερὴ Ποσειδῶνος·

(Λερναίων ἀδύτων περιώσιος ὀργιοφάντης.)

V. 1242. (*Ὑαντίου Ὀγχηστοῖο.* Τοῦ Εὐβοϊκοῦ. Ὕαντες γὰρ τὸ πρὶν ᾤκουν τὴν Βοιωτίαν. *Ὀγχηστὸς* δὲ, πόλις τῆς Βοιωτίας, ἱερὰ Ποσειδῶνος.) Ὅμηρος [u])·

Ὀγχηστόν θ' ἱερὸν Ποσιδήϊον ἀγλαὸν ἄλσος.

(*Ὑάντιον* δὲ, ἀντὶ τοῦ Βοιώτιον. Ὕαντες γὰρ Βοιωτίας ἔθνος βάρβαρον. Ὅθεν καὶ παροιμία, Βοιωτία ὗς.)

V. 1243. Καὶ ἡ *Καλαύρια* δὲ [νῆσος οὖσα πρὸς τῇ Τροιζῆνι] ἱερά ἐστι Ποσειδῶνος, ὥς φησι Φιλοστέφανος. Ἦν δὲ πρότερον μὲν Ἀπόλλωνος, ἡ δὲ Πυθὼ Ποσειδῶνος· καὶ ἀντήμειψαν, ἤγουν κατήλλαξαν.

V. 1244. *Πέτρην θ' Αἱμονίην.* Τὴν Θεσσαλίαν πέτραν. Χωρίον δέ ἐστιν, ἐν ᾧ Ποσειδῶνος ἄγεται ἀγών· ὡς ἀπὸ τοῦ τόπου Πετραῖον καλεῖσθαι. Πίνδαρος·

Παῖ Ποσειδῶνος Πετραίου.

Γεραιστὸς, ἀκρωτήριον Εὐβοίας.

V. 1251. *Ἀαγές.* Τὸ ἀκαμπές.

V. 1258. *Περὶ σθένεϊ σφριγόωσαι.* Ἀκμάζουσαι. Ῥωμαλεώτεραι τῇ δυνάμει ἐγένοντο. Εὐτονοῦσαι ἐῤῥωμένως ἐκι-

t) στάδιον ἐμφίησται P. u) Il II, 506.

νοῦντο. Τεταμέναι τῇ δυνάμει, σφριγῶσαι. Σφριγανὸν γάρ ἐστι τὸ ἰσχυρὸν καὶ στερεόν.

V. 1260. Σκαρθμῷ. Τῷ ποδὶ.

V. 1262. Ἐπαγαίετο. Ἔχαιρε, ἐγαυρία.

V. 1266. Μεταπαιφάσσεσθαι. Γράφεται μεταπαιφάσσουσαν. Ἑκατέρως τὸ διαλάμπον σημαίνει.

V. 1268. (Καὶ τότε. Οὐκ ἐπὶ πολὺν καιρὸν ἀφέξεσθαι ἔμελλον τῶν ἄθλων.)

Σχήσεσθαι. Ἀφέξεσθαι.

V. 1269. Κληῗδες. Τὰ ζυγὰ, ἐφ' ὧν οἱ ἐρέται κάθηνται.

V. 1270. Ἀρήϊον. Τὸ πλησίον τοῦ ἱεροῦ τοῦ Ἄρεος, ὅπου καὶ τὸ κῶας.

V. 1272. Ἐκ βαλβῖδος. Βαλβίς ἐστιν ἡ ἐπιβάλλουσιν οἱ δρομεῖς γραμμή. Σημαίνει δὲ καὶ τὴν ἐκκοπὴν τοῦ φρέατος. Ὁ δὲ νοῦς, τοσοῦτον δὲ τῆς πόλεως ἀφέστηκεν, ὅσον ἡ νύσσα ἀπὸ τῆς βαλβῖδος, ἤτοι τῆς ἀφετηρίας.

V. 1286. Χρίμψαι. Τὸ πλησίον γενέσθαι.

V. 1288. Νήριτον. Τὸ πολὺ καὶ ἀνάριθμον.

V. 1290. Κευθμῶν. Τὸ κοίλωμα.

Βόαυλα. Ἡ βούστασις.

V. 1291. Καπνῷ. Κεκαπνίσθαι φησὶ τὴν βοόστασιν ἐκ τῆς τοῦ πυρὸς ἀποφορᾶς τοῦ στόματος τῶν ταύρων.

V. 1299. Εὐρρίνοις. Τοῖς εὐβύρσοις καὶ καλῶς ἐρρινημένοις. Ἢ εὐπνόοις. Διὰ γὰρ τῆς ῥινὸς τὸ πνεῦμα πέμπεται.

V. 1300. Μαρμαίρουσι. Κυρίως καίουσι· μετενήνοχε δὲ τὴν φωνὴν ἀπὸ τῆς σφοδροτάτης φυσήσεως ἐνεργούσης ἔσωθεν [v]).

V. 1304. Αἶθος λέγεται τὸ πῦρ καὶ ἡ φλόξ.

V. 1308. Ὀκλάξ. Ἐπὶ τὰ γόνατα. Καὶ ὀκλάζειν ῥῆμα.

V. 1310. Σφῆλε [w]) γνύξ. Σφαλῆναι ἐποίησε, καὶ ἤνεγκεν ἐπὶ τὰ γόνατα.

Βεβολημένον. Πληγέντα.

V. 1313. Ἐλυσθείς. Ἐκταθείς.

V. 1318. Θοῇ. Τῇ εἰς ὀξὺ ληγούσῃ κορώνῃ.

Ἄρασσε. Συνήρμοσε.

Λόφους. Τοὺς ἱμάντας.

Κορώνῃ. Τῷ τοῦ ζυγοῦ κρίκῳ συνήρμοσεν.

V. 1319. sq. (Οἱ Τυνδαρίδαι (φησὶν) ἀπὸ τοῦ πυρὸς ἐχωρίσθησαν εἰς τὴν ναῦν.)

Χαζέσθην. Εἰς τοὺς Τυνδαρίδας ἀνενεγκτέον· οὓς ἀναχωρῆσαι φησὶν εἰς τὴν ναῦν ὑπὸ τῆς τοῦ πυρὸς ῥύμης.

V. 1321. Θοοὺς ὀδόντας, τοὺς ὀξεῖς.

V. 1323. Ἐργατίνης. Ὁ ἐργάτης, ἢ ὁ γεωργός.

Ἀκαίνῃ. Ἀντὶ τοῦ κέντρῳ. Ἄκαινα δέ ἐστι μέτρον δεκά-

v) ἔξωθεν P. w) ἔσφηλε P.

πουν, Θεσσαλῶν εὕρεμα· ἢ ῥάβδος ποιμενικὴ, παρὰ Πελασγοῖς εὑρημένη. περὶ ἧς Καλλίμαχός φησιν·

Ἀμφότερον, κέντρόν τε βοῶν καὶ μέτρον [x]) ἀρούρης.

V. 1331. Ὀκρυόεσσα δ' ἐρείκετο. Νῦν ἀντὶ τοῦ, τραχεῖα διεσχίζετο γῆ.

V. 1345. Διεπτοίησε φέβεσθαι. Ἐθορύβησεν, ὥστε φεύγειν.

V. 1355. Φρίξαν. Ἐξωρθοῦντο. Φοβεροὶ ἐφαίνοντο.

V. 1358. Οὔλυμπόνδε. Τὸν οὐρανὸν λέγει, κατὰ τοὺς νεωτέρους.

V. 1363. Ἀναλδήσκοντες. Ἀναδιδόμενοι, αὐξανόμενοι.

V. 1365. Περιηγέα. Περιφερῆ.

V. 1366. Σόλος. Ὁ δίσκος.

V. 1372. Τὸν δ' ἕλεν ἀμφασίη. Οὗτος καὶ οἱ ἑξῆς στίχοι εἰλημμένοι εἰσὶ παρ' Εὐμήλου, παρ' ᾧ Μήδεια πρὸς Ἴδμονα [y]) διαλέγεται. Καὶ Σοφοκλῆς δὲ ἐν Κολχίσι πεποίηκε τὸν ἄγγελον τοῦ Αἰήτου πυθόμενον περὶ τῶν προειρημένων, οὕτως·

Ἦ βλαστὸς οὐκ ἔβλαστεν ὀὑπιχώριος,
καὶ κάρτα φρίξας εὐλόφῳ σφηνώματι,
χαλκηλάτοις ὅπλοισι μὴ προσεξέδυ.

Ταῦτα δὲ Ἀπολλώνιος παρέγραψε.

V. 1377. Οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται. Γράφεται καὶ ἀπολάμπεται.

Περὶ τῶν διατρεχόντων ἀστέρων καὶ ῥαδίως ἀφανιζομένων τὸν λόγον ποιεῖται, οἳ τῇ τῆς ὀξύτητος φορᾷ [z]) παραπλήσιόν τι ἔχουσιν [τῷ Ἰάσονι] ὑποβούλημα.

V. 1378. sq. Ὁλκὸν δὲ λέγει τὸ ὑπὸ τὴν ὀξύτητα παρασυρόμενον αὐτῶν φέγγος.

Τὰς δὲ τοιαύτας φαντασίας ὁ Μουσαῖος ἀναφερομένας φησὶν ἐκ τοῦ ὠκεανοῦ κατὰ τὸν αἰθέρα ἀποσβέννυσθαι. Τοὺς δὲ ὑπὸ Μουσαίου ἀστέρας εἰρημένους Ἀπολλώνιος πιθανῶς μαρμαρυγὰς εἴρηκε. Τὰς γὰρ γινομένας ἀκαταλήπτους διὰ τὴν ὀξύτητα ἀποστίλψεις μαρμαρυγὰς καλοῦσιν. Ἀπίθανον δὲ τῷ τοιούτῳ ἀστέρι παραβαλεῖν τὸν Ἰάσονα πρὸς ἐπικίνδυνον ἆθλον πορευόμενον, τῷ ἅμα τῷ φανῆναι εὐθέως σβεννυμένῳ. Εἰ δέ τις λέγει τῷ πυρόεντι αὐτὸν ὡμοιωκέναι, περὶ οὗ Περιγένης ἐν τῷ περὶ τῆς Χαλκιδικῆς τῶν μαθηματικῶν [a]), προειπὼν περὶ τῶν πλανήτων, λέγων ὑφ' ἓν εἶναι τὸν πυρόεντα· προσαγορευόμενον δὲ ὑπὸ Ἑλλήνων Ἄρεος, ὑπὸ δὲ Χαλκιδέων [b]) Ἡρακλέους· ἐπισυρομένου γε μὴν αὐτοῦ, μαρμαρυγὰς καὶ σπινθῆρας γίνεσθαι. (ὁ δὲ πυρόεις δυσκίνητός ἐστιν.)

[V. 1384. Γελλομένους δὲ ἀντὶ τοῦ φαινομένους.]

x) κέντρον P. y) Ἰάσωνα P. z) Leg. τῇ τῆς φορᾶς ὀξύτητι. a) ἐν τοῖς Χαλκιδικοῖς περὶ τῶν μαθημάτων P. b) Χαλδαίων corrigendum vidit Schaefer. et id ipsum praebet Etymol. M. p. 697, 52. Hinc liquet et supra Χαλδαϊκῆς vel Χαλδαϊκοῖς legendum esse.

V. 1390. *Ὡραίην.* Παραγώγως εἶπεν ἀντὶ τοῦ εἰς ὥραν καὶ τὸν δέοντα καιρόν [, ὡς καὶ τὴν ἀνάγκην ἀναγκαίην]. Ὅμηρος [c]·

— — ἀναγκαίη γὰρ ἐπείγει.

Τὸ δὲ ἑξῆς, οὐδὲ μίμνει, ὥστε εἰς ὥραν τερσήμεναι βολαῖς ἠελίοιο.

V. 1391. *Ὁλκὸν* λέγει τὴν αὔλακα.

V. 1395. *Δομήν.* Τὴν τοῦ σώματος σύστασιν καὶ χροιάν.

V. 1397. *Προὔτυψαν.* Προῆλθον. Ὅσον οὖν προῆλθον ἢ πρόεσχον ὑπὲρ τῆς γῆς, τόσον καὶ ὑπὸ γῆν.

V. 1398. *Πλαδαρόν.* Τὸ δίυγρον.

V. 1403. *Σημαντῆρα.* Τὸν δεσπότην.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Τοῦ τετάρτου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαιά ἐστι ταῦτα. Οἱ Ἀργοναῦται διαπεράσαντες τὸν Πόντον ἀφίκοντο ἐς τὸν Ἴστρον, καὶ δι' αὐτοῦ κατηνέχθησαν εἰς τὸν Ἀδρίαν, καὶ ἐπεραιώθησαν εἰς τὸ πάλαι καλούμενον Κρόνιον· ἔνθα καὶ ἀναιροῦσι τὸν Ἄψυρτον δόλῳ. Ἀγανακτοῦντος δὲ τοῦ Διὸς ἐπὶ τούτῳ, καὶ δυσπνοίᾳ θέλοντος παρατρέψαι τοὺς Ἀργοναύτας, Ἥρα ἐπιπέμπει ἀνέμους· καὶ διὰ τοῦ Ἠριδανοῦ εἰς τὴν περὶ Σαρδὼ καταφέρονται θάλασσαν. Καθαίρονται δὲ ὑπὸ Κίρκης, καὶ διαπλέουσι τὰς πλαγκτὰς πέτρας, Θέτιδος μετὰ τῶν ἄλλων Νηρεΐδων προπεμπούσης αὐτούς· τὰς δὲ Σειρῆνας ἀποπλέουσι. Διασωθέντες δὲ εἰς τὴν πάλαι μὲν Δρεπάνην, αὖθις δὲ κληθεῖσαν Κέρκυραν, τοὺς διὰ τῶν Συμπληγάδων διώκοντας αὐτοὺς Κόλχους καταλαμβάνουσιν, οἵτινες τὸν Ἀλκίνουν ἐξῃτοῦντο τὴν Μήδειαν. Ὁ δὲ ὑπερθέμενος τὴν κρίσιν εἰς τὴν αὔριον, ἔφη παρθένον μὲν οὖσαν τῷ πατρὶ ἀποστέλλεσθαι δεῖν· εἰ δὲ γυνὴ εἴη, παραδίδοσθαι τῷ ἀνδρί. Γίγνεται οὖν ὁ γάμος ἐκείνῃ τῇ νυκτί. Καὶ οὕτως ἄπρακτοι γενόμενοι οἱ Κόλχοι, μένουσι μὲν ἐν τῇ Σχερίᾳ, δεδοικότες ἐπανελθεῖν πρὸς Αἰήτην· ἀποπλεύσαντες δὲ οἱ Ἀργοναῦται, κατασύρονται τῆς Λιβύης εἰς Σύρτιν· καὶ τελευτῶσιν ἐκεῖ Κάνθος καὶ Μόψος. Ἀποροῦσι δὲ περὶ σωτηρίας τοῖς Ἀργοναύταις ἐπιφαίνεται Τρίτων, καὶ ὡς διασωθήσονται δηλοῖ. Βαστάσαντες οὖν τὴν ναῦν, ἐκόμισαν εἰς τὴν Τριτωνίδα λίμνην. Εἶτα γίνονται ἐν Κρήτῃ, ᾗ εἴργοντο προσχεῖν ὑπὸ Τάλω· ὃν ἐπῳδαῖς ἠφάνισε Μήδεια. Μετὰ δὲ ταῦτα παραγίνονται εἰς Αἴγιναν, κἀκεῖθεν διασώζονται εἰς Θεσσαλίαν.

V. 1. *Αὐτὴ νῦν κάματόν γε.* Ἐλλείπει τὸ ὦ μόριον, ἵνα ᾖ, ὦ θεά. Ὁ δὲ νοῦς, αὐτὴ νῦν ἐμοὶ εἰπὲ, ὦ Μοῦσα, τόν γε μόχθον καὶ τὰς βουλὰς Μηδείας, ἀποροῦντός μου, πότερον ἐρωτικῷ πάθει, ἢ κακώσεως φυγὴν ποιουμένη, κατέλιπε τὴν πατρίδα.

V. 2. sq. *Ἦ γάρ ἔμοιγε ἀμφασίη.* Ἀντὶ τοῦ ἀπορίᾳ, ἀμφασίᾳ. ὥστε μὴ δύνασθαι εἰπεῖν, πότερον ἐρωτικῷ πάθει, ἢ

κακώσεως φυγὴν ποιουμένη (ἤγουν, φοβηθεῖσα μήπως κακωθῇ ὑπὸ τοῦ πατρὸς) ἀπέλιπε τὴν πατρίδα. Ἐν μὲν οὖν τῷ ἀμφασίῃ τοῦ ᾱ στέρησιν σημαίνοντος, ἐπεντέθη [a]) τὸ μ̄.

V. 5. Τὸ δὲ ἀεικελίην, ἐπιθετικῶς μὲν λέγεται κατὰ τὸ φύξαν, καὶ διὰ τοῦτο ὁμοιοπτώτως· μεταλαμβάνειν γε μὴν εἰς προσηγορικὴν γενικὴν αὐτὸ δεῖ, ἵν' ᾖ, φύξαν ἀεικελίης. Οὕτω γὰρ ὁ νοῦς σώζεται.

V. 8. Στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ. Στυγερὸν εἶπε τὸν ἆθλον, ἐφ' ᾧ αὐτὸς κατεστύγναζε δυσφορῶν.

V. 11. Ἀλεγεινότατον. Ἤτοι κατὰ πρόσθεσιν τοῦ ε̄, (ἔστι γὰρ ἀλγεινότατον, παρὰ τὸ ἀλγεῖν εἰρημένον) ἢ εἴρηται τὸ τὰς φροντίδας ἔχον, ὥστε τὴν λέξιν εἶναι παρὰ τὸ ἀλέγειν.

V. 12. Κεμάς. Κεμάς ἐστιν ἡ νέα ἔλαφος. Διαφορὰν δέ φασιν εἶναι κεμάδος καὶ νεβροῦ. Κεμάδα γὰρ εἶναι τὴν ἔτι κοιμωμένην ἐν τῷ σπηλαίῳ, οἷον κοιμάδα τινὰ οὖσαν· νεβρὸν δὲ, τὸν ἤδη μείζονα, καὶ ἐπὶ βορὰν ἐξιόντα, καὶ νεμόμενον.

V. 13. Τάρφεσι. Πυκνώμασιν [b]).

V. 14. Ὀΐσατο. Ἀπὸ τοῦ οἴω γέγονε ῥήματος κατὰ διαίρεσιν ὀΐω. Μήποτε καὶ τὸ δοάσσατο, ἅμα τῇ τροπῇ τοῦ διχρόνου, καὶ περισσῷ κέχρηται τῷ δ. Ὡς καὶ τὸ δνοφερὸν ὕδωρ παρὰ τὸ νέφος πεποίηται· καὶ παρὰ τὸ ἴψαι Σοφοκλῆς ἐν Ἰξίονι δίψιόν φησι τὸ βεβλαμμένον. Καὶ Ὅμηρος [c])·

— — πολυδίψιον Ἄργος ἱκοίμην,

πολλάκις βεβλαμμένον.

V. 16. Ἐπιΐστορας. Συνίστορας, συνειδυίας.

V. 17. Περιβρομέεσκον ἀκουαί. Ἐνήχουν αἱ ἀκουαὶ, ὥσπερ ἐρχομένων τινῶν ἀξόντων αὐτὴν πρὸς τὸν πατέρα.

V. 18. Πυκνὰ δὲ λαυκανίης [d]). Λαυκανίας, τῆς ἀρτηρίας, δι' ἧς τὸ πνεῦμα ἑλκόμενον φέρεται.

Κουρὶξ δὲ, κατὰ κόῤῥης, [κατὰ κεφαλῆς. Πολλάκις δὲ προσχρῶνται ἐπὶ τοῦ τίλλειν τὰς τρίχας.]

V. 23. Πτερόεις δέ οἱ. Οἷον κοῦφος. ἐκουφίσθη. τοῦ πρότερον λογισμοῦ ταχέως μετέπεσεν αὐτῆς ἡ ψυχή. εἰς ἱλαρότητα μετετράπη.

V. 35. Διειλυσθεῖσα. Λάθρα διεξελθοῦσα τοῦ δόμου· ἀποδράσασα, φυγοῦσα.

V. 36. Ληϊάς. Αἰχμάλωτος· δοριάλωτος.

V. 38. Ἀηθέσσουσα [e]). Ἀήθης οὖσα.

Δύης δὲ, κακοπαθείας.

V. 42. Ἀοιδαῖς. Ταῖς διὰ φαρμάκων ἐπῳδαῖς.

V. 46. Πέζαν. Τὸ ἀπολῆγον τοῦ χιτῶνος· ὃ ἡμεῖς ᾤαν λέγομεν. Τὸ γὰρ πρότερον, ὑπὲρ τοῦ μὴ τρίβεσθαι, δέρμα [κατὰ τὸ ἄκρον] προσέῤῥαπτο.

V. 52. Ἀμφί τε δυσπαλέας [f]). Χαλεπὰς καὶ κακάς·

a) Sic etiam Schol. Paris. ad Il. IV, 171. b) τοῖς πυκνοῖς P. c) Il. IV, 171. d) λευκανίης P. e) ἀηθέουσα P. f) δυσπαλαίας P.

ἢ τὰς ἐπὶ κακῷ ἀναδιδομένας ἐκ τῆς γῆς. Πλείονα γὰρ τῶν σωτηρίων τὰ φθοροποιὰ φάρμακα. Ἢ τὰς δυσχερῶς ἀνασπωμένας.

V. 54. Τιτηνίς. Ἥλιος καὶ Σελήνη Ὑπερίονος τοῦ Τιτᾶνος καὶ Θείας εἰσὶ παῖδες, ὡς Ἡσίοδος φησί [g])·

Θεία δ' Ἠέλιον τέκε [h]) λαμπράν τε Σελήνην.

V. 55. Φοιταλέην. Ἐμμανῆ, μανιωδῶς πορευομένην. Φοῖτος γὰρ ἡ μανία λέγεται. Καὶ Εὐφορίων·

Φοιταλέος διὰ [i]) πᾶσαν ἄδην ἐπάτησε κοθόρνῳ.

Μήποτε διὰ τοῦτο καὶ τὰς ἑταίρας φοιτάδας λέγουσιν.

V. 57. Οὐκ ἄρ ἐγὼ μούνη μετὰ Λάτμιον. Λάτμον, ὄρος Καρίας, ἔνθα ἐστὶν ἄντρον, ἐν ᾧ διέτριβεν Ἐνδυμίων. Ἔστι δὲ καὶ πόλις [ἐκεῖ] ἡ λεχθεῖσα Ἡράκλεια. Τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλίκης παῖδα λέγει, παρὰ Διὸς εἰληφότα δῶρον, αὐτὸν ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι. Καὶ Πείσανδρος δὲ τὰ αὐτά φησι, καὶ Ἀκουσίλαος, καὶ Φερεκύδης, καὶ Νίκανδρος ἐν δευτέρῳ Αἰτωλικῶν, καὶ Θεόπομπος ἐν Ἐποποιοῖς. Ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ Διὸς εἰς οὐρανόν· ἐρασθέντα δὲ Ἥρας, παραλογισθῆναι διὰ τὸν ἔρωτα εἰδώλῳ νεφέλης, καὶ ἐκβληθέντα [k]) κατελθεῖν εἰς ᾅδου. Περὶ δὲ τοῦ τῆς Σελήνης ἔρωτος ἱστορεῖ Σαπφὼ καὶ Νίκανδρος ἐν δευτέρῳ Εὐρώπης [l]). Λέγεται δὲ κατέρχεσθαι εἰς τοῦτο τὸ ἄντρον τὴν Σελήνην πρὸς Ἐνδυμίωνα. Ἐπιμενίδης δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναι φησὶ τῆς Ἥρας· διόπερ Διὸς χαλεπήναντος αἰτήσασθαι διαπαντὸς καθεύδειν. Ἴβυκος δὲ ἐν πρώτῳ Ἤλιδος αὐτὸν βασιλεῦσαι φησί. Τινὲς δὲ διὰ πολλὴν δικαιοσύνην ἀποθεωθῆναι φασὶν αὐτὸν, καὶ [ἔπειτα πλημμελήσαντά τι] αἰτήσασθαι παρὰ Διὸς ἀεὶ καθεύδειν. Φασὶ δὲ αὐτὸν οἱ μὲν Σπαρτιάτην, οἱ δὲ Ἠλεῖον. Ἔνιοι δὲ ἀναιροῦσι τὸν ἐπὶ τῷ Ἐνδυμίωνος ὕπνῳ μῦθον. Φιλοκύνηγον γὰρ αὐτὸν γενόμενον, νύκτωρ πρὸς τὴν σελήνην κυνηγεῖν, διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομάς· τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥς τινα οἴεσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. Οἱ δὲ [ἄλλως] ἀλληγοροῦσι τὸν μῦθον, λέγοντες, ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ· παρασχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν σελήνην ἔν τε φωτισμοῖς καὶ κινήσεσι· δι' ὃ καὶ νύκτωρ σχολάζοντα τούτοις, ὕπνῳ μὴ χρῆσθαι, κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. Τινὲς δὲ τῷ ὄντι φίλυπνόν τινα γεγονέναι τὸν Ἐνδυμίωνα. Ἀφ' οὗ καὶ παροιμία, Ἐνδυμίωνος ὕπνος, ἐπὶ τῶν πολὺ κοιμωμένων, ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι. Καὶ Θεόκριτος μέμνηται [m])·

Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων.

V. 59. Ἦ θαμά. Μεμύθευται, ὡς ἄρα αἱ φαρμακίδες τὴν σελήνην ταῖς ἐπῳδαῖς κατασπῶσι. Τοῦτο δὲ ποιεῖν δοκοῦσιν

g) Theog. 371. h) τε καὶ P. i) δ' ἀνὰ P. k) ἐμβληθέντα P. l) Εὐρώπης P. m) Theocr. III, 49.

αἱ Θεσσαλαὶ, σφαλεῖσαι τῆς ὑπολήψεως. καθὸ Ἀγλαονίκη Ἡγεμόνος θυγάτηρ, ἔμπειρος οὖσα τῆς ἀστρολογίας, καὶ εἰδυῖα τὰς ἐκλείψεις τῆς σελήνης, ὁπότε μέλλοιεν γενήσεσθαι, ἔφασκε τὴν θεὸν κατασπᾶν. καὶ παραχρῆμα περιέπιπτε συμφοραῖς, τῶν οἰκείων τινὰ ἀποβάλλουσα, καὶ δίκην διδοῦσα τοῦ ἁμαρτήματος. Ὅθεν κατὰ τὸν βίον λέγεται παροιμία ἐπὶ τῶν συμφοραῖς κεχρημένων, ὅτι τὴν σελήνην κατασπᾷ. [Οὕτω δ' ἐπιστεύετο τὴν σελήνην ἐν ταῖς ἐκλείψεσι καθαιρεῖσθαι, ὥστε καὶ τοὺς παλαιοὺς τὰς ἐκλείψεις καθαιρέσεις καλεῖν.]

(Παρὰ δὲ τῷ τὰ Ναυπακτικὰ πεποιηκότι οὐκ ἔστι κατὰ τὴν ἰδίαν προαίρεσιν ἐξιοῦσα ἡ Μήδεια, ἀλλ' ἐφ' ἑστίαν καλουμένη. Οἱ γὰρ Ἀργοναῦται, κατ' ἐπιβουλὴν ἐνστάντος τοῦ τῆς ἀναιρέσεως αὐτῶν καιροῦ, προτραπομένου δὲ τοῦ Αἰήτου ἐπὶ τὴν Εὐρυλύτης τῆς γυναικὸς συνουσίαν, Ἴδμονος ὑποθεμένου αὐτοῖς, ἀποδιδράσκουσιν, καὶ Μήδεια συνεκπλεῖ.)

V. 60. (*Μνησαμένη φιλότητος.* Τῆς τοῦ Ἐνδυμίωνος, διὰ τῶν σῶν ἐπῳδῶν.

Σκοτίῃ δὲ, ἐν ἀσελήνῳ, διὰ τὴν ἐμὴν περὶ τὸν ἐρώμενον ἀσχολίαν. Διαλαμβάνουσι δὲ ἔνιοι, τὴν τῆς σελήνης ἔκλειψιν ὑπὸ φαρμακίδων γίνεσθαι καθαιρουμένης. Διὸ καὶ οἱ παλαιοὶ καθαιρέσεις ἐκάλουν τὰς ἐκλείψεις.)

Ἄλλως. *Ἦ θαμὰ δὴ*, καὶ τὰ ἑξῆς, οὕτω συντακτέον, ὄντως θαμὰ ἐγὼ φοιτῶ εἰς τὸ ἄντρον, μνησαμένη τῆς τοῦ Ἐνδυμίωνος φιλότητος, καὶ σεῖο, ὦ κύον, μνησαμένη, ἵνα εὔκηλος φαρμάσσῃς ἐν σκοτίῃ νυκτὶ δολίαισιν ἀοιδαῖς, ἅ τοι φίλα ἔργα τέτυκται.

V. 63. *Ἀνιηρὸν* δὲ λέγει τὸν ἀθεράπευτον.

V. 69. *Ἔδαιον.* Ἀντὶ τοῦ ἔκαιον, καὶ ἀνῆπτον.

V. 70. *Ὄρθια.* Ἐπιτεταμένως, μεγάλως.

V. 71. *Περαιόθεν.* Γέγονε μὲν ἀπὸ τοῦ περαία καὶ πέρας καὶ τὸ περαιόθεν. Ὅθεν καὶ ἤπειρος λέγεται πᾶσα γῆ καταχρηστικῶς· κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς φανερὸν Εὐριπίδης πεποίηκεν·

Ἤπειρον ὡς [n]) ἄπειρον ἐκβάλλων [o]) χθόνα.

V. 86. *Φεύγωμεν, πρὶν τόνδε θοῶν.* Ὁ μὲν Ἀπολλώνιος νυκτός φησι πεφευγέναι τὴν Μήδειαν ἐπὶ τὴν ναῦν, Αἰήτου συνέδριον ἔχοντος Κόλχων περὶ διαφθορᾶς τῶν ἡρώων· ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκὼς ὑπὸ Ἀφροδίτης φησὶ τὸν Αἰήτην κατακοιμηθῆναι, ἐπιθυμήσαντα τῇ αὐτοῦ γυναικὶ [Εὐρυλύτῃ] συγγενέσθαι, δεδειπνηκότων παρ' αὐτῷ τῶν Κόλχων καὶ κοιμωμένων· διὰ τὸ βούλεσθαι αὐτὸν τὴν ναῦν ἐμπρῆσαι.

Δὴ τότ' ἄρ Αἰήτῃ πόθον ἔμβαλε δῖ' Ἀφροδίτη
Εὐρυλύτης φιλότητι μιγήμεναι, ἧς ἀλόχοιο,
κηδομένη φρεσὶν ᾗσιν, ὅπως μετ' ἄεθλον Ἰήσων
νοστήσῃ οἰκόνδε σὺν ἀγχεμάχοις ἑτάροισιν.

Ὁ δὲ Ἴδμων συνῆκε τὸ γεγονὸς, καί φησι·

n) εἰς P. o) ἐσβάλλω P.

Φευγέμεναι μεγάροιο θοὴν διὰ νύκτα μέλαιναν.

Τὴν δὲ Μήδειαν τὴν ποδοψοφίαν ἀκούσασαν, ἀναστᾶσαν ἐξορμῆσαι. Λέγει δὲ καὶ Ἡρόδωρος ταῦτα.

V. 87. Δώσω δὲ χρύσειον. Ὁ μὲν Ἀπολλώνιος μετὰ τὸ φυγεῖν τὴν Μήδειαν ἐκ τοῦ Αἰήτου οἴκου πεποίηκε ὑπισχνουμένην τὸ κῶας τῷ Ἰάσονι· ὁ δὲ τὰ Ναυπακτικὰ γράψας συνεκφέρουσαν αὐτὴν ποιεῖ τὸ κῶας κατὰ τὴν φυγὴν, ἐν τῷ οἴκῳ κείμενον τοῦ Αἰήτου. Ὁ δὲ Ἡρόδωρος, μετὰ τὴν ἀνάζευξιν τῶν Ἀργοναυτῶν ἀποσταλῆναι τὸν Ἰάσονα ὑπὸ τοῦ Αἰήτου ἐπὶ τὸ κῶας· τὸν δὲ πορευθέντα φονεῦσαί τε τὸν δράκοντα, καὶ τὸ κῶας ἀπενεγκεῖν πρὸς Αἰήτην· τὸν δὲ δόλῳ καλέσαι αὐτοὺς ἐπὶ δεῖπνον.

V. 89. Ἐπιΐστορας. Μάρτυρας.

V. 91. Ὀνοτήν. Μεμπτήν.

V. 94. Προσπτύξατο. Περιέλαβε.

V. 102. Παρὲκ νόον. Παρὰ τὴν βουλήν.

V. 106. Ἔμπαλιν ἀΐσσουσα. Εἰς τοὐπίσω ὁρμῶσα.

V. 111. Ἄγχαυρον. Τὸν καιρὸν τὸν πλησίον καὶ ἐγγὺς τῆς ἡμέρας, ὥσπερ τὸ καλούμενον λυκόφως. Περὶ γὰρ τὸν τοιοῦτον καιρὸν αἱ αὖραι πνέουσι. Καὶ τοῦτο δὲ ἐκ τοῦ ποιητοῦ [p])·

Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πέλει ἠῶθι πρό.

Κνώσσειν, τὸ ὑπνώττειν.

V. 115. sq. Εὐνὰς δέ φησι κριοῦ, ὅπου πρῶτον τὸν Φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο.

(Ἵνα κριοῦ. Ἐν Κόλχοις, ὅπου πρῶτον τὸν Φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο.

V. 119. Ὅν ῥά ποτ' Αἰολίδης. Διονύσιος ἐν τοῖς Ἀργοναυτικοῖς λέγει, Κριὸν γεγονέναι Φρίξῳ παιδαγωγόν· ὃν πρῶτον αἰσθόμενον τὴν ἐκ τῆς μητρυιᾶς ἐπιβουλὴν, ὑποθέσθαι φυγεῖν. Ὑφ' οὗ καὶ σωθέντος τοῦ νεανίου, διαδεδόσθαι, ὡς ἄρα ἐπὶ κριοῦ μέχρι Κόλχων διασωθείη ὁ Φρίξος.)

[V. 125. Ἀνιόντος ἡλίου ἀντὶ τοῦ ἀνατέλλοντος.]

V. 131. Ἔκλυον οἳ καὶ πολλόν. Ὑπερβολῇ κέχρηται περὶ ποσότητα, εἴγε φησὶ τὴν τοῦ δράκοντος φωνὴν [ἐπὶ τοσοῦτον ἀκούεσθαι· θαυμαστὸν δὲ,] τοῖς μὲν μακρὰν οὖσι τῶν Κόλχων ἀκούεσθαι, αὐτοῖς δὲ μή.

Τιτηνίδος αἴης. Τοῦ Τιτῆνος [q]) ποταμοῦ, ἀφ' οὗ καὶ ἡ χώρα Τιτηνὶς κέκληται, μνημονεύει Ἐρατοσθένης ἐν Γεωγραφίᾳ.

V. 132. Ὁ δὲ Λύκος ποταμὸς ἀπὸ Ἀράξου φερόμενος συγκιρνᾶται Φάσιδι· καὶ οὕτως ἀπολέσας τὸ ἴδιον ὄνομα, ἐκδίδωσιν εἰς θάλασσαν. Τὸ δὲ αὐτὸ τοῦτο γίνεται ἐπί τε Ὀνοχώνου τοῦ κατὰ Θεσσαλίαν καὶ Παρμισοῦ καὶ Σπερχειοῦ· ὅταν γὰρ εἰς ταὐτὸ συῤῥεύσωσι πάντες, Σπερχειὸς καλοῦνται.

V. 133. Ὁ δὲ Ἀράξης, ποταμὸς Σκυθίας. Μητρόδωρος

p) Od. V, 469. q) Τιτήνου P.

δὲ ἐν πρώτῳ τῶν περὶ Τιγράνην τὸν Θερμώδοντα Ἀράξην φησὶ λέγεσθαι.

V. 135. Καυκασίαν δὲ θάλασσαν τὴν Κασπίαν φησὶ, διὰ τὸ συνάπτειν τῷ Καυκάσῳ. Ἄλλως. Βέλτιον Καυκασίαν θάλασσαν νῦν τὸν Εὔξεινον νοεῖν, τὸν πλησιάζοντα τῷ Καυκάσῳ. Οὐ γὰρ ἐς τὴν Καυκασίαν r), ἀλλ' εἰς τὸν Εὔξεινον ἐκδίδωσιν ὁ Φᾶσις.

V. 140. Καπνοῖο στροφάλιγγες. Αἱ τοῦ σφοδροῦ καπνοῦ εἱλήσεις s), κατὰ ἀναφοράν.

V. 141. Διὰ δὲ τοῦ, ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται, δηλοῖ τὸ συνεχὲς τῆς ἐπαναφορᾶς.

V. 142. Εἱλίγγοις. Ταῖς εἱλήσεσι καὶ συστροφαῖς τοῦ σφοδροῦ καπνοῦ.

Ἐπήορος. Μετέωρος.

V. 143. Ἀπειρεσίας ἐλέλιξε. Πολλάς. Ὑπερβολικῶς καὶ τοῦτο εἴρηκε, διαγράφων τὸ τερατῶδες μέγεθος τοῦ δράκοντος.

V. 144. Ῥυμβόνας δὲ, τὰς εἱλήσεις τῆς σπείρας, τὰς περιδινήσεις. Καὶ Εὐριπίδης ἐν Πειρίθῳ t)·

Σὲ τὸν αὐτοφυῆ πάντων θεῶν αἰθέρα ῥύμβῳ.

τοῦτ' ἔστι κινήσει. Ὅθεν καὶ τὸ κινούμενον τροχίσκιον ὑπὸ τῶν φαρμακίδων ῥυμβίον u) καλεῖται. Οὕτω δὲ λέγουσι τὰς περιφερεῖς κινήσεις. Καὶ παρ' Εὐπόλιδι·

Ὦ ῥύμβοις μαστίξας ἐμέ.

Ἀζαλέαις. Ξηραῖς.

Ἐπηρεφέας. Ἐσκεπασμένας.

V. 145. Εἴσατο v). Ὥρμησε.

V. 147. Θέλξαι. Κοιμῆσαι.

V. 148. Νυκτιπόλον [λέγει τὴν Ἑκάτην, ὅτι ἐν τῇ νυκτὶ πολεῖται. Χθονίην δὲ] ὡς καὶ ὑπὸ γῆν διατρίβουσαν.

Εὐαντέα δὲ, τὴν εὐάντητον καὶ εὐεξίλαστον, ἢ εὐαπάντητον.

V. 150. Οἴμῃ θελγόμενος. Τῇ ἐπῳδῇ ταπεινούμενος.

Ἀκανθάν. Τὰ τῶν ὄφεων ὀστᾶ ἄκανθαι λέγεται.

(V. 151. Κατὰ κοινοῦ δὲ τὸ γηγενέος, ὡς καὶ ἄλλων ἑρπετῶν.)

V. 155. Περιπτύξαι. Περιλαβεῖν.

V. 156. Ἡ δέ μιν. Ἐν τούτοις καὶ τοῖς ἑφεξῆς φησὶ τὴν Μήδειαν ἐπιῤῥαίνουσαν ἀρκεύθῳ τὸ φάρμακον κοιμίσαι τὸν δράκοντα, ἐπᾴδουσαν, καὶ οὕτω τὸ κῶας ἀνελέσθαι· καὶ χωρῆσαι ἀμφοτέρους ἐπὶ τὴν ναῦν, κοιμωμένου τοῦ θηρίου· συμφώνως Ἀντιμάχῳ. Φερεκύδης δέ φησιν ἐν ἑβδόμῳ, φονευθῆναι τὸν δράκοντα ὑπὸ Ἰάσονος.

Ἡ δὲ ἄρκευθος, δένδρον τι ἀκανθῶδες, Ἀπόλλωνος ἴδιον, ὡς ἱστορεῖται ἐν τρίτῳ τῶν εἰς Μουσαῖον ἀναφερομένων.

r) Leg. *Κασπίαν.* s) εἱλύσεις P. t) *Πειρίνθῳ* P. u) ῥόμβον P. v) εἴσετο P.

V. 158. *Νήριτος.* Ἡ πολλή.

V. 161. *Πολύπρεμνος.* Ὁ πολυστέλεχος.

V. 175. *Ἀγρῶσται.* Οἱ κυνηγοί. Ἀπὸ τοῦ ἀγρώσσω ῥήματος πέπτωκεν. Ὅμηρος [w])·

Ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμη.

Ἀχαιϊνέην. Ἀχαία ἐστὶ τῆς Κρήτης πόλις, ἐν ᾗ γίνονται ἀχαιϊνέαι λεγόμεναι ἔλαφοι, αἳ καὶ σπαθιναῖαι καλοῦνται. Οἱ δὲ κέρατα μεγάλα ἔχοντες ἔλαφοι, κεράσται.

V. 177. *Βεβρίθει λήνεσσιν.* Τοῖς ἐρίοις. Ὅθεν καὶ λανάριοι καλοῦνται οἱ κτενισταί. Πολλοὶ δὲ χρυσοῦν τὸ δέρας εἰρήκασιν (οἷς Ἀπολλώνιος ἠκολούθησεν), ὁ δὲ Σιμωνίδης ποτὲ μὲν λευκὸν, ποτὲ δὲ πορφυροῦν. (Διονύσιος δὲ ὁ Μιτυληναῖος ἄνθρωπόν φησι γεγενῆσθαι παιδαγωγὸν τοῦ Φρίξου ὀνόματι Κριόν.)

V. 181. *Ἀφασσόμενος.* Ψηλαφῶν.

V. 182. *Νοσφίσσεται* [x]). Ἀφαιρήσεται.

V. 190. *Μηκέτι νῦν χάζεσθε.* Ἀναχωρεῖτε καὶ μεριμνᾶτε περὶ τῆς εἰς τὴν πατρίδα ἀνακομιδῆς. Τινὲς δὲ γράφουσι *φράζεσθε.*

V. 191. *Ἤδη γὰρ χρειώ.* Ἡ γὰρ χρεία (φησὶν), ἧς χάριν τοῦτον τὸν πλοῦν ὑπέστημεν τὸν χαλεπὸν, εὐκόλως ταῖς βουλαῖς τῆς κόρης τετέλεσται.

V. 200. sq. *Πηδοῖσι.* Τοῖς πλάτεσι τῶν κωπῶν. Δι' οὗ δηλοῖ τὰς κώπας ἀπὸ μέρους. *Πηδὸν* γὰρ καλεῖται τὸ πλατὺ τῆς κώπης. Θεόφραστος δὲ, εἶδος ξύλου, τὸ πηδόν.

Τοὶ δὲ βοείας ἀσπίδας ἡμίσεες. Οἱ δὲ ἡμίσεις ὁπλισθέντες, ἀμύνεσθε τοὺς ἐπιόντας.

Θοόν. Ἀντὶ τοῦ θοῶς. Ὄνομα ἀντὶ ἐπιῤῥήματος.

Ἔχμα δὲ βολάων εἴρηκε τὰς ἀσπίδας. *Ἔχμα* γὰρ τὸ κώλυμα.

V. 213. *Περίπυστος.* Περιβόητος.

(V. 214. *Ἐς δ' ἀγορὴν ἀγέροντο.* Συνηθροίζοντο πρὸς μάχην. καί [y]) φησιν, οὐκ ἔστι χειμῶνος τὰ κύματα τῆς θαλάσσης τεκμήρασθαι, οὕτως οὐδὲ τὸ πλῆθος τῶν ὁπλισθέντων Κόλχων.

V. 218. *Παρεμέτρεον.* Παρέπλεον.)

V. 223. *Πεύκην περιμήκεα.* Τὴν λαμπάδα. ὡς ἐμπρήσων τὴν ναῦν.

Ὁ μὲν Ἀπολλώνιος ἄπρακτον ἀναχωρῆσαι φησὶ τὸν Αἰήτην σὺν ὀχήματι, ἡνιοχοῦντος Ἀψύρτου· Διονύσιος δὲ ὁ Μιλήσιός φησιν, ὅτι καταλαβὼν τὴν ναῦν ὁ Αἰήτης, παραταξαμένων τῶν ἀριστέων, Ἶφιν ἀνεῖλεν [Σθενέλου υἱὸν] Εὐρυσθέως ἀδελφὸν, καὶ αὐτὸς πολλοὺς ἀπέβαλε. Φερεκύδης δὲ ἐν ἑβδόμῳ [z]) τὴν Μήδειάν φησιν ἆραι τὸν Ἄψυρτον ἐκ τῆς κοίτης [μίκρον ὄντα], Ἰάσονος

w) Od. V, 53. x) *νοσφίζεται* P. y) *ὡς* pro *καὶ* legi jubet Schaefer. z) *ἐν τῷ δ* P.

εἰπόντος αὐτῇ, καὶ ἐνεγκεῖν πρὸς τοὺς Ἀργοναύτας· ἐπεὶ δὲ ἐδιώχθησαν, σφάξαι, καὶ μελίσαντας ἐκβαλεῖν εἰς τὸν ποταμόν. [Σοφοκλῆς ἐν μὲν Κόλχοισιν ἐν τῷ Αἰήτου οἴκῳ σφαγῆναι φησὶ τὸν Ἄψυρτον.] Ἐν δὲ τοῖς Σκύθαις (ὁ Σοφοκλῆς) ἑτερομήτορα τῆς Μηδείας τὸν Ἄψυρτον λέγει· Οὐ γὰρ ἐκ μιᾶς κοίτης ἔβλαστον· ἀλλ' ὁ μὲν Νηρηΐδος τέκνον ἄρτι βλαστάνεσκε, τὴν δ' Εἰδυῖα πρίν ποτ' [a]) Ὠκεανοῦ κόρη τίκτεν.

V. 226. *Νηῦς ἤδη κρατεροῖσιν.* Ἡ ναῦς (φησὶν) βιαίᾳ ὁρμῇ τὸν πλοῦν ἤνυεν, τῇ τε τῶν ἐρετῶν δυνάμει βιαζομένη καὶ τῷ τοῦ ποταμοῦ καθέλκοντι καὶ καταφόρῳ ῥεύματι.

[V. 227. *Καταβλώσκοντι* δὲ ἀντὶ τοῦ καθέλκοντι ἢ καταφόρῳ.]

(228. *Αὐτὰρ ἄναξ.* Ὁ δὲ Αἰήτης (φησὶν) ἐν πολλοῖς κακοῖς γεγενημένος τὸν Ἥλιον καὶ τὸν Δία μάρτυρας τῶν πεπραγμένων ἐπεκαλεῖτο.

Φησὶ δὲ ὁ Ἀπολλώνιος διὰ τούτων, τὸν Αἰήτην ἄπρακτον ὑποστρέψαι. Διὰ δὲ τῶν ἑξῆς φησὶ τὸν Ἄψυρτον νέον ὄντα ἡνιοχεύειν, παραβεβηκότα τῷ πατρί. Διονύσιος δὲ ὁ Μιλήσιός φησιν, ὅτι Αἰήτης ἐδίωξεν αὐτούς· οἱ δὲ ἀριστεῖς ἠγωνίζοντο ἀκοντίζοντες, οἱ δὲ περὶ τὸν Αἰήτην ἵππευον. Ἔνθα καὶ Ἶφιν τελευτῆσαι, τὸν Σθενέλου μὲν υἱὸν, Εὐρυσθέως δὲ ἀδελφόν· καταβαλόντα γὰρ δύο τῶν περὶ Αἰήτην ἱππέων, περικατάληπτον γενέσθαι ὑπὸ τοῦ Αἰήτου, περιστάντος αὐτὸν βρόχῳ. Ἐν δὲ τοῖς ἑξῆς φησὶν, ὡς οἱ Κόλχοι εἰς φυγὴν ἐτράπησαν. Φερεκύδης δὲ ἐν ἑβδόμῳ, διωκομένους ἀναβιβάσαι ἐπὶ τὴν ναῦν τὸν Ἄψυρτον, καὶ μελίσαντας ῥίψαι εἰς τὸν ποταμόν. Σοφοκλῆς δὲ ἐν Κολχίσι φησὶ κατὰ τὸν οἶκον τοῦ Αἰήτου τὸν παῖδα σφαγῆναι.

Ἑξῆς δὲ Ἀπολλώνιος τὴν ἀπειλὴν τάσσει τὴν πρὸς τοὺς Κόλχους.)

V. 247. sq. *Καὶ δὴ τὰ μὲν ὅσσα θυηλῇ.* Ἐκ τούτου βούλεται δηλῶσαι, ὅτι τοιαύτην θυσίαν ἐβούλετο τελέσαι, ὁποίαν αἱ φαρμακίδες εἰώθασι. Νύμφις δὲ ἐν τῷ ἕκτῳ περὶ Ἡρακλείας Ἑκάτης φησὶν ἱερὸν εἶναι ἐν τῇ Παφλαγονίᾳ, Μηδείας ἱδρυσαμένης. (Κατὰ δὲ τὴν ἀποσιώπησιν ἐμφάσει κέχρηται, τὴν ταῖς φαρμακίσι τελουμένην θυσίαν μὴ ἐπεξεργάζεσθαι.)

V. 257. *Νεισόμεθ' Ὀρχομενόν.* Διὰ τούτων φησὶν ὁ Ἄργος ἀληθῆ αὐτοῖς εἰρῆσθαι ὑπὸ Φινέως· εἶναι γὰρ πλοῦν ἕτερον ἔξω φέροντα, ὃν Αἰγύπτιοι ἱερεῖς ἐσημήναντο. Ἐγίνωσκε γὰρ τὰ μέρη ἐκεῖνα ὁ Ἄργος. Διό φησιν, ὄντως δὴ τῇ ἐσωτάτῃ ὁδῷ κεχρημένοι, ᾗ καὶ ἡμεῖς εἰς Ὀρχομενὸν ἐπορευόμεθα, πορεύεσθε.

V. 259. *Ἔστι γὰρ πλόος ἄλλος.* Ἡρόδωρος (ἐν τοῖς Ἀργοναύταις) φησὶ διὰ τῆς αὐτῆς θαλάσσης ἐπανελθεῖν, δι' ἧς καὶ ἐπορεύθησαν εἰς Κόλχους. Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐκ τοῦ Φάσιδος διελθεῖν εἰς τὸν ὠκεανὸν, εἶτα ἐκεῖθεν εἰς τὸν Νεῖλον·

a) ποτε P.

ὅθεν εἰς τὴν ἡμετέραν θάλασσαν. Τοῦτο δὲ ὁ Ἐφέσιος Ἀρτεμίδωρος ψεῦδος φησὶν εἶναι· τὸν γὰρ Φᾶσιν μὴ συμβάλλειν τῷ ὠκεανῷ, ἀλλ' ἐξ ὀρέων καταφέρεσθαι. Τὸ αὐτὸ καὶ Ἐρατοσθένης ἐν γ̄ Γεωγραφικῶν φησί. Τιμάγητος δὲ ἐν ᾱ [b]) περὶ λιμένων τὸν Ἴστρον φησὶ καταφέρεσθαι ἐκ τῶν Κελτικῶν ὀρῶν, εἶτα ἐκδιδόναι εἰς Κελτικὴν λίμνην· μετὰ δὲ ταῦτα εἰς δύο σχίζεσθαι τὸ ὕδωρ, καὶ τὸ μὲν εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλειν, τὸ δὲ εἰς τὴν Κελτικὴν θάλασσαν· διὰ δὲ τούτου τοῦ στόματος πλεῦσαι τοὺς Ἀργοναύτας, καὶ ἐλθεῖν εἰς Τυῤῥηνίαν [c]). Κατακολουθεῖ δὲ αὐτῷ καὶ Ἀπολλώνιος. Ἡσίοδος δὲ, καὶ Πίνδαρος ἐν Πυθιονίκαις, καὶ Ἀντίμαχος ἐν Λυδῇ διὰ τοῦ ὠκεανοῦ φησὶν ἐλθεῖν αὐτοὺς εἰς Λιβύην, καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

V. 262. Οὐδέ τι πω Δαναῶν. Τοὺς Αἰγυπτίους παλαιοτάτους εἶναι φησὶν, Ἡρόδοτος δὲ Φρύγας. Κόσμης δὲ ἐν πρώτῳ Αἰγυπτιακῶν, καὶ Λέων ἐν πρώτῳ τῶν πρὸς τὴν μητέρα, καὶ Κνωσσὸς ἐν ᾱ Γεωγραφικῶν τῆς Ἀσίας, πάντων ἀρχαιοτάτους Αἰγυπτίους φασί· καὶ ἐν Αἰγύπτῳ πρώτην κτισθῆναι πόλιν Θήβας Καὶ Νικάνωρ δὲ τούτοις συμφωνεῖ, καὶ Ἀρχέμαχος ἐν ταῖς Μετωνυμίαις, καὶ Ξεναγόρας ἐν πρώτῳ Χρόνων. Καὶ Ἵππυς [d]) δὲ τοὺς Αἰγυπτίους ἀρχαιοτάτους γεγονέναι λέγει, καὶ πρώτους στοχάσασθαι τῆς τοῦ ἀέρος κράσεως· καὶ γονιμώτατον εἶναι τὸ τοῦ Νείλου ὕδωρ. Γεγονέναι δὲ αὐτοὺς φησὶν ὁ Ἀπολλώνιος πρὸ τοῦ πάντα τὰ ἄστρα φανῆναι· καθὸ τήν τε φύσιν κατανοῆσαι αὐτῶν δοκοῦσι καὶ τὰ ὀνόματα θεῖναι. Καὶ τὰ μὲν δώδεκα ζώδια θεοὺς βουλαίους προσηγόρευσαν· τοὺς δὲ πλανήτας ῥαβδοφόρους. Ἡρόδοτος δέ φησι Φρύγας πρώτους γεγενῆσθαι. Ψαμμίτιχον γὰρ τῶν Αἰγυπτίων βασιλέα, βουλόμενον διαγνῶναι, τίνες τῶν ἀνθρώπων προγενέστεροι, παραδοῦναι ποιμένι δύο βρέφη· κελεύσαντα μηδένα μηδὲν αὐτοῖς φθέγγεσθαι, μόνον δὲ αὐτοῖς αἰγὸς θηλὴν δίδοσθαι. Οἱ δὲ, δύο ἐτῶν διελθόντων, πρώτην φωνὴν ἀφῆκαν τὸ βέκ. Οὕτω δὲ λέγεται παρὰ Φρυξὶν ὁ ἄρτος. Ἐγνώσθησαν οὖν ἀπὸ τούτου οἱ Φρύγες γηγενεῖς. Οἱ δέ φασιν, ὅτι εὔηθές ἐστιν ὑπολαμβάνειν τοῦτο· ἀκούοντες γὰρ οἱ παῖδες βληχωμένων τῶν προβάτων, ὡς ἂν ὑπὸ τῆς φύσεως ἐνεργούμενοι, πρὸς τὸ ἔναρθρον τὴν φωνὴν ἀπέτρεψαν.

V. 263. Οἶοι δ' ἔσαν Ἀρκάδες. Μόνοι δὲ ἦσαν Ἀρκάδες (φησὶν) τῶν Ἑλλήνων ἀρχαιότεροι.

Ἀπιδανήων δὲ, τῶν Πελοποννησίων, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως.

V. 264. Ἀρκάδες, οἳ καὶ πρόσθε. Οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι, ὡς καὶ Εὔδοξος ἐν τῇ Περιόδῳ. Θεόδωρος δὲ ἐν εἰκοστῷ ἐννάτῳ [e]), ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς τοὺς γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. Καὶ Ἀρίστων ὁ Χῖος ἐν ταῖς Θέσεσι [f]), καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν πρώτῳ Κτίσεων τὰ αὐτά φασι· καὶ ἔθνος δὲ Ἀρκαδίας Σεληνίτας

b) ἐν τῷ P. c) Πυρήνην P. d) Ἵππων P. e) ἐν $\overline{\kappa\beta}$ P. f) Κτίσεσι corrigit Rutgers. Var. Lect. I, 18.

εἶναι. Μνασέας δέ φησι πρὸ σελήνης Ἀρκάδας βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησὶν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν; οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν Ἀρκάδων ἐπιθεμένων αὐτοῖς, πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην. διὸ κατωνομάσθησαν προσέληνοι. Δοῦρις δὲ ἐν πέμπτῳ καὶ δεκάτῳ τῶν Μακεδονικῶν Ἀρκάδα φησὶν, ἀφ᾽ οὗ ἡ Ἀρκαδία καλεῖται, Ὀρχομενοῦ υἱόν. διὸ καὶ πόλιν τῆς Ἀρκαδίας Ὀρχομενόν. Τινὲς δέ φασιν, Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους καὶ τοὺς ἀριθμοὺς τῆς σελήνης. ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι. Ἀρκὰς γὰρ ὁ Ἐνδυμίων. Ἔνιοι δὲ ὑπὸ τοῦ Τυφῶνος. Ὑπὸ δὲ Ἄτλαντος Ξεναγόρας εἴρηκεν.

V. 266. *Ἀνάσσετο Δευκαλίδῃσιν.* Οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος. Ἡ Θεσσαλία δὲ Πελασγία ἐκαλεῖτο, ἀπὸ Πελασγοῦ τοῦ βασιλεύσαντος.

V. 269. *Καὶ ποταμὸς Τρίτων.* Περὶ τῆς τοῦ Νείλου ἀναδόσεως [g]) διάφοροι αἰτίαι παρὰ τοῖς παλαιοῖς ἐλέγοντο. Ἀναξαγόρας μὲν γάρ φησι διὰ τὴν τῆξιν τῆς χιόνος πληθύειν αὐτόν. Ὧι ἕπεται καὶ Εὐριπίδης, λέγων [h])·

Εἱλουμένη δὲ καλλιπάρθενος ῥοὴ
λευκῆς τακείσης χιόνος ὑγραίνει γύην.

Καὶ Αἰσχύλος δὲ καὶ Σοφοκλῆς ὑπέλαβον τοὺς κατ᾽ Αἴγυπτον χιονίζεσθαι τόπους, καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν Νεῖλον ἐκδίδοσθαι. Νικαγόρας δέ φησιν, ἀπὸ τῶν ἀντοίκων αὐτὸν ῥεῖν. Δημόκριτος δὲ ὁ φυσικὸς, ἀπὸ τοῦ κατὰ μεσημβρίαν ὑπερκειμένου πελάγους λαμβάνειν τὸν Νεῖλον τὴν ἐπίχυσιν. ἀπογλυκαίνεσθαι δὲ τὸ ὕδωρ, διὰ τὸ διάστημα καὶ τὸ μῆκος τοῦ πόρου, καὶ ὑπὸ τοῦ καύματος ἀφεψόμενον. δι᾽ ὃ καὶ ἐναντίαν (φησὶν) ἔχει τὴν γεῦσιν. Ἀρίστων δὲ ὁ Χῖος, ὅτι χειμῶνος ὢν ὑπὸ γῆν ὁ ἥλιος εἰσπέμπει τὸ ὕδωρ· τοῦ δὲ θέρους γινόμενος ὑπὲρ γῆν, οὐκ ἔτι, διὰ τὸ μᾶλλον θερμαίνεσθαι αὐτήν. διὸ καὶ χαλωμένη ἡ γῆ πλέον ὕδωρ ἀναδίδωσιν. Ἔφορος δὲ ποταμόχωστον εἶναι φησὶ τὴν Αἴγυπτον· ῥηγνυμένης δὲ τῆς γῆς ὑπὸ τοῦ ἡλίου τῷ ἔαρι ἀναπηδᾷν τὸ ὕδωρ, καὶ ἐπαύξεσθαι τὸ ῥεῦμα. Θαλῆς δὲ ὁ Μιλήσιός φησιν ὑπὸ τῶν ἐτησιῶν συνελαυνόμενα τὰ νέφη κατὰ τὰ ὄρη τῆς Αἰθιοπίας, αὐτόθι ῥήγνυσθαι. ὅταν γὰρ τοῦ ποταμοῦ ἐξεναντίας συστῶσιν αἱ πνοαὶ προσπίπτουσαι τῇ θαλάσσῃ ἐκ τῆς ἀποπεμπομένης πλήμμης [i]), τὰς ὑπερχύσεις ἀναδέχεσθαι τὸν Νεῖλον. Διογένης δὲ ὁ Ἀπολλωνιάτης, ὑπὸ ἡλίου ἁρπάζεσθαι τὸ ὕδωρ τῆς θαλάσσης, ὃ τότε εἰς τὸν Νεῖλον καταφέρεσθαι. Οἴεται γὰρ πληροῦσθαι τὸν Νεῖλον ἐν τῷ θέρει διὰ τὸ τὸν ἥλιον εἰς τοῦτον τὰς ὑπὸ γῆς ἰκμάδας τρέπειν. (Ὁ δὲ Νεῖλος οὕτω τοπρότερον ἐκαλεῖτο, Τρίτων· μετωνομάσθη δὲ ἀπὸ Νείλου τοῦ Κύκλωπος, τοῦ Ταντάλου, βασιλεύσαντος τῆς χώρας, ὡς Ἕρμιππός φησιν.)

g) ἀναβάσεως P. h) Eurip. Helen. v. 1. i) πλήσμης P.

V. 271. Ὄμβρος ἅλις. Ἀμφιβολία περὶ τὴν σύνταξιν. Σημαίνει γὰρ ἤτοι, ἅλις ἀνασταχύουσιν, ἢ ὅτι οὐ δεύει ὄμβρος ἅλις. ἐπεὶ οὐ βρέχει συνεχῶς κατ' Αἴγυπτον.

V. 272. Ἔνθεν δή τινα. Σεσόγχωσις, Αἰγύπτου πάσης βασιλεὺς, μετὰ Ὦρον τὸν Ἴσιδος καὶ Ὀσίριδος παῖδα, τὴν μὲν Ἀσίαν ὁρμήσας πᾶσαν κατεστρέψατο, ὁμοίως καὶ τὰ πλεῖστα τῆς Εὐρώπης. Ἀκριβέστερον δέ ἐστι τὰ περὶ αὐτοῦ παρὰ Ἡροδότῳ. Θεόπομπος δὲ ἐν τρίτῳ Σέσωστριν αὐτὸν καλεῖ. Ἡρόδοτος δὲ προστίθησιν, ὅτι, εἰ μέν τινας πολέμῳ κατέστρεψεν, στήλας ἐτίθει, πῶς ἐνίκησεν· εἰ δὲ παρεχώρουν, γυναικεῖον ταῖς στήλαις αἰδοῖον προσετίθει, σύμβολον τῆς μαλακίας. Περὶ δὲ τῶν χρόνων, καθ' οὓς ἐγένετο Σεσόγχωσις, ὁ μὲν Ἀπολλώνιος τοῦτο μόνον φησὶ, πολὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών· φησὶ δὲ Δικαίαρχος ἐν δευτέρῳ Ἑλληνικοῦ βίου καὶ τοῦτο Σεσογχώσιδι μεμεληκέναι· καὶ νόμους αὐτὸν θέσθαι λέγει, ὥστε μηδένα καταλιπεῖν τὴν πατρῴαν τέχνην. Τοῦτο γὰρ ᾤετο ἀρχὴν εἶναι πλεονεξίας. Καὶ πρῶτον φασὶν αὐτὸν εὑρηκέναι ἵππων ἄνθρωπον ἐπιβαίνειν. Οἱ δὲ ταῦτα εἰς Ὦρον ἀναφέρουσιν.

V. 276. Ἠὲ καὶ οὔ. Ἢ γὰρ ἐκλελοίπασί τινες τῶν πόλεων, ἢ μετονομασθεῖσαι ἀγνοοῦνται, ὑφ' οὗ τυγχάνουσιν ἐκτισμέναι. Τούτου δὲ τὸν χρόνον αἴτιον γεγενῆσθαι. Δικαίαρχος ἐν πρώτῳ μετὰ τὸν Ἴσιδος καὶ Ὀσίριδος Ὦρον βασιλέα γεγονέναι Σεσόγχωσιν λέγει. ὥστε γίγνεσθαι ἀπὸ τῆς Σεσογχώσιδος βασιλείας μέχρι τῆς Νείλου ἔτη δισχίλια φ̅, ἀπὸ δὲ τῆς Νείλου βασιλείας μέχρι τῆς πρώτης ὀλυμπιάδος ἔτη υ̅λ̅ξ̅. ὡς εἶναι τὰ πάντα ὁμοῦ ἔτη δισχίλια ἐνακόσια, λ̅ξ̅.

V. 277. Αἶα γε μήν. Τὴν Αἶαν φησὶν ἀπὸ τῶν Σεσογχώσιδος χρόνων μέχρις αὐτοῦ μένειν ἄθραυστον, καὶ τοὺς ἐκείνων ἀπογόνους τοὺς ἀπὸ Σεσογχώσιδος κατοικισθέντας. Τούτους γὰρ υἱωνοὺς εἴρηκε καταχρηστικῶς· ὡς Ἡρακλεῖδαι λέγονται οὐ μόνον οἱ Ἡρακλέους παῖδες, ἀλλὰ καὶ οἱ ἐκείνων ἀπόγονοι. Ὅτι δὲ Κόλχοι Αἰγυπτίων ἄποικοι, ὥς φησιν Ἀπολλώνιος, καὶ Σκύμνος ἐν τοῖς περὶ Ἀσίας k) λέγει· καὶ Ἡρόδοτος βεβαιοῖ, ὅς γε καὶ αὐτῶν τῶν αἰδοίων τῆς περιτομῆς μέμνηται, καὶ τῆς τῶν λίνων ὑφῆς, καὶ νόμοις αὐτοὺς χρῆσθαι τοῖς Αἰγυπτίων λέγει.

V. 279. Οἳ δή τοι γράπτυς. Γράπτυς τοὺς νόμους λέγει. Εἰσὶ δὲ (φησὶ) καὶ νόμοι παρ' αὐτοῖς τῶν προγόνων, καὶ στῆλαι, ἐν αἷς γῆς καὶ θαλάσσης ἀναγραφαί εἰσι.

V. 280. Κύρβιας. Στήλας. Λέγει δὲ τοὺς ἄξονας, ἐν οἷς οἱ νόμοι γράφονται, ὡς Ἀριστοφάνης ὁ κωμικός. Ἀπολλόδωρος δέ φησι, πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβιν καλεῖσθαι, ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες εἰώθεσαν τὰ δόξαντα ἐν αὐτοῖς ἀναγράφειν. Κύρβεις, οἱονεὶ κορύφεις, κατὰ συγκοπὴν, καὶ μεταθέσει καὶ τροπῇ τοῦ φ εἰς β, κύρβεις. Ὕστερον δὲ ξύλα λελευκω-

k) οὐσίας P.

μένα γράφοντες, κύρβεις ὁμοίως ἐκάλεσαν καὶ αὐτά. Κύρβεις μὲν οὖν, αἱ περιέχουσαι τὰς ἱερὰς ἀναγραφάς. Κύρβεις λέγουσιν, ὥς Ἐρατοσθένης φησὶ, καὶ τοὺς ἄξονας καλουμένους Ἀθήνησιν, ἐν οἷς οἱ νόμοι περιέχονται. Οἱ δὲ ἀκριβέστεροι, ἄξονας μὲν, τετραγώνους λίθους· κύρβεις δὲ, τριγώνους. Ἐν ἀμφοτέροις δὲ νόμοι ἦσαν γεγραμμένοι Ἀθήνησι. [Ἐνταῦθα δὲ κύρβιάς φησι πίνακάς τινας γῆς περίοδον περιέχοντας.]

V. 282. Κέρας. Κέρατα γὰρ λέγουσι τοῦ ὠκεανοῦ πάντας τοὺς ποταμοὺς τοὺς ἀπ' αὐτοῦ καταφερομένους. Ὁ δὲ Ἴστρος ποταμὸς Σκυθίας. Ὁ δὲ λόγος, μακρόθεν ὄντα διετεκμήραντο τὸν ποταμὸν, καὶ ἔγνωσαν.

V. 284. Ἴστρον μιν καλέοντες. Τὸν Ἴστρον φησὶν ἐκ τῶν ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν, οὕτω δὲ εἶπεν, ἀκολουθῶν Αἰσχύλῳ ἐν (λυομένῳ Προμηθεῖ λέγοντι τοῦτο, γενόμενον δὲ μεταξὺ Σκυθῶν καὶ Θρᾳκῶν, σχίζεσθαι· καὶ τὸ μὲν (εἰς τὴν καθ' ἡμᾶς θάλασσαν ἐκβάλλειν ῥεῖθρον· τὸ δὲ) εἰς τὴν Ποντικὴν θάλασσαν ἐκπίπτειν· τὸ δὲ εἰς τὸν Ἀδριατικὸν κόλπον. Σκύμνος δὲ ἐν τῇ ἑκκαιδεκάτῃ [1]) [τῶν] περὶ Εὐρώπης αὐτὸν μόνον φησὶν ἀπὸ ἐρήμου φέρεσθαι τὸν Ἴστρον. Ῥίπαια δὲ ὄρη ἐν ταῖς ἀνατολαῖς, ὡς Καλλίμαχος·

Ῥιπαίου (πέμπουσιν) ἀπ' οὔρεος, ἧχι μάλιστα.

Ἐρατοσθένης δὲ (ἐν τρίτῳ Γεωγραφικῶν,) ἐξ ἐρήμων τόπων ῥεῖν, περιβάλλειν δὲ νῆσον Πεύκην. Οὐδεὶς δὲ ἱστορεῖ, διὰ τούτου τοὺς Ἀργοναύτας εἰσπεπλευκέναι εἰς τὴν ἡμετέραν θάλασσαν, ἔξω Τιμαγήτου, ᾧ ἠκολούθησεν Ἀπολλώνιος. Ὁ μὲν γὰρ Σκύμνος, αὐτοὺς διὰ Τανάϊδος πεπλευκέναι ἐπὶ τὴν μεγάλην θάλασσαν, ἐκεῖθεν δὲ εἰς τὴν ἡμετέραν θάλασσαν ἐληλυθέναι. καὶ παρεκβολεύεται, ὡς ἄρα ἐλθόντες ἐπὶ τὴν ἤπειρον οἱ Ἀργοναῦται ἐπὶ σαυρωτήρων ἐκόμισαν τὴν Ἀργὼ, μέχρις οὗ ἐπὶ θάλασσαν παρεγένοντο. (Ἡσίοδος δέ φησι, διὰ Φάσιδος αὐτοὺς πεπλευκέναι. Ἑκαταῖος δὲ ἐλέγχων αὐτὸν ἱστορεῖ, μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδ' ὡς διὰ Τανάϊδος ἔπλευσαν, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν, καθ' ὃν καὶ πρότερον· ὡς Σοφοκλῆς ἐν Σκύθαις ἱστορεῖ, καὶ Καλλίμαχος.) ὅθεν καὶ τῶν Σκυθῶν τοὺς μὲν εἰς τὸν Ἀδρίαν πεπλευκότας μὴ εὑρεῖν τοὺς Ἀργοναύτας· τοὺς δὲ διὰ τῶν Κυανέων εὑρεῖν ἐπὶ τὴν Κέρκυραν καταπεπλευκότας. (Ὁ δὲ Ἴστρος, καταφερόμενος ἐξ ὑπερβορέων, ὅταν φθάσῃ ἐπὶ τὸν μεταξὺ Σκυθίας καὶ Θρᾴκης τόπον, σχίζεται εἰς δύο· καὶ τὸ μὲν αὐτοῦ εἰς τὸν Εὔξεινον πόντον βάλλει, τὸ δὲ ἕτερον εἰς τὴν Τυῤῥηνικὴν θάλασσαν.)

V. 291. Τρινακρίου. Τὸ Τυῤῥηνικὸν πέλαγος παράκειται τῇ Σικελίᾳ. Ἐκαλεῖτο δὲ Τρινακρία τοπρότερον, διὰ τὸ τρεῖς ἄκρας ἔχειν, Πάχυνον, Λιλύβαιον, Πέλωρον. Βουλόμενος δὲ ὁ Ἀπολλώνιος καινότερόν τι περὶ τοῦ Ἴστρου εἰπεῖν, τὸ εἰς τὸν Ἀδρίαν καταφερόμενον ῥεῦμα αὐτοῦ ὑποδιαιρεῖ αὖθις εἰς δύο· καὶ τὸ μὲν

1) ἐν τοῖς π. Ε. emendat Holstenius. cf. Dodwell. dissert. de Scymno Chio §. 8.

εἰς τὸν Ἀδρίαν φέρεσθαι, τὸ δὲ εἰς Τυῤῥηνικὸν πέλαγος λέγει ὅπερ, καταχρώμενος, Τρινάκριον εἶπε.

V. 292. Γαίῃ ὅς ἡμετέρῃ. Ἐὰν μὲν οὕτω γράφηται, γαίῃ ὅς ὑμετέρῃ, ἔσται τῆς Ἑλλάδος· ἐὰν δὲ ἡμετέρῃ, ἔσται τοῦ Ἴστρου. Παράκειται γὰρ τοῖς Κόλχοις οὗτος.

V. 293. Ὑμετέρης γαίης. Ὁ Ἀχελῷος τῶν τῆς Ἑλλάδος ποταμῶν τῶν ἄλλων διαπρεπέστατος. Τὸ δὲ Τρινάκριον πέλαγος παράκειται τῇ τῶν Ἑλλήνων γῇ. Εἰ οὖν ἐστιν ὁ Ἀχελῷος, παρ' ὑμῖν ἐστιν. τὸ γὰρ ὄνομα ἀκούομεν. ἀγνοεῖ γὰρ ὁ Ἄργος, ὡς αὐτῆς ἐκ τῆς χώρας ἀναπηδύει. φησὶν οὖν, τὸν Ἴστρον εἰς τὸν Ἀχελῷον εἰσβάλλειν, διὰ τὸ τὰς πηγὰς αὐτῷ παρέχεσθαι.

V. 295. Αἴσιον. Τὸ καθῆκον.

V. 296. Ὁλκὸν τὴν διαδρομὴν τοῦ ἀστέρος.

(V. 301. Ἐπεὶ πνοιαί τε. Ἐπέμενον γὰρ αἱ αὐταὶ τῶν ἀνέμων πνοαί. καὶ ἡ φανεῖσα αὐτοῖς οὐρανία λαμπηδὼν ἡ τὸν ἐπὶ Ἴστρον διάπλουν σημαίνουσα. Διαφωνοῦσι δὲ οἱ περὶ τοῦ ἔκπλου τῶν Ἀργοναυτῶν καὶ τῶν Κόλχων γεγραφότες.

V. 303. Κόλχοι δ' αὖτ' ἄλλοι. Τῶν Κόλχων οἱ μὲν διὰ τῶν Κυανέων πετρῶν ἔπλευσαν, ὡς καὶ Καλλίμαχος, (φησὶ δὲ Ἀπολλώνιος ὑποστρέψαι αὐτοὺς, ἐναντίως Καλλιμάχῳ,) οἱ δὲ εἰς τὸν Ἴστρον μετὰ Ἀψύρτου ἦλθον.)

V. 306. Καλὸν δὲ διὰ στόμα. Τρία στόματα ἔχει ὁ Ἴστρος· ὧν ἓν λέγεται Καλὸν στόμα, (ὥς φησι Τιμάγητος ἐν τῷ περὶ λιμένων·) εἰς ὅ φησι πλεῦσαι τὸν Ἄψυρτον, [τὸ δὲ Ἄρηος ἢ Ἄρηκος.]

V. 308. Πανέσχατον Ἰονίοιο. Τὸ Ἰόνιον πέλαγος τῆς Ἰταλίας, εἰς ὃ ἐκδίδωσιν ὁ Ἀδρίας. Διὸ καί τινες αὐτὸ Ἀδρίαν ὀνομάζουσι, κατὰ μετάδοσιν τοῦ ὀνόματος. Ἐπεὶ γὰρ συνάπτει ὁ Ἀδρίας τῷ Ἰονίῳ, διὰ τοῦτο ποτὲ μὲν τὸν Ἀδρίαν, Ἰόνιον, ποτὲ δὲ τὸν Ἰόνιον, Ἀδρίαν καλοῦσιν. Ὠνομάσθη δὲ ἀπὸ Ἰονίου τὸ γένος Ἰλλυριοῦ, (ὥς φησι Θεόπομπος ἐν εἰκοστῷ πρώτῳ. Ἰόνιον πέλαγος πρὸς τῇ Ἰταλίᾳ οὕτω καλούμενον ἀπὸ Ἰονίου, ἀνδρὸς Ἰλλυριοῦ.) τινὲς δὲ, ἀπὸ τῆς γενομένης πλάνης τῇ Ἰοῖ.

V. 310. Τριγλῶχιν. Ἐρατοσθένης ἐν γ̄ Γεωγραφικῶν, νῆσον εἶναι ἐν τῷ Ἴστρῳ φησὶ τρίγωνον, ἴσην τῇ Ῥόδῳ· ἣν Πεύκην λέγει διὰ τὸ πολλὰς ἔχειν πεύκας. Καὶ τὴν μὲν κορυφὴν τοῦ τριγώνου αὐτῆς πρὸς τὸ ῥεῦμα οὖσαν τοῦ ποταμοῦ, ἀγκῶνα ἐκάλεσε· τὴν δὲ βάσιν τὴν πρὸς τὴν θάλασσαν, εὖρος.

(V. 311. Ἀμφὶ δὲ δοιαί. Περὶ τὸν περὶ τὴν Πεύκην ἀγκῶνα δύο εἶναι φησὶ στόματα τοῦ Ἴστρου· ὧν τὸ μὲν καλεῖται Ἄρηκος, τὸ δὲ, Καλὸν στόμα· ἐν ᾧ τάχιον οἱ Κόλχοι σὺν Ἀψύρτῳ ἔπλευσαν.

V. 315. Οἱ δ' ὑψοῦ νήσοιο. Οἱ περὶ τὸν Ἰάσονα ἄνωθεν τῆς νήσου διὰ τοῦ Ἄρηκος στόματος ἔπλευσαν· οἱ δὲ νομεῖς (πάντας ἀκουστέον) δόξαντες τὰς ναῦς θαλάσσια θηρία εἶναι, δείσαντες εἰς φυγὴν ἐτράπησαν.

V. 316. *Εἰαμεναί*, οἱ κάθυγροι τόποι καὶ στεγανώδεις. Δεῖ δὲ ἀκούειν ἑκατέρωθεν τοὺς νομεῖς πεφευγότας.)

V. 320. *Θρήϊξι μιγ.* Τοῖς ἐπὶ τῆς Εὐρώπης Θρᾳξὶν ὅμοροί εἰσιν οἱ Σκύθαι.

V. 320. [*Σίγυνοι* ἔθνος Σκυθικόν.] Ἔστι δὲ καὶ σίγυννος εἶδος δόρατος, παρώνυμον τῷ ἔθνει.

V. 321. sq. *Οὔθ' οἱ περὶ Λαύριον.* Λαύριον πεδίον τῆς Σκυθίας. Τῆς δὲ Σκυθίας ἔθνη πεντήκοντα Τιμώναξ [m]) ἀναγράφει ἐν πρώτῳ περὶ Σκυθῶν. Κατὰ δὲ τὸ τῶν Σίνδων πεδίον σχίζεται ὁ ποταμὸς Ἴστρος· καὶ τὸ μὲν αὐτοῦ ῥεῦμα εἰς τὸν Ἀδρίαν, τὸ δὲ εἰς τὸν Εὔξεινον πόντον εἰςβάλλει.

Τὸ δὲ *Σίνδοι* Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου βαρυτονεῖν φησὶ δεῖν· τινὲς δὲ ὀξύνουσιν, οὐκ εὖ.

Καὶ Ἱππῶναξ δὲ μνημονεύει· πρὸς τὸ Σινδικὸν διάσφαγμα, Ἑλλάνικος δὲ ἐν τῷ περὶ ἐθνῶν φησί· Βόσπορον διαλεύσαντι Σινδοί· ἄνω δὲ τούτων Μαλιῶται [n]) Σκύθαι.

V. 324. *Ἀγγούρου ὄρεος.* Πλησίον Ἴστρου ποταμοῦ. Μνημονεύει δὲ αὐτοῦ Τιμάγητος ἐν λιμέσιν.

Ὁ δὲ *Καυλιακὸς σκόπελος* τῆς Σκυθίας, πλησίον τοῦ Ἴστρου, οὗ μνημονεύει Πολέμων ἐν κτίσει [o]) Ἰταλικῶν καὶ Σικελικῶν.

Πολλοὶ γράφουσιν *Ἄγγουρον ὄρος*, καὶ *Ἄγγυρον ὄρος* καὶ *Ἀγγύρου ὄρεος*· ἀντὶ δὲ τοῦ *Καυκασίοιο*, *Καυλιακοῖο*.

Φησὶ δὲ κατὰ τοῦτο τὸ ὄρος τὸν Ἴστρον διασχιζόμενον, τῇ μὲν εἰς τὸν Ἀδρίαν, τῇ δὲ εἰς τὸν Εὔξεινον εἰσβάλλειν.

V. 327. *Κρονίην ἅλα.* Τὸν Ἀδρίαν φησίν. ἐνταῦθα γὰρ τὸν Κρόνον κατῳκηκέναι.

(V. 338. *Ἔνθα κε.* Κατ' ἐκεῖνον τὸν τόπον φησὶ τοὺς Ἀργοναύτας τὸ πλῆθος τῶν Κόλχων φοβηθέντας, εἴκειν αὐτοῖς· καὶ βούλεσθαι μὲν τὸ κῶας ἔχειν καὶ μὴ παρασχεῖν· τὴν δὲ Μήδειαν, ἦν γὰρ τὸ κατ' αὐτὴν δίκαιον ἀμφήριστον, παραθέσθαι τῇ Ἀρτέμιδι ἐν τῷ αὐτῆς ἱερῷ, ἕως τις δικάσῃ, πότερον αὐτὴν ἀποδοτέον τῷ πατρὶ ἢ τοῖς Ἀργοναύταις.

V. 374. *Φασγάνῳ αὐτίκα.* Ὀνειδίζουσα τῷ Ἰάσονί φησι ξίφει αὐτὸν αὐτὴν διαχειρίσασθαι, ἵνα ἀξίαν ἀπολάβῃ χάριν τοῦ πρὸς αὐτὸν ἔρωτος. Ἐν ἤθει δὲ τοῦτο εἶπεν.)

V. 384. *Στρευγόμενος.* Ἀντὶ τοῦ καταπονούμενος καὶ στρεβλούμενος.

V. 387. *Ἀτροπίῃ.* Τῇ σῇ κακοτροπίᾳ καὶ ἀβουλίᾳ, ὅτι ἐπιώρκησας.

(V. 411. *Ἀεικελίοισιν.* Ἐπὶ γὰρ τοῖς κακοῖς, φησί, κακὰ δεῖ βουλεύεσθαι. Προείρηται οὖν καὶ τὸν Ἄψυρτον ἀνελεῖν ἐπὶ τοῖς προγεγενημένοις ἁμαρτήμασιν ὑπ' αὐτῆς.

m) Τίμων P. n) Μαιῶται P. o) κτίσεσιν P.

V. 417. *Εἴ κέν πως.* Εἴπως, φησὶ, πείσαιμι τὸν Ἄψυρτον μόνον πρὸς μόνην ἥκειν, φιλίαν πρὸς αὐτὸν συνθεμένη.)

V. 425. *Δίη.* Ἐν τῇ Νάξῳ. Καλλίμαχος·

Ἐν Δίῃ· τὸ γὰρ ἔσκε παλαίτερον p) οὔνομα Νάξῳ.

V. 428. *Γλήνεσιν.* Ποικίλμασιν.

Οὔ μιν ἀφάσσων. Οὐδαμῶς ἂν τὸν πέπλον ἐκεῖνον ψηλαφῶν, ἢ καθορῶν, τὴν ἐπιθυμίαν πληρώσειας.

V. 432. *Ἀκροχάλιξ.* Ἄκρως μεθύων ἀκράτῳ ἢ νέκταρι.

V. 433. *Μινωΐδος.* Τῆς Ἀριάδνης.

(V. 445. *Μέγα στύγος.* Τὸν ἔρωτα εἶναι μέγα στύγημα τοῖς ἀνθρώποις λέγει.

V. 459. *Οἰόθι δ' ἀντικρύ.* Μόνος δὲ πρὸς τὴν Μήδειαν μετιὼν ὁ Ἄψυρτος, πεῖραν ἐλάμβανεν, ὡς ἔτι ὢν ἀταλὸς καὶ δόλων ἄπειρος, εἰ βουληθείη προδοῦναι τοὺς Ἀργοναύτας, τὸν καθ' αὐτοῦ δόλον οὐκ ἐπιστάμενος.

V. 466. *Ἔμπαλιν ὄμματ' ἔνεικεν.* Ἡ Μήδεια ἀπεστράφη τοῦ Ἀψύρτου ἀναιρουμένου, ἵνα μὴ τὸν φόνον αὐτοῦ ἴδῃ.

V. 468. *Τὸν δ' ὅγε, βουτύπος.* Τὸν δὲ Ἄψυρτον ὁ Ἰάσων ἔπληξεν, ὥς τις βοῦς καταβάλλων.)

[V. 470. *Βρυσοὶ* ἔθνος Ἰλλυρίας.]

V. 471. Καταχρηστικῶς *πρόδομον* εἶπε τὸν πρόναον.

(V. 473. *Τῆς δὲ καλύπτρην.* Τῆς δὲ Μηδείας ὁ Ἄψυρτος ἀποθνήσκων τὴν καλύπτραν καὶ τὸν πέπλον ἐρύθηνε τῷ ἑαυτοῦ αἵματι.)

[V. 474. Τὸ δὲ *ἐρυθαίνειν* τὸ ἐρυθρὸν ποιεῖν σημαίνει.]

V. 477. *Ἐξάργματα τάμνε.* (Τῶν ἀποθανόντων) οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρουμένου· καὶ ταῦτα λαβόντες ἐξήρτων τοῦ τραχήλου αὐτῶν. Τῶν δὲ καλουμένων ἀκρωτηριασμάτων ἄπειρα καὶ πολλὰ ἐξάργματα. Ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες, τρὶς εἰς τὸ στόμα ἔπτυον. Τοῦτο δὲ ἐποίουν πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν.

V. 481. *Ἀψυρτεῦσιν.* Ἔθνος ἀπὸ Ἀψύρτου εἰρημένον.

(V. 495. *Ἤδη νῦν.* Ὁ Πηλεὺς ξυμβουλεύει μετὰ τὸν Ἀψύρτου θάνατον ἀποπλεῖν. Οὐδεὶς γάρ λόγος, φησὶ, πείσει τοὺς Κόλχους διῶξαι ἡμᾶς, ἰδόντας τὸ πεπραγμένον.)

V. 505. *Ἠλεκτρίδα.* Αὕτη ἡ Ἠλεκτρὶς ἐγγύς ἐστι τοῦ Ἠριδανοῦ ποταμοῦ.

(V. 507. Οἱ Κόλχοι ἀφορμηθέντες τῆς Ἀργοῦς οὐκ ἐπανῆλθον, φοβούμενοι τὸν Αἰήτην· ἀλλ' οἱ μὲν αὐτῶν ᾤκησαν ὅπου ὁ Ἄψυρτος ἐδολοφονήθη, μετὰ τῶν κληθέντων ἀπ' αὐτοῦ Ἀψυρτέων· οἱ δὲ ἐν Ἰλλυρίᾳ, ὅπου οἱ Ἐγχέλυες, περὶ τὰ Κεραύνια ὄρη.)

[V. 518. *Ἐγχελεῖς* ἔθνος Ἰλλυρικόν.]

V. 524. *Ὑλλήων.* Ἔθνος περὶ τὴν Ἰλλυρίαν, ἀπὸ Ὕλλου, τοῦ Ἡρακλέους καὶ Μελίτης, ὠνομασμένον.

p) παλαιότερον ἔσκεν P.

V. 531. *Πευσόμενος.* Πεῦσιν, χρησμὸν αἰτησόμενος παρὰ τοῦ Ἀπόλλωνος.

V. 532. *Ὅπη χθονός.* Οἱ Ὑλληεῖς λαβόντες μισθὸν παρὰ Ἰάσονος τρίποδα τῆς μηνύσεως τῆς ὁδοῦ, ἔκρυψαν ὑπὸ γῆν, ἐπεὶ ὁ χρησμὸς ἐκέλευσεν, ἔνθα ἂν ὁ τρίπους ᾖ, ἀπόρθητον εἶναι τὴν πόλιν.

V. 534. Τὸ οὖν, *ὁ δὲ κεύθεται*, πρὸς τὸν τρίποδα.

V. 540. *Μάκριν τ' εἰσαφίκανε.* *Μάκρις* τοπαλαιὸν ἐλέγετο ἡ Σχερία, ὠνομασμένη ἀπὸ τῆς Διονύσου τροφοῦ. Ἔνθα φησὶ τὸν Ἡρακλέα παραγενόμενον τὸν τῶν παίδων αὐτοῦ φόνον καθαρθησόμενον, Μελίτην τὴν Αἰγαίου τοῦ ποταμοῦ θυγατέρα γεγαμηκέναι· ἐξ ἧς ἔσχε τὸν Ὕλλον, ὃς ἀκμάσας οὐκ ἠθέλησε τῷ Ναυσιθόῳ ὑποταγῆναι, ἀλλά τινας τῶν Φαιάκων συναγαγὼν, εἰς τὴν Κρονίαν θάλασσαν κατῴκησεν.

(V. 552. *Ἀλλὰ θεαὶ πῶς.* Πυνθάνεται τῆς Μούσης ὁ ποιητὴς, πῶς τὸν πλοῦν ἐποίησαν οἱ Ἀργοναῦται μετὰ τὸν Ἀψύρτου θάνατον, καὶ πῶς εἰς θάλασσαν ἦλθον.)

V. 553. Μέμφονται δέ τινες τὸν Ἀπολλώνιον, ὡς περὶ τούτους τοὺς χρόνους εἰρηκότα τὴν Ἰταλίαν *Αὐσονίαν.* Ὑστέροις γὰρ χρόνοις τῶν Ἀργοναυτῶν οὕτω κέκληται, ἀπὸ Αὔσονος τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς. Ἐροῦμεν δὲ, ὅτι, εἰ καὶ μὴ κατὰ τοὺς χρόνους ἐκείνους Αὔσονες ὠνομάζοντο, ἀλλὰ τοῖς τοῦ ποιητοῦ χρόνοις ἐκαλοῦντο οὕτως.

Νήσους τε Λιγυστίδας. Περὶ τὴν Ἰταλίαν εἰσὶ τρεῖς Λιγυστίδες, καλούμεναι Στοιχάδες, διὰ τὸ στοίχῳ τετάχθαι· αἵτινες οἰκοῦνται ὑπὸ τῶν Λιγύων.

V. 557. *Αὐτόν που.* Μετὰ τὴν πεῦσιν ἐμπνευσθεὶς, ἐντεῦθεν ἄρχεται τοῦ διηγήματος.

V. 564. sqq. *Ἑξείης πλήθοντο.* Λίβυρνοι [q]), ἔθνος, οἰκοῦντες ταύτας τὰς νήσους, Ἴσσαν τε δυσκέλαδον καὶ Πιτύειαν. Μεθ' ἃς εἰς Κέρκυραν ἦλθον.

Τὴν δὲ Πιτυοῦσαν καλουμένην *Πιτύειαν* εἶπεν, Ὁμήρῳ ἑπόμενος.

V. 576. *Δοιάζοντο* [r]). Ἐστοχάζοντο.

V. 577. *Χόλον ἐφράσαθ' Ἥρη.* Ἡ Ἥρα, φησὶ, τὴν Διὸς ὀργὴν ἐπισταμένη πρὸς τοὺς Ἀργοναύτας, σφοδροὺς ἀνέμους ἐποίησε κατ' ἐκείνους τοὺς τόπους, ὅπως ἀποσταῖεν μὲν αὐτῶν, φέροιντο δὲ εἰς τὴν Ἠλεκτρίδα νῆσον.

V. 585. *Οὐ γὰρ ἀλύξειν.* Ἡ στεῖρα τῆς Ἀργοῦς, φησὶ, φωνῆεν ἔχουσα ξύλον, μεταδέδωκεν αὐτοῖς τὸν Διὸς χόλον φεύγειν, καὶ πρὸς Κίρκην ἀφικέσθαι, τὸν Ἀψύρτου θάνατον καθαρθησομένους.

V. 591. *Δήουσιν.* Εὑρήσουσιν. Ἀεὶ γὰρ ἐπὶ μέλλοντος κεῖται.

q) Λιγύρνοι P. et Λιγυρνίδας νήσους. r) δόαζον P.

(V. 596. *Εἰς δὲ τὸν Ἠριδανὸν εἰσέβαλλον*, ὅς ἐστι τῆς Κελτικῆς ποταμός· εἰς ὃν λέγουσι πεπτωκέναι τὸν Φαέθοντα.)

V. 604. sqq. Λέγεται, τῶν *Ἡλιάδων* θρηνουσῶν τὸν Φαέθοντα, καὶ εἰς αἰγείρους μεταβεβλημένων, τὸ ἀποστάζον δάκρυον εἶναι ἤλεκτρον.

V. 611. *Κελτοὶ δ' ἐπί.* Οἱ Κελτοὶ ἐφήμισαν τὸ ἤλεκτρον εἶναι μὴ τῶν Ἡλιάδων, ἀλλὰ δάκρυον εἶναι Ἀπόλλωνος, ἡνίκα διὰ τὸν Ἀσκληπιοῦ θάνατον ἀνιαθεὶς εἰς τοὺς Ὑπερβορέους ἀφίκετο, διὰ τὴν τοῦ πατρὸς ἐπιτίμησιν· ἢ ὅτε ἐκελεύσθη θητεύειν ἐπὶ τῷ φόνῳ τῶν Κυκλώπων.

[V. 618. Τὸ δὲ *κεκλήϊσται* ἀντὶ τοῦ πεφήμισται καὶ ᾄδεται.]

V. 625. *Τὰ δὲ δάκρυα.* Θρηνουσῶν δὲ τῶν Ἡλιάδων τὸ δάκρυον ἀναμίσγεται τοῖς ὕδασιν, ὡσεὶ σταγόνες ἐλαίου.

V. 626. *Στάγες.* Ὡς ἀπὸ τῆς στὰξ σταγός.

V. 627. *Ῥοδανοῖο βαθὺν ῥόον.* Ῥοδανὸς, ποταμὸς τῆς Κελτικῆς, τῷ Ἠριδανῷ συμμιγνύμενος, καὶ σχιζόμενος, τῇ μὲν εἰς Ὠκεανὸν φέρεται· τῇ δὲ, εἰς τὸν Ἰόνιον κόλπον· τῇ δὲ, εἰς τὸ Σαρδόνιον πέλαγος.

V. 640. *Ἑρκυνίου.* Ἑρκύνιον ὄρος Κελτῶν, ἢ δρυμός.

V. 647. *Ἀδήϊοι.* Ἄγνωστοι. Ἀζήτητοι. Ἀνενόχλητοι.

V. 650. sq. *Εἵνεκα κούρων Ζηνός.* Τῶν Διοσκούρων, οἵτινες ηὔξαντο ὑπὲρ αὐτῶν.

V. 653. *Πόρε νῆας.* Σώζειν δηλονότι. Ὁ τρόπος ἔλλειψις.

V. 661. *Αἰαίης λιμένα.* Ἔοικεν Ἀπολλώνιος ἐκδεδέχθαι τὴν Ὀδυσσέως πλάνην περὶ Τυῤῥηνίαν καὶ Ἰταλίαν· ἐκεῖ γὰρ ὑποτίθεται τὴν Κίρκην οἰκεῖν.

V. 662. *Ἔνθα δὲ Κίρκην.* Ἡ Κίρκη, φησὶ, κατελήφθη ἐπὶ θαλάσσης ἡμέρας γενομένης, ἀποτρεπομένη φοβερὸν ὄναρ, ὃ νυκτὸς εἶδεν, αἵματι τὸν οἶκον αὐτῆς μεμολυσμένον.

V. 694. *Ἧτε δίκη λυγροῖς.* Ὡς νόμος ἐστὶ τοῖς ἱκέταις, ὥστε αὐτοὺς ἐπὶ τῆς ἑστίας καθημένους μὴ φθέγγεσθαι.

V. 699. *Φύξιον οἶτον.* Φύξιος μὲν Ζεὺς, ὁ βοηθῶν τοῖς φυγάσι, καὶ πρὸς ὃν καταφεύγουσι· *φύξιος* δὲ *οἶτος* ἐνταῦθα ὁ θάνατος, δι' ὃν καταφεύγουσιν. (Ἔγνω δὲ, φησὶν, ἡ Κίρκη τὸν Ἰάσονα φόνον δεδρακότα.

V. 704. *Ἀτρέπτοιο λυτήριον ἦγε φόνοιο.* *Λυτήριον* τὸ καθάρσιον λέγει, ὅ ἐστι χοιρίδιον μικρὸν, ὅπερ οἱ ἁγνίζοντες θύσαντες, τὰς χεῖρας τοῦ ἁγνιζομένου τῷ αἵματι αὐτοῦ βρέχουσιν.

V. 708. *Ἀγκαλέουσα.* Ἐπικαλουμένη.

V. 709. *Παλαμναίων τιμήορον ἱκεσιάων.* *Παλαμναῖος* λέγεται ὁ φόνον εἰργασμένος· ἐνταῦθα δὲ *παλαμναίας ἱκεσίας* λέγει τὰς ὑπὲρ φόνου γιγνομένας· ὧν τὸν Δία *τιμήορον*, ἤγουν τιμητὴν, φησίν.

V. 712. Ἡ δ' εἴσω. Ἡ δὲ Κίρκη πέμματά τινα ἐπέκαιεν, ὕδωρ ἐπιχέουσα κατὰ τὸν νόμον.

V. 720. Ἐνωπαδίς. Κατ' ὄψιν, ἐξ ἐναντίας. Ὅτι ἁγνίσασα αὐτοὺς ἐκάθισεν ἐπὶ θρόνων, καὶ αὐτὴ ἐναντίον αὐτῶν ἐκαθέσθη.

V. 725. Ἵετο δ' αὖ κούρης. Προεθυμεῖτο φωνὴν ἀκοῦσαι, συμβάλλουσα, ὅτι ἀπὸ Ἡλίου ἐστὶν, ἀπὸ τῆς τῶν ὀφθαλμῶν διαυγείας.

V. 728. Ἐπεὶ βλεφάρων. Ἐπεὶ πάνυ πόῤῥω ἀπὸ τῶν ὀμμάτων ἔλαμπον ταῖς λαμπηδόσιν.

V. 734. sq. Ἐπλάσατο ἡ Μήδεια, λέγουσα διὰ τοῦτο πεφευγέναι, διὰ τὸ φοβεῖσθαι τὸν πατέρα· ὅτι ἐβοήθησε τῷ Ἰάσονι κατ' ἔλεον τῆς ἀδελφῆς Χαλκιόπης.

V. 746. Ἄϊστον. Ἀφανῆ. Ἄγνωστον.

V. 747. Ἐφέστιον. Ἐπὶ τῇ ἑστίᾳ ὄντα.

V. 761. Ἐλθεῖν εἰς ἀκτάς. [Αἱ δὲ τοῦ Αἰόλου νῆσοι ἑπτὰ αἵδε· Λιπάρα, Στρογγύλη, Ἱέρα, Διδύμη, Εὐώνυμος, Ἐρυκώδης, Φοινίκη s)]. Ἀγαθοκλῆς ἐν τοῖς ὑπομνήμασι περὶ τῶν χαλκείων τοῦ Ἡφαίστου ἱστορῶν, φησὶ κατὰ Σικελίαν δύο εἶναι νήσους· ὧν ἡ μὲν καλεῖται Ἱέρα· ἡ δὲ, Στρογγύλη· αἵτινες ἡμέρας καὶ νυκτὸς πῦρ ἀφιᾶσιν. (Ὁ δὲ αὐτός φησιν ἐν ἑβδόμῳ· Ἐν Σικελίᾳ νῆσοι ὑπάρχουσι. Τούτων δύο πῦρ ἀφιᾶσι.) Καλεῖται δὲ ἡ μὲν, Αἰόλου· ἡ δὲ, Ἡφαίστου, ἐν ᾗ πυρὸς ποταμούς φασιν ἀνιέναι.

Ὅθι τ' ἄκμονες Ἡφαίστοιο. Ἐν τῇ Λιπάρᾳ καὶ Στρογγύλῃ, τῶν Αἰόλου δὲ νήσων αὗται, δοκεῖ ὁ Ἥφαιστος διατρίβειν. Δι' ὃ καὶ πυρὸς βρόμον ἀκούεσθαι καὶ ἦχον σφοδρόν. Τὸ δὲ παλαιὸν ἐλέγετο, τὸν βουλόμενον ἀργὸν σίδηρον ἀποφέρειν t), καὶ ἐπὶ τὴν αὔριον ἐλθόντα λαμβάνειν ἢ ξίφος, ἢ εἴ τι ἄλλο ἤθελε κατασκευάσαι, καταβαλόντα μισθόν. Ταῦτα φησὶ Πυθέας ἐν γῆς περιόδῳ, λέγων καὶ τὴν θάλασσαν ἐκεῖ ζεῖν.

V. 765. Αἰθρηγενέεσσιν ἀνάσσει. Τοῖς αἴθραν καὶ ψύχος ποιοῦσι.

Ὅτι δὲ Αἰόλος ἐξουσίαν εἶχεν ἀνέμων, καὶ Ὅμηρος φησίν u)·

Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων.

Ὅτι δὲ αἴθραν τὸ ψύχος λέγουσιν, ὁ αὐτός φησι ποιητής v)·

Αἴθρῃ καὶ καμάτῳ δεδμημένον.

Καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν ὕπαιθρα, τὰ ὑπὸ ἀνέμου καταπνεόμενα.

V. 786. Διὰ πλαγκτὰς περόωντας. Πλαγκταὶ πέτραι ἐν τῷ πορθμῷ εἰσὶν, ὡς Τίμαιος καὶ Πεισίστρατος ὁ Λιπαραῖος [φασὶν]· νῦν δὲ τὰς Κυανέας λέγει. Ἐν ὑπερβατῷ δὲ ἀναγνωστέον· ἔστι γὰρ διαπερῶντας.

V. 788. Περιβλύει. Περικλύζει, κατὰ μίμησιν ἤχου.

s) Ἐρικώδης, Φοινικώδης corrigit Schaefer. t) ἐπιφέρειν corrigit Schaefer. u) Od. X, 21. v) Od. XIV, 318.

Σπιλάδες δὲ αἱ πέτραι, ἀπὸ τοῦ συμπεπλῆχθαι.

V. 807. *Φυτήσαιο.* Φυτῆσαι, φυτεῦσαι, βλαστῆσαι.

V. 808. *Αὐτὴ δὲ σέλας.* Ὅτι τοπαλαιὸν τὰς μητέρας τῶν γαμούντων ἐν τοῖς γάμοις δαδουχεῖν ἔθος ἦν, καὶ Εὐριπίδης ἐν Φοινίσσαις w) φησίν· Ἐγὼ δ' οὔτέ σοι πυρὸς ἀνῆψα φῶς νόμιμον (ἐν γάμοις,) ὡς πρέπει μητρὶ μακαρίᾳ. Ἥρα οὖν φησὶ δαδουχῆσαι τῇ Θέτιδι, διὰ τὴν πρὸς αὐτὴν εὔνοιαν μητρὸς ἔργον ἐπιτελοῦσα.

V. 813. *Νηϊάδες κομέουσι.* Τὴν Χαρικλὼ λέγει καὶ τὴν Φιλύραν, ὑφ' ὧν ἐτράφη ὁ Ἀχιλλεύς· ὧν ἡ μὲν Χαρικλὼ, γυνὴ Χείρωνος· Φιλύρα δὲ, μήτηρ.

Λίπτοντα. Ἐπιθυμοῦντα.

V. 815. *Ἄρηγε.* Ἀρήγειν, βοηθεῖν.

Χρειώ μιν. Ἀναξαγόρας φησὶν, ὅτι ταῖς ἀληθείαις Ἀχιλλέα τιμῶσι τοῖς περὶ Λακωνικὴν x) ταῦτα πέπλασται. Οἱ δέ φασιν, ὅτι συμπαθήσαντες οἱ θεοὶ τῇ Θέτιδι ἀπεθανάτισαν αὐτόν. Ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος εἴρηκε· μεθ' ὃν Σιμωνίδης.

V. 816. *Ἠδ' αὐτῷ Πηλῆϊ.* Ὁ τὸν Αἰγίμιον ποιήσας (ἐν δευτέρῳ) φησὶν, ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλε τοὺς ἐκ Πηλέως γενομένους αὐτῇ παῖδας, βουλομένη εἰδέναι, εἰ θνητοί εἰσιν· ἑτέρους δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιος φησί. Καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα, καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα [καὶ διὰ τοῦτο καταλιπεῖν τὴν Θέτιν αὐτόν]. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησὶν, ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τρίτῳ τῶν περὶ Θεσσαλίας ἱστορεῖ, Χείρωνα, σοφὸν ὄντα καὶ ἀστρονομίας y) ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διασπεῖραι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεὺς, Διὸς διδόντος αὐτῷ· οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν εἰς τὸν γάμον. Ταῦτα φημίσας, παρετήρει τὸν χρόνον, ἐν ᾧ ὑδάτων ἔμελλεν ἔσεσθαι ἐπομβρία καὶ πνεύματα ἐξαίσια· καὶ [τότε] δίδωσι Πηλεῖ Φιλομήλαν. Καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημεν.

V. 820. *Ἄϊκας.* Ἄϊκες, αἱ ἐν τῷ πολέμῳ ἐφ' ἑκάτερα κινήσεις καὶ ὁρμαί. Ὁ δὲ Ἀπολλώνιος τὰς ἀντιπνοὰς τῶν ἀνέμων εἴρηκεν.

V. 825. *Μηδὲ σύγ' ἠὲ Χάρυβδιν.* Ἡ Σικελία ἀντικρὺ κεῖται τῆς Ἰταλίας· ἔστι δὲ τούτων μέσον πορθμὸς, διέχων σταδίους ἑπτὰ ἀπὸ Σικελίας εἰς Ἰταλίαν. Τῶν δὲ τριῶν αὐτῆς ἀκρωτηρίων ἀφορᾷ πρὸς Ἰταλίαν ἡ Πελωρίς z), ὑπόκειται δὲ αὐτῇ Χάρυβδις· ἡ δὲ Σκύλλα ἐν τῇ Ἰταλίᾳ ἀντικρὺ ταύτης. Ἀκρωτήριον δέ ἐστιν ἡ Σκύλλα, ἐξέχον εἰς θάλασσαν, ὁμοίωμα καὶ πρόσωπον ἔχον γυναικός. Κάτω δὲ τοῦ ἀκρωτηρίου εἰσὶ πέτραι πολλαὶ καὶ μεγάλαι, ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς θαλάσσια θηρία μέ-

w) Eur. Phoen. 354 ed. Pors. x) Leg. οἱ περὶ Λακωνικήν. Deinde aliquid excidisse videtur. y) ἀστρολογίας P. z) Πέλωρος P.

νουσιν. Ὅσα μὲν οὖν τῶν πλοίων τὰς πέτρας ἐκκλίνοντα ὑπὸ τοῦ κλύδωνος εἰς τὴν Χάρυβδιν ἀπωσθῶσιν, ἀναῤῥοφοῦνται ὑπ' αὐτῆς, συγκαταφερόμενα τῇ θαλάσσῃ· ὅσα δ' αὖ ὑπὸ τῆς ἐν Χαρύβδει θαλάσσης εἰς τὰς πέτρας τῆς Σκύλλης ὑφάλους καὶ τραχείας οὔσας ἀπωσθῶσι, συγκατακλᾶται καὶ διαφθείρεται· εἶτα ἐξιόντες θαλάσσιοι κύνες καὶ ἕτερα διάφορα θηρία ἐσθίουσι τοὺς ἐκ τῶν νεῶν ἄνδρας. Δοκεῖ δὲ ἡ Σκύλλα καὶ λέγεται παρὰ τοῖς ποιηταῖς ἔχειν κύνας ἐξέχοντας ἀπὸ τῶν πλευρῶν καὶ τοῦ στήθους, καὶ ἀναιρεῖν τοὺς δι' αὐτῆς πλέοντας, ἐπεὶ κάτωθεν ἐκ τῶν κοίλων μερῶν τῶν πετρῶν, ἐφ' ὧν μένουσιν, ἄνω ἀνιόντες ὑπονοοῦνται καὶ ὁρῶνται, ὡς ἐξιόντες ἐκ τοῦ στήθους αὐτῆς ἔσωθεν καὶ τῶν πλευρῶν. Καὶ τὴν ἐν τῷ Μινωταύρῳ δὲ κατάβασιν Χάρυβδιν ἤδη τινὲς τῶν ποιητῶν ὠνομάκασι.

V. 828. (Σκύλλης Αὐσονίης. Τὸ σπήλαιον τῆς Σκύλλης ἐλέγετο εἶναι περὶ τὴν Ἰταλίαν, ὅ ἐστιν ἐν τῷ πορθμῷ.)

Ἥν τέκε Φόρκυν. Ἀκουσίλαος Φόρκυνος καὶ Ἑκάτης τὴν Σκύλλαν λέγει. Ὅμηρος δὲ τὴν Σκύλλης μητέρα Κράταιϊν καλεῖ. Ἀμφοτέροις οὖν Ἀπολλώνιος κατηκολούθησεν. Ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα. Στησίχορος δὲ ἐν τῇ Σκύλλῃ Λαμίας τὴν Σκύλλαν φησὶ θυγατέρα εἶναι.

V. 834. Εἰ μὲν δὴ μαλεροῖο. Περὶ τὸν πορθμὸν ἐν τῇ θαλάσσῃ πυρὸς ἀναφυσήματα γίνεται· ὥστε καὶ τὴν θάλασσαν θερμαίνεσθαι, ὥς φησι καὶ Μητρόδωρος ἐν πρώτῳ περὶ ἱστορίας. Καὶ Θεόφραστος ἐν ἱστορικοῖς ὑπομνήμασί φησι τὸν βρόμον τοῦ πυρὸς τὸν ἀπὸ τῶν τοῦ Αἰόλου νήσων ἀκούεσθαι ἕως χίλια στάδια. περὶ Ταυρομένιον οὖν ἀκούεσθαι βροντῇ παραπλήσιον ψόφον.

(V. 838. Ἀλλ' ὥρη δολιχήν. Ἀπέρχομαι, ὅπου τὰ ἀπόγεια σχοινία τῆς Ἀργοῦς δέδεται, ὅπως ἑωθινοὶ τῆς ἐπανόδου μνήμην ποιήσωνται· ὅπως αὐτοὺς ἕωθεν ποιήσω ἀποπλεῦσαι ἐκ τῆς γῆς τῶν Τυρσηνῶν.)

V. 841. Ὑπηῷοι δὲ, κατὰ τὸν καιρὸν τῆς ἠοῦς. Ἤγουν ἕωθεν. Ὄνομα ἀντὶ ἐπιῤῥήματος.

V. 847. Αὐτὴ δ' ὠκυτέρη. Ὑπερβολικῶς. Οὐδεὶς γὰρ ἀκτίνων βολὴν ὑπερβάλλεσθαι δύναται· οὔτε τὴν λεγομένην μαρμαρυγὴν [a]), ἥτις ἐστὶ λαμπηδόνος συνεχοῦς ὅρμησις, καὶ ἀμάρυγμα λεγομένη.

(V. 850. Τυρσηνίαν δ' εἴρηκε τὴν τῆς Κίρκης νῆσον διὰ τὸ πρόσχωρον αὐτῇ εἶναι.)

V. 852. Ὀρεξαμένη χερός. Ἐπιβαλομένη.

V. 855. Ἐείσατο. Ἐφάνη.

(V. 856. Μηκέτι νῦν ἀκταῖς. Μηκέτι καθέζεσθε ἐν ταῖς ἀκταῖς τῆς Αἰαίης νήσου ταῖς οὔσαις πλησίον τῶν Τυρσηνῶν, περιμένοντες καὶ ὑπερτιθέμενοι τὸν πλοῦν ὑμῶν.)

a) ἀμαρυγὴν P.

V. 859. *Πανσυδίη κοῦραι.* Πᾶσαι ὁμοῦ ἀπαντῶσι τὴν ναῦν φυλάξουσαι ἐκ τῶν πετρῶν, αἵτινες καλοῦνται πλαγκταί. [*Ἀντιόωσι* δὲ ἀντὶ τοῦ ἔρχονται.]

V. 861. *Κείνη γὰρ ἐναίσιμος.* Ἐκεῖνος γὰρ ὑμῖν ὁ πλοῦς αἴσιμος καὶ καθήκων ἐστὶν ὁ διὰ τῶν πλαγκτῶν πετρῶν.

(V. 862. *Ἀλλὰ σὺ μή τῳ.* Μήτινι τῶν Ἀργοναυτῶν ἀποδείξῃς με, ἡνίκα με ἴδῃς σὺν ταῖς Νηρεΐσιν ὑπαντήσασάν σοι.)

V. 864. *Ἀπηλεγέως.* Ἀναμφιλέκτως.

V. 865. *Αἴδηλος.* Ἀφανὴς γενομένη κατέδυ εἰς τὸ βάθος τῆς θαλάσσης.

(V. 866. Τὸν δὲ Πηλέα δεινῶς ἡ λύπη ἔπληξεν.)

V. 868. *Νηπιάχοντος.* Νηπιάχειν, τὸ νηπιάζειν.

V. 871. *Ἀμβροσίῃ χρίεσκεν.* Θειοτάτῳ ἐλαίῳ περιέχριε τὸ ἁπαλὸν αὐτοῦ σῶμα.

V. 872. (*Καί οἱ στυγερόν.* Καὶ αὐτοῦ τὸ μισητὸν γῆρας ἀπὸ τοῦ σώματος ἀποσοβήσει.)

Ἀλάλκειν, ἐκβάλλειν.

V. 874. *Σπαίροντα διὰ φλογός.* Ἁλλόμενον καὶ σαλεύοντα ἐπὶ τοῦ πυρός.

V. 876. *Τὸν μὲν ἄρ ἁρπάγδην.* Ἀπὸ τοῦ πυρὸς ἀναρπάξας ἔῤῥιψεν ἐπὶ τοῦ ἐδάφους κράζοντα.

V. 880. *Ἀμηχανία.* Ἀπορία, λύπη.

(*Παλίσσυτος.* Μετὰ δὲ ταῦτα οὐκέτι ἐξ ὑποστροφῆς παρεγένετο πρὸς τὸν Πηλέα. ὅθεν τὰς φρένας αὐτοῦ κατέδησεν ἡ ὀλιγωρία.)

V. 884. *Ἄεσαν.* Ἐκοιμήθησαν.

(*Τῇς ἔνι δαισάμενοι.* Ἐν ταύταις δὲ εὐωχηθέντες καὶ δειπνήσαντες, ἐκοιμήθησαν τὴν νύκτα, ὡς καὶ πρότερον· οἷον ὡς τὴν ἑτέραν νύκτα.)

V. 886. *Κατηλυσίῃ.* Καθόδῳ.

V. 887. *Βαῖνον ἐπὶ κληῖδας.* Ἀνέβαινον ἐπὶ τὰ σανιδώματα τῆς νηὸς καὶ τὰς ἑαυτῶν καθέδρας.

Ἐκ δὲ βυθοῖο εὐναίας. Ἐκ δὲ τοῦ βυθοῦ ἀνέφερον ἢ ἀνεῖλκον τὰ σίδηρα, χαίροντες τῇ ἐλεύσει τοῦ ζεφύρου· καὶ τὰ ἄρμενα δὲ, ὡς ἔδει, ἐσώρευον καὶ εὐτρέπιζον.

V. 890. *Τανύσαντες ἐν ἱμάντεσσι.* Ἁπλώσαντες τοῖς ἱμᾶσι τὸ κέρας καὶ ἀναγαγόντες αὐτὸ σὺν τῷ ἀρμένῳ.

V. 892. *Καλὴν, ἀνθεμόεσσαν.* Ἠκολούθησεν Ἡσιόδῳ, οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων·

Νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων.

Ὀνόματα δὲ αὐτῶν, Θελξιόπη, ἢ Θελξινόη, Μολπὴ, Ἀγλαόφωνος.

V. 897. *Πορσύνεσκον.* Ἔτερπον. Ἐπιμελείας ἠξίουν καὶ ηὔξανον, παρθένον ἔτι οὖσαν καὶ ἄζευκτον.

V. 900. *Αἰεὶ δ' εὐόρμου.* Ἀεὶ δὲ περιβλεπόμεναι καὶ

θεωροῦσαι ἀπὸ τοῦ ὑψηλοῦ καὶ εὐορμήτου [b]) τόπου πολλῶν παριόντων τὴν ἡδεῖαν ἐπάνοδον ἥρπαζον, τῇ τηκεδόνι φθίνειν ποιοῦσαι.

V. 907. Ἐϋτροχάλοιο. Τῆς τροχαλῆς ᾠδῆς τὸ μέλος ἐκίνησεν.

Κανάχησε. Ἤισεν. Ἐκίνησε.

V. 909. Κρεγμῷ. Τῇ κρούσει. Ὑπὸ τοῦ κρούματος. Κρέκειν γὰρ τὸ κρούειν.

V. 917. Ἔρυκος μεδέουσα. Ἔρυξ ὄνομα πόλεως, ἔνθα τιμᾶται ἡ Ἀφροδίτη. Οἱ δὲ τὴν Σικελίαν [Ἐρυκά φασι].

V. 921. Μιξοδίῃσιν ἁλός. Μιξοδίαν καλεῖ τὸν τόπον, καθ' ὃν ἦν ἡ Σκύλλα καὶ ἡ Χάρυβδις, διὰ τὸ ἀντικρὺ εἶναι ἀλλήλων.

V. 923. Ἄμοτον. Ἀκατάπαυστον.

V. 926. Πυριθαλπῆ πέτραν λέγει τὴν ὑπὸ πυρὸς καιομένην.

V. 936. Παρβολάδην. Παραβεβλημένως. Οἱονεὶ παραπλέοντες.

V. 937. Ἐπήτριμοι. Ἐκ πλαγίων, ἢ ὁμοῦ πρὸς ἀλλήλας κατανηχόμεναι ἑκατέρωθεν.

V. 940. Αὐτίκ' ἀνασχόμεναι. Εὐθέως ἀνελκύσασαι ἐπὶ τῶν λευκῶν γονάτων τὰ ἱμάτια ἄνωθεν τοῦ ζωναρίου, καὶ ἀνασύρασαι αὐτὰ ἐῤῥωμένως, ἄνωθεν τῶν πετρῶν καὶ τῆς τοῦ κύματος ἀνακλάσεως ἐκινοῦντο.

V. 943. Τὴν δὲ παρηορίην. Μετέωρον. Ἐβάσταζον γὰρ αὐτὴν αἱ Νηρηΐδες ἄνωθεν τῶν πετρῶν, ἀλλήλαις ὡς σφαῖραν ἀκοντίζουσαι.

V. 947. Ἠρήρειντο. Ἐπλησίαζον καὶ ἑδράζοντο.

V. 957. Στελεῇ. Τῇ λαβῇ. Τυπίδος δὲ, τῆς σφύρας. Ἐπὶ τῆς τοῦ ξύλου ἐπερεισθεὶς σφύρας.

V. 961. Ὅσση δ' εἰαρινοῦ. Ὅσον ἐστὶ διάστημα ἡμέρας ἐαρινῆς, ἤγουν δώδεκα ὡρῶν διαστήματος μοῖρα. Ἐαρινὴν δὲ εἴρηκεν ἡμέραν τὴν τῆς ἰσημερίας.

V. 965. Θρινακίας λειμῶνα. Τίμαιος Θρινακίαν [c]) φησὶ καλεῖσθαι τὴν Σικελίαν, ὅτι τρεῖς ἄκρας ἔχει. Οἱ δὲ ἱστορικοὶ Θρίνακόν [d]) φασιν ἄρξαι τῆς Σικελίας. Μύλας δὲ, χεῤῥόνησον Σικελίας, ἐν ᾗ αἱ τοῦ Ἡλίου βόες ἐνέμοντο.

V. 972. Ἀργύρεον χαῖον. Χαῖον ἐστὶ καμπύλη βακτηρία, ᾗ οἱ ποιμένες χρῶνται. Ἀμερίας δὲ ψιλὴν ἀπέδωκε ῥάβδον. Καλλίμαχος·

Ἔπρεπέ τοι προέχουσα κάρης εὐρεῖα καλύπτρη,
ποιμενικὸν πίλημα, καὶ ἐν χερὶ χαῖον ἔχουσα.

Καὶ τὸ παρ' Ἀλκμᾶνι δὲ λεγόμενον ἐρυσίχαιον τοιοῦτόν ἐστι. Σημαίνει γὰρ τῷ χαίῳ ἐρύοντας, ἤγουν ποιμαίνοντας.

b) εὐόρμου P. εὐορμίστου corrigendum putat Schaefer. c) Τρινακρίαν P. d) ἀπὸ Τρίνακος τοῦ τῆς Σ. ἄρξαντος P.

Πηχύνουσα δὲ, ἀντὶ τοῦ τῷ πήχει τῆς χειρὸς προσηρτηκυῖα.

V. 973. *Ὀρειχάλκοιο.* Ὀρείχαλκος, εἶδος χαλκοῦ, ἀπὸ Ὀρείου [e]) τινὸς γενομένου εὑρετοῦ ὠνομασμένος. Ἀριστοτέλης δὲ ἐν Τελεταῖς φησὶ μηδὲ ὑπάρχειν τὸ ὄνομα, μηδὲ τὸ τούτου εἶδος. Τὸν γὰρ ὀρείχαλκον, [φησὶ], ἔνιοι ὑπολαμβάνουσι λέγεσθαι μὲν, μὴ εἶναι δέ. Τῶν δὲ εἰκῆ διαδεδομένων καὶ τοῦτο. (Οἳ γὰρ πολυπραγμονέστεροί φασιν αὐτὸν ὑπάρχειν.) Μνημονεύει καὶ Στησίχορος καὶ Βακχυλίδης· καὶ Ἀριστοφάνης δὲ ὁ γραμματικὸς σεσημείωται τοῦτο. Ἄλλοι δὲ ἀνδριαντοποιοῦ λέγουσιν ὄνομα, ὡς Σωκράτης, καὶ Θεόπομπος ἐν εἰκοστῷ πέμπτῳ. Οὕτως ἦν ἐν [f]) τῇ κωμικῇ λέξει τῇ συμμίκτῳ.

V. 974. *Καλάβροπα* δὲ, οἱονεὶ καλὴν ῥάβδον [g]). Ἔστι γὰρ *καλάβροψ* ἡ βουκολικὴ ῥάβδος. Ὅμηρος [h])·

καλάβροπα βουκόλος [ἀνήρ].

V. 982. (*Ἔστι δέ τις πορθμοῖο.* Τούτων ὁ νοῦς οὗτός ἐστιν· Εἰς τὸν Ἰόνιον κόλπον εἰσπλέουσι νῆσος εὐλίμενος καὶ λιπαρὰ, ὑφ' ἣν κεῖσθαι τὸ δρέπανον τοῦ Κρόνου φασὶν, ᾧ τὰ τοῦ πατρὸς αἰδοῖα ἀπέτεμεν. Οἳ δέ φασι, Δήμητρος εἶναι τοῦτο, ᾧ τοὺς Τιτᾶνας ἐδίδαξε σταχυοτομεῖν. Κατῴκησε γὰρ ἡ θεός ποτε τὴν νῆσον ἐκείνην, ἀγαπήσασα Μάκριν τὴν τοῦ Διονύσου τροφόν. Ταύτην Φαίακες κατῴκουν, ἀπὸ θεῶν ὄντες τὸ γένος.) [Παροιτέρη δὲ ἀντὶ τοῦ ἔμπροσθεν, ὄνομα ἀντὶ ἐπιῤῥήματος.]

V. 983. *Ἀμφιλαφής.* Ἀμφοτέρωθεν ἐπιτηδείως πρὸς ὅρμον ἔχουσα. Καλλίμαχος δὲ ἀμφίδυμον εἶπε τὸν ἀμφιλαφῆ λιμένα. (Ἱστορικῶς δὲ Ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησίν.) Ἱστορεῖ δὲ περὶ τοῦ λιμένος τῶν Φαιάκων Ἀπολλωνίδης [i]) ἐν τῷ περίπλῳ τῆς Εὐρώπης. Τινὲς δὲ τὸ *ἀμφιλαφὴς* ἀντὶ τοῦ ξυλώδης ἀπέδωκαν. Ὧι οἰκείως ἐπισυνάπτει τὸ *πίειρα*, δηλονότι λιπαρὰ καὶ εὔδιος [k]).

Ἡ δὲ Κερκύρα πρότερον μὲν Δρεπάνη ἐκαλεῖτο, εἶτα Σχερία. Ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ. Φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος, ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. Ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι. Δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὸ τὴν Δήμητρα, (αἰτησαμένην δρέπανον παρ' Ἡφαίστου, τοὺς Τιτᾶνας διδάξαι θερίζειν· εἶτα αὐτὸ κρύψαι) εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου· προσκλυζούσης δὲ τῆς θαλάσσης, ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ. Τίμαιος δὲ ἐκ τοῦ δρεπάνου, ᾧ ἐξέτεμεν τοῦ Οὐρανοῦ τὰ αἰδοῖα ὁ Κρόνος, ἢ ὁ Ζεὺς τὰ τοῦ Κρόνου. Τοῦτο γὰρ αὐτοῦ κεκρύφθαι φησί. Μάκρις δὲ ὠνομάσθη ἀπὸ Μάκριδος τῆς Διονύσου τροφοῦ· Κερκύρα, ἀπὸ Κερκύρας τῆς Ἀσωποῦ θυγατρός.

V. 989. *Στάχυν ὄμπνιον.* Πολὺν, δαψιλῆ. Φιλητᾶς

e) Ὠρείου P. f) οὕτως οὖν P. g) καλόραβδον P. h) Il. XXIII, 845. i) Ἀπολλώνιος P. k) εὔγειος P.

ἐν ἀτάκτοις γλώσσαις ἀπέδωκε ὄμπνιον στάχυν τὸν εὔχυλον καὶ τρόφιμον. Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον καλοῦσιν. Ἄμεινον δὲ τὸν φερέσβιον εἰπεῖν, οἱονεὶ ἔμπονόν [l]) τινα ὄντα καὶ ὄμπνιον.

V. 990. Ἐκλήϊσται. Πεφήμισται, νενόμισται.

V. 992. Αἵματος Οὐρανίοιο. Ἀκουσίλαος (ἐν τῇ τρίτῃ) φησὶν, ὅτι ἐκ τῆς ἐκτομῆς τοῦ Οὐρανοῦ ῥανίδας ἐνεχθῆναι συνέπεσεν, τουτέστι σταγόνας, κατὰ τῆς γῆς· ἐξ ὧν γενηθῆναι [m]) τοὺς Φαίακας. Οἱ δὲ, τοὺς γίγαντας. (Καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ Ἀκουσιλάῳ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ Οὐρανοῦ.) Ὅμηρος δὲ οἰκείους τοὺς Φαίακας τοῖς θεοῖς φησὶ διὰ τὴν ἀπὸ Ποσειδῶνος γένεσιν.

V. 993. Τοὺς Ἀργῷ πολέεσσιν. Ἡ Ἀργὼ, φησὶ, πολλὰ κακοπαθήσασα κατηνέχθη ἐκ τοῦ Σικελικοῦ πελάγους.

V. 1002. Κόλχων, οἳ πόντοιο. Τῶν Κόλχων, οἳ μετὰ Ἀψύρτου ὄντες κατῴκησαν ἐν ταῖς Βρυγηΐσιν, αἵτινές εἰσι τῆς Ἰλλυρίδος. Οἱ δὲ διὰ τῶν Κυανέων πετρῶν ἐξελθόντες ᾤκησαν Κερκύραν. Τῶν γὰρ διωκόντων τοὺς ἀριστεῖς Κόλχων, οὐ κατὰ ταὐτὸν τὸν πλοῦν στειλαμένων, οἱ μὲν διὰ τοῦ Ἴστρου, καθάπερ προείρηται, τὸν πλοῦν ἐποιήσαντο, ὧν ἦρχεν Ἄψυρτος, διὰ τῶν κάτωθεν ἐμβαλόντες εἰς τὸν δεδηλωμένον ποταμόν· καὶ κατέλαβον τοὺς ἥρωας περὶ τὰς καλουμένας Βρυγηΐδας νήσους· οἱ δὲ διὰ τῶν Κυανέων νήσων τὸν ἔκπλουν ποιησάμενοι Κόλχοι κατηνέχθησαν εἰς τὴν Κερκύραν νῆσον, ἐν ᾗ καὶ οἱ Ἀργοναῦται ἔτυχον ὄντες.

V. 1003. Μαστῆρες. Ζητηταί.

V. 1004. Ἔξαιτον. Ἐξαίρετον, κατὰ συγκοπήν.

V. 1005. Ἀπροφάτως. Χωρὶς προφάσεως, ἀντιῤῥήσεως.

V. 1015. Εἴ νυ [n]) καὶ αὐτή. (Περὶ Ἀρήτης ἡ Μήδεια· καὶ σὺ ἄνθρωπος εἶ, οἷς τὸ ἁμαρτάνειν γίνεται ῥᾳδίως.) Τούτοις δὲ σφόδρα πρὸς συμπάθειαν ἕλκει τὴν Ἀρήτην ἡ Μήδεια. Καὶ γὰρ διὰ τὸ τῆς αὐτῆς ἡμᾶς εἶναι φύσεως ἀλλήλους ἐλεεῖν χρὴ, καὶ διὰ τοῦτο ὀξυῤῥεπεῖς εἶναι πρὸς τὰ πάθη.

V. 1020. Ἴστω νυκτ. Ὅρκος παρὰ Κόλχοις ἡ Ἑκάτη ταῖς φαρμακίσι [o]). Εὑρέτις γὰρ τῶν φαρμακειῶν ἡ θεός.

[V. 1027. Τελεσφόρον δὲ λέγει τὸ τελοποιόν.]

V. 1031. Ὑμέων. Ἕνεκα τῶν ὑμῶν ἄθλων ἐγὼ, ὦ φέρτατοι, ἐν μεγάλῃ ταραχῇ εἰμί. (Τῇ γὰρ ἐμῇ γνώμῃ τού τε ταύρους ἐξεύξατε καὶ τοὺς γηγενεῖς ἐξεθερίσατε· καὶ νῦν τὸ δέρος εἰς Θετταλίαν ἀποίσετε.)

Ἡ δὲ περὶ καὶ ἀμφὶ ἐκ παραλλήλου.

V. 1043. Νέμεσίν τε θεῶν. Τὴν ἰοῦσαν ἐς χεῖρας τῶν θεῶν νέμεσιν. Τοῦτ' ἔστι τὸ νεμεσητόν. Τοῦτο δὲ λέγει, ἐπειδὴ

l) ἔμπνεον P. m) γεννηθῆναι rectius scribi docet Schaefer. n) ἦνν P. o) Haec mutila sunt; plenius P. Ὄμνυσι μὲν κατὰ τοῦ Ἡλίου, ὅτι πρόγονος αὐτῆς, κατὰ δὲ τῆς Ἑκάτης, ὅτι τε προσήκει Κόλχοις καὶ ὅτι ταῖς φαρμακίσιν οἰκεία.

ἐνώπιον τῶν θεῶν ἱστάμενοι ἱκετεύομεν· διὸ καὶ αἰδούμεθα τοὺς ἱκετεύοντας.

V. 1045. Οὐ νηούς. Οὐ γὰρ ναός μοί ἐστι βοηθὸς, οὔτε πύργος, οὔτε ἄλλη τις βοήθεια, ἀλλ' ὑμεῖς μοι ἀσφάλεια πᾶσα.

(V. 1046. Οἰόθι προτιβάλλομαι. Μόνη οὖσα προβάλλομαι ὑμᾶς βοηθούς.)

V. 1047. Σχέτλιοι. Χαλεποὶ καὶ ἀνηλεεῖς οὐ μετατρέπεσθε ὁρῶντές με γονυπετοῦσαν τῇ βασιλείᾳ.

(V. 1049. Ἀλλά κε πᾶσι. Ὁ λόγος, Ὅτε τὸ κώδιον λαβεῖν ἠθέλετε, καὶ πᾶσι τοῖς Κόλχοις ἕτοιμοι ἦτε μάχεσθαι· νῦν δὲ ὀλίγους παραγενομένους ἐπὶ τὴν ἀπαίτησιν τὴν ἐμὴν φοβεῖσθε.)

V. 1058. Στρευγομένοις. Φθειρομένοις καὶ καταπονουμένοις. Ἢ καὶ προσδιατρίβουσι. Ὅθεν καὶ στρὰγξ ἡ κατὰ βραχὺ πρόσθεσις [p]) τοῦ ὕδατος. Οὕτω Δίδυμος. Ἐντεῦθεν καὶ ἡ στραγγουρία, ἀπὸ τοῦ κατὰ στράγγα οὐρεῖν.

V. 1059. Κατευκήλησε. Κατέπαυσε, εἰς ἡσυχίαν ἤγαγε.

V. 1062. Κλωστῆρα. Τὸν ἄτρακτον.

V. 1064. Σταλάει. Στάζει. Ὅθεν καὶ σταλαγμός.

V. 1066. Ἰκμαίνοντο. Ὑγραίνοντο. Ἐμφαίνει δὲ τὸ πολὺ δάκρυον καταλείβειν.

V. 1072. Προσπτύσσετο. Ἐλιπάρει, παρεκάλει.

V. 1082. Ῥέζομεν ἀμπλακίῃσιν. Ἀντὶ τοῦ ἁμαρτίαις. Ἐὰν δὲ γράφεται ἀτροπίῃσιν, ἀμετατροπίαις. ἢ κακοβουλίαις. Ὁ δὲ νοῦς, ἁμαρτάνουσα δὲ τοπρῶτον ἡ Μήδεια, προέδωκε τοὺς ἰδίους, καὶ ἐξημάρτησε φυγοῦσα· ἃ πολλάκις ποιοῦμεν δι' ἄνοιαν.

Ἀκειομένη. Ῥωννυμένη, ἢ θεραπεύουσα καὶ ἰωμένη.

V. 1090. Οἷα μὲν Ἀντιόπην. Ἀντιόπη Νυκτέως ἦν θυγάτηρ, ἣν ὁ Ζεὺς Σατύρῳ ὁμοιωθεὶς φθείρει. Καὶ φεύγουσα τοῦ Νυκτέως τὰς ἀπειλὰς, καταφεύγει εἰς Σικυῶνα πρὸς Ἐποπέα [q]). Τεκοῦσα δὲ Ἀμφίονα καὶ Ζῆθον, ἐξέθηκεν ἐν τῷ Κιθαιρῶνι παρὰ βουκόλῳ τινί. Ὁ δὲ Νυκτεὺς διὰ τὴν τόλμαν τῆς παιδὸς λυπηθεὶς, τελευτᾷ, τοῦ ἀδελφοῦ Λύκου δεηθεὶς, μὴ περιϊδεῖν τὴν παῖδα, ἀλλ' ἑλεῖν ἀπελθόντα εἰς Σικυῶνα. Στρατεύει δὲ ἐπὶ τὴν πόλιν Λύκος, καὶ κτείνει τὸν Ἐποπέα· καὶ λαβὼν τὴν Ἀντιόπην αἰχμάλωτον, παραδίδωσι φυλάττειν Δίρκῃ τῇ ἑαυτοῦ γαμετῇ. Ἡ δὲ φεύγει, καὶ ληφθεῖσα πάλιν, τοῖς ἑαυτῆς παισὶν ἐκδίδοται, Ἀμφίονι καὶ Ζήθῳ. Ἐνταῦθα δὲ ἐκκαλύπτει ὁ τροφεὺς βουκόλος τὸ γεγονός. Οἱ δὲ τὴν μὲν Ἀντιόπην σώζουσιν, τὴν δὲ Δίρκην ἐξ ἀγρίου ταύρου προσδήσαντες διαφθείρουσι. Μεταπεμψάμενοι δὲ τὸν Λύκον, ὡς ἐκδώσοντες τὴν Ἀντιόπην, σφάττειν ἔμελλον· Ἑρμῆς δὲ ἐκώλυσε, τῷ Λύκῳ δὲ προσέταξεν παραχωρῆσαι τῆς βασιλείας αὐτοῖς.

V. 1091. Οἷα δὲ καὶ [r]) Δανάη. Φερεκύδης ἐν δωδεκάτῳ ἱστορεῖ, ὡς Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος·

p) πρόεσις P. q) Ἐπωπέα P. et sic deinde. r) Ἰδὲ καὶ P.

τῶν δὲ γίνεται Δανάη. Χρωμένῳ δὲ αὐτῷ περὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην· ἐκ δὲ τῆς θυγατρὸς, πρὸς οὗ αὐτὸν δεῖ ἀπολέσθαι. Ὁ δὲ, ἐπανελθὼν εἰς Ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ· ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. Ἐρασθεὶς δὲ Ζεὺς τῆς παιδὸς, ἐκ τοῦ ὀρόφου χρυσῷ παραπλήσιος ῥεῖ· ἡ δὲ ὑποδέχεται τῷ κόλπῳ. Καὶ ἐκφήνας αὐτὸν ὁ Ζεὺς τῇ παιδὶ μίγνυται. Τῶν δὲ γίνεται Περσεύς· καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη καὶ ἡ τροφὸς, κρύπτουσαι Ἀκρίσιον. Ὅτε δὲ Περσεὺς τριέτης ἢ τετραέτης ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος· καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀναιρεῖ, Δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν ὑπὸ τοῦ ἑρκίου Διὸς βωμόν. Μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς. Ἡ δὲ ἔφη, ἐκ Διός. Ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδὸς, καὶ κλείσας καταποντοῖ. Καὶ φερόμενοι ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον· καὶ αὐτοὺς ἐξέλκει Δίκτυς ὁ Περισθένους[s]), δικτύῳ ἁλιεύων. Εἶτα ἡ Δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα. Ὁ δὲ, ἀνοίξας, καὶ μαθὼν οἵτινές εἰσιν, ἄγει εἰς τὸν οἶκον, καὶ τρέφει ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας. Ἦσαν γὰρ ὁ Δίκτυς καὶ ὁ Πολυδέκτης Ἀνδροθόης τῆς Κάστορος[t]) καὶ Περισθένους τοῦ Δαμάστορος, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν πρώτῳ. Ἐν δὲ τοῖς ἑξῆς καὶ περὶ τοῦ θανάτου προστίθησι Φερεκύδης τοῦ Ἀκρισίου, ὅτι μετὰ τὴν ἀπολίθωσιν Πολυδέκτου καὶ τῶν σὺν αὐτῷ ἐκ τῆς κεφαλῆς τῆς Γοργόνος ἐν Σερίφῳ, Δίκτυν μὲν Περσεὺς ἀπολείπει ἐν τῇ Σερίφῳ βασιλεύειν τῶν λελειμμένων Σεριφίων· αὐτὸς δὲ ἔβη πλέων εἰς Ἄργος σὺν τοῖς Κύκλωψι, καὶ τῇ Δανάῃ, καὶ τῇ Ἀνδρομέδᾳ. Καὶ ἐλθὼν, Ἀκρίσιον οὐχ εὑρίσκει ἐν Ἄργει, ὑπεχώρει γὰρ αὐτὸν δείσας εἰς τοὺς Πελασγοὺς εἰς Λάρισσαν, μὴ καταλαβὼν δὲ αὐτὸν, τὴν μὲν Δανάην καταλείπει παρὰ τῇ μητρὶ Εὐρυδίκῃ, καὶ τὴν Ἀνδρομέδαν, καὶ τοὺς Κύκλωπας· αὐτὸς δὲ ἔβη εἰς Λάρισσαν. Καὶ ἀφικόμενος, Ἀκρίσιον ἀναγνωρίζει, καὶ σὺν αὐτῷ ἕπεσθαι εἰς Ἄργος πείθει. Καὶ ὅτε δὴ ἔμελλον ἰέναι, συντυγχάνει ἀγῶνι νέων ἐν τῇ Λαρίσσῃ. Καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα, καὶ λαβὼν τὸν δίσκον δισκεύει. Τὸ δὲ πένταθλον οὔπω ἦν, ἀλλ' ἰδίᾳ ἕνα ἕκαστον τῶν ἄθλων ἤθλουν. Ὁ δὲ δίσκος, τροχαλισθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου, τιτρώσκει αὐτόν. Καμὼν δὲ ἐκ τούτου Ἀκρίσιος, ἀποθνήσκει αὐτοῦ ἐν Λαρίσσῃ. Καὶ αὐτὸν κατατίθεται Περσεὺς καὶ οἱ Λαρισσαῖοι πρόσθεν τῆς πόλεως, καὶ αὐτοῦ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι. Περσεὺς δὲ ἀναχωρεῖ τοῦ Ἄργους[u]).

V. 1093. Ὑβριστὴς Ἔχετος. Τοῦ Ἐχέτου Ὅμηρος ὡς ὠμοτάτου μέμνηται. Ἡ δὲ Ἀρήτη ὡς κατ' αὐτὴν τοῦ πράγματος γεγενημένου λέγει. Εὕρομεν δὲ τὸν μῦθον ἐν τῷ ἐπιγραφομένῳ Λυσίππου Ἠπειρώτου ἀσεβῶν καταλόγῳ.

s) Πειρισθένους P. t) Περικάστορος P. u) εἰς Ἄργος P. recte.

V. 1095. *Ὀρφναίῃ ἔνι χαλκόν.* Τὸ ἑξῆς, ἐν ὀρφναίῃ καλιῇ [v]).

Χαλκὸν ἀλετρεύοντα [w]). Γράφεται καὶ *χαλκὸν ἀλιτεύοντα.*

V. 1100. *Ἀτίσαι.* Ἀτιμάσαι, παραβῆναι.

V. 1125. *Ὑλλικῷ.* Ὑλλικὸς λιμὴν, ἀπὸ Ὕλλου τοῦ Μελίτης καὶ Ἡρακλέους.

V. 1131. *Ἄντρῳ ἐν ἠγαθέῳ.* Ἐν τῷ μεγάλῳ καὶ θείῳ, ἐν ᾧ Μάκρις κατῴκει, ἐν τούτῳ τῷ ἄντρῳ τὸν Διόνυσον ἔθρεψεν· ὃ καλεῖται Διθυρίτης, διὰ τὸ δύο θύρας ἔχειν. Διὰ τοῦτο Διθύραμβος ὁ Διόνυσος ἐκλήθη, [βῆναι γὰρ αὐτόν φασι ἀμφοτέρων τῶν θυρῶν.]

V. 1138. *Καί ἑ χολωσαμένη.* Ἡ Ἥρα τὴν Μάκριν τῆς Εὐβοίας ἐξέβαλε, διὰ τὸ δέξασθαι παρὰ τοῦ Ἑρμοῦ τὸν Διόνυσον καὶ θρέψαι. Ἡ δὲ Εὔβοια ἱερά ἐστι τῇ Ἥρᾳ.

V. 1141. *Ἔνθα τότ' ἐστόρεσαν.* Ἐν τῷ ἄντρῳ Μάκριδός φησι τὸν γάμον γεγενῆσθαι Μηδείας καὶ Ἰάσονος. Φιλητᾶς δὲ ἐν Τηλέφῳ [x]), ἐν τῇ Ἀλκινόου οἰκίᾳ.

V. 1147. sq. *Ἴσχε δ' ἑκάστην αἰδώς.* Διὰ τούτων τὰς νύμφας φησὶν ἐπιθυμούσας ἅψασθαι τοῦ μαλλοῦ, διὰ τὸ κάλλος, ὅμως αἰδουμένας ἀπέχεσθαι, διὰ τὸ ἐπ' αὐτοῦ μέλλειν γίνεσθαι τὴν μίξιν.

Περὶ δὲ τοῦ δέρους, ὅτι ἦν χρυσοῦν, οἱ πλεῖστοι ἱστοροῦσιν. Ἀκουσίλαος δὲ ἐν τῷ περὶ γενεαλογιῶν πορφυρευθῆναι φησὶν ἀπὸ τῆς θαλάσσης.

V. 1149. *Αἵ μέν τ' Αἰγαίου.* Αἰγαῖος, ποταμὸς περὶ Κερκύραν. Τούτου θυγάτηρ Μελίτη· ἧς καὶ Ἡρακλέους Ὕλλος. Ἀφ' οὗ ἔθνος Ὑλλεῖς· καὶ Ὑλλικὸς λιμὴν, παρὰ Φαίαξι. Πανύασις [y]) δέ φησιν, ἐν Λυδίᾳ νοσήσαντα Ἡρακλέα τυχεῖν ἰάσεως ὑπὸ Ὕλλου τοῦ ποταμοῦ. ὅς ἐστι τῆς Λυδίας. διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ὕλλους ὀνομασθῆναι.

V. 1150. *Μελιτηΐου.* Ὄρος Κερκύρας τὸ Μελίτειον.

V. 1153. *Κεῖνο καὶ εἰσέτι.* Τὸ Μάκριδος, ὃ νῦν ἱερὸν Μηδείας καλεῖται.

Ἰστέον ὅτι Τιμαίου λέγοντος ἐν Κερκύρᾳ τοὺς γάμους ἀχθῆναι, Διονύσιος ὁ Μιλήσιος ἐν δευτέρῳ τῶν Ἀργοναυτικῶν, ἐν Βυζαντίῳ φησίν· Ἀντίμαχος δὲ ἐν Λυδῇ [ἐν Κόλχοις], πλησίον τοῦ ποταμοῦ μιγῆναι αὐτῇ φησὶ τὸν Ἰάσονα.

V. 1160. *Προμολῇσι.* Προμολὰς εἴρηκε τοὺς ἐκτὸς τοῦ ἄντρου τόπους.

V. 1167. *Παρμέμβλωκε.* Πάρεστι.

(V. 1170. *Φαέεσσιν.* Ἀντὶ τοῦ φωτισμοῖς. Φύσει γὰρ ὄντα σκοτεινὸν τὸν ἀέρα τοῖς φωτισμοῖς ἐλάμπρυνε. Γράφεται *φαρέεσσιν.*)

v) καλειῇ P. w) ἀλιτρεύοντα P. x) τῇ λέφῳ P. y) Πάντασις P.

(V. 1174. Ἀνὰ πτόλιν. Ἡ τῶν Κερκυραίων ἐπὶ τῆς χερσονήσου κεῖται. Φησὶν οὖν ὁ ἱστορικὸς, ὅτι μακρὰν τῆς πόλεως ἐπὶ τοῦ αἰγιαλοῦ τῆς χεῤῥονήσου ἦσαν· ἐν ᾗ ἐστὶν ἡ πόλις, ὡς Ἀπολλωνίδης ἐν τῷ περίπλῳ τῆς Εὐρώπης.)

V. 1175. Χερνήσοιο. Τὴν χεῤῥόνησον χέρνησον εἴρηκε, (ὡς ἐν τῷ πρώτῳ.)

Τὴν δὲ ἀντικρὺ τῆς Κερκύρας χώραν εἴρηκε Μακριδίαν· ἴσως διὰ τὸ ᾠκηκέναι ἐκεῖ τοὺς Εὐβοεῖς. ἡ δὲ Εὔβοια Μάκρις ἐκαλεῖτο τὸ πρότερον. ταύτην οὖν οἱ κατοικήσαντες μετὰ Ἰλίου ἅλωσιν Ἄβαντες Μάκριν ὠνόμασαν.

V. 1187. Ἄλλοι δ' ἀμφιφορῆας. Θεόπομπος ἀμφιφορεῖς λέγεσθαί φησι τοὺς ὑπ' ἐνίων μετρητάς. Παυσανίας [z]) δέ φησι τὸν ἀμφιφορέα ὑπὸ Ἀθηναίων ἀμφορέα καλεῖσθαι.

V. 1188. Λιγνύς. Ἡ καπνώδης ἀναφορά· ἢ τὸ τοῦ φωτὸς ἄκρον. Ἄμεινον δὲ τὸ πρῶτον.

V. 1191. Ἀγλαΐην. Κόσμια.

V. 1193. Εἴδεα καὶ μορφάς. Τὸ μὲν εἶδος κυρίως ἐπὶ προσώπου τέταχεν ὁ Ἀπολλώνιος· μορφὴ δὲ τὸ σχῆμα.

[Μορφὴν ἀμείψας ἐκ θεοῦ βροτησίαν.]

V. 1194. Ἐϋκρέκτου. Εὔκρεκτος, εὔηχος κιθάρα.

V. 1210. Συνήμονας. Τοὺς συνήθεις καὶ ἑταίρους. Ἀπὸ τοῦ συνεῖναι.

V. 1212. Εἰσότε [a]) Βακχιάδαι. Βάκχιος [b]) ἐγένετο υἱὸς Διονύσου, ἐν Κορίνθῳ δὲ διέτριβεν. Ἦσαν δὲ εὐγενέστατοι οἱ ἀπ' αὐτοῦ τὸ γένος ἔχοντες· οἵτινες ἐξεβλήθησαν ἐκ Κορίνθου διὰ τὸν Ἀκταίωνος θάνατον. Ἡ δὲ ἱστορία ἐστὶν ἥδε. Μέλισσος εὐεργετήσας τοὺς Κορινθίους, μέλλοντας γὰρ ὑπὸ Φείδωνος τοῦ τῶν Ἀργείων βασιλέως διαφθαρῆναι ἐῤῥύσατο, τιμῆς ἠξιώθη παρ' αὐτοῖς. Καί ποτε οἱ Βακχιάδαι νυκτὸς ἐπελθόντες τῇ οἰκίᾳ τούτου, ἐβούλοντο ἀποσπᾷν τὸν παῖδα Ἀκταίωνα. Τῶν δὲ γονέων ἀντεχόντων, συνέβη διασπασθῆναι αὐτόν. Μελλόντων δὲ τῶν Ἰσθμίων ἄγεσθαι, στὰς ἐπὶ τοῦ βωμοῦ ὁ Μέλισσος πολλὰ τοῖς Κορινθίοις κατηράσατο, ἢν μὴ τὸν τοῦ παιδὸς ἐκδικήσωσι θάνατον. Ταῦτα εἰπὼν εἰς τὸν ὑποκείμενον κρημνὸν ἑαυτὸν ἔβαλεν. Οἱ δὲ Κορίνθιοι, εὐλαβούμενοι ἀνεκδίκητον λιπεῖν τὸν τοῦ Ἀκταίωνος θάνατον, ἅμα μὲν [c]) καὶ τοῦ θείου κελεύοντος, ἐξέβαλον τοὺς Βακχιάδας. Χερσικράτης [d]) δὲ, εἷς τῶν Βακχιαδῶν, ἔκτισε Κερκύραν, ἐκβαλὼν τοὺς ἐνοικοῦντας Κόλχους. Οἱ δὲ, ἐκβληθέντες, εἰς τὴν ἤπειρον παρεγένοντο.

Ἐφύρηθεν. Ἐφύρα ἡ Κόρινθος, ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέος θυγατρός. Εὔμηλος [e]) δὲ [φησὶν], ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ γενομένης Ἐπιμηθέως.

V. 1215. Νεσταίους τε. Τοὺς Νεσταίους Σκύλαξ

z) Νυσανίας P. a) εἰσόκε P. b) Βακχίας P. c) μὲν om. P. In δὲ mutari vult Schaefer. d) Sic P. Vulgo Χερσοκράτης. vid. Schol. ad v. 1216. e) Σιμωνίδης P. mira varietate.

φησὶν ἔθνος Ἰλλυρικόν. (Ἀπὸ τούτων περίπλους ἐστὶν εἰς τὸν κόλπον.) Καὶ Ἐρατοσθένης ἐν γ̄ Γεωγραφουμένων φησί· Μετὰ Ἰλλυριοὺς Νεσταῖοι, καθ' οὓς νῆσος Φάρος, Φαρίων ἄποικος[f]).

V. 1216. Ἀλλὰ τὰ μὲν στείχοντος. Ἀντὶ τοῦ μετὰ πολὺν χρόνον. Τίμαιος δέ φησι, μετὰ ἔτη ἑξακόσια τῶν Τρωϊκῶν Χερσικράτη[g]), ἀπόγονον τῶν Βακχιαδῶν, εἴτε ἐκπεσόντα τῆς Κορίνθου, εἴτε καὶ ἑκόντα, ἀπελθεῖν διὰ ἀτιμίαν, καὶ κατῳκηκέναι τὴν νῆσον. Κόλχοι δὲ, διαβάντες εἰς τὴν πλησίον[h]) νῆσον, μετὰ ταῦτα εἰς τὰ Κεραύνια ὄρη ὁρμήσαντες, εἴς τε τοὺς Ἄβαντας καὶ Νεσταίους καὶ Ὤρικον ἀπῳκίσθησαν.

V. 1217. Μοιράων δ' ἔτι κεῖσε. Τιμώναξ ἐν πρώτῳ τῶν Σικελικῶν ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι, Αἰήτου αὐτῷ ἐγγυήσαντος. Ὁ δὲ αὐτός φησι· Δείκνυνται παρὰ τὸν παράπλουν ἔνδον τοῦ Πόντου κῆποι τινὲς Ἰασόνιοι[i]) καλούμενοι, καθ' ὧν τὴν ἀπόβασιν ἐποιήσατο· καὶ κατὰ τὴν Αἶαν γυμνάσια καὶ δίσκοι, καὶ τῆς Μηδείας θάλαμος, καθ' ὃν τότε ἐνυμφεύθη· καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον Ἰάσονος, καὶ πρὸς τούτοις ἱερὰ πολλά. Τίμαιος δὲ, ἐν Κερκύρᾳ λέγων γενέσθαι τοὺς γάμους, καὶ περὶ τῆς θυσίας ἱστορεῖ, ἔτι καὶ νῦν λέγων ἄγεσθαι αὐτὴν κατ' ἐνιαυτὸν, Μηδείας πρῶτον θυσάσης ἐν τῷ Ἀπόλλωνος ἱερῷ. Καὶ βωμοὺς δέ φησι μνημεῖα τῶν γάμων ἱδρύσασθαι, σύνεγγυς μὲν τῆς θαλάσσης, οὐ μακρὰν δὲ τῆς πόλεως. Ὀνομάζουσι δὲ τὸν μὲν, Νυμφῶν· τὸν δὲ, Νηρηΐδων. Ὁ γὲ μὴν, Ἀπολλώνιος τὸν μέν φησι Νυμφῶν εἶναι, τὸν βωμόν[k])· τὸν δὲ, τῶν Μοιρῶν.

Θύη δὲ ἐπέτεια λέγει τὰς ἐνιαυσιαίους θυσίας.

V. 1218. Νομίοιο καθ' ἱερόν. Διὰ τὸ κατὰ νόμον γενέσθαι τὴν κρίσιν τοῦ Ἀλκινόου, διὰ τοῦτο νομίου Ἀπόλλωνος ἱερὸν ἱδρύσασθαι τὴν Μήδειαν.

V. 1235. Σύρτιν. Δύο εἰσὶν ἐν τῇ Λιβύῃ Σύρτεις. Εἰσὶ δὲ πηλώδεις. Γίνονται δὲ ἀμπώτεις εἰς αὐτάς. Καὶ ἐν τῷ Ὠκεανῷ εἰσὶ τόποι, ὅπου κατασύρονται οἱ πλέοντες, καὶ ἀπόλλυνται.

V. 1237. Τέναγος. Ὁ πηλώδης τόπος.

Μνιόεντα. Σύμφυτα.

[V. 1238. Κωφὴ δὲ ἡ ἀοίκητος διὰ τὸ πηλώδης εἶναι.]

V. 1239. Ἠερίη[l]). Πᾶν τὸ πολὺ καὶ δαψιλὲς ἠερόεν λέγεται.

(V. 1243. Ἐνέωσε. Ὤθησε.

Τάχιστα. Γράφεται ἄγεσθαι.)

V. 1247. Ἀρδμόν. Ποτισμόν.

V. 1248. Πάτον. Περίπατον.

V. 1258. Διωλυγίης. Ἀντὶ τοῦ σκοτεινῆς. Ἢ ἀντὶ τοῦ ἐπὶ πολὺ διηκούσης.

V. 1260. Ἰθυντήρ. Κυβερνήτης.

f) ἀποικία P. g) Χερσικράτην P. h) ἀντιπέραν P. i) Ἰασώνειοι P. k) τῶν βωμῶν P. melius. l) Ἠερὶ δὲ, ἤτοι ἀορασίᾳ, ἤτοι πολλῷ.

V. 1264. Τεναγώδεα. Πηλώδη. Τέναγος δέ ἐστι κυρίως γῆ ἐπιπόλαιον ὕδωρ ἔχουσα, ἢ πηλῶδες ὕδωρ.

V. 1279. Παχνώθη. Ἀντὶ τοῦ ἐπάγη. Ἐλυπήθη. Ὁ τρόπος εἴληπται ἀπὸ τῆς πάχνης.

V. 1284. Ἢ ὅταν αὐτόματα ξόανα. Ὅταν μέλλη τι συμβαίνειν χαλεπὸν, εἴωθε τὰ ἀγάλματα ἱδροῦν· ὥσπερ καὶ ἐν Θήβαις συνέβη, ὅτε συνίστατο ὁ περὶ Χαιρώνειαν πόλεμος Φιλίππῳ πρὸς Ἀθηναίους.

V. 1285. Καὶ μυκαὶ σηκοῖς. Καὶ ἦχοι ἐν τοῖς ναοῖς φαντασίαν ποιήσωσιν. Ἢ ὅταν μυκήσεις δοκῶσι γίνεσθαι περὶ τὰ ἀγάλματα, [τότε κακὸν σημαίνεται.]

V. 1297. Θυγατρί. Τῷ θυγατρὶ τὸ Αἰήταο σύναπτε, [ἵν' ᾖ, ἐπὶ νόσφι δὲ καὶ χωρὶς αἱ κοῦραι ἀθρόαι παρεστενάχοντο τῇ θυγατρὶ τοῦ Αἰήτου.]

V. 1299. Χηραμοῦ. Χηραμὸς, κατάδυσις.

Ἀπτῆνες. Οἱ μὴ ἵπτασθαι δυνάμενοι.

V. 1300. Πακτωλοῖο. Πακτωλὸς, ποταμὸς Λυδίας, ὁ νῦν Χρυσοῤῥόας λεγόμενος.

V. 1304. Ἰήλεμον. Ἀντὶ τοῦ θρῆνον. Εἴρηται ἀπὸ Ἰαλέμου, τοῦ Μούσης παιδός.

V. 1305. Ἐλίασθεν. Ἀντὶ τοῦ ἀπέθανον ἐνταῦθα.

V. 1309. Ἡρῷσσαι. Προπερισπομένως Ἡρωδιανὸς ἐν δεκάτῳ [m]) φησὶν, ἐκ συναλοιφῆς τοῦ ἡρωΐσσαι. Τοῦ ἥρως δὲ τὸ θηλυκὸν γίνεται ἡρῷσσα. Ἢ ἀντὶ τοῦ πρωϊνάς [n]).

Τιμήοροι δὲ, ἔδικοι καὶ ἔφοροι τῆς Λιβύης. Ἢ ἐν Λιβύῃ τιμώμεναι ἡρωΐναι.

V. 1310. Ἦμος ὅτ' ἐκ πατρός. Πρῶτος Στησίχορος ἔφη σὺν ὅπλοις ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν.

V. 1311. Τρίτωνος. Τρίτων, πόλις [o]) Λιβύης. Ἔστι δὲ καὶ Βοιωτίας. Δοκεῖ δὲ ἡ Ἀθηνᾶ παρὰ θατέρᾳ αὐτῶν γεγενῆσθαι. Ἀφ' οὗ καὶ Τριτογένεια λέγεται. Οὕτω τινές. Οἱ δὲ, ἡ τὸ τρεῖν, ἤγουν τὸ φοβεῖσθαι τοῖς ἐναντίοις ποιοῦσα.

V. 1312. Θέρον. Ἔθερον, ἐθέρμαινον, καὶ ἔκαιον.

V. 1314. Πέπλον. Πέπλος κυρίως ἐπὶ γυναικῶν.

V. 1315. Παλιμπετές. Παλιγκινές. Εἰς τοὐπίσω παλικαμπές.

V. 1317. Ἀτυζόμενον. Ἀτύζω. Παρὰ τὴν ἄτην γίνεται ῥῆμα ἀτῶ, οὗ παράγωγον ἀτύω, ὡς ὀλῶ, ὀλύω καὶ ὀλλύω· περισσεύσαντος δὲ τοῦ ζ, ἀτύζω, ὡς καὶ παρὰ τὸ ἀτίω ἀτίζω.

V. 1318. Ἀμηχανίᾳ. Ἀπορίᾳ.

V. 1322. Οἰοπόλοι. Περὶ τὰς ὄϊς πολοῦσαι.

Χθονίας δὲ αὐτὰς εἶπε, διὰ τὸ θυγατέρας εἶναι τῆς Λιβύης. Εἰσὶ δὲ αἱ ἐπιμηλίδες [p]). Ἢ χθονίαι, γηγενεῖς.

m) ἐν τῷ ια P. itaque fort. ἐν δεκάτῳ legendum. n) ἡρωΐνας corrigit Schaefer. o) ποταμὸς legendum esse vidit Schaefer. p) ἐπι μελίδες P.

Αὐδήεσσαι δὲ, αἳ εἰς λόγον ἀνθρώποις ἐρχόμεναι. Περὶ δὲ τῶν νυμφῶν μέμνηται Καλλίμαχος, οὕτω λέγων·

Δέσποιναι Λιβύης ἡρωΐδες, αἳ Νασαμώνων
αὖλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε,
μητέρα μοι ζώουσαν ὀφέλλετε.

V. 1327. *Σφετέρῃ ἀπὸ μητέρι.* Ἔδει εἰπεῖν ὑμετέρᾳ. Λέγει δὲ τῇ νηΐ. Φέρει γὰρ αὐτοὺς ἐν τῷ κύτει, ὡς ἐν γαστρὶ μήτηρ.

(V. 1329. *Ἀχαιΐδα.* Ἀχαιΐδα λέγει ἢ τὴν Θεσσαλίαν, ἢ τὴν Ἑλλάδα. Βέλτιον δὲ, τὴν Θεσσαλίαν. Οἱ δὲ οἰκοῦντες Ἀχαιοὶ λέγονται. Ὅμηρος [q])·

Νῦν δ' αὖ τοὺς, ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον.

Εἶτα·

Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.)

V. 1333. *Ἵλατ' ἐρημονόμοι.* Ἱλάσθητε αἱ νεμόμεναι ἐν τῇ ἐρήμῳ.

V. 1339. *Ὠρύεται.* Ἀντὶ τοῦ βοᾷ. Ἔστι δὲ τῆς τῶν λεόντων φωνῆς.

V. 1342. *Βουπελάται.* Οἱ βουκόλοι. Εἴρηται ἤτοι τοῦ π περισσεύοντος, βουελάται γάρ εἰσιν, ἢ παρὰ τὸ πέλας τῶν βοῶν εἶναι, ὃ καὶ βέλτιον.

V. 1348. *Στέρφεσιν αἰγείοις.* Τοῖς δέρμασιν. Ἔνθεν καὶ στερφῶσαι. Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. Ὅθεν καὶ παρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν μελανοστέρφων γένος, οὐχ, ὥς τινες, μελανοστέρνων· οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. Ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται.

V. 1366. *Ἀμφιλαφής.* Ἀντὶ τοῦ ποικίλος, ἢ μέγας [r]). ἢ ἀμφοτέρωθεν θριξὶ στεγαζόμενος.

V. 1367. *Νήχυτον.* Πολύχυτον.

V. 1380. *Ἐπήβολος.* Ἐπιβάλλουσα, ἐπιτυχής.

V. 1381. *Μουσάων ὅδε μῦθος.* Καθὰ πέπλασται, φησὶν, Μουσάων ὅδε μῦθος· ἐγὼ δ' ὑπηρέτης τῶν Μουσῶν· ἐμπέπνευμαι γὰρ πρὸς αὐτῶν, ὥστε διηγήσασθαι.

V. 1384. *Θῖνας.* Τοὺς τῆς ψάμμου σωρούς.

V. 1396. *Ὧι ἔνι Λάδων.* Τὸν δράκοντα *Λάδωνα* ἐκάλουν. Τοῦτον δὲ Πείσανδρος ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι. Ἡσίοδος δὲ ἐκ Τυφῶνος φησίν. Ἀγροίτας δὲ ἐν γ̄ Λιβυκῶν φησὶ, μὴ μῆλα εἶναι, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη· ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ὠνομάσθαι. Φερεκύδης ἐν δεκάτῳ τῆς Ἥρας γαμουμένης [τῷ Διῒ] φησὶ τὴν γῆν ἀναδοῦναι ἐν τῷ Ὠκεανῷ μῆλα χρυσᾶ, ἢ μηλέας χρυσοῦν καρπὸν φερούσας· φυλάττειν δὲ αὐτὰ δράκοντα τὸν Τυφῶνος καὶ Ἐχίδνης, ἔχοντα κεφαλὰς ἑκατὸν καὶ φωνὰς παντοίας. Καὶ ὅτι αἱ νύμφαι αἱ Διὸς καὶ Θέμιδος οἰκοῦσαι ἐν σπηλαίῳ περὶ τὸν Ἠρι-

q) Il. II, 681. 684. r) μέλας P.

δανὸν ὑπέθεντο Ἡρακλεῖ ἀποροῦντι, μαθεῖν παρὰ Νηρέως, ποῦ ἂν εἴη τὰ χρύσεα μῆλα. Λαβεῖν δὲ αὐτὸν βίᾳ, πρῶτον μὲν μεταμορφούμενον εἰς ὕδωρ καὶ πῦρ· εἶτα ἐς τὴν παλαιὰν ὄψιν καταστάντα, δηλῶσαι τὸν τόπον. Ὁ δὲ ἔρχεται οὕτως ἐπὶ τὰ χρυσᾶ μῆλα. Ἀφικόμενος δὲ εἰς Ταρτησσὸν, πορεύεται εἰς Λιβύην, ἔνθα ἀναιρεῖ Ἀνταῖον τὸν Ποσειδῶνος, ὑβριστὴν ὄντα. Εἶτα ἀφικνεῖται ἐπὶ τὸν Νεῖλον εἰς Μέμφιν, παρὰ Βούσιριν τὸν Ποσειδῶνος· ὃν κτείνει, καὶ τὸν παῖδα αὐτοῦ Ἰφιδάμαντα, καὶ τὸν κήρυκα Χάλβην, καὶ τοὺς ὀπάονας, πρὸς τῷ βωμῷ τοῦ Διὸς, ἔνθα ἐξενοκτόνουν. Ἀφικόμενος δὲ εἰς Θήβας, καὶ διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω Λιβύην, ἧς ἐν τοῖς ἐρήμοις πολλὰ τῶν θηρίων τοξεύων ἀναιρεῖ, καθήρας δὲ τὴν Λιβύην, κατέβη ἐπὶ τὴν θάλασσαν τὴν ἔξω κειμένην· καὶ λαβὼν χρυσοῦν δέπας παρὰ Ἡλίου, διαβαίνει ἐν αὐτῷ εἰς Πέργην διά τε τῆς ἔξω τῆς γῆς θαλάσσης, καὶ διὰ τοῦ Ὠκεανοῦ πλέων. Ἐπελθὼν δὲ παρὰ Προμηθέα, καὶ ὀφθεὶς ὑπ' αὐτοῦ, οἰκτείρει αὐτὸν ἱκετεύοντα· καὶ κτείνει τὸν ἀετὸν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιε, τοξεύσας προσπετώμενον. Ἀντὶ δὲ τούτου Προμηθεὺς (μὴ ἀπιέναι ἐπὶ τὰ μῆλα ὑποτίθεται· ἐλθόντα δὲ) πρὸς Ἄτλαντα, κελεύειν ἐνέγκαι αὐτῷ· καὶ ἀντὶ τοῦ Ἄτλαντος αὐτὸν ἀνέχειν τὸν οὐρανὸν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων. Ἡρακλῆς δὲ ἀκούσας ἔρχεται πρὸς Ἄτλαντα, καὶ κελεύει αὐτὸν ἐνεγκεῖν τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων, τρία λαβόντα, διηγησάμενος τὸν ἆθλον. Δοὺς δὲ Ἄτλας ἐπὶ τῶν ὤμων Ἡρακλεῖ τὸν οὐρανὸν, καὶ ἐλθὼν πρὸς τὰς Ἑσπερίδας, δεξάμενος παρ' αὐτῶν τὰ μῆλα, ἐλθών τε πρὸς τὸν Ἡρακλέα, τὰ μὲν μῆλα αὐτός φησιν ἀποίσειν Εὐρυσθεῖ, τὸν δ' οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἔχειν ἀντ' αὐτοῦ. Ὁ δὲ Ἡρακλῆς ὑποσχόμενος, δόλῳ ἀντεπέθηκεν αὐτὸν τῷ Ἄτλαντι. Ἦν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεὺς ὑποθέμενος, κελεύειν δέξασθαι τὸν οὐρανὸν, (ἕως οὗ πήραν ἐπὶ τὴν κεφαλὴν ποιήσεται·) ὁ δὲ, καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν, ὑποδέχεται τὸν οὐρανόν. Ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα, χαίρειν εἰπὼν τῷ Ἄτλαντι, ἀπέρχεται εἰς Μυκήνας παρ' Εὐρυσθέα, καὶ δεικνύει αὐτῷ ταῦτα.

V. 1399. Ἑσπερίδες ποίπνυον. Ἀπὸ τοῦ ἑσπέρας ἐπιφαίνεσθαι· ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑπερίᾳ [s]) κατοικεῖν. Ἦσαν δὲ Φόρκου καὶ Κητοῦς αἱ Ἑσπερίδες. Ἀπὸ μιᾶς δὲ αὐτῶν εἴρηται ἡ νῆσος, ἣν κατῴκει Γηρυονεὺς, ἔχων κύνα Ὄρθον [t]), ἀδελφὸν Κερβέρου, ὃν Ἡρακλῆς ἀπέκτεινεν. Οἱ δὲ Ἄτλαντος λέγουσιν εἶναι τὸν κύνα.

V. 1401. Στύπος. Τὸ στέλεχος.

V. 1404. Χόλον. Ἀντὶ τοῦ τὴν χολήν. Ὅμηρος [u])·
χόλῳ [v]) ἄρα σ' ἔτρεφε [μήτηρ].

V. 1405. Πυθομένοις. Ἀντὶ τοῦ σηπομένοις. Καὶ τὸ πύον ἐντεῦθεν φησὶ λέγεσθαι Μύκλος (ὁ Νεαπολίτης). Ἔστι γὰρ τοῦτο σεσηπὸς αἷμα. Καὶ ἡ Πυθὼ δὲ, κατά τινας. Ἢ ἀπὸ τοῦ

s) ἑσπέρᾳ P. t) Ὄρθρον P. u) Il. XVI, 203. v) Sic P. Vulgo χόλον P.

πευστικῶς [w]) ἔχοντας ἐπὶ τοὺς χρησμοὺς ἔρχεσθαι. Ἢ καὶ ἀπὸ παιδός τινος Πυθικῆς, ᾗ ὄνομα Πυθὶς, θυγατρὸς Δελφοῦ.

V. 1409. Ἐσσυμένως ἐγένοντο. Διὰ τύπου σημαίνει, ὅπως ἀφανεῖς ἐγένοντο.

V. 1412. Εἴτ' οὖν οὐρανίαις. Τοῦτο φησὶν, ἐπεὶ τῶν νυμφῶν αἵ μέν εἰσιν οὐράνιαι· αἵ δὲ, ἐπίγειοι· αἵ δὲ, ποτάμιοι [x])· αἵ δὲ, λιμναῖαι [y])· αἵ δὲ θαλάσσιαι. Καὶ καθόλου δὲ τῶν νυμφῶν γένος [z]) εἰς πολλὰ διῄρηται, ὥς φησι Μνησίμαχος ὁ Φασιλήτης [a]) ἐν διακόσμοις [b]).

V. 1415. Ἐνωπαδίς. Κατ' ὄψιν, φανερῶς.

V. 1418. Λωφήσομεν. Ἀντὶ τοῦ παύσομεν. Κυρίως δὲ λέγεται λωφῆσαι τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποβαλέσθαι· λόφος γὰρ ὁ τράχηλος.

V. 1421. Εἰλαπίνας, Τὰς θυσίας λέγει.

V. 1422. Ἀδινῇ ὀπί. Ἀδινὴν ὄπα τὴν ἀσθενῆ, διὰ τὴν δίψαν.

V. 1433. Κύντατος. Ὁ χείριστος καὶ ἔσχατος [c]).

V. 1442. Παίφασσε. Ἐψηλάφα. Ἢ ἀντὶ τοῦ ἐνθουσιωδῶς ἐφέρετο.

V. 1452. Χηραμόν. Χηραμὸς, ἡ τῶν μυρμήκων κατάδυσις.

V. 1453. Γειομόροι. Οἱ περὶ τὴν γῆν κακοπαθοῦντες.

V. 1454. Λίβα. Λέγει τὴν σταγόνα. Ἡ εὐθεία λὶψ, ἀρσενικῶς [d]). [Ὁ δὲ λὶψ τὸν ἀπὸ Ἀφρικῆς πνέοντα ἄνεμον σημαίνει.]

V. 1460. Δήοιμεν. Εὕροιμεν.

V. 1463. Ἐπηλίνδετο [e]). Ἐκεκάλυπτο.

V. 1470. Εἰλατίδην Πολύφημον. Πολύφημος ἐν Μυσίᾳ καταλειφθεὶς ἔκτισε πόλιν Κίον, τὴν οὕτως ὀνομασθεῖσαν ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ. Μαχόμενος πρὸς Χάλυβας οὗτος ἐτελεύτησεν, ὥς φησι Νυμφόδωρος. Ὅτι δὲ τὴν Κίον ἔκτισεν, εἴρηκεν αὐτὸ Χάρις [f]) ἐν πρώτῳ χρόνων [g]).

V. 1471. Οὗ ἔθεν. Ἑαυτοῦ.

V. 1487. Αὐλείτης. Ὁ ἀπὸ τῆς ἐπαύλεως. Ὁ ἄγροικος. Ἔστι δὲ παρὰ τὴν αὖλιν τὸ ὄνομα.

V. 1490. Λυκωρείοιο. Ἀντὶ τοῦ Δελφικοῦ. Οἱ γὰρ Δελφοὶ τοπρῶτον Λυκωρεῖς ἐκαλοῦντο ἀπό τινος κώμης Λυκωρείας.

V. 149 . Κῦμα. Ἀντὶ τοῦ κύημα, κατὰ συγκοπήν.

Ἀλέξανδρος δὲ ἐν πρώτῳ Κρητικῶν τῇ Ἀκακαλλίδι [h]) συνελθεῖν φησὶ τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα· καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον, ἐκ δὲ Ἑρμοῦ Κύδωνα, ἀφ' οὗ ἡ πόλις Κυδωνία καλεῖται ἐν Κρήτῃ. Τὸν δὲ Ἀκακαλλίδος υἱὸν Ἀμφίθεμιν καὶ Γαράμαντα κληθῆναι φησίν. Ἄδηλον δὲ, πότερον ἀπὸ τοῦ Γαρά-

w) Sic P. Vulgo πνευστικῶς. x) ἐπιποτάμιοι P. y) λημνιάδες P. z) ὄνομα P. a) Leg. Φασηλίτης. b) Διακόσμῳ P. c) αἴσχιστος corrigit Schaefer. d) Leg. θηλυκῶς. e) ἐπηλίνδητο P. recte. f) Χάρης P. Fortasse Χάραξ. g) Χρονικῶν P. h) Κακαλλίδι P. et sic deinde.

μαντος τούτου οἱ ἐν τῇ Λιβύῃ Γαράμαντες ὠνομάσθησαν, ἢ οὗτος ἀπὸ τοῦ ἔθνους. Ἔστι δὲ καὶ ναὸς παρ' αὐτοῖς, καὶ Γαράμας. * μνημονεύει τοῦ ἔθνους [i]).

V. 1515. *Γοργόνος ἀρτίτομον.* Περσέως (ἐν Σερίφῳ μετὰ τῆς μητρὸς) διάγοντος παρὰ Δίκτυϊ, καὶ ἡβήσαντος, Πολυδέκτης ὁ Δίκτυος ὁμομήτριος ἀδελφὸς, βασιλεὺς Σερίφου τυγχάνων, ἰδὼν τὴν Δανάην, ἠράσθη αὐτῆς, ἠπόρει δὲ συγκοιμηθῆναι· καὶ παρασκευάσας ἄριστον, ἐκάλει ἄλλους τε πολλοὺς καὶ αὐτὸν Περσέα. Περσέως δὲ πυθομένου, ἐπὶ τίνι ὁ ἔρανος εὐωχεῖται, τοῦ δὲ φήσαντος, ἐπὶ ἵππῳ, Περσεὺς εἶπεν, ἐπὶ τῇ τῆς Γοργόνος κεφαλῇ. Μετὰ δὲ τὸν ἔρανον τῇ ἑξῆς ἡμέρᾳ, ὅτε οἱ ἄλλοι ἐρανισταὶ τὸν ἵππον ἀπεκόμιζον, καὶ Περσεύς. Ὁ δὲ οὐκ ἐδέχετο, ἀπῄτει δὲ τὴν τῆς Γοργόνος κεφαλὴν κατὰ τὴν ὑπόσχεσιν· ἐὰν δὲ μὴ κομίσῃ, τὴν μητέρα αὐτοῦ λήψεσθαι ἔφη. Ὁ δὲ ἀνιαθεὶς ἀπέρχεται, ὀλοφυρόμενος τὴν συμφορὰν, εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ αὐτῷ ὀφθεὶς, καὶ πεῦσιν αὐτῷ προσαγαγὼν, μανθάνει τὴν αἰτίαν τοῦ θρήνου. Ὁ δὲ ἡγεῖται, θαῤῥεῖν εἰπών. Καὶ πρῶτον μὲν ἡγεῖται αὐτῷ πρὸς τὰς τοῦ Φόρκου γραίας, Πεμφρηδὼ [k]) καὶ Ἐντὼ καὶ Ἰαινὼ, Ἀθηνᾶς φρασάσης. Καὶ αὐτῶν μὲν ὑφαιρεῖται τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα, ὀρεγουσῶν ἀλλήλαις· αἱ δὲ, αἰσθανόμεναι, βοῶσι, καὶ ἱκετεύουσι τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα ἀποδοῦναι. Ἑνὶ γὰρ αἱ τρεῖς ἐκ διαδοχῆς ἐκέχρηντο. Ὁ δὲ Περσεὺς αὐτὸν ἔχειν ἔφη, καὶ ἀποδώσειν, ἐὰν αὐτῷ ὑποδείξωσι τὰς νύμφας, αἳ ἔχουσι τὴν ἄϊδος κυνῆν, καὶ τὰ πέδιλα τὰ ὑπόπτερα, καὶ τὴν κίβησιν. Αἱ δὲ αὐτῷ φράζουσι. Καὶ ὁ Περσεὺς ἀποδίδωσι. Καὶ ἀπελθὼν πρὸς τὰς νύμφας σὺν Ἑρμῇ, αἰτήσας τε καὶ λαβὼν ὑποδεσμεῖται τὰ ὑπόπτερα πέδιλα, καὶ τὴν κίβησιν περιβάλλει κατὰ τῶν ὤμων, καὶ τὴν ἄϊδος κυνῆν τῇ κεφαλῇ περιτίθησιν. Εἶτα ἔρχεται πετώμενος κατὰ τὸν Ὠκεανὸν καὶ τὰς Γοργόνας, συνεπομένων αὐτῷ Ἑρμοῦ τε καὶ Ἀθηνᾶς. Ταύτας δὲ κοιμωμένας εὑρίσκει. Ὑποτίθενται δὲ αὐτῷ οὗτοι οἱ θεοὶ, ὅπως χρὴ τὴν κεφαλὴν ἀποτεμεῖν ἀπεστραμμένον· καὶ δεικνύουσιν ἐν τῷ κατόπτρῳ τὴν Μέδουσαν, ἣ μόνη ἦν θνητὴ τῶν Γοργόνων. Ὁ δὲ, πλησίον γενόμενος, [ἀπεστραμμένος, ἵνα μὴ ἀπολιθωθῇ ἰδὼν αὐτὰς, καὶ ἐν τῷ κατόπτρῳ ὁρῶν τὴν Μέδουσαν κατ' ἀνάκλασιν,] ἀποτέμνει τῇ ἅρπῃ τὴν κεφαλὴν, καὶ ἐνθεὶς εἰς τὴν κίβησιν φεύγει. Αἱ δὲ αἰσθόμεναι διώκουσιν· οὐχ ὁρῶσι μέντοι αὐτὸν διὰ τὴν ἄϊδος κυνῆν. Περσεὺς δὲ εἰς Σέριφον γενόμενος, ἔρχεται παρὰ Πολυδέκτην, καὶ κελεύει συναθροῖσαι τὸν λαὸν, ὅπως δείξῃ αὐτοῖς τὴν τῆς Γοργόνος κεφαλὴν, εἰδὼς, ὅτι ἰδόντες ἀπολιθωθήσονται. Ὁ δὲ Πολυδέκτης, ἀολλίσας τὸν ὄχλον, κελεύει αὐτὸν δεικνύειν. Ὁ δὲ ἀποστρεφόμενος ἐξαίρει ἐκ τῆς κιβήσεως καὶ δείκνυσιν. Οἱ δὲ ἰδόντες, λίθοι ἐγένοντο. Ἡ δὲ Ἀθηνᾶ παρὰ Περσέως λαβοῦσα τὴν κεφα-

i) Εὐσεβεῖς δὲ οἱ Γαράμαντες καὶ ναοὶ ἐν αὐτοῖς ἵδρυνται, ὡς ἄλλοι τε καὶ Γαράμας ἱστορεῖ P. quae et ipsa corrupta sunt. k) Πεφριδὼ P.

λὴν, ἐντίθησιν εἰς τὴν ἑαυτῆς αἰγίδα. Τὴν δὲ κίβησιν Ἑρμῇ ἀποδίδωσι, καὶ τὰ πέδιλα, καὶ τὴν κυνῆν ταῖς νύμφαις. Ἱστορεῖ Φερεκύδης ἐν τῇ δευτέρᾳ. Ἄλλοι δέ φασι, τὸν Περσέα, καρατομήσαντα τὴν Γοργόνα, ὑπὲρ τῆς Λιβύης πετασθῆναι· ἐκ δὲ τῶν κατενεχθέντων [l]) σταγόνων τοῦ αἵματος γενέσθαι θηρία [πολλὰ καὶ δεινά]. Διὸ καὶ τὴν Λιβύην πολύθηρον εἶπε. Τὸ αὐτό φησι καὶ Ἀλέξανδρος.

[V. 1523. Τὸ δὲ ὑπέρβιον ἀντὶ τοῦ ὑπερβίως καὶ χαλεπῶς κεῖται, ὄνομα ἀντὶ ἐπιῤῥήματος. Γράφεται δὲ καί, ἐπεί οὔ μιν ὑπέρβιον ἕλκος ἔτειρεν.]

V. 1532. sq. Χαλκείῃσι μακέλῃσιν. Τοῖς χαλκείοις σκαφίοις ἐλάχαινον, ὅ ἐστιν ἔσκαπτον. Μάκελλα, δίκελλα.

V. 1536. Εὖ κτερέων ἴσχοντα. Ἀντὶ τοῦ λαβόντα [Κτέρεα].

Χυτὴν δὲ Ὁμηρικῶς τὴν ἐπὶ τοῖς νεκροῖς χεομένην γῆν.

V. 1537. Πρήσσοντος. Φυσῶντος [m]).

V. 1543. Ῥοίζῳ. Ἀντὶ τοῦ μετὰ συριγμοῦ.

V. 1544. Σπινθάρυγες [n]). Αἱ [σπινθῆρες καὶ] λαμπηδόνες.

V. 1545. Ῥωχμοῖο. Ῥωχμοί εἰσιν αἱ κατὰ τὴν γῆν ῥήξεις.

V. 1549. Μείλια. Τὰ ἐκμειλίξασθαι δυνάμενα δῶρα, τὰ ἱλαστήρια.

V. 1551. Τρίτων δ' αἰζηῷ. Καὶ Πίνδαρος ἐν Πυθιονίκαις, ἐν τῇ εἰς Ἀρκεσίλαον ᾠδῇ, τὴν τοῦ Τρίτωνος ἐπιφάνειαν λέγει. Ἔστι δὲ παρὰ τοῖς γεγραφόσι τὰ περὶ Κύπρου καὶ Λιβύης.

V. 1558. Ἐπιΐστορα. Ἀντὶ τοῦ κριτὴν, ἐπιμελητὴν, ἐπίσκοπον. Ὅταν δὲ Ὅμηρος (περὶ Ἀγαμέμνονος) λέγῃ [o])·

Ἴστορα δ' Ἀτρείδην Ἀγαμέμνονα —

τὸν καὶ μάρτυρα συνθηκοφύλακα σημαίνει.

V. 1561. Εὐρύπυλον Λιβύης. Εὐρύπυλος, Ποσειδῶνος υἱὸς καὶ Κελαινοῦς τῆς Ἄτλαντος, βασιλεὺς δὲ Κυρήνης. Φύλαρχος δὲ ἐν ἑβδόμῳ Εὔρυτον αὐτὸν καλεῖ, καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει Λυκάονα. Ἀκέσανδρος δὲ ἐν πρώτῳ περὶ Κυρήνης τῆς Ὑψέως [p]) μετ' αὐτὸν βασιλεῦσαι φησὶ Λιβύης Κυρήνην τὴν Ὑψέως. Μνημονεύει τοῦ Εὐρυπύλου καὶ Καλλίμαχος, λέγων·

— — βοῶν σίνιν Εὐρυπύλοιο,

περὶ Κυρήνης ποιούμενος τὸν λόγον.

[Τὸ δὲ θηροτρόφῳ γράφεται καὶ μηλοτρόφῳ.]

V. 1562. Προφρων δ' ὑπερέσχεθε [ἀντὶ τοῦ προφρόνως ἐδέξατο.] Τὸν Εὔφημον ἐποίησε δεχόμενον τὴν βῶλον δι' οἰκειότητα, ἐπεὶ Ποσειδῶνος καὶ Εὐρώπης τῆς Τιτυοῦ. Καὶ Εὐρύπυλος δὲ οὗτος, οὗ εἰς τὴν χώραν παρεγένοντο, Ποσειδῶνος

l) κατενεχθεισῶν P. recte. m) 486. Πρόσσειν δέ ἐστι τὸ φυσᾶν. P. n) σπινθάριγγες P. o) Il. XXIII, p) Vocabula τῆς Ὑψέως delenda videntur.

ἐστὶν υἱός. Λέγεται δὲ καὶ παρὰ Πινδάρῳ, ὅτι ἐδέξατο τὴν βῶλον ὁ Εὔφημος.

V. 1563. Παραβλήδην. (Παλαμήδης,) ἐξ ἀντιβολῆς. Ἢ παραλογιστικῶς. Νῦν δὲ ἐξ ἀποκρίσεως.

V. 1564. Ἀτθίδα. (Γράφεται Ἀπίδα, καὶ πέλαγος Μινώϊον.) Ἄπις, νῆσος κειμένη πρὸ τῆς Κρήτης. Μινώϊον δὲ πέλαγος, πρὸ τῆς Κρήτης. Αὕτη γὰρ Μίνωος ἦν βασιλεία. Ἢ ἐπεὶ θαλαττοκρατῶν ὑφ' αὑτὸν τὰς νήσους ἐποίησε. Μετὰ δὲ τὸ Κρητικὸν, τὸ Αἰγύπτιον q).

V. 1569. Χεῦμα δι' ἠπείρου βεβαρημένοι. Ἄδηλον, πότερον κατὰ τὸ κοινὸν ἤπειρον εἴρηκε τὴν γῆν· ἢ ὅτι πᾶσα ἡ οἰκουμένη εἰς ἠπείρους τρεῖς διῄρηται, Ἀσίαν, Εὐρώπην, Λιβύην. Ἡ δὲ Αἴγυπτος κατὰ μέν τινας τῆς Ἀσίας ἐστὶ, κατὰ δέ τινας τῆς Λιβύης.

V. 1571. Ἄπωθεν. Ἀπὸ διαστήματος.

V. 1573. Διήλυσις. Ἡ διεξέλευσις καὶ ἔξοδος.

V. 1575. Φρίσσουσι. Ἀντὶ τοῦ, εἰς ὕψος αἴρονται.

V. 1581. Περιῤῥήδην. Τὸ κατὰ περιφέρειαν δηλοῖ.

V. 1589. Εἴσατο. Ὥρμησεν.

V. 1599. Ἁλοσύδναι. Θαλάσσιαι. Ἀπὸ τοῦ ἐν ἁλὶ δύνειν, ὅ ἐστιν, ἐν τῇ θαλάσσῃ ὁρμᾷν.

V. 1608. Ὀδακτάζοντι. Δάκνοντι.

V. 1609. Ὁλκήϊον. Τὸ κάτω τοῦ πλοίου ξύλον, τὸ πρὸς τῇ τρόπιδι, οὗ ἡ ναῦς ἕλκεται· ὃ πήγνυται πρῶτον ἐπὶ γῆς, κατασκευαζομένου πλοίου.

V. 1613. Δικραῖρα οἱ. Διπλῇ. Τοιαύτη γὰρ ἡ τοῦ Τρίτωνος οὐρὰ, διῃρημένη εἰς δύο. Ἔτεμνε δὲ τὸ ἄκρον τοῦ ὕδατος ταῖς ἀκάνθαις, αἵτινες κάτωθεν ἐπὶ τοῖς κέντροις τοῖς σκαμβοῖς ἐδιχάζοντο, ὅμοιαι οὖσαι τοῖς τῆς σελήνης κέρασιν, ἅτινα ἡμικύκλιά ἐστι. Τοιούτῳ δὲ σχήματι καὶ τὰ ἄκρα τῆς οὐρᾶς τῶν ἰχθύων ἐστὶν ἡμικυκλίῳ.

V. 1614. Κήτεος ἀλκαίη. Ἀλκαίη r) λέγεται κυρίως ἡ τοῦ λέοντος οὐρὰ, ἀπὸ τοῦ δι' αὐτῆς εἰς ἀλκὴν τρέπεσθαι. Καὶ ὁ ποιητής s)·

Οὐρῇ μὲν πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
μαστίεται.

Καλλίμαχος δὲ κακῶς ἐπὶ τῶν μυιῶν t) τέθεικεν· ἀλκαίας ἀφύσσα u). Ἢ ἀπὸ τοῦ ἀλκεῖν, ὅ ἐστι βοηθεῖν, ἡ εἰς ἀλκὴν παρορμῶσα. Ὥσπερ καὶ οὐρὰ παρὰ τὸ οὐρεῖν, ὅ ἐστι φυλάττειν. Ἢ διὰ τὸ ὀρίνειν ἑαυτὰ τὰ ζῶα τῇ οὐρᾷ, ὡς ὁ λέων, καὶ ὁ ταῦρος, καὶ ὁ κύων, καὶ τὰ λοιπά. Κυρίως δὲ ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία λέγεται. Ἐν δὲ τῷ κωμικῷ Λεξικῷ οὐ μόνον ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία, ἀλλὰ καὶ ἵππου καὶ βοὸς καὶ τῶν ἐμφερῶν, ὅσα ὥσπερ ἀλεξητηρίῳ τῇ οὐρᾷ χρῆται.

q) θαλάσσιον P. r) ὁλκαία P. s) Il. XX, 170. t) μηρῶν P.
u) ὁλκαίας ἀφάσσων P.

V. 1619. *Τέρας.* Τὸν Τρίτωνα λέγει *τέρας*, ἐπεὶ τὰ μὲν ἀνδρὸς ἔχει, τὰ δὲ κήτους.

V. 1620. *Ἀργῷός τε λιμήν.* Παρὰ τῇ Τριτωνίδι λίμνῃ ἐστὶν, *Ἀργῷος* καλούμενος.

V. 1629. sq. *Ἀστὴρ αὔλιος.* *Αὔλιον ἀστέρα* τὸν Ἕσπερον λέγει, ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι, ἢ παρὰ τὸ ἐν αὐλαῖς διατρίβειν, καθ' ἣν ὥραν ὁ Ἕσπερος ἀνατέλλει.

V. 1633. *Ἐπεῤῥώοντο.* Ἐῤῥωμένως ἤλαυνον.

V. 1636. *Κάρπαθος.* *Κάρπαθος* νῆσός ἐστι τῶν Σποράδων, πλησίον τῆς Κῶ, περὶ ἧς Ὅμηρος [ἐν νεῶν καταλόγῳ] εἴρηκε [v])·

[Οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον] Κάρπαθόν τε Κάσον [w]) τε
καὶ Κῶν [Εὐρυπύλοιο πόλιν.]

Ἄλλοι πλησίον Κρήτης αὐτὴν εἶναι λέγουσιν.

V. 1638. *Τάλως.* Ὁ *Τάλως* ἦν τοῦ γένους ἐκείνου τοῦ χαλκοῦ. Ὅλος δὲ ὢν καλκοῦς, ἐπὶ τοῦ σφυροῦ σύριγγα εἶχεν ὑμένι περιεχομένην. Σύριγξ δὲ λέγεται ἡ περόνη. Ὅτι δὲ εἵμαρτο αὐτῷ τελευτῆσαι, ῥαγείσης τῆς σύριγγος, λέγει καὶ Σοφοκλῆς ἐν Τάλῳ.

V. 1640. *Ἐπιωγήν.* Σκέπην, ὑφ' ἧς ὁ ἄνεμος ἄγνυται.

V. 1659. *Ὑπ' ἐκ βελέων.* Ἤγουν τῶν πετρῶν. Καὶ γὰρ Ὅμηρος βέλος εἴρηκε τὴν πέτραν τὴν ὑπὸ τοῦ Κύκλωπος βληθεῖσαν. καὶ πᾶν τὸ πεμπόμενον [βέλος] φησίν.

V. 1661. *Ἀνωΐστως.* Ἀγνώστως, ἢ ἐξαίφνης.

V. 1667. *Ἐπὶ ζωοῖσιν.* Διὰ τῶν φαρμάκων τοῖς ζωοῖσιν ἐπάγονται.

V. 1672. *Δείκηλα* [x]). Εἴδωλα, φαντάσματα.

V. 1673. *Ἄηται.* Φέρεται. Κεκίνηται.

V. 1677. *Βρίμῃ.* Τῇ ἰσχύϊ. Παρὰ δὲ τὸ βρι πέπτωκε ῥῆμα τὸ βρίθω· οὗ ὁ μέλλων βρίσω [y])· καὶ ῥηματικὸν ὄνομα *βρίμη.* Τὰ γὰρ εἰς μη λήγοντα ὀνόματα, ἑνὶ φωνήεντι παραληγόμενα, βαρύνεται. οἷον κρήνη [z]), φήμη, κνήμη· πλὴν τοῦ τιμή. Τὰ δὲ ἔχοντα πρὸ τοῦ μ ἕτερον σύμφωνον ὀξύνεται, οἷον γραμμή.

V. 1679. *Πετραίῳ στόνυχι.* *Στόνυξ* ἐστὶ κυρίως τὸ ἄκρον τοῦ δόρατος· καταχρηστικῶς δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον.

V. 1693. *Σαλμωνίδος ἄκρης.* *Σαλμωνὶς* καὶ Σαλμώνιον, ἀκρωτήριον Κρήτης.

V. 1695. *Κατουλάδα.* Σκοτεινὴ νὺξ *κατουλὰς* καλεῖται, παρὰ τὸ ὀλοόν. Σοφοκλῆς ἐν Ναυπάκτῳ [a])· νυκτὶ κατουλάδι.

V. 1698. *Μυχάτων.* Ἐσχάτων.

V. 1700. *Ἠείδειν.* Ἀντὶ τοῦ εἴδεσαν.

V. 1707. *Ἀριήκοος.* Λίαν ἐπήκοος.

Μελάντιοι δέ εἰσι δύο σκόπελοι πρὸς τῇ Θήρᾳ, οὕτως ὀνομαζόμενοι ἀπὸ Μέλαντος, τοῦ κατασχόντος τὴν χώραν, (τὴν προσηγορίαν ἔχοντες.)

v) Il. II, 676. w) Θάσον P. x) Δίκηλα P. y) καὶ ὄνομα Βρίσων P. z) κρήμη P. a) Leg. Ναυπλίῳ.

V. 1711. Σποράδων βαιή. Νῆσος βαιὴ, ἡ Ἀνάφη κληθεῖσα, πλησίον Θήρας.

V. 1712. Νῆσος ἰδεῖν. Νῆσος ἡ Ἱππουρὶς, πλησίον Θήρας. Μνημονεύει δὲ αὐτῆς καὶ Τιμοσθένης, καὶ Πυθαίνετος ἐν πρώτῳ περὶ Αἰγίνης.

V. 1725. Ἐπεστοβέεσκον [b]) ἔπεσσιν. Ἐλοιδοροῦντο, ὕβριζον.

V. 1733. Ἁζόμενος Μαίης υἷα κλυτόν. Τὸν Ἑρμῆν φησὶν ἐξιλάσασθαι τὸν Εὔφημον διὰ τὸ θεάσασθαι ὄνειρον. Οὗτος γὰρ ἐπὶ τῶν ὀνείρων ὁ θεός. Τοὺς γὰρ ὀνείρους Ἑρμῆ ἀνατιθέασιν.

V. 1734. Βῶλαξ ἐπιμάστιος. Ἡ τοῦ Τρίτωνος βῶλος ἐπὶ τῶν μαστῶν. Δαίμονα γὰρ τοῦτον εἶπεν.

[V. 1748. Πεμπάζειν δέ ἐστι τὸ ἀναλογίζεσθαι.]

V. 1750. Βώλακα γὰρ τεύξουσι. Εὔφημος ᾤκει τὴν Λακωνικὴν παρὰ τὸν αἰγιαλόν. Εἷς δέ τις αὐτοῦ τῶν ἀπογόνων Σήσαμος ἀπῴκισε Θήραν. Οὗ ἀπόγονος γέγονεν Ἀριστοτέλης, ὃς τῆς περὶ Κυρήνην ἀποικίας ἡγήσατο. Ἱστορεῖται ταῦτα παρὰ Πινδάρῳ [c]) ἐν Πυθιονίκαις· ἐπιμελέστερον δὲ παρὰ Θεοχρήστῳ ἐν πρώτῳ Λιβυκῶν, καὶ παρὰ Ἀκεσάνδρῳ ἐν πρώτῳ [περὶ] Κυρήνης. Λέγει δὲ τὴν Θήραν, ὡς ἐκ τῆς τότε ῥιφείσης βώλου, γεγενημένης ἐν αὐξήσει καὶ ἀναπεφυκυίας ἐν τῇ θαλάσσῃ. Καὶ Πίνδαρος μὲν τακῆναι φησὶ τὴν βῶλον, καὶ περὶ τὴν νῦν καλουμένην Θήραν νῆσον διαῤῥυῆναι, ἐπιλαθομένων τῶν θεραπόντων· ὁ δὲ Ἀπολλώνιος ἑκουσίως φησὶ τὸν Εὔφημον ἐπὶ τὴν θάλασσαν τὴν βῶλον βαλεῖν, συμβουλίᾳ Ἰάσονος.

V. 1760. Ἐξελαθέντες. Ἐκβληθέντες ὑπὸ Τυρσηνῶν ἀπῆλθον εἰς Σπάρτην ἔποικοι.

V. 1763. Καλλίστην ἐπὶ νῆσον. Ἤλλαξε δὲ τὸ ὄνομα ἡ Καλλίστη νῆσος, καὶ ὠνομάσθη Θήρα, ἀπὸ Θήρα, υἱοῦ Αὐτεσίωνος, ἐκεῖ ἀπὸ Σπάρτης ἀποικίαν ποιήσαντος καὶ μείναντος.

V. 1764. Ἐξ ἔθεν. Ἀπὸ Εὐφήμου γενόμενος καὶ αὐτὸς καὶ Ἀριστοτέλης, εἰς Λιβύην τὴν ἀποικίαν ἠγάγοντο. Ἦν δὲ ὁ Θήρας ἀπὸ Οἰδίποδος ἔχων τὸ γένος. Αὐτεσίωνος γὰρ ἦν, τοῦ Τισαμενοῦ, τοῦ Θερσάνδρου, τοῦ Πολυνείκους, τοῦ Οἰδίποδος. Συνηκολούθησαν δὲ εἰς τὴν ἀποικίαν τῷ Θήρᾳ καὶ Λήμνιοι, ἐκβληθέντες ὑπὸ Τυῤῥηνῶν ἐκ τῆς Λήμνου.

V. 1765. Ἀπτερέως. Τάχιστα.

V. 1767. Ὑδρείης πέρι. Ὑδρείαν, τὴν ὕδρευσιν.

V. 1768. Φθαίη. Προφθάσοι. Δηλονότι πρῶτος λάβοι, ἢ ὑδρεύσοι.

(V. 1776. Ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος. Ἐπεὶ οὐδεὶς ὑμῖν ἕτερος ἆθλος καὶ ἀγὼν ἀναχωρήσασιν ἀπὸ τῆς Αἰγίνης γέγονεν, ἕως οὗ ἐπανήλθετε. Ἀλλ' οὔτε σφοδροὶ ἄνεμοι ἐκινήθησαν καὶ ἔπνευσαν· ἀλλ' ἥσυχοι παραπλεύσαντες τήν τε Ἀττικὴν καὶ

b) ἐπεστομέεσκον P. c) Τιμάνδρῳ P.

τὴν Αὐλίδα, τὴν Εὔβοιαν καὶ τὰς πόλεις τῶν Λοκρῶν, χαριέντως καὶ εὐγαλήνως εἰς τοὺς λιμένας τῶν Παγασῶν εἰσήλθετε, ὅθεν καὶ ἀπεπλεύσατε ἀπιόντες ἐπὶ Σκυθίαν διὰ τὸ χρυσοῦν δέρας.)

V. 1778. Ἐριωλαί. Αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί.

V. 1779. Παρά τ' Αὐλίδα. Ἡ Αὐλὶς πόλις Βοιωτίας καταντικρὺ τῆς Εὐβοίας κειμένη.

V. 1780. Ὀπούντιά τ' ἄστεα [τὰ τῶν Λοκρῶν λέγει,] τὰ ὑπὸ τοῦ Ὀποῦντος ποτὲ ἐχόμενα, τοῦ Διὸς υἱοῦ καὶ Πρωτογενείας· οὗ καὶ ἡ πόλις ἐπώνυμος [Λοκρικὴ, ἡ τοῦ Πατρόκλου πατρίς.] Ὀποῦς δὲ, καὶ ποταμὸς Λοκρίδος.

V. 1781. Ἀκτὰς Παγασηΐδας. Εἰς τοὺς αἰγιαλοὺς τῶν Παγασῶν (εἰσήλθετε, ὅθεν καὶ τὴν ἀρχὴν ἀπεπλεύσατε.) [Παγασαὶ πόλις Μαγνησιάς.

Ὅθεν οὖν ἀνήχθησαν τὴν ἀρχὴν οἱ ἥρωες εἰς Σκυθίαν ἐπὶ τὸ δέρος ἀποπλεύσαντες, ἐκεῖσε ὥσπερ διά τινος κύκλου κατήχθησαν ἐπανελθόντες.]

INDEX VERBORUM.

B.

E.

K.

Λ.

Ξ.

O.

Π.

Πέλεκυς. πελέκει I, 430. πέλεκυν I, 169. II, 119. πελέκεσσι I, 1003. IV, 1683.

Πελεμίζω. πελέμιξεν II, 92.

Πελίης I, 5. III, 64. 75. *Πελίαο* I, 3. 225. 242. 279. 323. 902. 981. 1304. II, 624. 763. IV, 242. *Πελίῃ* III, 1135. *Πελίην* I, 12.

Πελλήνη. *Πελλήνης* I, 177.

Πέλλης I, 177.

Πελόπεια I, 326.

Πελοπηΐς. *Πελοπηΐδα* IV, 1570. 1577.

Πελοπήϊοι II, 790. *Πελοπήϊα* I, 758.

Πέλοψ I, 753. II, 359. *Πέλοπος* IV, 1231.

Πέλω. πέλει I, 154. 1192. 1202. II, 311. 929. 1077. 1155. III, 15. 102. 104. 779. IV, 1236. πέλε II, 1171. III, 666. πέλεν I, 629. 728. 1251. II, 436. III, 252. 627. 1271. IV, 103. 118. 345. 430. 927. πέλῃ II, 344. πέλοι I, 1343. II, 340. IV, 1656. πέλε (imper.) I, 304. πέλειν IV, 1373. 1736. πέλεται II, 670. III, 1302. πέλεσθε II, 643. 1195. III, 911. πέλονται I, 337. 679. III, 813. ἔπλεν I, 414. IV, 743. ἔπλετο I, 113. 1012. 1249. 1302. II, 713. 863. 975. III, 63. 856. 1228. IV, 644. 1591. πέλοιτο I, 1118. III, 79. 359. 467. 494. 552. 615. 784. 850. IV, 536. 715. 871. 1142. πελέσθω I, 1320. II, 873. πέλεσθαι I, 160. III, 599. 700. 733.

Πέλωρ II, 39. IV, 1440.

Πελώριος II, 1101. IV, 1365. πελωρίου II, 111. IV, 1438. πελώριον I, 1242. II, 105. 706. 1067. 1240. IV, 129. 224. 767. πελωρίη IV, 1682.

Πέλωρον IV, 143. πέλωρα I, 996.

Πεμπάζω. πεμπάζοι II, 975. πεμπάζων IV, 1748. πεμπάσσατο IV, 350.

Πέμπτος IV, 1467.

Πέμπω II, 489. πέμπει III, 336. IV, 951. πέμπεν I, 78. 100. II, 463. IV, 954. ἔπεμπε I, 164. πέμπον I, 720. III, 1173. πέμψεν II, 969. IV, 685. πέμπωμεν I, 676. πέμπε (Imp.) I, 906. πέμπειν III, 601.

Πένθος II, 880. III, 675.

Πένομαι. πένονται II, 1015.

Πέπλος. πέπλοιο IV, 1662. πέπλον III, 832. IV, 24. 423. 474. 749. 1314. 1351. πέπλοισι IV, 1294.

Πέπρωμαι. πέπρωται I, 444. 904. 1322. IV, 801. πέπρωτο IV, 532. πεπρωμένη II, 815. πεπρωμένον II, 116.

Πέπων. πέπον I, 1337. III, 485.

Πὲρ I, 44. 59. 84. 99. 235. 237. 251. 299. 343. 372. 468. 479. 484. 644. 675. 763. 767. 825. 896. 950. 999. 1061. 1199. 1330. 1354. II, 27. 85. 252. 260. 539. 917. 1214. III, 61. 92. 243. 312. 331. 408. 428. 519. 525. 577. 584. 661. 680. 717. 783. 949. 977. 1093. 1142. 1190. 1250. 1298. 1344. IV, 65. 480. 599. 815. 832. 1060. 1103. 1148. 1168. 1257. 1372. 1529. 1603. 1649. 1676. 1719. 1736.

Περαίη I, 1112. περαίης II, 392. IV, 73. 848. περαίην I, 923. IV, 1213.

Περαιόθι IV, 71.

Περαιόω. περαιώσεσθαι IV, 1636.

Περαιτέρω II, 425.

Πέρας. περάτων II, 165.

Περάτηθεν IV, 54.

Περάτη. περάτης I, 1281. II, 1089.

Περάω. περόωσιν IV, 462. ἐπέρησαν IV, 304. 329. 654. 1003. περήσομεν II, 413. περήσεις III, 1072. περάαν IV, 496. περῆσαι I, 440. II, 344. III, 388. IV, 257. 283. περόωντι IV, 530. περόωντες IV, 647. 1557. περόωντας IV, 786. περήσας IV, 457.

Πέρην II, 532.

Πέρθω. πέρθεσκον I, 800. πέρθοντο II, 138.

Περὶ c. gen. I, 901. 1342. II, 141. 1129. III, 60. 688. 1058. IV, 1070. 1357. 1487. 1767. 1772. περὶ πάντων *prae omnibus* I, 65. II, 179. III, 304. 585. c. dat. I, 379. 1020. 1340. II, 128. 873. 1248. III, 291. 638. 866. 868. 905. 1020. 1156. 1172. 1225. 1258. 1355. IV, 93. 325. 551. 616. 938. 1456. c. acc. I, 538. 1197. II, 301. III, 216. 1219. IV, 321. 436. 934. 1136. 1198. 1452. 1666. sine casu III, 1248. IV, 158. περὶ πᾶσα III, 792. περὶ παντόθεν IV, 1710. πέρι I, 101. 138. 670. 830. II, 20. 53. 241. IV, 181. 440. 1031. 1383.

Ρ.

Σ

Υ.

X.

INDEX SCRIPTORUM IN SCHOLIIS CITATORUM.

A.

B.

Δ.

E.

Z.

H.

Θ.

X.

SCRIPTORES ANONYMI.

INDEX IN NOTAS.

ADDENDA.

Quum prius hujus libri volumen jam typis expressum esset, nactus sum editionis Brubachianae exemplar, quod ex libris fuit Erasmi Schmidtii, professoris olim Vitebergensis, in cujus margine ipsius illius Schmidtii manu ad primum Argonauticorum librum cum correctiones quaedam adscriptae sunt, quibus aut vitia illius editionis typographica emendantur aut aliae res levioris momenti, quas deinde eodem modo emendavit Brunckius, tum variae etiam lectiones ex libro manuscripto nescio quo excerptae, quae a correctionibus illis distinguuntur praefixis litteris MS. Codex ille qualis fuerit aut ubi asservatus, ne verbo quidem monuit Schmidtius, sed nondum a quoquam collatum esse inspectis ejus lectionibus intellexi; cum nullo enim eorum, quorum apud me est varia lectio, plane consentit. Medium fere tenet locum inter Vratislaviensem et Guelpherbytanum, quorum mox huic mox illi adstipulatur; novi, quod quidem alicujus momenti sit, nihil fere praebet, sed bonas lectiones aliunde cognitas plerumque confirmat. Itaque melioribus libris adnumerandus est et non ultra librum primum in eo conferendo progressum esse Schmidtium dolendum est. His igitur lectionibus quum carere lectorem nollem, hic in libri calce eas adjeci, ut a Schmidtio exhibitae sunt. Tenendum est codicem cum editione Brubachiana collatum esse.

V. 8. al. *τοίην**). 15. *τόν γ'*. 19. *καμεῖν*. 23. *πρῶτα νῦν*. 29. *θρηϊκῆις*. — *ἐπιτηλεθόωσαι*. 33. *ἐφημοσύνῃ πιθήσας*. 38. *Ἀπίδανος*. 39. *συμφέρονται*. 41. *ὃς* deest. 42. *ἐπιθωρήσσοντο*. 44. *πάρος περ*. 45. *ἐνὶ*. 48. *κῦδος* suprascr. *ῆ*. 52. *εὔρυτος*. 53. *νισσομένοισιν*. 71. *εὐρυβώτης*. 72. *ἴλου*. 73. *εὐρυβώτης*. 74. *ἴλου*. 76. *ὅτε κλίνωσι*. 82. *ὢς*. — *ἐπαυρεῖν*. 83. *ἐνὶ*. 84. *ὅσον*. 93. *νήσσῳ*. 94. *ἐνὶ*. 95. *τοῖσι δ' ἐπὶ*. 96. *ἐϋμμελίης*. 99. *κοῦρον*. al. *μοῦνον*. 134. *ὃς γὰρ*. 136. *ναυπλίδαο*. 141. *μή οἱ ὁ δῆμος*. 148. *ἐνὶ*. 149. *ἀπίθησε*. 150. *νεισσομένοις*. 175. *αὐτὸν δ'*. 179. *εὔφημος*. 180. *ποδωκυέστατον*. 191. *ἀλκήεις*. 204. *οὐκέτις*. 207. *ὀρνυτίδαο*. 209. *πυθώδε*. 215. *ἐνὶ*. 217. *παραὶ*. 218. *περινεφέεσσι*. 221. *χρυσαίαις*. 225. *ἐνὶ*. 229. *περιναιετάοντες*. 244. *αὐτῆμάρ κε δόμους*. 250. *δάκρυ χέουσα*. 252. *ἐν ἀγλαΐῃ*. 253. *δή τοι***). 268. *ἐπεχεύετο*. 272. *ἠγηγάζει*. 273. *ὀνείδεσσιν*. 281. *τάρχυσας*. 286. 7. *ἐπὶ*. 305. *γρ. κιούσῃ*. 310. *ἀΰτμή*. *γρ. ἀΰτή*. 312. *πολιήχου*. *γρ. πο-*

*) Videtur igitur haec lectio ut Vratislaviensis ita et hujus libri margini adscripta esse, unde nova ei accedit auctoritas.

**) Ad v. 267 Schmidtii, ut videtur, manu adscripta est emendatio *οἱ δὲ τὰ σῖγα*.

λιούχον. 313. φᾶσθαι. 316. ἀπὸ πλαγχθεὶς. 324. ἀμφ' ἔχετ'. 354. ἐντυνώμεθα. — ἴασιν. 356. ἐὔκρίναντες. 365. τοῦ οὐκ. 367. ἐπὶ κρατέως. 372. ἔσω. 382. βήσατ'. 384. κάρτει. — βρίσαντες μιῇ *). 393. ἐβάλλοντο. 419. ὀρτυγύην. 425. εὐχωλῆς. 428. ἀθρόως. 433. μήρ'. 439. λητοϊδάω. 471. ἀρήρηθεν. 472. ἀμφοτέρῃσι. 475. ἀγόρευε. 478. ἀνήηκεν ἀτίζειν. 480. θαρσύνοι. — ἀτάσταλα. 481. σῇσι θεοπροπίη-
ο
σιν ἔνισπε. 493. ὁμιχλήσαντες. 515. θέλκτιν ἀοιδῆς. 523. ἀρτύνασθαι δ' ἐρετμὰ. 536. ὡς ἠΐθεοι. 537. ὀρτυγύη. 541. λαῦρον. — ἔπι. 544. στράπτετο δ' ἠελίῳ φλογὶ ἴκελα. 547. λεῦσον. 551. τριτωνίδος. 557. σὺν δέ οἱ. 572. τοὶ δὲ βαθείης. 581. πηληιάδας. 582. σιπιὰς. 586. παλιμπνοιῇσιν. 600. πνοιῇ. 603. ἐσένδιον. 604. ἐς ἄχρι. 612. ἐχθήραντες. 613. ἀγίνεον. 615. ἐπὶ δηρὸν ἄτισσαν. 624. αὐδηθεῖσαν. 635. ἐπ' αἰγιαλὸν. 637. τῇσι. 656. τῇσιν. 661. οὐδ' ἔτι. 668. λάϊνον. 669. ῥ' ἰκνοῖσιν. 670. πέρι. 674. μετὰ φρένου. 679. πέλονται. 689. εἰ καὶ ἐν μετὰ νῦν. — πεφρίκασσι. 691. ἄπο. 697. ἀγορῇ. 698. τήν γε. 705. θυμηδές. in marg. γρ. θυμῆρες 706. αἴ κ' ἐθέλωσι. 711. πασσυδίη. 714. τέλος. in marg. ἔπος. 720. ἐπεντύναντα. 727. ἐρευθήεσσα. 741. μετ' ἴχνια. 755. μετὰ δρομάδην. 763. ῥ' om. 776. ὑπὲρ ἀντέλλοντα. 778. γάνυται. 787. δικλίδας. — εὐτύκτοιτ postremae syllabae suprascr. τῇσιν. 796. γύας. 800. ἐναύλους. 805. ἠματίη. 806. δορικτηταῖς. 817. κασιγνήτοισι. 827. αὖθις. 830. ὀνόσσεσθαι. 833. αὖτις. — ἑκάστῳ. 840. αὐτὴ. 856. διακρινθέντες. 858. κνισσήεντι. 862. ἀνέ-
αις
λιννον. 881. ἄλλοτε ἄλλον. 893. ἑῇ. in marg. ἑοῖ. — ἀγείρας. 896. ὁμῶς 907. μητρὶ. 909. σφοῖσιν. 911. λάζοντό τε. 917. ἀρρήκτους, sed κ puncto supposito notatum. 923. θρηκῶν 930. ἰδαίαν. 931. ἐπιπροσέβαλον 946. πλευρῆς. 958. θεοπροπίαις. 960. ἰησονίης ἐν ἀθήνης. 969. ἔνην. 973. οὐδὲν ὑπωπαίδεσσιν. 979. βάλεν. 986. ἔνθ' ἄρα. 1020. πέρι. — ἐβάλλοντο. 1034. ἐῤῥάισθη, sed ῑ erasum. 1036. πάντη περὶ γὰρ. 1059. σὺν τεύχεσι. 1064. κακὸν suprascr. ῷ. 1068. πάντα γε. 1072. ἐδητύος. 1079. καταῦθι. 1094. σὺν πάντων. 1103. τὸ δ' ἀσπαστὸν. 1105. σφισιν. 1106. ἀμπυκίδου. — ἀγόρευσεν. 1111. ἑτάρους. 1113. προφαίνετ'. 1115. ἑτέρης. 1117. ὕλης, sed ultimae litterae suppositum punctum et suprascriptum ν. 1133. ἐπὶ λείβων. 1144. καταξυ-
ο
λόχους. 1150. ἄρκτων. 1154. ἀπολήξειε. 1157. οὔτι pro οὔ κε. 1162.
ι
ἐφέκλετο. 1174. τετρυμμένα. 1178. ἀργαθώνειον. 1181. ἐγγυάλιξεν. 1201. ὅτ' ἀναπροφάτως. 1202. χειμερίης. 1207. χαλκείη. 1208. ὥς κε**). 1210. ἐπαρτύσσειεν. 1218. πόρπασιν. 1224. ῥίον. 1235. πέρι. 1238. κῦσσαι. 1253. καταστείβων. 1257. πάμπρωτος. 1261. τῷδ' om.
ων
1266. πείσεά τε. 1267. ἀλλὰ τότ' ἄπαυστος. 1268. ἀείρας. 1271. συνεχέως. 1282. φαεινῇ. 1284. πέλεν. 1290. ἔκηλος. 1299. ἄληκτον. 1302. ἔσσετ', sed in marg. ἔπλετ'. 1310. τοῖσιν. 1314. ὁλκέοιο. 1317. ἀργειοῖ. 1325. ἔλειφθεν. 1331. προσπτύξατο. 1332. μὴ μήτι. 1333. ἧκεν. 1342. δέ τοι. 1343. ποτὲ δηρίσασθαι. 1349. ἀναστήσειν. 1353. μαστεύοντες ἀπολήξειν. 1355. μέλοντο. 1360. τελλομένης. 1361. εὑρείην.

---

*) Emendationem ἰῇ Brunckio praeripuit Schmidtius.

**) Ita in textu etiam dare volui, ubi mea nescio an typothetae culpa exaratum est κεν, quod corrigat velim lector benevolus.




LIBRARY OF CONGRESS
0 003 052 545 0